Ἦλθεν εἰς ἀκοὰς τῆς ἡμετέρας γαληνότητος, ὅτι πολλοὶ τῶν εὐλαβεστάτων κατὰ τὴν ἑῴαν ἀρχιμανδριτῶν ἅμα τοῖς ὀρθοδόξοις λαοῖς πρός τινας λεγομένους νοσεῖν τὴν Νεστορίου δυσσέβειαν ἐπισκόπους, ἔν τισι τῶν ἀνατολικῶν, διαγωνίζονταί τε, καὶ ἀγωνίζονται ὑπὲρ τῆς ὀρθοδόξου πίστεως. τούτου τοίνυν ἕνεκα ἔδοξε τῇ ἡμετέρᾳ θειότητι, τὸν θεοσεβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Βαρσουμᾶν, ἐπὶ καθαρότητι βίου, καὶ ὀρθοδόξῳ πίστει εὐδοκιμοῦντα, παραγενέσθαι εἰς τὴν Ἐφεσίων πόλιν, καὶ τὸν τόπον ἐπέχοντα πάντων τῶν ἐν τῇ ἀνατολῇ θεοσεβεστάτων ἀρχιμανδριτῶν, συνεδρεῦσαι τῇ σῇ ὁσιότητι, καὶ πᾶσι τοῖς ἐκεῖσε συνερχομένοις ἁγιωτάτοις πατράσιν, ὥστε τὰ τῷ Θεῷ ἀρέσκοντα περὶ πάντων τυπωθῆναι. καταξιωσάτω τοίνυν ἡ σὴ θεοσέβεια, συνορῶσα, ὡς πᾶσα ἡμῖν φροντὶς περὶ τῆς ὀρθοδόξου πίστεως καθέστηκεν, εὐμενῶς τε τὸν προειρημένον εὐλαβέστατον ἀρχιμανδρίτην ὑποδέξασθαι, καὶ παρασκευάσαι αὐτὸν τῆς ὑμετέρας ἁγίας συνόδου κοινωνῆσαι. ἐδόθη εἰδοῖς Μαΐαις ἐν Θηραλλῳ, ὑπατείᾳ Πρωτογένους τοῦ λαμπροτάτου, καὶ τοῦ δηλωθησομένου.

Τῷ αὐτῷ τύπῳ ἐγράφη Ἰουβεναλίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ ἐκκλησίας Ἱεροσολύμων. Ὁ αὐτὸς ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω.

Θεῖον γράμμα, καταπεμφθὲν Βαρσουμᾷ τῷ εὐλαβεστάτῳ ἀρχιμανδρίτῃ.

Οὐκ ἔλαθε τὴν ἡμετέραν εὐσέβειαν, ἐν οἵῳ καθεστήκασιν ἀγῶνι οἱ ἐν τοῖς μέρεσι τῆς ἑῴας θεοσεβέστατοι καὶ ἁγιώτατοι ἀρχιμανδρῖται, τῆς ὀρθοδόξου πίστεως ὑπερμαχοῦντες, καί τινας τῶν ἐν ταῖς ἀνατολικαῖς πόλεσιν ἐπισκόπων τὴν Νεστορίου δυσσέβειαν νοσοῦντας ἀποστρεφόμενοι, τῶν ὀρθοδόξων λαῶν συναγωνιζομένων τοῖς αὐτοῖς θεοσεβεστάτοις ἀρχιμανδρίταις. ἐπειδὴ τοίνυν καὶ ἡ σὴ ἁγιωσύνη διὰ τὴν ὀρθόδοξον πίστιν τοσοῦτον ὑπομεμένηκε κάματον, καὶ πρὸς τὴν ἡμετέραν εὐσέβειαν παραγέγονε, δίκαιον εἶναι νομίζομεν τὴν σὴν ὁσιότητα, ἐπὶ καθαρότητι βίου, καὶ ὀρθοδόξῳ πίστει εὐδοκιμοῦσαν, τὴν Ἐφεσίων καταλαβεῖν πόλιν, καὶ τὸν τόπον ἐπέχουσαν πάντων τῶν ἐν τῇ ἑῴᾳ θεοσεβεστάτων ἀρχιμανδριτῶν, συνεδρεῦσαι τῇ ἐκεῖσε τυπωθείσῃ συνελθεῖν ἁγίᾳ συνόδῳ, καὶ μετὰ τῶν ἄλλων ἁγίων πατέρων, καὶ ἐπισκόπων, τὰ τῷ Θεῷ ἀρέσκοντα τυπῶσαι. ἐδόθη τῇ πρὸ μιᾶς εἰδῶν Μαΐων ἐν Ἀλεξανδριαναῖς.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω θεῖον ὑπομνηστικὸν, δοθὲν Ἐλπιδίῳ τῷ περιβλεπτῷ κόμητι τοῦ θείου συνεδρίου.

Τῆς μὲν ἤδη γενομένης πρότερον ἐν Ἐφέσῳ ἁγίας συνόδου ἡ Νεστορίου τοῦ δυσσεβοῦς πρὸς τὸν Θεὸν βλασφημία γέγονεν αἰτία· καὶ διὰ τοῦτο τὴν ἀξίαν παρὰ τῶν συνελθόντων ἐκεῖσε ἁγίων πατέρων ἐδέξατο ψῆφον. ἐπειδὴ δὲ καὶ νῦν ἑτέρα πάλιν ἀμφισβήτησις κατὰ τῆς θείας ἐγήγερται πίστεως, τὴν δευτέραν ταύτην ἐν Ἐφέσῳ γενέσθαι σύνοδον ἐθεσπίσαμεν, πάντη τοῦ κακοῦ τὴν ῥίζαν ἀποτμηθῆναι σπουδάζοντες· ἵνα πανταχόθεν τὴν ταραχὴν ἐκβαλόντες τοῦ δόγματος, καθαρὸν τῆς εὐχῆς φυλάξωμεν ἐπὶ τῶν λογισμῶν τὸ δίκαιον, καὶ γένηται τοῦτο τῆς πολιτείας ἀσφάλεια, καὶ τῶν ἀνθρώπων κέρδος. διὰ τοῦτο τοίνυν τήν τε σὴν θαυμασιότητα, καὶ Εὐλόγιον τὸν περίβλεπτον τριβοῦνον καὶ νοτάριον πραιτωριανὸν, πρὸς τὴν τῆς πίστεως διακονίαν ἐπιλεξάμεθα, ὡς ὑπολημφθέντας τά τε ἄλλα ὀρθῶς, καὶ καθαρῶς τὰ κατὰ τὸ κρεῖττον θρησκεύοντας, καὶ δυναμένους, αὐτοῖς τε τοῖς ἡμετέροις κελεύσμασι γνησίως ἐξυπηρετήσασθαι περὶ τῶν ἐν Ἐφέσῳ παρὰ τῆς ἁγίας συνόδου πραττομένων, καὶ μηδένα θόρυβον μηδαμόθεν συγχωρῆσαι γενέσθαι. ἀλλὰ καὶ εἴ τινα συνίδητε ταραχαῖς καὶ θορύβοις χαίροντα ἐπὶ βλάβῃ τῆς ἁγιωτάτης πίστεως, τοῦτον ἐν ἀσφαλεῖ ποιήσασθαι, καὶ γνωρίσαι ἡμῖν. καὶ

ἐν τάξει μὲν προβῆναι τὰ τῆς ὑποθέσεως, παρεῖναι δὲ τῇ κρίσει, καὶ παρασκευάσαι ταχεῖαν καὶ ἐπιμεμελημένην παρὰ τῆς ἁγίας συνόδου δοκιμασίαν γενέσθαι, καὶ γνωρίσαι ἡμῖν, τῶν πρὶν δικασάντων Εὐτυχεῖ τῷ εὐλαβεστάτῳ ἀρχιμανδρίτῃ, παρόντων μὲν, καὶ ἡσυχαζόντων, τάξιν δὲ δικαστῶν μὴ ἐπεχόντων, ἀλλὰ τὴν κοινὴν πάντων τῶν ἄλλων ἁγίων πατέρων περιμενόντων ψῆφον· ἐπειδὴ τὰ παρ' αὐτῶν κεκριμένα νῦν δοκιμάζεται· μὴ ἐξεῖναι δὲ μηδὲν ἕτερον κινεῖν χρηματικὸν κεφάλαιον, πρὶν ἂν περαιωθῆναι τὰ τῆς ὀρθοδόξου πίστεως. διὰ τοῦτο γὰρ καὶ τὴν πολιτικὴν διὰ τῶν πρὸς τὸν περίβλεπτον ἀνθύπατον γραφέντων, καὶ τὴν τοῖς λοιποῖς, ὑμῖν στρατιωτικὴν ἀπεστείλαμεν βοήθειαν· ὥστε ὑμᾶς πρὸς ταῖς οἰκείαις σπουδαῖς καὶ ταύταις ὀχυρωθέντας ταῖς ἐπικουρίαις, ἀρκέσαι διανύσαι πρὸς τὴν τῶν προσταχθέντων πλήρωσιν, τῶν ἄλλων ἁπάντων καλῶν ἀμείνω τυγχάνουσαν, ὅσῳ τὰ θεῖα τῶν ἀνθρωπίνων, καὶ γνώριμα ἡμῖν καταστῆσαι τὰ ἐπὶ ταύτῃ τῇ αἰτίᾳ πραττόμενα.

Τῷ αὐτῷ τύπῳ ἐγράφη καὶ Εὐλογίῳ τῷ περιβλέπτῳ τριβούνῳ καὶ νοταρίῳ.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου, ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω θεῖα γράμματα Πρόκλῳ τῷ περιβλέπτῳ ἀνθυπάτῳ Ἀσίας.

Ἐπιστολὴ τοῦ αὐτοκράτορος πρὸς Πρόκλον τὸν Ἀσίας ἀνθύπατον.

Τῆς μὲν ἤδη γενομένης πρότερον ἐν Ἐφέσῳ ἁγίας συνόδου ἡ Νεστορίου τοῦ δυσσεβοῦς εἰς τὸν Θεὸν βλασφημία γέγονεν αἰτία. καὶ διὰ τοῦτο τὴν ἀξίαν παρὰ τῶν συνελθόντων ἐκεῖσε ἁγίων πατέρων ἐδέξατο ψῆφον. ἐπειδὴ δὲ νῦν καὶ ἑτέρα πάλιν ἀμφισβήτησις κατὰ τῆς θείας ἐγήγερται πίστεως, τὴν δευτέραν ταύτην ἐν Ἐφέσῳ γενέσθαι σύνοδον ἐθεσπίσαμεν, πάντῃ τοῦ κακοῦ τὴν ῥίζαν ἀποτμηθῆναι σπουδάζοντες· ἵνα πανταχόθεν τὴν ταραχὴν ἐκβαλόντες τοῦ δόγματος, καθαρὸν τῆς ἀρχῆς φυλάττωμεν ἐπὶ τῶν λογισμῶν τὸ δίκαιον, καὶ γένηται τοῦτο τῆς πολιτείας ἀσφάλεια, καὶ τῶν ἀνθρωπίνων καλῶν. διὰ τοῦτο καὶ Ἐλπίδιον τὸν περίβλεπτον κόμητα θείου ἡμῶν συνεδρίου, καὶ Εὐλόγιον τὸν περίβλεπτον τριβοῦνον καὶ νοτάριον πρὸς τὴν ὑπόθεσιν ἐπελεξάμεθα, ὡς πρέποντας τῇ ὑποθέσει διακονήσασθαι, ἱκανῶς ἐπὶ ταύτῃ μαρτυρηθέντας· οἷς βουλόμεθα πρὸς τὴν χρείαν παρὰ σοῦ συνεισενεχθῆναι βοήθειαν, ταραχὴν μὲν ἐξελάσαι τῶν πραττομένων ἐπιτραπῆναι, μηδένα μηδαμόθεν συγχωρῆσαι γενέσθαι θόρυβον κελευσθεῖσαν παρὰ τῆς ἡμετέρας γαληνότητος. παρ' ὧν εἰ καταμάθοιμεν ἠμεληκέναι σε τῶν θεσπισθέντων, καὶ μὴ πρὸς ἃ βούλονται, διακονήσασθαι, τὴν βλάβην τὴν σὴν ῥᾳθυμίαν γενέσθαι προστάξομεν.

Ὁ αὐτὸς καθωσιωμένος Βερονικιανὸς σηκρητάριος τοῦ θείου κονσιστωρίου, ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω.

Ἐπιστολὴ τοῦ αὐτοκράτορος πρὸς τὴν δευτέραν ἐν Ἐφέσῳ σύνοδον.

Τῇ ἁγιωτάτῃ συνόδῳ τῇ ἐν Ἐφέσῳ.

Ἐβουλόμεθα μὲν ἔξω πάσης ταραχῆς τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας * καθεστάναι, καὶ ὑμᾶς τοὺς ὑμετέραις ἁγιωτάταις ἐκκλησίαις προσκαρτεροῦντας, συνήθως τὰ πρὸς τὴν τοῦ κρείττονος θεραπείαν ἱερουργεῖν, καὶ μὴ τοσοῦτον ὑμῖν προσγενέσθαι πόνον τι καὶ συντριβήν. ἐπειδὴ δὲ ὁ θεοφιλέστατος ἐπίσκοπος Φλαβιανός τινα περὶ τῆς ἁγίας πίστεως ἀνακινεῖν ἐβουλήθη πρὸς τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ κριτήριον συναγαγὼν, τινὰ πράττειν ἤρξατο· ἡμεῖς μὲν πολλάκις ἀποστείλαντες πρὸς τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον, ἐβουλήθημεν ἀναστῆναι τὴν κινουμένην ταραχὴν, πεπεισμένοι ἀρκεῖν ἡμῖν τὴν παραδοθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ὀρθόδοξον πίστιν, ἣν καὶ ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσῳ ἐβεβαίωσεν. ἐπειδὴ δὲ πολλάκις ἡμῶν δυσωπούντων τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον ἀποστῆναι τῆς τοιαύτης ζητήσεως, ὥστε μὴ ἐκεῖθεν αἴτιον γενέσθαι θορύβου πάσῃ τῇ οἰκουμένῃ, οὐκ ἠνέσχετο· ἐνοήσαμεν, ὅπερ οὐκ ἔστιν ἀσφαλὲς παρούσης τῆς ἁγίας ὑμῶν

* Forte, συνεστάναι

causam quidem ordine provenire, interesse autem judicio, & operam dare celerem; & circumspectam probationem a sancta synodo fieri, & nobis cognitam facere: his qui pridem Eutychetis religiosissimi archimandritæ judices exstiterunt, præsentibus quidem & tacentibus, nullum tamen judicantium habentibus locum, sed communem aliorum omnium sanctorum patrum sententiam exspectantibus: quoniam ea quæ dudum ab ipsis judicata sunt, nunc retractantur. Non licere autem ullum aliud movere ex pecuniariis capitulis, antequam ea quæ de fide sunt catholica, effectui mancipentur. Ideo namque & civile per litteras, quas ad virum spectabilem Proconsulem, ac reliquos scripsimus, & militare vobis auxilium delegavimus; quatenus & vos super proprium studium his fulti auxiliis, sufficere possitis ad ea quæ præcepimus adimplenda: quæ tanto aliis omnibus bonis meliora sunt, quanto solent humanis divina præcellere: & quæ in hac causa fuerint constituta, ad nostram perferre notitiam.

Eodem tenore, Eulogio etiam viro spectabili, tribuno & notario scriptum est.

Veronicianus vir devotus a secretis sacri consistorii, ex ipso codice recitavit.

Sacræ litteræ directæ Proclo viro spectabili Proconsuli Asiæ.

Sancta quidem synodi pridem apud Ephesum factæ, Nestorii impii contra Deum blasphemia exstitit causa: & ideo a sanctis patribus ibidem convenientibus dignam suscepit sententiam. Quoniam igitur nunc & altera iterum contra divinam fidem excitata est dubitatio, secundam hanc in Epheso fieri synodum sanximus, mali radicem omnino excidere cupientes: quo undique conturbationes dogmatis ejicientes, mundam orationis justitiam in cordibus reservemus, & fit hoc reipublicæ munimen, & humanitatis utilitas. Ideo igitur & Elpidium virum spectabilem, comitem sacri nostri consistorii, & Eulogium virum spectabilem, tribunum & notarium, ad hanc causam elegimus, sicut dignos hoc administrare negotium, & idoneos multorum testimonio comprobatos: quibus volumus necessarium a te conferri præsidium, per quos omnis ab his quæ aguntur, conturbatio repellatur, & ex nostra serenitatis jussione nullus tumultus fieri permittatur. A quibus si fuerimus edocti, nostræ a te mansuetudinis præcepta neglecta; & non in omnibus, quibus voluerint, obsecutum, tuam læsionem ex tua negligentia fieri decernemus.

Idem devotissimus Veronicianus a secretis sacri consistorii ex eodem codice recitavit.

Imperatoris epistola ad synodum Ephesinam secundam.

Sanctissimæ synodo Ephesinæ.

Vellemus quidem absque ulla conturbatione sanctas ecclesias Dei persistere, & vos sanctis imminentes ecclesiis consuete ea quæ ad divinitatis placationem pertinent celebrare, & non tantum vobis laborem & afflictionem fieri. Sed quoniam beatissimus episcopus Flavianus aliqua de sancta fide movere voluit adversus reverentissimum archimandritam Eutychem, & concilium congregans, aliqua cœpit agere: nos quidem sæpius dirigentes ad eumdem beatissimum episcopum, voluimus, quæ mota est, conturbationem compescere; persuasi sufficere nobis traditam a sanctis patribus in Nicæna synodo catholicam fidem; quam & sancta synodus quæ in Epheso facta est, confirmavit. Sed quoniam sæpius a nobis rogatus idem beatissimus episcopus desistere a tali quæstione, ne conturbatio universitati fieret, minime acquievit: cogitantes non esse tutum, absque vestra san-

cta synodo, & ubique sanctarum ecclesiarum præsulibus hujusmodi quæstionem de fide renovari, necessarium duximus vestram convenire sanctitatem, quatenus vos, quæ hic acta sunt, cognoscentes, & quæstionem motam, & omnem diabolicam stirpem possitis evellere, & eos qui impii Nestorii blasphemiam sectantur, aut retinent, a sanctis ecclesiis repellere; catholicam vero fidem firmissimam & inconcussam custodiri disponere: quoniam nostra omnis spes, & nostri imperii firmitas ex catholica fide & vestris sanctis orationibus pendet.

Idem devotissimus Veronicianus a secretis sacri consistorii ex eodem codice recitavit.

A συνόδου, καὶ τῶν πανταχοῦ προεστώτων τῶν ἁγίων ἐκκλησιῶν, τοιαύτην ζήτησιν περὶ πίστεως ἀνακινεῖσθαι, ἀναγκαῖον ἐνομίσαμεν συνελθεῖν τὴν ὑμετέραν ἁγιωσύνην· ὥστε ὑμᾶς τὰ πεπραγμένα ἐνταῦθα καταμαθόντας, καὶ τὴν κινηθεῖσαν ζήτησιν, πᾶσαν μὲν διαβολικὴν ἐκκόψαι ῥίζαν, καὶ τοὺς τὴν τοῦ ἀσεβοῦς Νεστορίου βλασφημίαν ζηλοῦντας ἢ σεμνοποιοῦντας, ἐκ τῶν ἁγίων ἐκκλησιῶν ἐκβαλεῖν, καὶ τὴν ὀρθόδοξον πίστιν βεβαίαν καὶ ἀσάλευτον τηρῆσαι διαφυλαχθῆναι· ἐπειδήπερ πᾶσα ἡ ἡμετέρα ἐλπίς, καὶ ἡ τῆς ἡμετέρας βασιλείας ἰσχύς, τῆς εἰς τὸν Θεὸν ὀρθοδόξου πίστεως ἤρτηται, καὶ τῶν ὑμετέρων ἁγίων προσευχῶν.

Ὁ αὐτὸς καθωσιωμένος Βερονικιανὸς, καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου, ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω.

Imperatoris epistola ad Dioscorum Alexandrinum.

B Ἐπιστολὴ τοῦ αὐτοκράτορος πρὸς Διόσκορον τὸν Ἀλεξανδρείας.

Dioscoro reverentissimo episcopo Alexandriæ.

Διοσκόρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀλεξανδρείας.

ANtehac quidem Theodoretum episcopum Cyri civitatis præcepimus in sanctam synodum minime convenire, donec de eo quæ placuerint, synodus sancta constituat; aversati eum, quia assumpsit proferre contraria his quæ conscripsit de fide sanctæ memoriæ Cyrillus Alexandrinæ quondam civitatis episcopus. Quoniam vero suspicamur, aliquos sectatores Nestorii assumere studium & conferre, ut omni modo intersit sancto concilio: hac de causa necessarium duximus his sacris litteris uti ad tuam reverentiam, per quas manifestum facimus tuæ beatitudini, & universæ sanctæ synodo, quod nos regulas sanctorum patrum sequentes, non solum propter Theodoretum, sed etiam alios omnes qui ad congregatam sanctam synodum pertinent, [a] *auctoritatem & primatum tuæ præbemus beatitudini; scientes diligentius, quod & reverentissimus archiepiscopus Hierosolymorum Juvenalis, & beatissimus archiepiscopus Thalassius, & omnis talis fervens amator & æmulator orthodoxæ fidei, consentanei erunt tuæ sanctitati, radianti per Dei gratiam honestate vitæ & catholica fide. Eos namque qui aliquid per addimentum aliquod, aut imminutionem conati sunt dicere, præter quæ sunt exposita de fide catholica a sanctis patribus qui in Nicæa, & postmodum qui in Epheso congregati sunt, nullam omnino fiduciam in sancta synodo habere patimur: sed & sub vestro judicio esse volumus, quia hac de re & nunc sanctam synodum disposuimus convenire.*

[a] Annotatio Rustici ad hunc locum: Aperte contra sedem Romanam.

Eodem tenore scriptum est etiam Juvenali reverentissimo episcopo Hierosolymorum.

Πρώην μὲν Θεοδώρητον, τὸν ἐπίσκοπον Κύρου τῆς πόλεως, ἐθεσπίσαμεν εἰς τὴν ἁγίαν μὴ ἀπαντῆσαι σύνοδον, μέχρις ἂν τὰ δοκοῦντα ἐπ' αὐτῷ ἡ ἁγία τυπώσῃ σύνοδος· ἀποστραφέντες αὐτόν, ὡς ἐπιχειρήσαντα ἐναντία ἐκθέσθαι οἷς συνέγραψε περὶ τῆς πίστεως ὁ τῆς ἁγίας μνήμης Κύριλλος, ὁ τῆς μεγαλοπόλεως Ἀλεξανδρείας γενόμενος ἐπίσκοπος. ἐπειδὴ δὲ ἐνδέχεταί τινας τῶν τὰ Νεστορίου φρονούντων ἐπιχειρῆσαι σπουδὴν αὐτῷ συνεισενεγκεῖν εἰς τὸ ἐκ παντὸς τρόπου εἰς τὴν ἁγίαν παραγενέσθαι σύνοδον, τούτου ἕνεκα ἀναγκαῖον ἡγησάμεθα, τοῖσδε C τοῖς θείοις γράμμασι χρήσασθαι πρὸς τὴν σὴν θεοσέβειαν· δι' ὧν δῆλον ποιοῦμεν τῇ σῇ θεοσεβείᾳ, καὶ πάσῃ τῇ ἁγίᾳ συνόδῳ, ὅτι περ ἡμεῖς ἑπόμενοι τοῖς κανόσι τῶν ἁγίων πατέρων, οὐ μόνον ἕνεκα Θεοδωρήτου, ἀλλὰ καὶ τῶν ἄλλων πάντων τῶν ἀνηκόντων τῇ νῦν συναθροιζομένῃ ἁγίᾳ συνόδῳ, τὴν αὐθεντίαν καὶ τὰ πρωτεῖα τῇ σῇ θεοσεβείᾳ παρέχομεν, ἐπιστάμενοι ἀκριβῶς, ὡς καὶ ὁ θεοσεβέστατος ἀρχιεπίσκοπος Ἱεροσολύμων Ἰουβενάλιος, καὶ ὁ θεοσεβέστατος ἀρχιεπίσκοπος Θαλάσσιος, καὶ πᾶς τοιοῦτος θερμὸς τῆς ὀρθοδοξίας ἐραστὴς καὶ ζηλωτής, ὁμογνώμονες ἔσονται τῇ σῇ ἁγιωσύνῃ, ἐκλαμπούσῃ διὰ τὴν τοῦ Θεοῦ χάριν ἐπί τε τῇ τοῦ βίου σεμνότητι, καὶ τῇ ὀρθοτάτῃ πίστει. τοὺς γάρ κατά τι προσθήκην τινά, ἢ μείωσιν τῶν ἐκτεθέντων περὶ τῆς πίστεως παρὰ τῶν ἁγίων ἐν Νικαίᾳ πατέρων, καὶ μετὰ ταῦτα ἐν Ἐφέσῳ ἐπιχειρήσαντας εἰπεῖν, οὐδεμίαν παντελῶς παρρησίαν ἐν τῇ ἁγίᾳ συνόD δῳ ἔχειν ἀνεχόμεθα, ἀλλὰ καὶ ὑπὸ τὴν ὑμετέραν εἶναι κρίσιν βουλόμεθα. ἐπειδὴ καὶ τούτου ἕνεκα καὶ νῦν τὴν ἁγίαν σύνοδον συγκροτηθῆναι διετυπώσαμεν.

Τῷ αὐτῷ τύπῳ ἐγράφη καὶ Ἰουβεναλίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἱεροσολύμων.

Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Comperit vestra [b] clementia, quia non mihi soli sacratissimus noster Imperator commisit judicium; sed & beatissimo Juvenali, & sanctissimo episcopo Thalassio auctoritatem synodi dedit. Nos ergo judicavimus quæ judicata sunt; consensit nobis & universa synodus. Quare in me solum isti extenduntur, quoniam auctoritas ex æquo tribus data est, & judicatis a nobis consensit, ut dixi, universa synodus, & confessa est propriis vocibus, & subscripsit; & relatum est piissimo Imperatori divæ memoriæ Theodosio, & confirmavit omnia quæ judicata sunt a sancta & universali synodo, generali lege? Orientales & qui cum ipsis reverentissimi episcopi dixerunt: In damnationem beati Flaviani Constantinopolitani archiepiscopi, & Eusebii episcopi nullus voluntarie consensit. Violentia facta est, vis cum plagis; in pura charta subscripsimus. Minabatur nobis damnatio, minæ exsilii tendebantur, milites cum fustibus & gladiis instabant: timebamus & fustes & gladios. Ubi gladii & fustes, qualis synodus est? Milites propter hoc accepit. Homicidam foras mitte: Flavianum milites interemerunt. Ægyptii & qui cum ipsis reverentissimi epi-

[b] al. magnificentia.

Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων εἶπεν· ἐπίσταται ἡ ὑμετέρα φιλανθρωπία, ὡς οὐκ ἐμοὶ μόνῳ ὁ θειότατος ἡμῶν βασιλεὺς ἐπέτρεψε τὴν κρίσιν, ἀλλὰ καὶ τῷ θεοσεβεστάτῳ ἐπισκόπῳ Ἰουβεναλίῳ, καὶ τῷ ὁσιωτάτῳ ἐπισκόπῳ Θαλασσίῳ τὴν αὐθεντίαν τῆς συνόδου δέδωκεν. ἡμεῖς τοίνυν ἐκρίναμεν τὰ κεκριμένα· συνῄνεσεν ἡμῖν πᾶσα ἡ σύνοδος, ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

E καὶ κατέθετο οἰκείαις φωναῖς, καὶ ὑπέγραψε καὶ ἀνηνέχθη τῷ εὐλαβεστάτῳ βασιλεῖ, τῷ τῆς θείας λήξεως Θεοδοσίῳ καὶ ἐβεβαίωσε πάντα τὰ κεκριμένα παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, νόμῳ γενικῷ. Οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν. ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ οὐδεὶς συνῄνεσεν· * βίᾳ ἐγένετο, βίᾳ μετὰ πληγῶν· εἰς ἄγραφον χάρτην ὑπεγράψαμεν· καθαιρέσεις ἡμῖν ἠπειλήθη· ἐξορία ἡμῖν ἠπειλήθη· στρατιῶται μετὰ βάκλων καὶ ξιφῶν ἐπέστησαν· καὶ τὰ βάκλα καὶ τὰ ξίφη ἐφοβήθημεν. ὅπου ξίφη καὶ βάκλα, ποία σύνοδος; στρατιώτας διὰ τοῦτο ἔλαβε Διόσκορος. τὸν φονέα ἔξω βάλε. Φλαβιανὸν στρατιῶται καθεῖλον. Οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι

* al. βίᾳ ἐγένετο, βίᾳ

ANNO CHRISTI 451.

ACTIO PRIMA.

σκοποι ἐξεβόησαν· αὐτοὶ [a] πρῶτοι ὑπέγραψαν· κληρικοὶ νῦν διὰ τί κράζουσιν; ἡ σύνοδος ἐπισκόπων ἐστὶν, οὐχὶ κληρικῶν· τοὺς περιττοὺς ἔξω βάλε. οἱ ὑπογράψαντες εἰς μέσον ἐλθέτωσαν· μεθ' ὑμᾶς ἡμεῖς ὑπεγράψαμεν. Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων εἶπεν. ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

ὡς ὅτι ἐδεξάμην εἰς κοινωνίαν Ἐλπίδιον τὸν πρεσβύτερον, καὶ τοὺς ἄλλους διακόνους, καὶ τὸν ἐπίσκοπον Εὐσέβιον. οἶδε δὲ καὶ αὐτὸς ὁ ἐπίσκοπος Εὐσέβιος, ὅτι ἐδεξάμην αὐτούς· ἐπῆλθόν μοι εἰς τὸ ἐπισκοπεῖον Ἐλπίδιος καὶ Εὐλόγιος, καὶ στρατιῶται, καὶ οἱ μονάζοντες Εὐτυχοῦς, ὀνόματι ὡς τριακόσια· καὶ ἔμελλόν με φονεύειν, λέγοντες· ὅτι τοὺς ἐχθροὺς τοῦ βασιλέως ἐδέξω, ἐχθρὸς εἶ τοῦ βασιλέως. λέγω ἐγώ. ξενοδόχος εἰμὶ, οὐδὲν ἐπικοινωνῶ τῷ πράγματι· ἐγὼ οὐκ ἠδυνάμην ἀκοινωνήτους ποιῆσαι τοὺς κοινωνικοὺς ἐλθόντας· καὶ οὕτω βίᾳ καὶ ἀνάγκῃ γέγονε πάντα. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· Διόσκορος ὁ εὐλαβέστατος βίαν σοι ἐποίησε; Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων πόλεως εἶπε· παρὰ τῶν αὐτοῦ, καὶ οἱ κόμητες. οὐ συνεχωρήθην ἐξελθεῖν ἀπὸ τῆς ἐκκλησίας τοῦ σεκρέτου, ἕως ὅτου ὑπέγραψα γνώμῃ Διοσκόρου, καὶ Ἰουβεναλίου, καὶ τοῦ κυρίου Θαλασσίου, καὶ τῶν ἄλλων ἐπισκόπων, οἷς ἐγράφη. Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Καισαρέων πόλεως εἶπεν· εἰς τὴν σάκραν ἐτέθην μὲν ἐγώ· οὐκ ᾔδειν δὲ πῶς ἐτέθην· ὅμως ἐν τῷ γίνεσθαί τινα, ἐγὼ καὶ ἐκώλυσα, καὶ ἠθέλησα ὑπερθέσθαι, καὶ ἐσπούδασα· καὶ εἰσὶ μάρτυρες. Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπε· Διόσκορος καὶ Ἰουβενάλιος, καὶ ὅσοι πρῶτοι ὑπέγραψαν, οἷς ὑπέτρεψεν ὁ δεσπότης τῆς οἰκουμένης, ὡς ὀρθοδόξοις, διακρῖναι τὰ τῆς πίστεως, διασκευασάμενοι πονηροὺς παρ' ἑαυτοῖς λογισμοὺς, ἡμᾶς τοὺς ἐπ' ἀκεραίῳ καθημένους ἤγαγον, ὥσπερ κριταὶ, ἀνθρώπους ἠγνοηκότας τὸ πρᾶγμα. καὶ ἀνεγινώσκετο μὲν τὰ ὑπομνήματα· καὶ εὐφημεῖτο ὁ τῆς μακαρίας μνήμης Φλαβιανός. μεταξὺ δὲ τῶν εὐφημιῶν ἡμεῖς ἐσιωπῶμεν, ὡς καλῶς πεπραγμένων τῶν πραχθέντων. μετὰ δὲ ταῦτα, ἵνα ἡμᾶς πτοήσωσιν, ἀνεβόησαν, τὴν παρακειμένην Νεστορίου αἵρεσιν ἐπιφημίσαντες ἡμῖν· εἰς δύο τμήσατε τοὺς λέγοντας δύο φύσεις· τοὺς τὰ δύο λέγοντας διχάσατε, ἀνέλετε, ἐκβάλετε· ἵνα τῷ φόβῳ τῆς Νεστοριανῆς κακοδοξίας μὴ ὡς ὀρθόδοξοι κριθῶμεν, ἀλλ' ὡς αἱρετικοὶ κατακριθῶμεν. καὶ ἕκαστος ἐδεδοίκει, μὴ ἐκβληθεὶς ὡς αἱρετικὸς, ἀπολέσῃ οὓς ἐβάπτισεν· καὶ οὐκ ἦν αὐτῷ κίνδυνος μόνῳ, ἀλλὰ καὶ τῶν βαπτισθέντων ἦν, τῶν πιστευσάντων τῷ Χριστῷ· καὶ οὐκ ἔδει μὲν ἡμᾶς σιωπῆσαι τότε. ἔπειτα καὶ ἄλλο ἐποίησαν. ἐκελεύσθη παρὰ τοῦ δεσπότου τῆς οἰκουμένης ἡ σύνοδος, πρῶτον τὰ περὶ Φλαβιανοῦ κρῖναι. οὗτοι πολλὰς ἐν ταύτῃ συνόδους ποιήσαντες, καὶ οὐχ ὑπογράψαντες, οὐδὲ προγράψαντες τὰ δεδογμένα, οὐδὲ ἀναγνόντες τινὶ, οὐδὲ εἰδότων τινῶν, προσήνεγκαν ἡμῖν ἀγράφους χάρτας Διόσκορος καὶ Ἰουβενάλιος πλῆθος ἔχοντες ἀγροίκων ἀνθρώπων, βοώντων πολλῶν, καὶ θορυβούντων, καὶ ταρασσόντων τὴν σύνοδον. ἑκατὸν τριάκοντα πέντε ἦμεν οἱ πάντες· τεσσαρακονταδύο ἐκελεύσθησαν σιωπῆσαι· οἱ λοιποὶ ἦσαν Διόσκορος καὶ Ἰουβενάλιος, καὶ πλῆθος ἄτακτον. ἦμεν λοιπὸν δεκαπέντε ἄνθρωποι. τί εἴχομεν ποιῆσαι; εἰς τὸ αἷμα ἡμῶν ἔπαιξαν οὗτοι αἱρετικοὶ ὄντες· μίαν φωνὴν ἔλεγον πάντες κατεπτόησαν ἡμᾶς, αἱρετικοὺς ἡμᾶς ἐποίησαν· καὶ ἐξεβλήθημεν ὡς αἱρετικοί. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· ταῦτα πάντες λέγομεν· ταῦτα οὕτως ἔχει. οἱ Αἰγύπτιοι, καὶ οἱ μετ' αὐτῶν εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν. χριστιανὸς οὐδένα φοβεῖται· ὀρθόδοξος οὐδένα φοβεῖται. πῦρ

[a] Forte, πρῶτον.

A scopi clamaverunt: Ipsi primi subscripserunt, clerici nunc quare clamant? Synodus episcoporum est, non clericorum. Superfluos foras mitte. Qui subscripserunt, in medium veniant. Post vos nos subscripsimus. Stephanus reverentissimus episcopus Ephesi dixit: Quia violentia & necessitas facta est in hoc quod actum est, Deus testis est: & quia nolentes in damnationem beati Flaviani subscripsimus, Deus testis est. Etenim omnes clericos ejus in Ephesiorum metropolim venientes ut episcopus suscepi, & communicavi eis, & omnem affectum eis ostendi. Gloriosissimi judices & amplissimus senatus dixerunt: Quis vobis vim intulit? Stephanus reverentissimus episcopus E-B phesi dixit: Cum suscepissem in communionem Helpidium presbyterum, & alios diaconos, & episcopum Eusebium, (scit enim & ipse episcopus Eusebius, quia suscepi eos) supervenerunt mihi in episcopio Helpidius & Eulogius, & milites & monachi Eutychis usque trecenti numero, & voluerunt me interficere, dicentes: Quia adversarios Imperatoris suscepisti, adversarius Imperatoris es. Dico ego: [a] Xenodochus ego sum, in nullo communico causæ. Ego non potui excommunicare communicatores venientes. Et ita vi & necessitate omnia facta sunt. Gloriosissimi judices & amplissimus senatus dixerunt: Dioscorus reverentissimus violentiam tibi fecit? Stephanus reverentissimus episcopus Ephesiorum civitatis C dixit: Per homines ejus & comites non sum permissus egredi de ecclesiæ secretario, usquequo subscripsi sententiæ Dioscori & Juvenalis, & domini Thalassii, & aliorum episcoporum, quibus scriptum fuerat. Thalassius reverentissimus episcopus Cæsareæ dixit: In sacra fueram positus; ego autem nescivi quomodo sum positus: tamen cum fierent aliqua, ego prohibui & volui differre, & festinavi; & sunt testes. Theodorus reverentissimus episcopus Claudiopolis Isauriæ dixit: Dioscorus & Juvenalis, & quicumque primitus subscripserunt, quibus præceperat dominus orbis terræ, sicut orthodoxis, dijudicare de fide, meditantes apud semetipsos dolosa consilia, nos simpliciter sedentes introduxerunt, quomodo judices homi-D nes ignorantes causam. Et legebatur quidem actorum series, & laudabatur beatæ memoriæ Flavianus. Cum laudaretur autem, nos tacebamus, sicut bene gestis quæ acta sunt. Post hæc vero, ut nos terrerent, exclamaverunt, de vicina Nestorianæ hæresi infamantes nos: in duo facite eos, qui dicunt duas naturas. Qui dicunt duas, dividite, interficite, ejicite: ut terrore Nestorianæ hæreseos, non sicut catholici judicaremur, sed ut hæretici damnaremur. Et unusquisque verebatur, ne ut hæreticus dejectus, perderet quos baptizaverat: & non ei solum erat periculum, sed baptizatis, & [b] his qui in Christo crediderunt: & non oportuit quidem nos tunc tacere. Postmodum & aliud fecerunt. Jussum est a domino orbis terræ, ut syno-E dus de Flaviano prius judicaret. Isti multas synodos in hoc ipsum facientes, & neque subscribentes, neque præscribentes statuta, neque legentes alicui, neque sciente aliquo, obtulerunt nobis puras chartas Dioscorus & Juvenalis multitudinem habentes seditiosorum hominum, clamantium & conturbantium & commoventium synodum. Centum triginta quinque eramus omnes; quadraginta duo jussi sumus tacere; reliqui erant Dioscorus & Juvenalis, & multitudo seditiosorum. Jam quindecim tantum homines remanseramus: quid essemus facturi? In [c] sanguine nostro ludebant isti hæretici constituti: una voce dicebant omnes; nos terruerunt: hæreticos nos dixerunt, & ejecti sumus ut hæretici. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Omnes eadem dicimus, hæc ita se habent. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Christianus neminem timet; catholicus neminem formidat;

[a] id est, hospitator.

[b] al. fidelibus Christi.

[c] al. sanguinem nostrum.

A ignis ponatur, & discimus: si homines timerentur, martyres non fierent. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Quia asserunt se non audisse quæ judicata sunt vel disposita, sed simpliciter in oblata sibi pura charta subscripsisse eos; maxime qui-non oportuit eos subscribere, quibus satisfactum non erat de his quæ dixit synodus, quia de fide erat sermo. Sed quia causantur in oblata sibi pura charta subscripsisse, interlocutiones eorum quis ordinarit, supplico dicere eos præcipiat magnificentia vestra. Gloriosissimi judices & amplissimus senatus dixerunt: Quæ acta sunt recitentur. Constantinus devotissimus agens in rebus, & adjutor sacri secretarii, ex scheda data sibi ab Aëtio archidiacono regiæ urbis sanctæ ecclesiæ, B legit sacras litteras directas Dioscoro religiosissimo episcopo, ut conveniret ad Ephesinam synodum: quæ superius jam comprehensæ sunt, & ex codice relectæ. Idem ex eadem scheda recitavit.

EPHESI ACTA.

P.C. Zenonis & Postumiani Virorum clarissimorum, sub die sexto Idus Augusti, quæ est secundum Ægyptios, Mesori quintadecima, indictione [a] *tertia, synodo congregata in Epheso metropoli ex præceptione religiosissimorum & Christianissimorum Imperatorum, & residentibus in sancta ecclesia quæ vocatur Maria, reverentissimis & sanctissimis episcopis, Dioscoro Alexandriæ, &* [b] *Juliano episcopo, agente vices & tenente locum sanctissimi & beatissimi episcopi Romanæ ecclesiæ Leonis,*

[a] Erat secunda.

[b] Julio, in codd. Dev. & Paris. In aliis, Juliano.

C

CHALCED. ACTA.

Et cum legerentur, Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Ejectus est, nullus suscepit nomen Leonis. Constantinus devotissimus a secretis ex eadem scheda recitavit subsequentia.

EPHESI ACTA.

[c] *Et Juvenale Hierosolymorum, & Domno Antiochiæ, & Flaviano Constantinopolis.*

[c] Annotatio Rustici, ad hunc locum: Contra Canones Nicænos Antiochenum postpositum Hierosolymitano, pessime.

CHALCED. ACTA.

Et cum legerentur, Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Flavianus ut adjudicatus ingressus est. Hæc manifesta calumnia. Flavianus in proprio loco quare non sedit? Constantinopolitanum episcopum quare quintum posuerunt? Paschasinus reverentissimus episcopus dixit: Ecce nos, Deo volente, dominum Anatolium primum habemus; hi quintum posuerunt beatum Flavianum. D Diogenes reverentissimus episcopus ecclesiæ Cyzici dixit: Quoniam vos regulas scitis. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Petimus, superfluos foras mitte. Imperator episcopos vocavit. Synodus episcoporum est: superflui quare clamant. Theodorus episcopus Claudiopolis Isauriæ dixit: Dioscori notarii clamant. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Duos solum habeo notarios, duo tumultum quomodo faciunt? Gloriosissimi judices & amplissimus senatus dixerunt: Sequentia percurrantur. Constantinus devotissimus a secretis sacri consistorii ex eadem scheda recitavit sequentia.

EPHESI ACTA.

Et Stephano Ephesi, & Thalassio Cæsareæ Cappadociæ primæ, & Eusebio Ancyræ Galatiæ primæ, E *& Joanne Sebastiæ Armeniæ primæ, & Cyro Aphrodisiadis Cariæ, & Erasistrato Corinthi Helladis, & Quintillo Heracleæ, agente etiam vices reverentissimi episcopi Anastasii Thessalonicensis, & Meletio Larissæ agente etiam vices reverentissimi episcopi Domni Apameæ; & Cyriaco episcopo Trocmadorum, agente vices reverentissimi episcopi Theoctisti Pissinuntis Galatiæ secundæ, & Diogene Cyzici, & Basilio Seleuciæ Isauriæ, & Joanne Rhodi, & Theodoro Tarsi, & Romano Myrorum Lyciæ, & Photio Tyri, & Theodoro Damasci, & Juliano Tabiæ, & Florentio* [d] *Lydiæ, & Mariniano Synnadorum, & Musonio Nyssæ, & Constantino Bostræ, & Joanne Nicopolis Armeniæ primæ,*

[d] al. Lybdon.

A πυρὶ, καὶ μανθάνομεν. εἰ ἀνθρώπους ἐφοβοῦντο, μάρτυρες οὐκ ἦσαν. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐπειδὴ λέγουσι μὴ ἀκηκοέναι τῶν κεκριμένων καὶ πεπραγμένων, ἀλλὰ ἁπλῶς εἰς χάρτην ὑπογράψαι καθαρὸν ἐπιδιδόμενον αὐτοῖς, μάλιστα μὲν οὐκ ἔχρην αὐτοὺς ὑπογράψαι, μὴ πεπληροφορημένους, ἐφ' οἷς εἴρηκεν ἡ σύνοδος· ἐπειδὴ περὶ πίστεως ἦν ὁ λόγος. ἐπειδὴ δὲ αἰτιῶνται, ὡς χάρτου καθαροῦ διδομένου αὐτοῖς εἰς ὑπογραφὴν, τίς καὶ τὰς διαλαλιὰς αὐτῶν ἐτύπωσεν, αὐτοὺς εἰπεῖν ἀξιῶ προστάξαι τὴν ὑμετέραν μεγαλοπρέπειαν. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τὰ πεπραγμένα ἀναγινωσκέσθω. Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς, καὶ βοηθὸς τῶν θείων σκρινίων, ἀπὸ χαρτίου ἐπιδοθέντος παρὰ Ἀετίου ἀρχιδιακόνου τῆς κατὰ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας, ἀνέγνω θεῖον γράμμα B καταπεμφθὲν πρὸς Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον, περὶ τοῦ παραγενέσθαι ἐν τῇ κατ' Ἔφεσον συνόδῳ. ὅπερ ἀνωτέρω ἐντέτακται ἀπὸ τῆς ἐν Ἐφέσῳ δευτέρας ἀπὸ κώδικος ἀνέγνω. ὁ αὐτὸς ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

ΤΟῖς μετὰ τὴν ὑπατείαν Ζήνωνος καὶ Ποστουμιανοῦ, τῶν λαμπροτάτων, τῇ πρὸ ἓξ εἰδῶν Αὐγούστων, ἥτις ἐστὶ κατ' Αἰγυπτίους μεσορὶ ιε'. ἰνδικτιῶνος τρίτης, συνόδου συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων, καὶ καθεζομένων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῇ καλουμένῃ Μαρίᾳ, τῶν θεοφιλεστάτων καὶ ὁσιωτάτων ἐπισκόπων, Διοσκόρου Ἀλεξανδρείας, Ἰουλιανοῦ ἐπισκόπου, ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος.

C

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ἐξεβλήθη, οὐδεὶς κατεδέξατο τὸ ὄνομα Λέοντος. Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἐκ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω τὰ ἑξῆς.

Καὶ Ἰουβεναλίου Ἱεροσολύμων, καὶ Δόμνου Ἀντιοχείας, καὶ Φλαβιανοῦ Κωνσταντινουπόλεως.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Φλαβιανὸς, ὡς κατάκριτος, εἰσῆλθεν· αὕτη ὁμολογουμένη συκοφαντία. Φλαβιανὸς ἐν τῷ ἰδίῳ τόπῳ διὰ τί οὐκ ἐκαθέσθη; τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον διὰ τί πέμπτον ἔταξαν; Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἴδε, ἡμεῖς, θεοῦ θέλοντος, κύριον τὸν Ἀνατόλιον πρῶτον ἔχομεν· οὗτοι πέμπτον ἔταξαν τὸν μακάριον D Φλαβιανόν. Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος ἐκκλησίας Κυζίκου εἶπεν· ἐπειδὴ ὑμεῖς τοὺς κανόνας οἴδατε. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· δεόμεθα, τοὺς περιττοὺς ἔξω βάλετε. ὁ βασιλεὺς ἐπισκόπους ἐκάλεσεν· ἡ σύνοδος ἐπισκόπων ἐστί· περιττοὶ διὰ τί κράζουσι; Θεόδωρος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· οἱ νοτάριοι τοῦ Διοσκόρου κράζουσι. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· δύο νοταρίους ἔχω μόνον. οἱ δύο θόρυβον πῶς ποιοῦσιν; οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τὰ ἑξῆς ἀναγινωσκέσθω. Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω τὰ ἑξῆς.

Καὶ Στεφάνου τῆς Ἐφεσίων· καὶ Θαλασσίου Καισαρείας Καππαδοκίας E πρώτης· καὶ Εὐσεβίου Ἀγκύρας Γαλατίας πρώτης· καὶ Ἰωάννου Σεβαστείας Ἀρμενίας πρώτης· καὶ Κύρου Ἀφροδισιάδος τῆς Καρίας· καὶ Ἐρασιστράτου Κορίνθου τῆς Ἑλλάδος, καὶ Κυντίλλου Ἡρακλείας, ἐπέχοντος τὸν τόπον Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων· καὶ Μελετίου Λαρίσσης, ἐπέχοντος καὶ τὸν τόπον Δόμνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπαμέων· καὶ Κυριακοῦ ἐπισκόπου Τροκμάδων, ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισσινοῦντος Γαλατίας δευτέρας· καὶ Διογένους Κυζίκου· καὶ Βασιλείου Σελευκείας τῆς Ἰσαυρίας· καὶ Ἰωάννου Ῥόδου· καὶ Θεοδώρου Ταρσοῦ· καὶ Ῥωμανοῦ Μύρων τῆς Λυκίας· καὶ Φωτίου Τύρου· καὶ Θεοδώρου Δαμασκοῦ· καὶ Ἰουλιανοῦ Ταβίας· καὶ Φλωρεντίου Λυδῶν· καὶ Μαρινιανοῦ Συνάδων· καὶ Μουσωνίου Νύσσης· καὶ Κωνσταντίνου Βόστρας· καὶ Ἰωάννου Νικοπόλεως Ἀρμενίας πρώτης·

καὶ Ἀκακίου Ἀριαραθείας δευτέρας Ἀρμενίας, ἐπέχοντος τὸν τόπον Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτινῆς, καὶ Στεφάνου Ἱεραπόλεως καὶ Ἀττικοῦ Νικοπόλεως Ἠπείρου παλαιᾶς· καὶ Εὐσταθίου Βηρυτοῦ· καὶ Νουνεχίου Λαοδικείας Τριμιτείας· καὶ Ὀλυμπίου Κωνσταντίας τῆς Κύπρου· καὶ Κανδιδιανοῦ Ἀντιοχείας τῆς Πισιδίας· καὶ Στεφάνου Ἀναζαρβοῦ· καὶ Γεροντίου Σελευκείας τῆς Συρίας· καὶ Ῥουφίνου Σαμοσάτων· καὶ Ἰνδίμου Εἰρηνουπόλεως· καὶ Τιμοθέου Βαλανέων· καὶ Θεοδοσίου * Κανόθας· καὶ Εὐτυχίου Ἀδριανουπόλεως Ἠπείρου παλαιᾶς· καὶ Κλαυδίου Ἀγχιασμοῦ Ἠπείρου παλαιᾶς· καὶ Συμεῶνος Ἀμίδης Μεσοποταμίας· καὶ Ἡλίου Ἀδριανουπόλεως· καὶ Σελεύκου ἐπισκόπου Ἀμασείας· καὶ Πέτρου Γαγγρῶν· καὶ Λουκᾶ Δυρραχίου· καὶ Ἀντωνίου Λυχνιδοῦ· καὶ Μάρκου Εὐροίας· καὶ Βιγιλαντίου Λαρίσσης· καὶ Βασιλείου Τραϊανουπόλεως ἐπαρχίας Ῥοδόπης· καὶ Δοκιμασίου Μαρωνείας ἐπαρχίας Ῥοδόπης· καὶ Κωνσταντίνου Δημητριάδος· καὶ Ἀλεξάνδρου Σεβαστῆς τῆς Ταρσοῦ· καὶ Σώζοντος Φιλίππων· καὶ Εὐσεβίου Δοβήρου Μακεδονίας πρώτης. καὶ Μαξιμιανοῦ Σερρῶν Μακεδονίας πρώτης· καὶ Ἑρμογένους Κασσανδρίας Μακεδονίας πρώτης· καὶ Λουκᾶ Βεῤῥοίας Μακεδονίας πρώτης· καὶ Διογενιανοῦ Ῥιμεσιανῆς τῆς Δακίας· καὶ Ἰωάννου τῆς Μεσσήνης τῆς Ἀχαΐας· καὶ Οὐρανίου Ἱμερίας ἐπαρχίας Ὀσδροηνῆς· καὶ Ἀθανασίου Ὀπουντος τῆς Ἀχαΐας· καὶ Θεοδώρου Κλαυδιουπόλεως τῆς Ἰσαυρίας· καὶ Λεοντίου Ἀσκάλωνος· καὶ Φωτεινοῦ Λύδδης· καὶ Ἀναστασίου Ἀρεοπόλεως· καὶ Θεοδοσίου Ἀμαθοῦντος· καὶ Παύλου Μαϊουμᾶ· καὶ Ζωσίμου Μηνοΐδος· καὶ Ἐπιφανίου Πέργης· καὶ Βαραχίου Σωζούσης Παλαιστίνης· καὶ Ἡρακλείου Ἀζώτου· καὶ Ἰωάννου Τιβεριάδος· καὶ Μουσωνίου Ζοάρων· καὶ Διονυσίου Συκαμάζωνος· καὶ Καϊούμου Φαινοῦς· καὶ Ἐτερίχου Σμύρνης· καὶ Κωνσταντίνου Σεβαστῆς· καὶ Ζεβέννου Πέλλης· καὶ Ἀλυπίου Βάκτρων· καὶ Πολυχρονίου Ἀντιπατρίδος· καὶ Αὐξιλάου Σαρακηνῶν τῶν ὑποσπόνδων· καὶ Δομνίνου Πλαταιῶν τῆς Ἑλλάδος· καὶ Θεοδοσίου Μασταύρων· καὶ Κυριακοῦ Αἰγάλης· καὶ Φλαβιανοῦ Ἀτραμυττίου· καὶ Κυριακοῦ Λεβέδου· καὶ Λεοντίου Μαγνησίας Μαιάνδρου· καὶ Εὐτροπίου Περγάμου τῆς Ἀσίας· καὶ Γενναδίου Τηίων· καὶ Ὀλυμπίου Εὐάζων· καὶ Μαξίμου Τράλλεων· καὶ Ἰουλιανοῦ Ὑπαίπων, καὶ Χρυσαφίου Δαγῆς· καὶ Πολυκάρπου Γαβάλων· καὶ Παύλου Τριπόλεως Λυδίας· καὶ Μελιφθόγγου Ἰουλιουπόλεως· καὶ Ὀνησιφόρου Ἰκονίου· καὶ Λογγίνου Χεῤῥονήσου· καὶ Εὐδοξίου Βοσπόρου· καὶ Τιμοθέου Πριμουπόλεως τῆς Παμφυλίας· καὶ Θεοπέμπτου Καβάσων· καὶ Καλλοσειρίου Ἀρσινοΐτου· καὶ Ἰωάννου Ἡφαίστου· καὶ Ἡρακλείδου Ἡρακλέους· καὶ Ἰσαὰκ Ἐλεαρχίας· καὶ Γεμελλίνου Ἐρυθροῦ· καὶ Ἀπολλωνίου Τανέως· καὶ Γενναδίου Ἑρμουπόλεως μεγάλης· καὶ Κύρου Βαβυλῶνος· καὶ Ἀθανασίου Βουσίριδος· καὶ Θεοφίλου Κλεοπατρίδος· καὶ Πασμείου Παράλου, καὶ Φωτεινοῦ Τευχείρων· καὶ Ζωσίμου Σωζούσης· καὶ Θεοδούλου τῆς Ἄδα· καὶ Θεοδώρου Βάρκης· καὶ Ῥούφου Κυρήνης· καὶ Ζήνωνος Ῥινοκουρούρων· καὶ Λουκίου Ζυγρῶν· .·. .·. .·. καὶ Αὐσονίου Σεβεννύτου· καὶ Ἰσαὰκ Ταυᾶ· καὶ Φιλοκάλου Ζαγυλίων· καὶ Ἡσαΐου Ἑρμουπόλεως μικρᾶς· καὶ Βαρσουμᾶ πρεσβυτέρου, .·. .·. .·. ἐπέχοντος τὸν τόπον Δωροθέου ἐπισκόπου Νεοκαισαρείας· καὶ Ἀνθίμου πρεσβυτέρου, ἐπέχοντος τὸν τόπον Πατρικίου ἐπισκόπου Τυάνων Καππαδοκίας δευτέρας· καὶ Ἀρίστωνος πρεσβυτέρου, ἐπέχοντος τὸν τόπον Εὐνομίου ἐπισκόπου Νικομηδείας· καὶ Ὀλυμπίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Καλογήρου ἐπισκόπου Κλαυδιουπόλεως τῆς Ποντικῆς· καὶ Ἰλάρου διακόνου Ῥώμης· καὶ Δουλκιτίου νοταρίου Ῥώμης·

* Forte, Κανόθης.

A & Acacio [a] Ariarathiræ Armeniæ secundæ, agente vices Constantini reverentissimi episcopi Melitenæ, & Stephano Hierapolis, & Attico Nicopolis veteris Epiri, & Eustathio Beryti, & Nunechio Laodiceæ Trimitariæ, & Olympio Constantiæ Cypri, & [b] Candidiano Antiochiæ Pisidiæ, & Stephano Anazarbi, & Gerontio Seleuciæ Syriæ, & Rufino Samosatæ, & Indimo [c] Irenopolis, & Timotheo Balaneæ, & Theodosio Canothæ, & Eutychio Adrianopolis veteris Epiri, & Claudio [d] Anchiaxi veteris Epiri, & Simeone Amidæ Mesopotamiæ, & Elia Adrianopolis Asiæ, & Seleuco Amasiæ, & Petro Gangræ, & Luca Dyrrachii, & Antonio Lychnidi, & Marco [e] Euriæ, & Vigilantio Larissæ, & Basilio Trajanopolis Rhodopæ provinciæ, & Docimasio Maroneæ Rhodopæ provinciæ B Thraciæ, & Constantino Demetriadis Thessaliæ, & Alexandro Sebastæ Tarsi, & Sozonte Philipporum, & Eusebio Doberi Macedoniæ primæ, & Maximiano Serrensi Macedoniæ primæ, & Hermogene Cassandriæ Macedoniæ primæ, & Luca Berrhœæ Macedoniæ primæ, & Diogeniano Remessianensi Daciæ Mediensis: & Uranio [f] Himerorum civitatis provinciæ Osdroenæ, & Joanne Messenæ [g] civitatis Achaiæ, & Theodoro Claudiopolis Isauriæ, & Athanasio Opuntinæ civitatis [h] Achaiæ, & Leontio Ascalonæ, & Photino Lyddæ, & Anastasio [i] Areopolis, & Theodosio Amathuntis civitatis, & Paulo Majumensis civitatis, & Zozimo [k] Minoidis civitatis, & Epiphanio Pergæ, & C Barachia [l] Oruxæ civitatis Palæstinæ, & Heraclio Azoti, & Joanne Tiberiadis civitatis, & Musonio Zoaræ, & Dionysio Sycamazonis civitatis, & [m] Cajuma Phaenensis civitatis, & Eterichο Smyrnæ, & Constantino Sebastæ, & Zebenno Pellensis civitatis, & Alypio Baltrorum civitatis, & Polychronio Antipatridis civitatis, & Pancratio Libyadis civitatis, & Auxilao Sarracenorum fœderatorum, & Domnino Plateaurum civitatis Helladis, & Theodosio Mastaurorum civitatis, & Cyriaco [n] Egaræ civitatis, & Flaviano Adramytinæ civitatis, & Cyriaco Lebedi civitatis, & Leontio Magnesiæ Mæandri, & Eutropio Pergami Asiæ, & Gennadio Tiensis civitatis, & Olympio Evazon civitatis, & Maximo Trallium, & Juliano Hypæporum, & Chrysantho [o] Balceæ civitatis, & Polycarpo Gabalorum, & Paulo Tripolis Lydiæ, & Meliphthongo Juliopolis, D Onesiphoro Iconii, & Longino Chersonesi, & Eudoxio Bosphori, & Timotheo Primopolis Pamphyliæ, & Theopempto Cabasorum, & Calosirio Arsinoitensis civitatis, & Joanne Hephæsti, & Heraclide Heracleæ, & Isaac Elearchiensis civitatis, & Gemellino Erythræ civitatis, & Apollonio Taneæ, & Gennadio Hermopolis majoris, & Cyro [p] Babulinæ civitatis, & Athanasio Busiridis civitatis, & Theophilo Cleopatridis, & Pasmeio Parali, & Photino Teuchirenæ civitatis, & Zosimo Sozusæ, & Theodulo Ticeliæ, & Theodoro Barcæ, & Rufo Cyrenensis civitatis, & Zenone Rhinocurorum, & Lucio Zygrensis civitatis, & Juliano Mosteniæ civitatis, & Ausonio Sebennyti, & Isaac Tavæ, & Philocalo Zagylensis civitatis, & Esaia Hermopolis minoris, & Barsuma presbytero & archimandrita, & Longino presbytero, agente vices Dorothei episcopi Neocæsareæ, & [q] Anthimo presbytero, agente vices Patricii episcopi Tyanorum Cappadociæ secundæ, & Aristone presbytero, agente vices Eunomii episcopi Nicomediæ, & Olympio presbytero, agente vices Calogeri episcopi Claudiopolis Ponticæ, & Hilaro diacono Romano, & Dulcitio notario Romano.

[a] al. Ariarathiæ.
[b] al. Calandione.
[c] al. Indimo Hierunopolis.
[d] al. Anchiasmi.
[e] al. Briiæ.
[f] al. Emeriæ.
[g] al. Atticæ.
[h] al. Atticæ.
[i] al. Hieropolis.
[k] al. Menedæ.
[l] Sozusæ in Cod.
[m] Famaibæ, Div.
[n] Cod. Eglis.
[o] Cod. Dagi.
[p] al. Babylone.
[q] al. Anchemio.

E

Τὰ πραχθέντα ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου, ἀναγινώσκεται ἐν Καλχηδόνι.

Ἰωάννης πρεσβύτερος, καὶ πρῶτος νοταρίων εἶπεν· ἔδοξε καὶ νῦν τοῖς εὐσεβέσι καὶ φιλοχρίστοις ἡμῶν βασιλεῦσι θεσπίσαι, τὴν ἁγίαν ὑμῶν καὶ μεγάλην σύνοδον ἐνταῦθα συνεδρεῦσαι, ἐφ' ᾧ τε τὰ ἀναφυέντα ἀρτίως περὶ τῆς ὀρθῆς ἡμῶν καὶ ἀμωμήτου πίστεως ζητηθῆναι,

Quæ gesta sunt Ephesi sub Dioscoro, recitantur in Chalcedonensi synodo.

Joannes presbyter & primicerius notariorum dixit: Placuit & nunc piissimis & Christianissimis Imperatoribus nostris sancire, sanctam & magnam vestram synodum huc concurrere, quatenus quæ nuper emerserunt de catholica & immaculata nostra fide, quærantur, & ea

radicitus evellantur: ut ne forte trahentia & retrahentia, simplicissimos aliquos in foveam perfidiæ & erroris impingant: quia tanta eis est de pietate solicitudo, & ut ea custodiantur in perpetuum inconcussa & immaculata, quæ de orthodoxa religione nostra pridem quidem a beatissimis patribus qui in Nicæa convenerunt, sunt exposita, confirmata autem nuper a patribus qui in hac civitate congregati sunt; qui tantum sibimet invicem consenserunt & consonuerunt, ut nihil omnino aut saperent, aut definirent diversum. Et præ manibus nostris sunt venerabiles litteræ; & hæc ipsa intimamus ad id quod placuerit vestræ sanctitati. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Legantur piissima & religiosissima Christianissimorum Imperatorum litteræ, reddita unicuique metropolitano, & præfulgeant in actorum serie.

Joannes presbyter & primicerius notariorum recitavit:

Theodosii & Valentiniani Imperatorum epistola ad Dioscorum Alexandrinum episcopum.

Imperatores Cæsares, Theodosius & Valentinianus, victores ac triumphatores, maximi, semper venerabiles, Augusti, Dioscoro.

OMnibus constat manifestum, quia nostra reipublicæ dispositio, & universa humana per pietatem circa Deum continentur, & confirmantur, & reliqua quæ superius habentur in hac prima Actione inter Acta Ephesi.

Julianus episcopus, agens vices sanctissimi archiepiscopi Romanæ ecclesiæ Leonis interpretante eum Florentio episcopo Lydiæ, dixit: Eodem tenore a piissimis & Christianissimis Imperatoribus sanctissimus noster Papa Romanæ ecclesiæ præpositus Leo, vocatus est. Hilarus diaconus Romanus, interpretante eum Florentio episcopo Lydorum dixit: Gloriosissimi & Christianissimi Imperatores caritatem circa fidem catholicam & affectum tenentes, beatissimum episcopum nostrum Leonem Apostolicæ sedis præsulem, ut huic venerabili & sancto concilio adesset, dirigentes venerabiles epistolas, supplicarunt: cujus pietati placere potuit, si hujus rei aliquod præcederet exemplum. Nam melius vestra potest cognoscere sanctitas, quia neque in Nicæna, neque in Ephesina sancta synodo, neque in alio tali sancto concilio Papa sanctæ sedis adfuit. Pro qua re, hujus formæ sequens consuetudinem, nos direxit. Qui sanctissimus non dubitans se in nobis hic adesse, quos præcipue cognoscit, omnia quæ ad fidei catholicæ sinceritatem, & quæ ad sancti Petri apostoli pertinent reverentiam, agere; qui etiam per nos ad vestram beatitudinem congruas sanctorum patrum concilio direxit epistolas, quas suscipi & recenseri præcipite. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Suscipiantur quæ scripta sunt ad hanc sanctam & universalem synodum a sanctissimo fratre nostro & coëpiscopo Leone. Et porrectis eis, Joannes presbyter & primicerius notariorum dixit: Aliæ divinæ litteræ redditæ sunt reverentissimo & sanctissimo archiepiscopo nostro Dioscoro, quæ præ manibus nostris sunt, ad id quod placuerit vestræ sanctitati. Juvenalis episcopus Hierosolymorum dixit: Legantur, & [a] inserantur fidei monumentorum.

[a] *al.* indantur

Et cum legerentur, Aëtius archidiaconus Constantinopolitanus dixit: Neque suscepta est epistola sanctissimi episcopi Leonis, neque lecta est. Orientales & qui cum ipsis sanctissimi episcopi clamaverunt: Non est nobis lecta epistola. Si enim fuisset lecta epistola per omnia, per omnia & contineretur. Eusebius episcopus Dorylæi dixit: Non est lecta, sed retenta ab eo epistola synodica. Aëtius archidiaconus Constantinopolis dixit. Neque suscepta est epistola, ne-

καὶ ταῦτα ῥιζόθεν ἀνασπάσωσιν· ὡς ἂν μὴ ἕλκοντα, καὶ ἀνθέλκοντα, τῶν ἀκεραιοτάτων ἔσθ' ὅτε τινὰς τοῖς τῆς κακοπιστίας καὶ πλάνης ἐμβάλῃ βόθροις. τοσαύτη αὐτοῖς ἐστι εὐσεβείας μέλει, καὶ τοῦ χρῆναι τηρεῖσθαι διηνεκῶς ἀρραγῆ καὶ ἀσάλευτα τὰ ἐκτεθέντα περὶ τῆς ὀρθοδόξου θρησκείας ὑμῶν. πρώην μὲν παρὰ τῶν ἐν Νικαίᾳ συνελθόντων μακαριωτάτων πατέρων, βεβαιωθέντα δὲ ἐσχάτως παρὰ τῶν ἐν ταύτῃ τῇ πόλει συναγηγερμένων· οἳ τοσοῦτον ἑαυτοῖς ὡμολόγησάν τε καὶ συνηνέχθησαν, ὡς μηδὲν παντελῶς φρονῆσαι, ἢ ὁρίσαι τι διάφορον. μετὰ χεῖρας ἡμῶν αἱ θεῖαι συλλαβαί. καὶ αὐτὸ τοῦτο ὑποβάλλομεν πρὸς τὸ παριστάμενον τῇ ὑμετέρᾳ ἁγιότητι. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀναγινωσκέσθω τὸ εὐσεβὲς καὶ θεοφιλὲς τῶν φιλοχρίστων βασιλέων γράμμα, τὸ ἀποδοθὲν πρὸς ἕκαστον τῶν μητροπολιτῶν· καὶ περιλαμπέτω τῶν πραχθησομένων ὑπομνημάτων.

Ἰωάννης πρεσβύτερος, καὶ πρῶτος νοταρίων ἀνέγνω.

Αὐτοκρατόρων Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ, τῷ εὐλαβεστάτῳ Διοσκόρῳ ἐπισκόπῳ Ἀλεξανδρείας.

Αὐτοκράτορες Καίσαρες, Θεοδόσιος καὶ Οὐαλεντινιανὸς, νικηταὶ, τροπαιοῦχοι, μέγιστοι, ἀεισέβαστοι, Αὔγουστοι, Διοσκόρῳ.

ΑΠᾶσι δῆλον καθέστηκεν, ὅπως ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις, καὶ πάντα ἀνθρώπινα, τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ συνέχεται, καὶ κρατύνεται. καὶ τὰ λοιπὰ, ἃ προτέτακται.

Ἰουλιανὸς ἐπίσκοπος, ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπε· τῷ ὁμοίῳ τύπῳ παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ὁ ἁγιώτατος ἡμῶν πάπας, ὁ τῆς Ῥωμαίων ἐκκλησίας Λέων ἡγούμενος, ἐκλήθη. Ἱλαρος διάκονος Ῥώμης, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπεν· ὁ ἐνδοξότατος καὶ χριστιανικώτατος ἡμῶν βασιλεὺς, ἀγάπῃ τῇ περὶ τὴν ὀρθοδοξίαν, καὶ διαθέσει, τὸν μακαριώτατον ἐπίσκοπον ἡμῶν Λέοντα, τὸν τῆς ἀποστολικῆς καθέδρας, ἵνα τούτῳ τῷ προσκυνητῷ καὶ ἁγίῳ συλλόγῳ παρῇ, πέμψας προσκυνητὰ γράμματα, παρακέκληκεν· οὗ τινος [a] εὐσέβεια ἀρέσαι ἠδυνάτο, εἰ τούτου τοῦ πράγματος ἠγεῖτό τι ὑπόδειγμα· εἰ καὶ κρεῖττον ἔδει. ἀλλὰ κατανοεῖ ἡ ὑμετέρα ἁγιωσύνη, ὡς οὔτε ἐν τῇ Νικαέων, οὔτε ἐν τῇ Ἐφεσίων ἁγίᾳ συνόδῳ, οὔτε ἐν ἄλλῳ τοιούτῳ ἁγίῳ συλλόγῳ, ὁ πάπας τοῦ ἁγιωτάτου θρόνου ἐπέστη· ὅθεν οὗ τινος τύπου τῇ συνηθείᾳ ἐξακολουθήσας, ἡμᾶς ἐξαπέστειλεν. ὅς τις ἁγιώτατος ἑαυτὸν οὐκ ἀμφέβαλεν ἐν [b] ὑμῖν διαπρέπειν ἐνταῦθα· οὓς μάλιστα ἐπίσταται πάντα, ὅσα πρὸς τὴν τῆς πίστεως τῆς καθολικῆς ἀκεραιότητα, καὶ ὅσα ἀνήκει πρὸς τὴν εἰς τὸν ἁγιώτατον ἀπόστολον Πέτρον εὐλάβειαν, πάντα πρᾶξαι. οὕτως τοίνυν δι' ἡμῶν πρὸς τὴν ὑμετέραν μακαριότητα ἁρμόζοντα τῇ συνόδῳ τῶν ἁγίων πατέρων ἐπέστειλε γράμματα, ἅπερ [c] ὑποδεχθέντα ἀναγνωσθῆναι προστάξατε. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· [d] ὑποδεχθέντα τὰ γραφέντα πρὸς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον παρὰ τοῦ ὁσιωτάτου ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Λέοντος. καὶ ἀποδοθέντων αὐτῶν Ἰωάννης πρεσβύτερος, καὶ πρῶτος νοταρίων εἶπεν· ἕτερον εὐσεβὲς θέσπισμα ἀπεδόθη τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ ἡμῶν Διοσκόρῳ, καὶ αὐτὸ μετὰ χεῖρας ἡμῖν ἐστι πρὸς τὸ παριστάμενον τῇ ὑμετέρᾳ ἁγιότητι. Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ἀναγινωσκέσθω, καὶ ἐμφερέσθω τῇ πίστει τῶν ὑπομνημάτων.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Αέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· οὔτε [e] ὑπεδέχθη ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος, οὔτε ἀνεγνώσθη. οἱ ἀνατολικοί, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· οὐκ ἀνεγνώσθη ἡμῖν ἡ ἐπιστολή· εἰ ἀνεγνώσθη, πάντως καὶ ἐμφέρεται. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· οὐκ ἀνεγνώσθη, ἀλλὰ παρεκατέσχε τὴν ἐπιστολὴν τὴν συνοδικήν. Αέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· οὔτε ὑπεδέχθη ἡ ἐπιστολὴ, οὔ-

[a] *Forte*, τῇ εὐσεβείᾳ, *ex Lat.*

[b] ἡμῖν *scribendum omnino videtur.*

[c] *Forte*, ὑποδεχθῆναι.

[d] *Forte*, ὑποδεχθέτω.

[e] *Forte*, ἐπεδέχθη

ANNO CHRISTI 451.

ACTIO PRIMA.

τὶ ἀνεγνώσθη· καὶ ἑπτάκις ὤμοσεν ἐπὶ πάντων ποιεῖν ταύτην ἀναγνωσθῆναι, καὶ οὐκ ἀνεγνώσθη, καὶ ἐπιώρκησεν, ὅτι ὤμοσεν. Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· ὅτι ὤμοσε, πάντες οἴδαμεν· ὅτι οὐκ ἀνεγνώσθη, πάντες ὁμολογοῦμεν. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· οἱ εὐλαβέστατοι ἐπίσκοποι, οἷς ἡ αὐθεντία τότε τῶν πραττομένων παρὰ τῆς βασιλικῆς ἐδίδοτο κορυφῆς, λεγέτωσαν, διὰ τί ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος οὐκ ἀνεγνώσθη· μάλιστα καὶ διαλαλιᾶς προχωρησάσης, τῆς παρακελευομένης αὐτὴν ἀναγνωσθῆναι. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· τὰ πραχθέντα δηλοῖ, ὅτι δεύτερον διελάλησα ἀναγνωσθῆναι τὸ γράμμα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ῥωμαίων. Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τίνος οὖν ἕνεκα μετὰ τὴν διαλαλιὰν τὴν σὴν ἡ ἀνάγνωσις τῆς ἐπιστολῆς οὐκ ἐγένετο; Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐρωτηθῶσι καὶ οἱ ἄλλοι εὐλαβέστατοι ἐπίσκοποι, οἷς ἐπιτέτραπτο τὸ πρᾶγμα, τίνος χάριν οὐκ ἀνεγνώσθη. οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· τίνα μάλιστα βούλει ἐρωτηθῆναι, σαφῶς εἰπέ. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· τὸν θεοσεβέστατον ἐπίσκοπον Ἰουβενάλιον, καὶ τὸν θεοσεβέστατον ἐπίσκοπον Θαλάσσιον. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· ἐν πρώτῃ τάξει ἀπόκριναι αὐτός, δι᾽ ἣν αἰτίαν ἡ ἀνάγνωσις οὐκ ἐγένετο· ἀκολούθως γὰρ καὶ αὐτοὶ ἐρωτηθήσονται. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν, ἅπαξ εἶπον· ὅτι δεύτερον διελάλησα ἀναγνωσθῆναι αὐτήν. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπε· ψεύδεται. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· λεγέτω ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰουβενάλιος, πῶς διαλαλήσαντος τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου ἀναγνωσθῆναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ῥώμης, ἡ ἀνάγνωσις αὐτῆς οὐκ ἐγένετο. Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· εὐθέως ἀπεκρίνατο ὁ πρεσβύτερος καὶ πριμικήριος τῶν νοταρίων Ἰωάννης, ἔχειν μετὰ χεῖρας εὐσεβὲς γράμμα τῶν θεοφιλεστάτων καὶ εὐσεβεστάτων βασιλέων· καὶ ἀπεκρινάμην, ἀναγνωσθῆναι τὰ βασιλικὰ γράμματα. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· μετὰ οὖν τὴν ἀνάγνωσιν τοῦ θείου γράμματος καὶ ἡ τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Λέοντος ἐπιστολὴ ἀνεγνώσθη; Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν, οὐκέτι οὔτε ὁ πριμικήριος τῶν νοταρίων, οὔτε ἄλλος τις εἶπεν ἔχειν μετὰ χεῖρας τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥώμης τὰ γράμματα. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· νῦν καὶ ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος λεγέτω τὴν αἰτίαν, δι᾽ ἣν μὴ ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος. Θαλάσσιος ὁ εὐλαβέστατος Καισαρείας Καππαδοκίας εἶπεν· ἓν οἶδα ἐγώ· ὅτι οὔτε ἐκώλυσα, οὔτε δὲ τοσαύτην αὐθεντίαν εἶχον, ὥστε ἐμὲ μόνον ποιῆσαι γενέσθαι τὴν ἀνάγνωσιν. οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τὰ ἑξῆς τῶν πεπραγμένων ἀναγνωσθήτω. Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω. ἐπὶ Διοσκόρου.

*Forte, τι εὐθέως, ex Lat.

A que lecta est. Et septies juravit coram omnibus facere eam recitari, & non est lecta. Et pejeravit, quia juravit. Theodorus reverentissimus episcopus Claudiopolis Isauriæ dixit: Quia juravit, omnes scimus: & quia non est lecta confitemur. Gloriosissimi judices & amplissimus senatus dixerunt: Reverentissimi episcopi, quibus auctoritas tunc eorum quæ agebantur, ab imperiali data est clementia, dicant pro qua re epistola sanctissimi archiepiscopi Leonis non est recitata, præcipue præcedente interlocutione, ubi eam jussum est recitari. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Gesta demonstrant, quia secundo interlocutus sum, recitari epistolam reverentis- B simi episcopi Romani. Gloriosissimi judices & amplissimus senatus dixerunt: Ob quam ergo causam post tuam interlocutionem lectio epistolæ non est facta? Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Interrogentur & alii episcopi, quibus fuerat causa commissa, cujus rei gratia non est recitata. Gloriosissimi judices & amplissimus senatus dixerunt: Quos maxime vis interrogari, apertius dicito. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Beatissimum episcopum Juvenalem, & beatissimum episcopum Thalassium. Gloriosissimi judices & amplissimus senatus dixerunt: In primo loco ipse responde, quamob causam lectio non est facta; consequenter enim & ipsi interrogabuntur. Dioscorus C reverentissimus episcopus Alexandriæ dixit: Semel dixi, quia secundo interlocutus sum recenseri eam. Eusebius reverentissimus episcopus Dorylæi dixit: Mentitur. Gloriosissimi judices & amplissimus senatus dixerunt: Dicat beatissimus episcopus Juvenalis, cur interloquente reverentissimo episcopo Dioscoro ob recitandam epistolam sanctissimi Romani archiepiscopi, lectio ejus non est facta. Juvenalis reverentissimus episcopus Hierosolymorum dixit: Statim respondit presbyter & primicerius notariorum Joannes, habere se præ manibus sacras litteras religiosissimorum & piissimorum Imperatorum, & respondi imperiales litteras relegi. Gloriosissimi judices & am- D plissimus senatus dixerunt: Post lectionem ergo sacrarum litterarum, & reverentissimi archiepiscopi Leonis epistola recitata est? Juvenalis reverentissimus episcopus Hierosolymorum dixit: De cetero neque primicerius notariorum, neque alter quis dixit, habere se præ manibus reverentissimi episcopi Romani litteras. Gloriosissimi judices & amplissimus senatus dixerunt: Nunc & reverentissimus Thalassius episcopus dicat, quamobrem non est recitata epistola sanctissimi archiepiscopi Leonis. Thalassius reverentissimus episcopus Cæsareæ Cappadociæ dixit: Unum scio ego, quia neque prohibui, neque tantam auctoritatem habebam, ut ego solus possem disponere fieri lectionem. Gloriosissimi judices & amplissimus senatus dixerunt: Actorum sequentia percurrantur. Constantinus devotus a secretis sacri consistorii, ex eadem scheda recitavit. Sub Dioscoro.

EPHESI ACTA.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω θεῖον γράμμα, γραφὲν τῷ εὐλαβεστάτῳ Διοσκόρῳ περὶ τοῦ παραγενέσθαι Βαρσουμᾶν. ὅπερ ἀνωτέρω ἐμφέρεται, ἀπὸ κώδικος ἀναγνωσθέν. Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπε· ταῦτα καὶ ἐμοὶ ἐγράφη περὶ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Βαρσουμᾶ, παρὰ τῶν εὐσεβεστάτων βασιλέων ὅθεν εὐλόγως παρίστω τῇ ἁγίᾳ συνόδῳ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· εἴ τι διδάσκειν ἔχουσι περὶ τῆς ἐν χερσὶν ὑποθέσεως οἱ περίβλεπτοι, Ἐλπίδιος ὁ κόμης, καὶ Εὐλόγιος ὁ τριβοῦνος καὶ νοτάριος, λεγέτωσαν. Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· οὔτε τῷ ἀρχεκάκῳ δαίμονι ῥᾳθυμητέον ποτὲ τοῦ πρὸς τὰς ἁγίας ἐκκλησίας πολέμου, καὶ ὁ εὐσεβέστατος ἀεὶ βασιλεὺς ἀντιπαρατάττεται τῷ μὴ δικαίως μαχομένῳ· ὀρθῶς ἄρα διανοηθείς, ὡς ἕξει τὸν ὑπερμαχοῦντα τῆς αὐτοῦ βασιλείας, εἰ πρὸς τοὺς ἀγῶνας τοὺς

E *Joannes presbyter & primicerius notariorum recitavit sacras litteras scriptas reverentissimo episcopo Dioscoro, ut in concilio Barsumas conveniret, sicut superius continentur, relecta ex codice. Juvenalis episcopus Hierosolymorum dixit: Hæc eadem & mihi scripta sunt de reverentissimo presbytero & archimandrita Barsuma a piissimis Imperatoribus; unde* * *decenter visum est sanctæ synodo. Dioscorus reverentissimus episcopus Alexandria dixit: Si quid habent quod doceant, quibus injunctum est de hoc negotio, viri spectabiles, Helpidius comes, simul & Eulogius tribunus & notarius, dicant. Helpidius vir spectabilis comes dixit: Neque malorum princeps dæmon aliquando negligit adversus sanctas ecclesias prælia concitare, & piissimus Imperator semper ei non juste pugnanti resistit, recte cogitans quia habebit Deum propugnatorem sui imperii, si ad certamen & ip-*

* Græce, adesset, sive visum est.

se pro pietate armetur: & in nullo se reprehendit, sic sentiens. Desursum namque omnia ei magis quam armis reguntur. Ideoque & adversus Nestorii arrogantiam protulit unam vobiscum communem sententiam: quoniam ad Dei servitium ordinatus, impii dogmatis exstitit pater & doctor, quasi [a] *pro dæmonibus sacerdotium, & non magis* [b] *pro divina pietate susceperit. Sed ille qui lem condecenti sibi loco interim condemnatus, ad inexcusabilem pœnam in futura vita servatur, quia ad tam maximam impietatem tam ipse effusus est, quam etiam plures secum fallendo pertraxit. Eam vero quæ nunc orta est dubitatio, piissimus Imperator ad vos, sicut ad patres & judices, perducit; a vobis desiderans invenire propositæ quæstionis solutionem, communem tam sibi, quam suis subditis credens fore tutelam. Qualia autem sunt quæ piissimus Imperator & nobis mandavit, & vobis dignatus est scribere, illico faciam manifesta; tantum ante dicturus, quantum unus ex his constitutus, qui sub vobis pietate recte imbuti sunt. Hodie cunctorum Dominus & Deus Verbum salvator vobis se ad judicandum tradit, & patitur judicantes, & honorat potestate decernendi: ut inveniens vos de se justa judicantes, & hic honorificet, & coram Patre rursus confiteatur. Si vero aliquos repererit de suis cordibus sinceritatem pietatis ejicientes, & ea quæ creduntur, arte verborum in dubium perducentes, præter expositionem sanctorum patrum, væ illis ab utraque sententia, Dei & Imperatoris. Bonum erat illis, sicut ait scriptura, si non fuissent nati, quia post latronem, & publicanum, & meretricem, & Chananæam, sincere non confitentur eum, cum est in gloria Dei, qui propter nos se sponte humiliavit. Recenseam etiam quæ & nobis commissa sunt a sacratissimo & piissimo nostro Imperatore.*

[a] al. impote a dæmonibus
[b] al. a divina pietate suscipiens

Marc. 14. Luc. 23. Luc. 18. Luc. 7. Matth. 15.

A ὑπὲρ τῆς εὐσεβείας αὐτῆς ἐξοπλίζοιτο· καὶ ἐν ἐμέμψατο τὴν γνώμην, οὕτω φρονῶν· ἄνωθεν γὰρ αὐτῷ τὰ πάντα μᾶλλον, ἢ τοῖς ὅπλοις κατώρθωται. διὰ τοῦτο καὶ Νεστορίου τῆς ἀπονοίας μεθ' ὑμῶν κατεψήφισεν· ὅτι πρὸς τὴν θεραπείαν τοῦ κρείττονος τεταγμένος, ἀσεβῶν διδαγμάτων πατὴρ ἐγένετο καὶ διδάσκαλος, καθάπερ ὑπὲρ τῶν δαιμόνων, ἀλλ' οὐχὶ τῆς εὐσεβείας τὴν ἱερωσύνην λαβών. ἀλλ' ἐκεῖνος μὲν τῷ πρέποντι χώρῳ τέως καταδεδίκασται, πρὸς τὴν ἀπαραίτητον ἐν τῷ μέλλοντι βίῳ τηρούμενος κόλασιν· ὅτι πρὸς τοσαύτην ἀσέβειαν αὐτός τε ἐξεχύθη, καὶ πολλοὺς μεταπείσας παρέσυρε· τὴν δὲ ἀρτιφυεῖσαν νῦν ἀμφισβήτησιν ὁ θειότατος βασιλεὺς ἐφ' ὑμᾶς, ὡς πατέρας καὶ κριτὰς, ἄγει· καὶ παρ' ὑμῶν εὑρέσθαι βούλεται τοῦ κινουμένου τὴν λύσιν, κοινὴν αὐτῷ τε, καὶ τοῖς ὑπηκόοις ἡγούμενος ἀσφάλειαν. τίνα δέ ἐστιν, ἅπερ ὁ θειότατος βασιλεὺς ἡμῖν ἐνετείλατο, καὶ πρὸς ὑμᾶς ἔγραψε, νῦν αὐτίκα ὑμῖν φανερὰ ποιήσω, B τοσοῦτον ὑπειπὼν, οἷα δὴ εἷς ὢν τῶν ὑφ' ὑμῖν τὴν εὐσέβειαν ὀρθῶς πεπαιδευμένων. σήμερον ὑμῖν ὁ τῶν ὅλων δεσπότης, καὶ Θεὸς λόγος σωτὴρ, εἰς κρίσιν ἑαυτὸν παραδίδωσι, καὶ δικαζόντων ἀνέχεται, καὶ τιμᾷ ταῖς ἐξουσίαις τῶν ψήφων ὑμᾶς· ἵνα εὑρὼν ὑμᾶς ἐπ' αὐτῷ τὰ δίκαια κρίναντας, καὶ ἐνταῦθα τιμήσῃ, καὶ ἐπὶ τοῦ πατρὸς πάλιν ὁμολογήσῃ· ὡς εἴ γέ τινας εὕροι τὸ γνήσιον τῆς εὐσεβείας ἐκβάλλοντας τῆς διανοίας, καὶ τὰ πιστευόμενα τέχνῃ ῥημάτων εἰς ἀμφισβήτησιν ἄγοντας παρὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων, φεῦ τῆς ἐπ' αὐτοῖς ἑκατέρας ψήφου. καλὸν ἦν αὐτοῖς, εἰ μὴ ἐγεννήθησαν· ὅτι μετὰ λῃστὴν, καὶ τελώνην, καὶ πόρνην, καὶ Χαναναίαν, οὐχ ὁμολογοῦσι καθαρῶς, ἐπὶ τῆς δόξης, τὸν ἐπὶ τῆς δι' ἡμᾶς αὐτοῦ ταπεινώσεως πιστευθέντα. ἀναγνώσομαι καὶ τὰ πρὸς ἡμᾶς ἐνταλθέντα παρὰ τοῦ θειοτάτου αὐτοκράτορος ἡμῶν βασιλέως.

Helpidius vir spectabilis Comes recitavit sacrum commonitorium, quod ei & Eulogio viro spectabili, tribuno & notario, datum est, quod superius continetur, relectum ex codice.

C Ἐλπίδιος ὁ περίβλεπτος κόμης ἀνέγνω θεῖον ὑπομνηστικὸν, τὸ δοθὲν αὐτῷ, καὶ Εὐλογίῳ περιβλέπτῳ τριβούνῳ * νοταρίῳ, ὅπερ ἀνωτέρω ἐντέτακται, ἀπὸ κώδικος ἀναγνωσθέν.

* Forte, νοταρίῳ

Helpidius vir spectabilis Comes dixit: Nunc jubete suscipi ac recenseri, & ea quæ ad vos scripta sunt a divino apice. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Suscipiatur venerabilis epistola Christianissimorum Imperatorum, scripta ad sanctam synodum, & [c] *legatur. Joannes presbyter & primicerius notariorum recitavit.*

[c] al. percurratur

Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπε· νῦν κελεύσατε δεχθῆναι, καὶ ἀναγνωσθῆναι, καὶ τὰ πρὸς ὑμᾶς γραφέντα παρὰ τῆς θείας κορυφῆς. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ὑποδεχθὲν τὸ εὐαγὲς γράμμα τῶν φιλοχρίστων βασιλέων, τὸ γραφὲν πρὸς τὴν ἁγίαν σύνοδον, ἀναγινωσκέσθω. Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω.

Sacræ litteræ, scriptæ synodo in Epheso constitutæ, de sanctæ memoriæ Flaviano, [d] utpote innovante aliqua de fide contra Eutychem, quæ superius continentur, perlectæ ex codice.

[d] Hæc verba non sunt synodi, sed illius qui acta synodi digessit.

D Θεῖον γράμμα, γραφὲν πρὸς τὴν ἐν Ἐφέσῳ σύνοδον, περὶ τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ, ὡς ἀνακινοῦντός τινα περὶ τῆς πίστεως πρὸς Εὐτυχῆ· ὅπερ ἀνωτέρω ἐντέτακται, ἀπὸ κώδικος ἀναγνωσθέν.

Thalassius episcopus Cæsareæ Cappadociæ dixit: Piissimus & Christianissimus Imperator desiderans fidem quæ hactenus est, inconcussam manere, præcepit nihil aliud neque dicere, neque agere in sancta synodo, nisi prius de fide statuatur. Unde omnia vacent: quæ sunt autem de fide proveniant. [e] *Julianus episcopus, agens vices sanctissimi episcopi Romanæ ecclesiæ Leonis, interpretante eum Florentio episcopo Lydiæ, dixit: Neque enim aliud præceptum est. Helpidius vir spectabilis Comes dixit; Quoniam ergo fundamentum fidei est hæc fides, pro qua & congregati estis; dignamini, annuente vobis Deo, quæ de fide sunt determinare, quatenus secundo in loco secundum ordinem tempus oriatur ad agendum ea, quæ in regia urbe adversus reverentissimum Eutychem archimandritam acta sunt. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Manifesta nobis facta sunt piissimæ litteræ Christianissimorum Imperatorum, & quia a quibus Constantinopoli motis, synodum præceperunt fieri. Quæcumque ergo nunc mota sunt, primitus aperiantur, & ita inferantur quæ superiore tempore jure acta sunt in sanctis conciliis. Liquida enim statuerunt canones, liquida vero sunt ordinata in synodis; hæc transgredi non debemus. Piissimus & Chri-*

[e] Julius, mss. omnes.

Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ὁ εὐσεβέστατος καὶ φιλόχριστος βασιλεὺς, βουλόμενος τὴν πίστιν, τὴν οὖσαν ἄχρι τοῦ παρόντος, ἀσάλευτον μεῖναι, ἐκέλευσε, μηδὲν ἕτερον μήτε λεχθῆναι, μήτε πραχθῆναι ἐν τῇ ἁγίᾳ συνόδῳ, εἰ μὴ πρότερον τὰ τῆς πίστεως τυπωθῇ. ὅθεν πάντα ἀργείτω· τὰ μέντοι τῆς πίστεως προβαινέτω. Ἰούλιος ἐπίσκοπος, ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥωμαίων ἐκκλησίας Λέοντος, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπεν· οὐδὲ γὰρ ἄλλο προστέτακται. Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· E ἐπειδὴ ὁ θεμέλιος τῆς πίστεως ἡ πίστις αὕτη, ἧς ἕνεκα καὶ συνεληλύθατε, καταξιώσατε, συμψηφιζομένου ὑμῖν τοῦ Θεοῦ, τὰ περὶ τῆς πίστεως ἀποφήνασθαι. ὥστε δεύτερον κατὰ τὴν τάξιν καιρὸν γενέσθαι τὴν ἀνάγνωσιν τῶν πεπραγμένων κατὰ τὴν βασιλεύουσαν ἐπὶ Εὐτυχεῖ τῷ εὐλαβεστάτῳ ἀρχιμανδρίτῃ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· δῆλα γέγονεν ἡμῖν τὰ εὐσεβῆ γράμματα τῶν θεοφιλεστάτων βασιλέων· καὶ ὅτι κινηθέντων τινῶν ἐν τῇ Κωνσταντινουπόλει, τὴν σύνοδον προσέταξαν γενέσθαι, εἴ τι τοίνυν κεκίνηται, πρῶτον δηλούσθω, εἶθ' οὕτως ἐπιφερέσθω τὰ τῶν ἄνωθεν γενομένων ἁγίων συνόδων δίκαια. φανερὰ ὥρισαν οἱ κανόνες· φανερὰ ἐτύπωσαν αἱ σύνοδοι· ἐκβῆναι τούτων οὐκ ὀφείλομεν. ὁ εὐσεβέστατος καὶ φιλό-

ANNO CHRISTI 451.

ACTIO PRIMA.

χιστος ἡμῶν βασιλεὺς, ἀναφυέντων τινῶν, ἐκέλευσε ταύτην τὴν ἁγίαν συγκροτηθῆναι σύνοδον· οὐχ ἵνα τὴν πίστιν ἑαυτῶν ἐκθώμεθα, ἣν ἐξέθεντο οἱ πατέρες ἡμῶν ἤδη· ἀλλ' ἵνα ζητήσωμεν τὰ ἀναφυέντα, εἰ συμβαίνουσι τοῖς ὁρισθεῖσι παρὰ τῶν ἁγίων ἡμῶν πατέρων. χρὴ τοίνυν ἐκεῖνα τὰ ἀναφυέντα πρότερον ζητηθῆναι, καὶ ἡμᾶς δοκιμάσαι, εἰ συνῳδὰ τυγχάνουσι τοῖς ὁρισθεῖσι παρὰ τῶν ἁγίων πατέρων. ἢ βούλεσθε τὴν πίστιν τῶν ἁγίων πατέρων ἀνασκευάσαι; ἡ ἁγία σύνοδος εἶπεν· εἴ τις ἀνασκευάζει, ἀνάθεμα ἔστω. εἴ τις ἐπεξεργάζεται, ἀνάθεμα ἔστω. τὴν πίστιν τῶν πατέρων φυλάξωμεν.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· ταῦτα οὐκ εἴπομεν· ταῦτα τίς εἶπε; Θεόδωρος ὁ εὐλαβέστατος Κλαυδιουπόλεως ἐπίσκοπος εἶπεν· ἀγάγῃ τοὺς νοταρίους αὐτοῦ· ἐκβαλὼν γὰρ τοὺς πάντων νοταρίους, τοὺς ἑαυτοῦ ἐποίησε γράφειν. ἐλθέτωσαν οἱ νοτάριοι, καὶ εἰπάτωσαν, εἰ ἐγράφη ταῦτα, ἢ εἰ παρόντων ἡμῶν ἀνεγνώσθη, ἢ τίς ἐπέγνω, καὶ ὑπέγραψεν. οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τὰ ὑπομνήματα τίνος χειρὶ γέγραπται; Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρείας εἶπεν· ἕκαστος διὰ τῶν ἑαυτοῦ νοταρίων ἔγραψεν, οἱ ἐμοὶ τὰ ἐμὰ, οἱ τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰουβεναλίου τὰ αὐτοῦ, καὶ τοῦ θεοσεβεστάτου ἐπισκόπου Θαλασσίου τὰ αὐτοῦ. ἦσαν δὲ καὶ ἄλλοι εὐλαβεστάτων ἐπισκόπων πολλοὶ νοτάριοι ἐκλαμβάνοντες· οὐκ ἔστι τῶν ἐμῶν νοταρίων τὸ γράμμα. ἕκαστος ἔχει τὸ ἴδιον. Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ἦν νοτάριός μου εἷς ἐκλαμβάνων μετὰ τῶν ἄλλων νοταρίων. Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· καὶ ἐμὸς εἷς ἦν ἐκλαμβάνων. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἰδοὺ, καὶ ὁ νοτάριος τοῦ ἐπισκόπου Ἰουβεναλίου ἐξέλαβε, καὶ ὁ νοτάριος τοῦ ἐπισκόπου Θαλασσίου, καὶ ὁ τῆς Κορίνθου ἐξέλαβε· μὴ οἱ ἐμοὶ μόνοι; Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ἀξιῶ τὸν θεοφιλέστατον ἐπίσκοπον Στέφανον τῆς Ἐφέσου ἐρωτηθῆναι, εἰ μὴ ἐξέγραψαν τὰ ὑπομνήματα τῆς ἁγίας συνόδου οἱ νοτάριοι αὐτοῦ· καὶ τίνα πεπόνθασι παρὰ τῶν νοταρίων τοῦ θεοφιλεστάτου τῆς Ἀλεξανδρέων ἐπισκόπου Διοσκόρου. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τί λέγει πρὸς ταῦτα ὁ εὐλαβέστατος ἐπίσκοπος Στέφανος; Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· ἐξελάμβανον οἱ νοτάριοί μου, Ἰουλιανὸς ὁ νῦν εὐλαβέστατος ἐπίσκοπος Λεβέδου, καὶ Κρίσπινος διάκονος· καὶ ἦλθον οἱ νοτάριοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου, καὶ ἀπήλειψαν αὐτῶν τὰς δέλτους, καὶ τοὺς δακτύλους αὐτῶν παρά τι ἔκλασαν, θέλοντες λαβεῖν καὶ τὰ καλαμάρια αὐτῶν· καὶ οὐδὲ ἀντίγραφα ἔλαβον τῶν ὑπομνημάτων· οὔτε οἶδα ἐκ τότε τί ἐγένετο. ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐν ᾗ ἐξέτασις ἐγένετο, ὑπεγράψαμεν εἰς χάρτην· καὶ ἐπίσκοποι, οἱ μὴ ὑπογράψαντες, ἐμοῦ ἐγγυωμένου, τῇ ἑξῆς ὑπέγραψαν. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ἀξιῶ τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἐφέσου Στέφανον, εἰπεῖν, εἰς ποῖον χάρτην ὑπέγραψαν. Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· εἰς ἄγραφον χάρτην· ἐν αὐτῇ γὰρ τῇ ὥρᾳ, ἐν ᾗ ἡ καθαίρεσις γέγονεν, εὐθὺς καὶ ἡ ὑπογραφὴ ἐγένετο. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀναγνωσθῇ ἡ κατάθεσις τοῦ εὐλαβεστάτου ἐπισκόπου Στεφάνου· ἄρα ἐγὼ αὐτὸν ἠνάγκασα καταθέσθαι; Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· ἀγράφῳ χάρτῃ ὑπεγράψαμεν, ἀναγκασθέντες, καὶ βιασθέντες, καὶ μυρία κακὰ παθόντες· μὴ βουλόμενοι, ἀλλὰ τυραννούμενοι ὑπεσημειωσάμεθα· ἕως γὰρ ἑσπέρας κατεῖχον ἡμᾶς, ἀποκλείσαντες εἰς τὴν ἐκκλησίαν· καὶ ἀσθενοῦντας ἡμᾶς οὐ συνεχώρησαν οὔτε ἀναπαῦσαι, ἢ ἀναχωρῆσαι, καὶ ἑαυτοὺς ψύξαι· ἀλλὰ στρατιώτας ἡμῖν ἐπῆγον μετὰ βάκλων, καὶ ξιφῶν, καὶ μονάζοντας· καὶ οὕτως ἐποίησαν ἡμᾶς ὑποσημειώσασθαι. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· ἀναγινωσκέσθω τὰ λοιπά. Κωνστάντιος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

A *stianissimus noster Imperator pro aliquibus quæ emerserunt, jussit hanc congregari synodum, non ut fidem nostram exponamus, quam exposuerunt jam patres nostri; sed ut inquiramus quæ emerserunt, si conveniant sanctorum patrum nostrorum statutis. Oportet ergo ea quæ contigerunt, primitus inquirere, & nos probare, si consonantia sint statutis a sanctis patribus; aut vultis fidem sanctorum patrum innovare? Sancta synodus dixit: Si quis innovat, anathema sit. Si quis discutit, anathema sit. Sanctorum patrum fidem servemus.*

CHALCED. ACTA.

Et cum legerentur, Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Ista non diximus: ista quis dixit? Theodorus reverentissimus episcopus B Claudiopolis Isauriæ dixit: Deducat notarios suos. Ejiciens enim omnium notarios, suos fecit scribere. Veniant notarii, & dicant, si ista scripta sunt, aut nobis præsentibus lecta sunt; aut si quis cognovit, & subscripsit. Gloriosissimi judices & amplissimus senatus dixerunt: Monimenta gestorum cujus manu perscripta sunt? Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Unusquisque per suos notarios scripsit; mei mea, religiosissimi episcopi Juvenalis, sui; religiosissimi episcopi Thalassii, sui. Erant autem & aliorum reverentissimorum episcoporum multi notarii excipientes; sic non est meorum notariorum littera, quia unusquisque proprium habet. Juvenalis reverentissimus episcopus Hierosolymorum dixit: U- C nus notarius meus erat excipiens cum aliorum notariis. Thalassius reverentissimus episcopus Cæsareæ Cappadociæ dixit: Et meus unus erat, qui excipiebat. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Ecce & notarius episcopi Juvenalis excepit, & notarius episcopi Thalassii, & episcopi Corinthi excepit: numquid mei tantummodo? Eusebius reverentissimus episcopus Dorylæi dixit: Supplico beatissimum episcopum Stephanum Ephesinum perquiri, si non exceperunt acta sanctæ synodi notarii ipsius, & qualia perpessi sunt a notariis religiosissimi episcopi Alexandriæ Dioscori. Gloriosissimi judices & amplissimus senatus dixerunt: Quid ad hæc dicit reve- D rentissimus episcopus Stephanus? Stephanus reverentissimus episcopus Ephesi dixit: Excipiebant notarii mei, Julianus qui nunc est reverentissimus episcopus Lebedi, & Crispinus diaconus, & venerunt notarii reverentissimi episcopi Dioscori, & [a] deleverunt tabulas eorum, & digitos eorum pæne fregerunt, volentes tollere & [b] thecas eorum; & neque eorum actorum exemplaria accepi, neque novi de cetero quid actum sit. Sed & in eadem die, in qua facta est examinatio, subscripsimus in charta: & si qui episcoporum non subscripserunt, ego eos in fide mea suscepi, & alio die subscripserunt. Eusebius reverentissimus episcopus Dorylæi dixit: Peto religiosissimum episcopum Ephesi Stephanum dicere, in qua charta E subscripserunt. Stephanus reverentissimus episcopus dixit? In pura charta? in eadem enim hora, in qua damnatio facta est, mox & subscriptio subsecuta est. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Legatur professio reverentissimi episcopi Stephani. Putasne ego eum compuli talia profiteri? Acacius reverentissimus episcopus Ariarathiæ dixit: Puræ chartæ subscripsimus compulsi, & violenter habiti, & multa mala perpessi, nolentes; sed & per potentiam oppressi, subnotavimus: usque ad vesperam tenuerunt nos, recludentes in ecclesia: & ægrotantes nos neque quiescere permiserunt, neque recedere, ut aliquantulum recolligeremur; sed milites nobis cum fustibus & gladiis imposuerunt, & monachos: & sic fecerunt nos subnotare. Gloriosissimi judices & amplissimus senatus dixerunt: Reliqua percurrantur. Constantinus devotus a secretis sacri consistorii ex eadem scheda recitavit. Et cum venisset ad locum ubi dicit:

[a] al. abstulerunt

[b] scilicet atramentarias.

A *Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Ego pro satisfactione cunctorum, & firmitate fidei, & pro eversione eorum quæ emerserunt, patrum statuta scrutor, qui in Nicæa & qui in Epheso convenerunt. Sancta synodus dixit: Hoc mundum salvat, hoc fidem statues.*

CHALCED. ACTA.

Et cum legerentur, Eusebius reverentissimus episcopus Dorylæi dixit: Ecce, scrutor, dixit: & ego hoc feci. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Scrutor, dixi, non innovo. Nam & Salvator præcepit nobis, dicens: *Scrutamini Scripturas.* Qui enim scrutatur, non innovat. Eusebius reverentissimus episcopus Dorylæi dixit: Salvator dixit: *Quærite &* [a] *invenietis.* Constantinus devotus a secretis sacri consistorii ex eadem scheda recitavit.

Joan. 5. v. 39.

Matth. 7. v. 7.

[a] Dabitur vobis, in Græco.

EPHESI ACTA.

B *Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Etsi duæ dicuntur synodi, tamen* [b] *ad unam pertinent fidem. Sancta synodus dixit: Plene omnia statuerunt patres. Anathema prævaricanti ea. Nemo addat, nemo minuat. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Quoniam voces vestras & Deus suscipit, & vos ipsi firmas esse acquiescitis & placabiles Deo: si quis præter ea quæ acta sunt, aut præter ea quæ placuerunt patribus qui in Nicæa convenerunt, & qui hic congregati sunt, aut inquirit, aut discutit, aut retractat, anathema sit. Sancta synodus dixit: Magnus custos fidei Dioscorus archiepiscopus. Dioscorus episcopus Alexandriæ dixit: Et aliud dico quod est terribile & formidabile:* Si, *inquit*, peccans peccaverit vir in virum, & orabunt pro illo ad Dominum: si autem in Dominum peccaverit, quis orabit pro eo? *Si ergo sanctus Spiritus consedit cum patribus, sicut & manifeste consedit & ordinavit quæ ordinata sunt; qui retractat ea, Spiritus cassat gratiam. Sancta synodus dixit: Omnes hæc dicimus. Anathema sit qui retractat. Ejiciatur retractans. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Nemo ordinat ordinata. Sancta synodus dixit: Hæ voces sancti Spiritus, custos regularum: per te vivunt patres, custos fidei.*

[b] al. unam continent.

1. Reg. 2.

CHALCED. ACTA.

Et cum legerentur, Theodorus reverentissimus episcopus Claudiopolis dixit: Hæc nullus dixit. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Ex [c] confessis omnia negare volunt. Dicant & hoc, quia nec præsentes fuimus. Constantinus devotus a secretis sacri consistorii ex eadem scheda recitavit.

[c] al. manifestis

EPHESI ACTA.

Helpidius vir spectabilis Comes dixit: Patefactum est quod vobis visum est de sancta fide, & cunctorum vocibus consentientibus & laudantibus vestrum, qui præsidetis, decretum, jubete religiosissimum archimandritam Eutychem super quo judicata sunt quæ judicata sunt, & qui est auctor totius actionis, & cujus gratia præcipue scripta sunt vobis sacra litteræ, adesse, & quæ ei visa fuerint, docere vestram [d] *religiositatem. Sancta synodus dixit:* [e] *Consequens est. Juvenalis episcopus Hierosolymorum dixit: Rationabile est adesse religiosissimum archimandritam Eutychem, & suis uti documentis. Et cum ingressus fuisset, Thalassius episcopus Cæsareæ Cappadociæ dixit: Quod justum fore suæ utilitati putat reverentissimus archimandrita Eutyches insinuet sanctæ huic atque magnæ synodo. Eutyches archimandrita dixit: Ego commendavi me ipsum Patri, & Filio, & sancto Spiritui, & verbo veritatis vestræ justitiæ: & testes vos habeo meæ fidei, pro qua & laboravi cum sancta synodo, quæ ante vos hic congregata est, sicut & vestra sanctitas testis est. Habeo autem præ manibus & libellum fidei meæ: jubete eum recitari, & confessionem fidei, quæ in eo continetur. Stephanus episcopus Ephesi dixit: Justum est, confessionem & libellos reverentissimi archimandritæ Eutychis* [f] *susceptos inserere fidei monimentorum. Et cum porrecti fuissent, Joannes presbyter & primicerius notariorum recitavit.*

[d] al. reverentiam

[e] al. Consequenter

[f] al. suscipi in sitie

A Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐγὼ πρὸς πληροφορίαν ἁπάντων, καὶ βεβαίωσιν τῆς πίστεως, καὶ πρὸς ἀνατροπὴν τῶν ἀναφυέντων, τὰ τῶν πατέρων ἐρευνῶ, καὶ τῶν ἐν Νικαίᾳ, καὶ τῶν ἐν Ἐφέσῳ. ἡ ἁγία σύνοδος εἶπε· τοῦτο τὴν οἰκουμένην σώζει· τοῦτο τὴν πίστιν στήσει.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Εὐσέβιος Δορυλαίου εἶπεν· ἰδοὺ, ἐρευνῶ, εἶπε, κἀγὼ τοῦτο πεποίηκα. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐρευνῶ εἶπον, οὐ καινοτομῶ· καὶ γὰρ ὁ σωτὴρ προσέταξεν ἡμῖν, λέγων· ἐρευνᾶτε τὰς γραφάς· ὁ δὲ ἐρευνῶν τὰς γραφὰς, οὐ καινοτομεῖ. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ὁ σωτὴρ εἶπε· ζητεῖτε, καὶ δοθήσεται ὑμῖν. Κωνστάντιος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου B ἀνέγνω.

Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· εἰ καὶ δύο λέγονται σύνοδοι, ἀλλ' εἰς μίαν συντείνουσι πίστιν. ἡ ἁγία σύνοδος εἶπεν· ἀπαραλείπτως πάντα ὥρισαν οἱ πατέρες· ὁ παραβαίνων ταῦτα ἀνάθεμα. οὐδεὶς προστίθησιν, οὐδεὶς ἀφαιρεῖ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐπειδὴ τὰς φωνὰς ὑμῶν καὶ Θεὸς ἀποδέχεται, καὶ αὐτοὶ τὰς ἑαυτῶν καταδέχεσθε βεβαίας εἶναι, καὶ ἀρεσκούσας Θεῷ· εἴ τις παρὰ τὰ πεπραγμένα, ἢ παρὰ τὰ δεδογμένα τοῖς πατράσι τοῖς τε ἐν Νικαίᾳ συνελθοῦσι, καὶ ἐνταῦθα συνειλεγμένοις, ἢ ζητεῖ, ἢ πολυπραγμονεῖ, ἢ ἀνασκευάζει, ἀνάθεμα ἔστω. ἡ ἁγία σύνοδος εἶπε· τῷ μεγάλῳ φύλα-C κι τῆς πίστεως Διοσκόρῳ τῷ ἀρχιεπισκόπῳ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· καὶ τὸ ἕτερον ἐγὼ λέγω, ὅπερ ἐστὶ φοβερὸν, καὶ φρικτόν· ἐὰν, φησὶν, ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται ὑπὲρ αὐτοῦ πρὸς κύριον· ἐὰν δὲ εἰς κύριον ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; εἰ τοίνυν τὸ πνεῦμα τὸ ἅγιον συνεδρεύει μετὰ τῶν πατέρων, ὥσπερ οὖν καὶ συνεδρεύσε, καὶ ὥρισε τὰ ὡρισμένα, ὁ ἀνασκευάζων αὐτὰ, τὴν τοῦ πνεύματος ἀθετεῖ χάριν. ἡ ἁγία σύνοδος εἶπε. πάντες τὰ αὐτὰ λέγομεν· ἀνάθεμα ἔστω ὁ ἀνασκευάζων. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· οὐδεὶς ποιεῖ τὰ πεποιημένα· ἡ ἁγία σύνοδος εἶπεν· αὗται αἱ φωναὶ πνεύματος ἁγίου· τῷ φύλακι τῶν κανόνων· διὰ σοῦ ζῶσιν οἱ πατέρες· τῷ φύλακι τῆς πίστεως.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Θεόδωρος ὁ εὐλαβέστατος ἐπί-D σκοπος Κλαυδιουπόλεως εἶπεν· οὐδεὶς εἶπε ταῦτα. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐκ τῶν ὁμολογουμένων πάντα ἀρνεῖσθαι θέλουσιν· εἴπωσι καὶ τοῦτο ὅτι οὐδὲ παρῆμεν. Κωνστάντιος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ χαρτίου ἀνέγνω.

Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπε· φανεροῦ ὄντος τῶν δεδογμένων ὑμῖν ἐπὶ τῇ ἁγίᾳ πίστει, καὶ τῆς κοινῆς ἁπάντων φωνῆς συνθεμένης τε, καὶ ἐφημνούσης τὴν ὑμῶν τῶν προεδρευόντων ψῆφον, κελεύσατε τὸν ἀρχιμανδρίτην Εὐτυχῆ εἰσελθεῖν, ἐφ' ᾧ κέκριται τὰ κεκριμένα, καὶ ὅς ἐστιν ὁ ὑπόθεσις τῆς πράξεως, καὶ οὗ ἕνεκα γέγραπται ὑμῖν τὸ πλεῖστον μέρος τοῦ θείου γράμματος, παρεῖναι, καὶ τὰ δοκοῦντα αὐτῷ διδάξαι τὴν ὑμετέραν θεοσέβειαν. ἡ ἁγία σύνοδος εἶπεν· ἀκολούθως. Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· εὔλογον παρεῖναι τὸν θεοσεβέστατον ἀρχιμανδρίτην Εὐτυχέα, καὶ τοῖς αὐτοῦ δικαιώμασι χρήσασθαι. καὶ εἰσελθόντος αὐτοῦ, Θαλάσσιος ἐπίσκοπος Καισαρείας E Καππαδοκίας εἶπε· τὰ προσηκούσας αὐτῷ δικαιολογίας ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς ἐμφανιζέτω τῇ ἁγίᾳ ταύτῃ καὶ μεγάλῃ συνόδῳ. Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· ἐγὼ παρεθέμην ἐμαυτὸν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, καὶ τῷ λόγῳ τῆς ἀληθείας τῆς ὑμῶν δικαιοσύνης· καὶ μάρτυρας ὑμᾶς ἔχω τῆς ἐμαυτοῦ πίστεως· περὶ ἧς καὶ ἠγωνισάμην μεθ' ὑμῶν μετὰ τῆς ἁγίας συνόδου τῆς πρὸ ὑμῶν ἐνταῦθα συναχθείσης, ὡς καὶ ἡ ὑμετέρα ὁσιότης μαρτυρεῖ· ἔχω δὲ μετὰ χεῖρας καὶ τὸν λίβελλον τὸν περὶ τῆς πίστεώς μου· κελεύσατε αὐτὸν ἀναγνωσθῆναι, καὶ τὴν ὁμολογίαν δὲ τῆς πίστεως τῆς ἐγκειμένης αὐτῷ. Στέφανος ἐπίσκοπος Ἐφέσου, εἶπε· δίκαιόν ἐστι, τὴν ὁμολογίαν, καὶ τοὺς λιβέλλους τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς ὑποδεχθέντας, ἐντεθῆναι τῇ πράξει τῶν ὑπομνημάτων. καὶ ἐπιδοθέντων αὐτῶν, Ἰωάννης πρεσβύτερος, καὶ πρώτης νοταρίων ἀνέγνω.

Λίβελλος

Λίβελλος τῆς ὁμολογίας Εὐτυχοῦς.

Τῇ ἁγιωτάτῃ καὶ θεοφιλεστάτῃ συνόδῳ οἰκουμενικῇ, συναχθείσῃ ἐν τῇ Ἐφεσίων μητροπόλει, παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου.

Εὐχαριστῶ τῷ παναγίῳ Θεῷ τῆς παρούσης ἡμέρας, καθ' ἣν ἡ εὐσέβεια δι' ὑμᾶς τὴν παῤῥησίαν ἀπείληφεν. ἀναδιδάσκω τὴν ὑμετέραν ἁγίαν σύνοδον τὰ ἐπ' ἐμοί, μᾶλλον δὲ κατὰ τῆς ὀρθῆς πίστεως παρακολουθήσαντα. προθυμηθεὶς μὲν ἐκ νέας κομιδῇ ἡλικίας ἐν ἡσυχίᾳ ἀπραγμόνως μέχρι γήρως ἐσχάτου διατελεῖν, καὶ πάσης ἔξω ταραχῆς καθεστάναι, οὐ συγχωρηθεὶς δὲ τῆς τοιαύτης ἐν ἀπολαύσει γενέσθαι προθέσεως, ἀλλὰ καὶ τοῖς ἐσχάτοις ἐξ ἐπιβουλῆς περιβληθεὶς κινδύνοις, διὰ τὸ κατὰ τὸν ὅρον τῆς ἐνταῦθα προτέρας ὑμῶν ἁγίας συνόδου, μὴ προσδέξασθαι παρὰ τὴν ἐν Νικαίᾳ ὑπὸ τῶν ἁγίων πατέρων ἐκτεθεῖσαν πίστιν φρονεῖν. ἀναγκαῖον δὲ περὶ τῆς διδασκαλίας τῶν γενομένων, εἰς πληροφορίαν τῆς ὑμετέρας ὁσιότητος, ἣν ἔχω περὶ τοῦ ἁγίου δόγματος ὁμολογίαν, φανερὰν αὖθις ποιῆσαι· μαρτυροῦντος μὲν τοῦ Θεοῦ, μαρτυρούσης δὲ καὶ τῆς ὑμετέρας ἁγιωσύνης· μεθ' ἧς καὶ αὐτὸς ἀεὶ κατὰ δύναμιν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως κατὰ τῶν αἱρετικῶν ἐσπούδασα.

Ἔκθεσις πίστεως Εὐτυχοῦς.

Πιστεύω εἰς ἕνα Θεόν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ πατρός· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ, καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας, καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας· ἦν ποτέ, ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι, οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτόν, ἢ ἀλλοιωτὸν υἱὸν τὸν τοῦ Θεοῦ, ἀναθεματίζει ἡ ἀποστολική, καὶ καθολικὴ ἐκκλησία.

Οὕτως ἄνωθεν ἐκ προγόνων παραλαβὼν ἐπίστευσα καὶ πιστεύω· ἐν αὐτῇ γὰρ καὶ ἐτέχθην, καὶ εὐθὺς ἀφιερώθην Θεῷ, καὶ προσεδέξατό με ἡ αὐτοῦ φιλανθρωπία· καὶ τῇ πίστει ταύτῃ βαπτισθείς, ἐσφραγίσθην καὶ μέχρι τῆς σήμερον ἔζησα, εὔχομαι ἐν αὐτῇ καὶ τελευτῆσαι. ταύτην τὴν πίστιν καὶ ἡ μνημονευθεῖσα ἐνταῦθα προτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἐβεβαίωσεν· ἧς καθηγήσατο ὁ τῆς μακαρίας καὶ ὁσίας μνήμης πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Κύριλλος, καὶ ὅρον ἐξήνεγκε, τὸν παρὰ ταύτην προστιθέντα τι, ἢ ἐπινοοῦντα, ἢ διδάσκοντα, ἐπιτιμίοις τοῖς τότε ἐγγραφεῖσιν ὑποκεῖσθαι· ὧν τὰ ἴσα ἐν βιβλίῳ ἀπέστειλέ μοι ὁ μνημονευθεὶς ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Κύριλλος· [a] ἣν καὶ μετὰ χεῖρας ἔχω. ὑποτάξας τοίνυν ἐμαυτὸν τῇ ἁγίᾳ συνόδῳ, καὶ τὸν ὅρον αὐτῆς ἄχρι τῆς παρούσης ἐφύλαξα.

[a] ἣ vel ἃ legit interpres.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ἐψεύσατο· οὐκ ἔστιν ὅρος τοιοῦτος· οὐκ ἔστι κανὼν τοῦτο διαγορεύων. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· τέσσαρά εἰσι βιβλία τὰ περιέχοντα τοῦτον τὸν ὅρον· ὃν ὥρισαν οἱ ἐπίσκοποι, οὐκ ἔστιν ὅρος; μὴ γὰρ ἔχει, ὅτι κανών ἐστιν; οὐκ ἔστι κανών· ἄλλο ἐστὶ κανών, ἄλλο ὅρος. κατηγόρησεν πέντε συνοδικῶν βιβλίων· κἀγὼ ἔχω, καὶ ὁ δεῖνα, καὶ ὁ δεῖνα ἔχει. ἐνεχθῶσι πάντες τὰ βιβλία. Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου, εἶπε· δολερῶς [b] προσέταξε τὴν ἐν Νικαίᾳ τῶν ἁγίων πατέρων σύνοδον· ἐδέξατο δὲ προσθήκας παρὰ τῶν ἁγίων πατέρων, διὰ τὴν ἔννοιαν τὴν κακὴν Ἀπολιναρίου, καὶ Βαλεντίνου, καὶ Μακεδονίου, καὶ τῶν ὁμοίων ἐκείνοις· καὶ προσετέθη τῷ συμ-

[b] προσέθηκε ex Latino.

Libellus confessionis Eutychis.

Sanctissimæ & Domini amantissimæ universali synodo congregatæ in Ephesso metropoli, ab Eutyche archimandrita.

Gratias ago per omnia sancto Deo præsenti die, in qua per vos pietas recepit fiduciam: & edoceo vestram sanctam synodum, quæ in me, magis autem contra rectam fidem, commissa sunt. Propositum quidem mihi fuerat a pueritia, in silentio absque ullo negotio usque ad decrepitam senectutem degere, & absque ulla conturbatione persistere. Non sum autem permissus tali frui proposito: sed & pessimis periculis insidiantium circumdatus sum, eo quod secundum definitionem prioris vestri hic congregati sacri concilii, non acquievi contra eam quæ in Nicæa a sanctis patribus fides est exposita, sapere. Necessarium vero arbitror, antequam ea quæ in me commissa sunt, doceam; ad satisfactionem vestræ sanctitatis, quam habeam de sancto dogmate confessionem, iterum facere manifestam, attestante mihi tam Deo, quam vestra sanctitate, cum qua & ipse semper juxta virtutem meam pro catholica fide adversum hæreticos [a] *steti.*

[a] al. studui.

Expositio fidei Eutychis.

Credo in unum Deum, Patrem omnipotentem, omnium visibilium & invisibilium creatorem. Et in unum Dominum Jesum Christum, Filium Dei, natum de Patre unigenitum, id est, de substantia Patris, Deum de Deo, lumen de lumine, Deum verum de Deo vero, natum, non factum: homousion Patri, id est, unius cum Patre essentiæ, per quem omnia facta sunt, quæ in cælo & quæ in terra. Qui propter nos homines, & propter nostram salutem descendit, & incarnatus est, & homo factus est, & passus, & resurrexit tertia die, ascendit in cælos, unde venturus est judicare vivos & mortuos. Et in Spiritum sanctum. Eos autem qui dicunt: Erat quando non erat; & antequam nasceretur, non erat; & quia ex non exstantibus factus est, aut ex alia subsistentia, vel essentia dicentes esse, aut convertibilem, aut mutabilem Filium Dei, hos anathematizat catholica & apostolica ecclesia.

Sic ab initio a progenitoribus meis accipiens credidi & credo: in hac autem & genitus sum, & statim consecratus sum Deo, & suscepit me ipsius misericordia. Et in hac fide baptizatus, signatus sum, & usque hodie vixi, in ea & opto mori. Hanc fidem & memorata hic anterior sancta & universalis synodus confirmavit, cujus præsul fuit beatæ & sanctæ recordationis pater noster & episcopus Cyrillus, & definitionem protulit. Eum qui præter istam addiderit aliquid, aut [b] *invenerit, aut docuerit, damnationibus quæ tunc scriptæ sunt, subjacere. Quorum exemplaria in codice destinavit mihi memoratus pater noster & episcopus Cyrillus, quæ & præ manibus habeo. Subjiciens igitur meipsum sanctæ synodo, & definitionem ejus usque nunc custodivi.*

[b] al. adinvenerit.

Et cum legerentur, Eusebius reverentissimus episcopus Dorylæi dixit: Mentitus est: non est definitio talis, non est regula hoc præcipiens. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Quatuor codices sunt, qui hanc definitionem continent. Quod definierunt episcopi, non est definitio? Numquid habet, quia regula est? Non est regula: aliud est regula, & aliud est definitio. Accusa quinque synodicos codices: & ego habeo, & ille & ille habent: proferant omnes codices. Diogenes reverentissimus episcopus Cyzici dixit: Dolose [c] præposuit synodum sanctorum patrum, quæ in Nicæa facta est. Accepit namque additamenta a sanctis patribus, propter perversum intellectum Apollinatis & Valentini & Macedonii, & qui eis similes sunt. Et additum est in sym-

[c] al. proposuit.

ACTIO PRIMA.

bolo sanctorum patrum: *Qui descendit, & incarnatus est de Spiritu sancto ex Maria Virgine.* Hoc namque prætermisit Eutyches, sicut Apollinarista. Nam etiam Apollinaris suscipit sanctam synodum quæ in Nicæa facta est, secundum propriam perversitatem intelligens verba, effugit de Spiritu sancto, & Maria Virgine, ut ne omnino [a] unionem carnis confiteretur. Etenim sancti patres qui in Nicæa convenerunt, quod *incarnatus est* dixerunt: sancti autem patres qui post ipsos fuerunt, explanaverunt dicentes, *de Spiritu sancto & ex Maria Virgine.* Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Nemo suscipit adjectionem, nemo diminutionem. Quæ in Nicæa constituta sunt, teneant: catholicus Imperator hoc jussit. Orientales, & qui cum ipsis reverentissimi episcopi clamaverunt: Hæc Eutyches dixit. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Adjectionem nullus [b] suscipit. Teneant quæ patrum sunt, teneant quæ in Nicæa constituta sunt, teneant quæ de Spiritu sancto sunt: catholicus Imperator hoc jussit. Constantinus devotissimus magistrianus, & a secretis sacri consistorii, ex eadem scheda recitavit:

[a] al. unitionem sive unitatem.

[b] al. suscepit vel subscripsit.

EPHESI ACTA.

Et omnes enim sanctos patres, sicut & vestra sanctitas, catholicos habui & fideles, & doctores meos posui, anathematizans [c] Manem, Valentinum, Apollinarium, & Nestorium, & omnes hæreticos usque ad Simonem magum, & eos qui dicunt carnem Domini & Dei nostri Jesu Christi de cælo descendisse.

[c] al. Manichæum

CHALCEDONE ACTA.

Et cum legerentur, Eusebius reverentissimus episcopus Dorylæi dixit: Fugit quidem illud, *De cælo:* undenam autem, non addidit. Diogenes reverentissimus episcopus Cyzici dixit: Per potestatem vestram rogavimus eum dicentes: Domine Eutyches, unde ergo? dic. Et non consensit. Basilius reverentissimus episcopus Seleuciæ Isauriæ dixit: Rogavimus eum tunc, sicut memorat dominus Eusebius, & Sozon Philippensis, ut diceret modum incarnationis, & humanæ assumptionis, si secundum assumptionem carnis scit Deum Verbum factum hominem. Et jusserunt non investigatum dimitti istud, & non susceperunt prosecutionem nostram. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Religiosissimus episcopus Basilius reprehendit in gestis suam vocem, dicens: Quia sic non dixi, sed falso scriptum est. Si vero Eutyches præter dogmata ecclesiæ sapit, non solum pœna dignus est, sed & igne. Ego vero fidei catholicæ & apostolicæ solicitudinem gero, & non alicujus hominis. Ad ipsam namque divinitatem mentem intentam habeo, & ad personam non attendo, neque pro quolibet curo, nisi pro mea anima, & recta & sincera fide. Basilius reverentissimus episcopus Seleuciæ Isauriæ dixit: Dum legerentur gesta, quæ in Eutychem acta sunt, mea interlocutio lecta est, & in medio prolata est, quam feci sequens patres qui in Epheso primitus [d] convenerunt, laudans epistolam beatissimi Cyrilli illius beatæ synodi præsulis, per quam insanum Nestorium arguit, male interpretantem trecentorum decem & octo patrum fidem. Habebat autem interlocutio mea, sicut & hactenus habet: Adoro unum Dominum nostrum Jesum Christum Filium Dei unigenitum, Deum Verbum, post incarnationem & inhumanationem in duabus naturis cognitum. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: [e] Impartibilem nemo separet: unum Filium nemo dicit duo. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Anathema dividenti, anathema [f] partienti. Basilius reverentissimus episcopus Seleuciæ Isauriæ dixit: Anathema partienti, anathema dividenti duas naturas post adunationem; anathema autem & qui non cognoscit naturarum proprietatem. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Sicut natus est, sic passus est. Voces nostras Imperatori. Unus Dominus,

[d] al. consederunt

[e] al. Indivisibilem nemo dividat.

[f] al. separanti.

ANNO CHRISTI 451.

A βόλῳ τῶν ἁγίων πατέρων, Τὸν κατελθόντα, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου· τοῦτο γὰρ παρέλιπεν Εὐτυχὴς, ὡς Ἀπολλιναριστής· καὶ Ἀπολλινάριος γὰρ δέχεται τὴν ἐν Νικαίᾳ ἁγίαν σύνοδον, κατὰ τὴν οἰκείαν παραφθορὰν ἐκλαμβάνων τὸ ῥητὸν· καὶ φεύγει τὸ, Ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου· ἵνα παντάπασι μὴ τὴν ἕνωσιν τῆς σαρκὸς ὁμολογήσῃ. οἱ γὰρ ἅγιοι πατέρες, οἱ μετὰ ταῦτα, τὸ ἐσαρκώθη, ὃ εἶπον οἱ ἅγιοι ἐν Νικαίᾳ πατέρες, ἐσαφήνισαν εἰπόντες, Ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· οὐδεὶς δέχεται προσθήκην, οὐδεὶς μείωσιν· τὰ τῶν ἐν Νικαίᾳ κρατείτω· ὁ ὀρθόδοξος βασιλεὺς τοῦτο ἐκέλευσεν. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· ταῦτα Εὐτυχὴς εἶπεν. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι εἶπον· προσθήκην οὐδεὶς δέχεται· κρατείτω τὰ τῶν πατέρων· τὰ τῶν ἐν Νικαίᾳ κρατείτω· τὰ ἐκ πνεύματος ἁγίου κρατείτω· ὁ ὀρθόδοξος βασιλεὺς τοῦτο ἐκέλευσε. Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς, καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου, ἐκ τοῦ αὐτοῦ χάρτου ἀνέγνω.

B Καὶ πάντας δὲ τοὺς ἁγίους πατέρας, ὡς καὶ ἡ ὑμετέρα θεοσέβεια, ὀρθοδόξους ἔχω καὶ πιστοὺς, καὶ διδασκάλους ἐμαυτῷ ἐθέμην, ἀναθεματίζων Μανῆν, Βαλεντῖνον, Ἀπολλινάριον, καὶ Νεστόριον, καὶ πάντας τοὺς αἱρετικοὺς, ἕως Σίμωνος τοῦ μάγου, καὶ τοὺς λέγοντας τὴν σάρκα τοῦ κυρίου, καὶ τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὐρανοῦ καταπεφοιτηκέναι.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ἔφυγε μὲν τὸ, Ἐξ οὐρανοῦ, οὐ προσέθηκε δὲ πόθεν. Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπε· μετὰ τὴν ἐξουσίαν ὑμῶν, παρεκαλέσαμεν αὐτὸν, λέγοντες· Κύριε [*] Εὐτυχῆ, πόθεν οὖν; εἰπέ· καὶ οὐ συνεχώρησεν· Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας εἶπε· παρεκαλέσαμεν τότε, ὡς μέμνηται καὶ ὁ κύριος Εὐσέβιος καὶ Σώζων

C ὁ Φιλίππων· ὥστε εἰπεῖν αὐτὸν τὸν τρόπον τῆς σαρκώσεως, καὶ τῆς ἐνανθρωπήσεως, εἰ κατὰ πρόσληψιν σαρκὸς οἶδε τὸν Θεὸν λόγον γενόμενον ἄνθρωπον· καὶ ἐκέλευσαν ἀνεξέταστον ἐᾶσαι τοῦτο, καὶ οὐ προσεδέξαντο τὴν δικαιολογίαν ἡμῶν. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ὁ θεοσεβέστατος ἐπίσκοπος Βασίλειος ἐπελάβετο ἐν ὑπομνήμασι τῆς αὐτοῦ φωνῆς, λέγων· ὅτι οὐκ εἶπον οὕτως, ἀλλὰ ἐπλαστογραφήθη· εἰ δὲ Εὐτυχὴς παρὰ τὰ δόγματα τῆς ἐκκλησίας φρονεῖ, οὐ μόνον τιμωρίας ἄξιός ἐστιν, ἀλλὰ πυρός· ἐγὼ γὰρ τῆς πίστεως τῆς καθολικῆς, καὶ ἀποστολικῆς φροντίδα τίθεμαι, οὐκ ἀνθρώπου τινός· πρὸς γὰρ αὐτὸ τὸ θεῖον τὸν νοῦν τεταμένον ἔχω, καὶ εἰς πρόσωπον οὐκ ἀποφορῶ, οὔτε μὴν φροντίζω τινὸς, ἢ τῆς ἐμαυτοῦ ψυχῆς, καὶ τῆς

D ὀρθῆς πίστεως· Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· ἀναγινωσκομένων τῶν ὑπομνημάτων τῶν ἐπ' Εὐτυχεῖ πραχθέντων, ἡ διαλαλιὰ ἡ ἐμὴ ἀνεγνώσθη, καὶ εἰς μέσον ἤχθη, ἣν ἐπεποιήμην ἀκολουθῶν τοῖς ἐν Ἐφέσῳ πατράσι τὸ πρότερον συνεδρεύσασιν, ἀποδεξάμενος τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου Κυρίλλου, τῆς συνόδου τῆς μακαρίας ἐκείνης ἡγησαμένου, δι' ἧς τὸν φρενοβλαβῆ Νεστόριον ἤλεγχε παρερμηνεύοντα τὴν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων πίστιν· εἶχε δὲ ἡ διαλαλιά μου, ὡς καὶ μέχρι νῦν ἔχει· ὅτι προσκυνῶ τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν Θεὸν λόγον, μετὰ τὴν σάρκωσιν, καὶ τὴν

E ἐνανθρώπησιν ἐν δύο φύσεσι γνωριζόμενον. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· τὸν ἀμέριστον μηδεὶς χωριζέτω· τὸν ἕνα υἱὸν οὐδεὶς λέγει δύο. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· ἀνάθεμα τῷ μερίζοντι, ἀνάθεμα τῷ διαιροῦντι. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· ἀνάθεμα τῷ μερίζοντι, ἀνάθεμα τῷ διαιροῦντι τὰς δύο φύσεις, μετὰ τὴν ἕνωσιν· ἀνάθεμα δὲ καὶ τῷ μὴ γνωρίζοντι τὸ ἰδιάζον τῶν φύσεων. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν. ὡς ἐγεννήθη, οὕτως ἔπαθε· τὰς φωνὰς τῷ βασιλεῖ· εἷς κύριος,

[*] Forte, Εὐτυχέ.

ANNO CHRISTI 451.

ACTIO PRIMA.

μία πίστις· τὸν ἕνα κύριον δύο οὐδεὶς λέγει· ταῦτα Νεστόριος φρονεῖ· ταῦτα Νεστόριος βοᾷ. Οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· ἀνάθεμα Νεστορίῳ, καὶ Εὐτυχεῖ. Οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· τὸν κύριον τῆς δόξης μὴ μερίζετε· τὸν ἀμέριστον μὴ μερίζετε. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· ὃ ἔλεγον ἐν δύο φύσεσι γνωριζόμενον μετὰ τὴν ἕνωσιν, θεότητι τελείᾳ, καὶ ἀνθρωπότητι τελείᾳ. τὴν μὲν γὰρ εἶχεν ἐκ πατρὸς προαιώνιον, τὴν δὲ ἐκ τῆς κατὰ σάρκα μητρὸς λαβὼν ὁ αὐτὸς ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν· καὶ κεχρημάτικεν ὁ υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου. Ταύτης ἀναγνωσθείσης τῆς διαλαλιᾶς, εἷς μέν τις, οὐκ οἶδα δὲ ὅς τις, ἡ γὰρ ἀχλὺς τῶν πραγμάτων καὶ τὸ τῆς ψυχῆς ὄμμα συνεῖχε, καὶ τὸ τοῦ σώματος, ἔρριψεν ἑαυτὸν εἰς τὸ μέσον, καὶ ἤρξατο λέγειν ὅτι αὕτη ἡ φωνὴ τὴν ἐκκλησίαν ἀνεστάραξεν· ἐπανέστησαν λοιπὸν πάντες οἱ Αἰγύπτιοι, καὶ οἱ μονάζοντες, οἱ ἀκολουθοῦντες Βαρσουμᾷ, καὶ πᾶς ὁ ὄχλος, καὶ ἤρξαντο λέγειν· τὸν λέγοντα δύο φύσεις, εἰς δύο τέμε· ὁ λέγων δύο φύσεις, Νεστόριός ἐστι. Μετὰ ταῦτα ἀνεγνώσθη πάλιν ἐμὴ φωνὴ μετὰ τὴν ἀσεβῆ καὶ ἀνόσιον Εὐτυχοῦς φωνήν· ἐρωτώμενος γὰρ παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου, εἰ λέγεις δύο φύσεις ἐν τῷ Χριστῷ, εἶπεν· ἐκ δύο μὲν φύσεων εἰδέναι τὸν Χριστὸν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν, μίαν· ἐγὼ δὲ τότε, ὡς νῦν, ἐντυχὼν τοῖς ὑπομνήμασιν, ἀνεμνήσθην, καὶ εἶπον· ἐὰν μὴ μετὰ τὴν ἕνωσιν ἀχωρίστους, καὶ ἀσυγχύτους εἴπῃς δύο φύσεις, σύγχυσιν λέγεις, καὶ σύγκρασιν. ἀναγνωσθείσης τῆς φωνῆς, τοσοῦτος ἐγένετο κρότος, ὥστε πάντων ἡμῶν ταράξαι τὴν ψυχήν· καὶ μάλιστα ἡμῶν τῶν κρινομένων, καὶ κελευσθέντων ἀναμένειν τὴν ψῆφον τῆς συνόδου· * ἀχλυώδης πληρωθεὶς εἶπον ὅτι ἐγὼ οὐ μέμνημαι αὐταῖς λέξεσι ταῦτα εἰρηκώς· οἶδα μέντοι εἰρηκὼς, ὅτι ἐὰν μίαν φύσιν εἴπῃς ἀπολελυμένως μετὰ τὴν ἕνωσιν, σύγχυσιν λέγεις, καὶ σύγκρασιν· ἐὰν μέντοι γε προσθῇς, σεσαρκωμένην, καὶ ἐνανθρωπήσασαν, καὶ νοήσῃς παραπλησίως τῷ μακαριωτάτῳ Κυρίλλῳ τὴν σάρκωσιν, καὶ τὴν ἐνανθρώπησιν, τὰ αὐτὰ λέγεις ἡμῖν· δῆλον γὰρ, ὅτι ἄλλο μέν τι ἐστὶν ἡ θεότης αὐτοῦ ἡ ἐκ τοῦ πατρὸς, ἄλλο δὲ ἡ ἀνθρωπότης ἡ ἐκ τῆς μητρός· καὶ οἱ κατηγορήσαντές με πρότερον, ὕστερον ἀπεδέξαντό με ταῦτα εἰρηκότα. Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· καὶ οὕτως ὀρθοδόξως διδάξας, διὰ τί τῇ καθαιρέσει Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ὑπέγραψας; Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· ἐπειδὴ εἰς κρίσιν ἑκατὸν εἴκοσι, ἢ τριάκοντα παρεδόθης ἐπισκόπων, ἀνάγκην εἶχον πείθεσθαι τοῖς ὑπ' ἐκείνων τυπουμένοις. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· νῦν πεπλήρωται τὸ γεγραμμένον· ἐκ τοῦ στόματός σου δικαιωθήσῃ, καὶ ἐκ τοῦ στόματός σου κατακριθήσῃ· αἰδούμενος ἀνθρώπους, παρεῖδες τὸ εὔλογον, καὶ τὴν πίστιν ἠθέτησας· οὐκ ἤκουσας, καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου; Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· εἰ πρὸς ἄρχοντας εἶχον, ἐμαρτύρησα ἄν· καὶ γὰρ ἐν Κωνσταντινουπόλει ἐπεδειξάμην παῤῥησίαν. παρὰ πατρὸς δὲ ὁ κρινόμενος, δικαίοις οὐ κέχρηται. παῖς γὰρ πατρὶ δίκαια λέγων, τεθνάτω. Οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· πάντες ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν. Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· καὶ μὴν ὑμεῖς πρότερον ἐδιδάξατε, ὡς κατὰ βίαν, καὶ ἀνάγκην ἀγράφῳ χάρτῃ ὑπεγράψατε καταναγκασθέντες εἰς τὴν καθαίρεσιν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ. Οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· πάντες ἡμάρτομεν· πάντες συγγνώμην αἰτοῦμεν. Θαλάσσιος, καὶ Εὐστάθιος, καὶ Εὐσέβιος, οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· πάντες ἡμάρτομεν· πάντες συγγνώμην αἰτοῦμεν. Βερονικιανὸς ὁ καθωσιωμένος μαγιστριανὸς, καὶ σηκρετάριος τοῦ θείου κονσιστωρίου, ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ χαρτιδαρίου.

* Forte, ἀχλύος δὲ

A una fides: unum Dominum nemo dicit duo. Hæc Nestorius sapit, hæc Nestorius clamat. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Anathema Nestorio & Eutychi. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Dominum gloriæ nolite [a] partiri; [b] impartibilem nolite partiri. Basilius reverentissimus episcopus Seleuciæ Isauriæ dixit: Quod dicebam, in duabus naturis cognoscendum post adunationem, [c] deitate perfecta & humanitate perfecta. Namque unam habebat ex Patre ante sæcula, alteram vero ex matre secundum carnem suscipiens idem ipse uniit sibi secundum subsistentiam, & vocatus est Filius Dei filius hominis. Hac lecta interlocutione, unus quidem nescio quis (etenim caligo B caussarum & animæ oculum confundebat & corporis) projecit seipsum in medium, & dicere cœpit, quia hæc vox ecclesiam conturbavit. Et surrexerunt postmodum omnes Ægyptii, & monachi qui sequebantur Barsumam, & omnis turba, & cœperunt dicere: Eum qui dicit duas naturas, in duo [d] incidite. Qui dicit duas naturas, Nestorianus est. Post hæc recitata est iterum mea vox, post impiam & perversam Eutychis vocem. Interrogatus namque a reverentissimo episcopo Eusebio: Dicis duas naturas in Christo? Dixit, ex duabus quidem naturis scire Christum ante adunationem: post adunationem vero, unam. Ego vero tunc, sicut nunc, intuens monumenta, recor- C datus sum, & dixi: Si non post adunationem inseparatas & inconfusas duas naturas dixeris, confusionem dicis & commixtionem. Lecta autem hac voce, tantus ab illis factus est plausus, ut omnium nostrorum commoverentur animæ, & maxime nostræ, qui judicabamur, & qui jussi sumus synodi exspectare sententiam. Caligine repletus dixi, quia ego non recordor his verbis ista dixisse. Scio quidem dixisse: Quod si unam naturam dicas absolute post adunationem, confusionem dicis & commixtionem. Si vero addideris incarnatam & inhumanatam, & intellexeris juxta beatum Cyrillum incarnationem & inhuma- D nationem, eadem nobiscum dicis. Manifestum enim, quia aliud est divinitas ejus, quæ ex Patre; aliud vero humanitas, quæ ex matre est. Et qui prius reprehenderunt, postea approbaverunt me ista dixisse. Gloriosissimi judices & amplissimus senatus dixerunt: Et sic catholice docens, pro qua re in damnatione sanctæ recordationis Flaviani subscripsisti? Basilius reverentissimus episcopus Seleuciæ Isauriæ dixit: Quoniam in judicium centum viginti, aut triginta episcoporum traditus, necessitatem habui parere his quæ ab illis ordinabantur. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Nunc completum est quod scriptum E est: *Ex ore tuo justificaberis, & ex ore tuo condemnaberis.* Erubescens homines prævaricatus es quod bonum est, & fidem sprevisti. Non audisti quod scriptum est: *Non erubescas in ruinam tuam?* Basilius reverentissimus episcopus Seleuciæ Isauriæ dixit: Si apud [e] judices habuissem, martyrium sustinuissem; etenim Constantinopoli ostendi fiduciam meam. A patre autem qui judicatur, justis non utitur. *Filius enim patri etiam justa dicens moriatur.* Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Omnes peccavimus, omnes veniam postulamus. Gloriosissimi judices & amplissimus senatus dixerunt: Et quidem primitus docuistis, quia per vim & necessitatem in pura charta coacti estis subscribere in damnationem sanctæ memoriæ Flaviani. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Omnes peccavimus, omnes veniam postulamus. Thalassius & Eusebius & Eustathius reverentissimi episcopi dixerunt: Omnes peccavimus, omnes veniam postulamus. Veronicianus devotissimus Magistrianus, & a secretis sacri consistorii, ex eadem schida recitavit:

[a] al. dividere.
[b] al. incisibilem nolite separare.
[c] al. in deitate.
[d] al. dividite.

Matth. 12. vers. 37.

Eccli 4. 25. Græce.

[e] al. Principes

EPHESI ACTA.

Ἀλλὰ κατὰ ταύτην τὴν πίστιν, καὶ ζῶν, καὶ προσκαρτερῶν ταῖς εὐχαῖς, κατηγορίαν ἐξ ἐπιβουλῆς ὑπομεμένηκα παρὰ Εὐσεβίου

Sed secundum hanc fidem & vivens & permanens in orationibus, accusationem ex insidiis Eusebii episcopi

ACTIO PRIMA.

Continuatio causæ Eutychetis paulo ante interrupta.

Dorylæi sustinui, libellos porrigentis adversum me reverentissimo episcopo Flaviano, & diversis aliis episcopis, qui tunc pro privatis causis in urbe degebant regia: hæreticum me injuriose in eis vocantis, nullam autem speciem hæreseos libellis inserentis: ut subito in altercationibus quæstionum lapsum linguæ (sicut assolet) ex tumultu & novitate vocum perpessus, irruerem in peccatum; me quidem adversus libellos accusationis memoratus reverentissimus episcopus occurrere ad satisfactionem accusatoris præcipiebat: ipse tamen in multis cum accusatore degebat, & pæne inseparabilis erat ab ipso: putans me, sicut solebam, semper in monasterio perdurare, non meam exhibere præsentiam, & ideo quasi non occurrentem damnare. Sed subito, postquam perveni in regiam civitatem de monasterio meo, discens a viro laudabili Magno Silentiario, quem mihi piissimus & fidelissimus noster Imperator delegavit ad non concedendum me comminatum periculum salutis sustinere, superfluam de cetero meam esse præsentiam respondit, ut jam ante discussionem damnati: sicut & postea facta a viro laudabili Silentiario prosecutio docet. Sed quoniam etiam sic in judicium ad satisfaciendum occurri, ipsam quidem, quæ pro divina confessione a me facta est & subscripta, doctrinam, secundum eam quæ exposita est a sanctis patribus in Nicæa fidem, & postea confirmata est a priore sancta synodo Ephesina, neque suscipere dignabatur, neque permittebat recitari: & tumultu & conturbatione secretarium replebatur, multis inordinate supervenientibus, & undique clamoribus me perturbantibus: sicut postea prolatæ interlocutiones judicum, quæ scriptis tenentur, de tali facto tumultu design... nt. Et cum jussus fuissem per me ipsum confessionem fidei dicere, & dixissem sapere sicut trecenti decem & octo patres qui in Nicæa sanxerunt, & quæ in Epheso sancta synodus confirmavit, exigebat me alia aliqua, præter quæ exposita sunt in Nicæa & in Epheso prius, dicere. Ego vero timens prævaricari prolatam definitionem a sancta synodo, quæ hic Dei voluntate prius congregata est, & ea quæ definita erant de fide a sanctis patribus qui in Nicæa convenerunt; rogabam innotescere sancto vestro concilio, ut his quæ a vobis approbarentur, acquiescerem; præparatus in his manere. Et hæc dicenti; subito contra me longe ante scripta, ut ipsi videbatur, damnatio legebatur: & secreto jam postea aliquæ ipsorum voces ac professiones meæ, & aliæ allegationes, & maxime ubi ego secundum sanctos patres in Nicæa, & postea in Epheso congregatos, sapere confitebar, in monimentorum serie mutabantur, sicut postea scriptis acta ex mea supplicatione & jussione piissimi & Christianissimi Imperatoris nostri ostendunt: nullum verbum faciente de appellatione mea ad vestram sanctitatem reverentissimo episcopo Flaviano, neque meos erubescente canos, in præliis contra hæreticos & pietatis confessione senescentis: sed sicut potestatem habens, omnia de fide solus agere, & nihil vestræ sanctitati de talis æquitate judicii reservare, condemnavit me; & ab ecclesia, ut putabat, abscidit; & sacerdotio, ut arbitratus est, privavit; & a divinorum [a] mysteriorum communione prohibuit, & præesse monasterio præter juris ordi..em impedivit: & tradidit multitudini ab eodem præparatæ; ut per episcopium & per publicum sicut hæreticum & blasphemum, Manichæumque, pertraherent, nisi me divina providentia conservans usque in præsentem diem, vestræ beatitudini custodiret. Sed & in diversis oratoriis, memoriisque sanctorum, post appellationem fecit in me prolatam legi sententiam: & anathematizabat me; & eos qui conveniebant ad me, & colloquebantur mecum, alienos faciens a sancta communione, non exspectans vestræ sanctitatis judicium: sed & subscribere dictatam adversus me sententiam compellebat: numquam (sicut & vestra novit reverentia)

[a] al. arcanorum.

A τοῦ ἐπισκόπου Δορυλαίου λιβέλλους ἐπιδόντος κατ' ἐμοῦ τῷ ὁσιωτάτῳ Φλαβιανῷ καὶ τοῖς ἐκ διαφόρων ἰδίων ἕνεκα αἰτιῶν ἐνδημοῦσι τότε τῇ βασιλευούσῃ, αἱρετικὸν μὲν ἐμὲ ἐν αὐτοῖς ἀποκαλοῦντος, οὐδὲν δὲ εἶδος αἱρέσεως τοῖς λιβέλλοις ἐνθέντος, ὅπως ἀθρόον ἐν τοῖς ἀγῶσι τῆς ἐξετάσεως τοῖς τῆς γλώττης, οἷα εἰκὸς, ἐκ τῶν θορύβων ὀλισθὼν εἰς ἁμάρτημα περιπέσοιμι [a] κατηγορευόμενος. ἐμὲ μὲν οὖν ἐκ τῶν τῆς κατηγορίας λιβέλλων ὁ μνημονευθεὶς εὐλαβέστατος ἐπίσκοπος ἀπαντῆσαι πρὸς τὴν ἀπολογίαν τῷ κατηγορήσαντος παρεκάλει· τὰ μὲν πολλὰ τῷ κατηγόρῳ συνὼν, καὶ σχεδὸν ἀχώριστος ὑπάρχων αὐτῷ· οἰόμενος δὲ, ὡς εἰθισμένον ἀεὶ τῷ μοναστηρίῳ προσκαρτερεῖν, μὴ παραγενέσθαι, καὶ διὰ τοῦτο καθαιρήσειν, ὡς οὐκ ἀπαντήσαντα. ἀφ' οὗ μετὰ τὸ παραγενέσθαι με κατὰ τὴν βασιλεύουσαν ἐκ τῆς μονῆς, μεμαθηκὼς παρὰ τοῦ

B θαυμασιωτάτου σιλεντιαρίου Μάγνου, ὃν ὁ εὐσεβέστατος καὶ πιστότατος ἡμῶν βασιλεὺς ἀπένειμε πρὸς τὸ μὴ συγχωρηθῆναί με τὸν ἀπειλούμενον ἐπὶ τῇ σωτηρίᾳ κίνδυνον, περιττὴν εἶναι λοιπὸν τὴν παρουσίαν μου ἀπεκρίνατο, ὡς καὶ ἤδη πρὸ τῆς ἐξετάσεως καθῃρημένου, ὡς καὶ ἡ γενομένη παρὰ τοῦ αὐτοῦ θαυμασιωτάτου σιλεντιαρίου μετὰ ταῦτα κατάθεσις δηλοῖ· ἀλλ' ἐπειδὴ καὶ οὕτως τὸ κριτήριον ἐπὶ ταῖς ἀπολογίαις κατέλαβον, τὴν μὲν ὑπὲρ τῆς θείας ὁμολογίας παρ' ἐμοῦ γενομένην τε, καὶ ὑπογραφεῖσαν διδασκαλίαν, κατὰ τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων ἐν Νικαίᾳ πίστιν, καὶ κατὰ τὴν ἐν Ἐφέσῳ βεβαιωθεῖσαν παρὰ τῆς προτέρας ἁγίας συνόδου, οὔτε δέχεσθαι ἠξίου, οὔτε ἐπέτρεπεν ἀναγινώσκεσθαι. θορύβου δὲ τὸ κριτήριον, καὶ ταραχῆς ἐπληροῦτο, πολλῶν ἐπιχυθέντων ἀτάκτως, καὶ πανταχόθεν με σὺν κραυγῇ διαθορυβούντων. ὡς

C αἱ ἐγγραφαὶ μετὰ ταῦτα ἐξενεχθεῖσαι παρὰ τῶν κρινόντων διαλαλιαὶ περὶ τῆς ταραχῆς δηλοῦσι. κελευσθέντος δέ μου δι' ἐμαυτοῦ λέγειν τὰ ἐπὶ τῇ ὁμολογίᾳ τῆς πίστεως, καὶ εἰπόντος φρονεῖν, ὡς τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες οἱ ἐν Νικαίᾳ ἐδογμάτισαν, καὶ ἡ ἐν Ἐφέσῳ ἁγία σύνοδος ἐβεβαίωσεν, ἀπῄτει με ἕτερά τινα παρὰ τὰ ἐκτεθέντα ἔν τε τῇ Νικαίων, καὶ ἐν Ἐφέσῳ πρότερον, εἰπεῖν. ἐγὼ δὲ φοβηθεὶς παραβῆναι τόν τε ἐξενεχθέντα ὅρον ὑπὸ τῆς ἁγίας συνόδου τῆς ἐνταῦθα συνελθούσης πρότερον κατὰ βούλησιν Θεοῦ, τά τε ὁρισθέντα ἐπὶ τῇ πίστει παρὰ τῶν ἐν τῇ Νικαίων συναχθέντων ἁγίων πατέρων, παρεκάλουν γνωσθῆναι τῇ ὑμετέρᾳ ἁγίᾳ συνόδῳ, ὡς τοῖς παρ' ὑμῶν δοκιμαζομένοις ἕτοιμος ὑπάρχων ἐμμένειν· καὶ ταῦτα λέγοντος, ἀθρόον ἡ κατ' ἐμοῦ πρὸ πολλοῦ, ὡς ἐδόκει αὐτῷ, καθαίρεσις ἀνεγινώσκετο, καὶ κατ' ἰδίαν λοιπὸν μετὰ ταῦτα τινὲς αὐτῶν τε φωναὶ, καὶ

D ἐμοῦ, καὶ ἄλλαι καταθέσεις, καὶ μάλιστα ἔνθα ἐγὼ κατὰ τοὺς ἐν Νικαίᾳ ἁγίους πατέρας, καὶ τοὺς μετὰ ταῦτα ἐν Ἐφέσῳ συνελθόντας ὡμολόγουν φρονεῖν, ἐπὶ τῶν πεπραγμένων ὑπομνημάτων μετεποιήθησαν· ὡς τὰ ἐγγραφὰ μετὰ ταῦτα προαχθέντα κατὰ πρόσκλησιν ἐμὴν, καὶ κέλευσιν τοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου ἡμῶν βασιλέως, ἔδειξεν· οὐδένα λόγον τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ ποιησαμένου τῆς ἐμῆς εἰς τὴν ὑμετέραν ὁσιότητα ἐπικλήσεως, οὔτε τὰς ἐμὰς πολιὰς αἰδεσθέντος, ἐν τοῖς κατὰ τῶν αἱρετικῶν πολέμοις, καὶ τῇ τῆς εὐσεβείας ὁμολογίᾳ καταγηράσαντος. ἀλλ' ὡς ἐξουσίαν ἔχων, πάντα κατὰ μόνας περὶ τῆς πίστεως πράττειν, καὶ μηδὲν τῇ ὑμετέρᾳ ὁσιότητι τῶν τῆς τοιαύτης κρίσεως ἐπιτρέπειν [b] δικαίων, κατεψηφίσατό μου, καὶ τῆς ἐκκλησίας ἀπέτεμε, ὡς ἐνόμιζε· καὶ τῆς ἱερωσύνης ἀφεῖλεν, ὡς ᾤετο· καὶ

E τῆς τῶν θείων μυστηρίων κοινωνίας ἀπεῖρξε· καὶ τοῦ προΐστασθαι μοναστηρίου παρὰ τὴν ἀκολουθίαν ἀπεκώλυσε· καὶ παρέδωκε τῷ εἰς τοῦτο συντεταγμένῳ πλήθει κατὰ τὸ ἐπισκοπεῖον, καὶ ἐπὶ τῆς ἀγορᾶς, ὡς αἱρετικὸν, καὶ βλάσφημον, καὶ Μανιχαῖον, διαχειρίσασθαι· εἰ μὴ ἡ τοῦ Θεοῦ πρόνοια διεσώσατό με, κατὰ τὴν παροῦσαν ἡμέραν τῇ ὑμετέρᾳ τηροῦσα ἁγιότητι. ἀλλὰ καὶ ἐν διαφόροις εὐκτηρίοις οἴκοις ἐν ταῖς τῶν ἁγίων μνήμαις, μετὰ τὴν ἔκκλητον, τήν τε ἐπ' ἐμοὶ ψῆφον ἀναγινώσκεσθαι παρεσκεύαζε, καὶ ἀνεθεμάτιζέ με, καὶ τοὺς ἐντυχάνοντάς μοι, καὶ προσδιαλεγομένους, ἀλλοτρίους τῆς θείας κοινωνίας ποιῶν· μὴ περιμείνας τῆς ὑμετέρας ἁγιωσύνης τὴν κρίσιν, καὶ καθυπογράφειν τῇ γενομένῃ κατ' ἐμοῦ ψήφῳ κατηνάγκαζε μοναστήρια. οὐδέ ποτε, ὡς καὶ ἡ ὑμετέρα οἶδε θεοφιλία,

ANNO CHRISTI 451.

[a] Forte, κατηγορούμενος.

[b] δικαίων, ex Latino.

A πιαύτης συνηθείας, οὐδὲ κατὰ αἱρετικῶν κρατησάσης· καὶ εἰς τὴν ἀνατολὴν ἐξέπεμψα τοὺς χάρτας, καὶ πολλαχοῦ, ἐπὶ τῷ καὶ παρὰ ἄλλων θεοσεβεστάτων ἐπισκόπων τε, καὶ μοναζόντων, καὶ τοὺς μὴ κρίναντας καθυποχαρῆναι καί τι μᾶλλον ὀφείλων, πρὸ πάντων τοῖς ἀρχιερεῦσιν ἐπιστεῖλαι, οὓς καὶ ἐπεκαλεσάμην. τότε μὲν οὖν μόλις σωθεὶς, διὰ λιβέλλων δηλα πεποίηκα τὰ παρηκολουθηκότα πρὸς τὴν ὑμετέραν θεοσέβειαν· καὶ τοῦ εὐσεβεστάτου ἢ πιστοτάτου βασιλέως ἐδεήθην, ὑμᾶς τοὺς ὁσίους, καὶ θεοφιλεῖς, καὶ πάσαν ἀδικίαν, καὶ συσκευὴν βδελυττομένους, γενέσθαι δικαστὰς τῶν κεκριμένων. δέομαι δὲ νῦν τῆς ὑμετέρας ἁγιωσύνης, λογίσασθαι τὴν κατασκευασθεῖσάν μοι συκοφαντίαν καὶ ἐπιβουλὴν, καὶ τὴν ἐκ ταύτης τῆς αἰτίας ταραχὴν ταῖς ἁπανταχοῦ ἐκκλησίαις γενομένην, B καὶ τὸ ἐκ τούτου πολλοῖς ἀκμάσαν σκάνδαλον, καὶ διὰ τῆς πανσόφου ὑμῶν φιλοχρίστου σοφίας τοὺς μὲν τούτου αἰτίους τοῖς ἐκκλησιαστικοῖς ὑποβαλεῖν * θεσμοῖς, πάσης δὲ βλασφημίας, καὶ ἀσεβείας ῥίζαν ἐκκόψαι. ἐγὼ γὰρ τὴν τῆς ὑμετέρας μακαριότητος κρίσιν ἐξ ἀρχῆς ἐπιβοησάμην καὶ πάλιν δὲ διαμαρτύρομαι ἐνώπιον Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, ὅτι οὕτως φρονῶ, καὶ ἐνθυμοῦμαι, καὶ νοῶ, καθὼς παρέδοσαν ἡμῖν πιστεύειν οἱ ἅγιοι πατέρες, οἱ ἐπὶ τῆς Νικαίων συνελθόντες· καὶ οἱ ἐν Ἐφέσῳ ἐν τῇ δευτέρᾳ συνόδῳ ἅγιοι πατέρες ἐβεβαίωσαν· καὶ εἴ τις παρὰ ταύτην τὴν πίστιν δοξάζει, τοῦτον ἀναθεματίζω κατὰ τὸν ὅρον αὐτῶν. Εὐτυχὲς ἀρχιμανδρίτης οὕτω πιστεύω, ὡς προγέγραπται, καὶ ὑπέγραψα χειρὶ ἐμῇ, καὶ ἐπιδέδωκα τοὺς λιβέλλους.

tali habita consuetudine nec contra apertos hæreticos: & in Orientem & per alia diversa loca destinavit chartas, ut etiam & ab aliis religiosissimis episcopis & monachis, & qui hoc non judicaverunt, subscriberentur: cum magis oportuerit ante omnibus pontificibus scribere, quos & appellaveram. Tunc ergo vix salvatus, per libellos manifesta feci vestræ sanctitati quæ subsecuta sunt. Rogo igitur nunc vestram sanctitatem, considerare compositam mihi calumniam & factionem, & ex hac causa factam ubique sanctis ecclesiis perturbationem, & ex hoc pullulans plurimis scandalum: & per insitam vobis Christianissimam sapientiam, eos qui hujus mali occasio facti sunt, ecclesiasticis regulis subdite. Omnem vero radicem blasphemiæ & impietatis abscindite. Ego enim vestræ beatitudinis judicium ab initio proclamavi, & iterum contestor coram Jesu Christo, qui testimonium perhibuit sub Pontio Pilato bonam confessionem, quia sic sapio, & cogito, & intelligo, sicut tradiderunt nobis fidem sancti patres in Nicæa convenientes, quam in * Ephesino secundo concilio sancti patres roboraverunt. Et si quis præter istam fidem glorificat, hunc anathematizo, secundum definitionem eorum. Eutyches [a] archimandrita sic credo, sicut supra scriptum est, & subscripsi manu mea, & tradidi libellos.

1. Timoth. 6. v. 16.

[a] al. presbyter &

Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· οὗτος κατήγορον ἔσχεν Εὐσέβιον· κελεύσατε αὐτὸν παρεῖναι.

C • Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ὁ κατηγορηθεὶς παρ' ἐμοῦ Εὐτυχὲς, διὰ λιβέλλους ἐν τῇ ἁγίᾳ συνόδῳ ἐμνημόνευσεν, ὅτι κατήγορος αὐτοῦ εἰμι. ποίῳ δὲ τρόπῳ τοῦ δικάσαντος Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ἀξιώσαντος τὸν κατήγορον ἐμὲ εἰσελθεῖν, καὶ τῆς ἀκολουθίας, καὶ τῶν κανόνων οὕτω βουλομένων, ἐκωλύθην εἰσελθεῖν, ἀξιῶ τοῦτο ζητηθῆναι. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· αἰτήσαντος Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης, ὥστε Εὐσέβιον τὸν κατήγορον Εὐτυχοῦς εἰσελθεῖν, διὰ τί κατὰ τοὺς κανόνας ὑμεῖς, οἷς ἡ ἐξουσία τοῦ δικάζειν ἐδέδοτο, τοῦτο γενέσθαι οὐ προσετάξατε; D Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀξιῶ ἀναγνωσθῆναι τὴν καθέσιν Ἐλπιδίου. οὐκ εἶχον γὰρ κωλῦσαι, εἰ μὴ κομμονιτώριον ἐπέδειξεν Ἐλπίδιος, διαβεβαιούμενος, ὅτι ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν μὴ εἰσελθεῖν. Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ὁ περίβλεπτος κόμης Ἐλπίδιος οὐκ ἐπέτρεψεν εἰσελθεῖν αὐτόν. Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἐγὼ οὐκ ἤμην αὐθέντης. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· πίστεως κρινομένης, αὕτη οὐκ ἔστιν ἀπολογία. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐπειδὴ νῦν αἰτιᾶσθέ με, ὡς παραβεβηκότα τοὺς κανόνας, καὶ ἀκούσαντα Ἐλπιδίου, νῦν ποῖοι σώζονται E κανόνες, ὅτι εἰσῆλθε Θεοδώρητος; οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· Θεοδώρητος ὁ ἐπίσκοπος κατηγόρου εἰσελήλυθεν, ὡς τῆς αὐτοῦ φωνῆς ἠκούσατε. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· καὶ τί ἐν τάξει ἐπισκόπου καθέζεται; οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· καὶ ὁ ἐπίσκοπος Εὐσέβιος, καὶ ὁ ἐπίσκοπος Θεοδώρητος, ἐν τάξει κατηγόρων καθέζονται, ὡς καὶ ὑμεῖς ἐν τάξει κατηγορουμένων καθέζεσθε· ὅθεν τὰ λοιπὰ ἀναγινωσκέσθω. Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου ἀπὸ τοῦ χαρτίου λέγων.

Flavianus episcopus Constantinopolitanus dixit: Iste accusatorem habuit Eusebium: jubete eum adesse.

Et cum legerentur, Eusebius vir reverentissimus episcopus Dorylæi dixit: Accusatus a me Eutyches, dans libellos in sancta synodo, commemoravit quia ipsius accusator sum. Quo autem modo, cum sanctæ memoriæ Flavianus, qui judicabat, postularet me accusatorem ejus ingredi, & consequentia ac regulis ita volentibus, prohibitus sum ingredi, rogo perquiri. Gloriosissimi judices & amplissimus senatus dixerunt: Postulante Flaviano sanctæ memoriæ Eusebium accusatorem Eutychis ingredi, quapropter secundum regulam vos, quibus potestas judicandi data fuerat, hoc fieri non præcepistis? Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Postulo recitari prosecutionem Helpidii. Non enim habui prohibere, nisi commonitorium detulisset Helpidius, confirmans quia Imperator eum jusserat non ingredi. Juvenalis reverentissimus episcopus Hierosolymorum dixit: Vir spectabilis Comes Helpidius jussit [b] cum non ingredi. Thalassius reverentissimus episcopus Cæsareæ Cappadociæ dixit: Ego non eram auctor. Gloriosissimi judices & amplissimus senatus dixerunt: In judicio fidei non est ista defensio. Dioscorus ergo reverentissimus episcopus Alexandriæ dixit: Quoniam igitur nunc culpatis me, sicut qui transgressus sim regulas, & audissem Helpidium: nunc quæ custodiuntur regulæ, ut Theodoretus ingrederetur? Gloriosissimi judices & amplissimus senatus dixerunt: Theodoretus episcopus ut accusator ingressus est, sicut ex voce ejus audistis. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Et quamobrem in ordine episcopi sedet? Gloriosissimi judices & amplissimus senatus dixerunt: Et episcopus Eusebius, & episcopus Theodoretus in ordine accusantium sedent, sicut & vos in loco [c] accusatorum sedetis. Unde [d] reliqua relegantur. Constantinus devotus a secretis sacri consistorii ex eadem scheda recitavit:

[b] al. non jussit eum ingredi.

[c] al. eorum qui accusantur.

[d] al. perlegantur.

Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· ὁ θειότατος βασιλεὺς, πληρῶν πρῶτος αὐτὸς τὴν τάξιν τῶν νόμων, ἧς ἐστι καὶ εὑρετὴς καὶ φύλαξ, παρεκελεύσατο, τοὺς κρίναντας ἤδη, ἐν τάξει κρινομένων ὑπάρχειν, καὶ διδασκαλίας μήπω καιρὸν ἔχειν, μὴ ταύτης τὴν παῤῥησίαν δόντων ὑμῶν. πρὸς δὲ τὰ νῦν εἰρημένα παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Φλαβιανοῦ ἐκεῖνο διδάσκω· ὁ μὲν κατήγορος τὴν

Helpidius vir spectabilis Comes dixit: Sacratissimus Imperator implens ipse primus ordinem legum, cujus est & inventor & custos, præcepit eos qui dudum judices fuerunt, in loco eorum esse qui judicandi sunt, neque habere tempus docendi, cum ejus fiduciam vos non dederitis. Ad ea ergo quæ nunc a religiosissimo archiepiscopo Flaviano dicta sunt, & hoc doceo, quia accusator qui,

ACTIO PRIMA.

ANNO CHRISTI 451.

dem suam accusationem implevit, & ut arbitratus est, A vicit: & judex accusatoris causam jam in semetipsum transtulit, sicut & in [a] profanis legibus custoditur. Nunc igitur vos convenistis, ut eos qui judicaverant, judicetis; non ut iterum accusatoris personam suscipiatis, & perturbationis rursus initium alterum fiat. Jubete ergo, si placet, secundum ordinem reliqua omnia, quæ in causa acta sunt, relegi ad id quod vobis visum fuerit.

Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Consequenter docuit vir spectabilis Comes Helpidius. Unde porrecto libello & relecto, legantur & ea quæ in regia urbe de hoc negotio, quod movetur, gesta sunt. Dicant etiam & præsentes reverentissimi episcopi, si hoc eis placet. Juvenalis episcopus Hierosolymorum dixit: Consequens est sententia tuæ sanctitatis: unde rationis est gesta recitari. B Stephanus episcopus Ephesi dixit: Justa constituta interlocutione sanctissimi & beatissimi patris nostri Dioscori & archiepiscopi, hoc fiat. Cyrus episcopus Aphrodisiadis dixit: Justa est & consequens interlocutio sanctissimi & Deo amantissimi archiepiscopi Dioscori ad recitanda quæ super hac causa acta sunt in regia urbe. Thalassius episcopus Cæsareæ Cappadociæ dixit: Consequens est, ea quæ interlocuta est vestra sanctitas, effectui mancipari. Pro qua re proferantur chartæ quæ recitari debent in hoc sancto concilio. Eusebius episcopus Ancyræ Galatiæ dixit: Et mihi similia placent, ut secundum sententiam sanctorum patrum fiat gestorum lectio. Diogenes episcopus Cyzici dixit: Et ego ad hac eadem consentio, quatenus secundum sententiam sanctæ & magnæ synodi percurratur actorum series, C quæ in urbe regia facta sunt. Florentius episcopus [b] Lydiæ dixit: [c] Concors sum propositi bene inquirentium lectionem actorum. Theodorus episcopus Tarsi dixit: Secundum quod per visum est sanctissimis archiepiscopis, justum est recitari quæ acta sunt in regia urbe. Joannes episcopus Sebastiæ dixit: Secundum decretum sanctissimorum & Deo dignissimorum episcoporum, necessaria est, quæ in urbe regia gesta sunt, monumentorum lectio. Romanus episcopus Myræ dixit: Justum puto recitari gestorum seriem, quæ in regia urbe sunt acta, sicut & sanctissimi patres interlocuti sunt. Nunechius episcopus Laodiceæ Trimitariæ dixit: Secundum interlocutionem sanctissimorum patrum, consequens & mihi visum est actorum fieri lectionem. [d] Marinianus episcopus Synnadæ dixit: D Sicut interlocuti sunt sanctissimi patres, recitentur gesta, quæ facta sunt propter Eutychen in regia urbe. Eustathius episcopus Beryti dixit: Necessaria est actorum lectio ad notionem eorum, qui cognitioni minime interfuerunt. Quintillus episcopus Heracleæ agens vices reverentissimi episcopi Thessalonicensium Anastasii, dixit: Consequens est recitari quæ acta sunt apud magnificentissimam urbem Constantinopolim, sanctæ synodo, pro perfectiore negotii notione. Atticus episcopus Nicopolis veteris Epiri dixit: Consequens est interlocutioni sanctissimi archiepiscopi nostri Dioscori, [e] & acta recitari universo sancto concilio ad [f] subtiliorem inquisitionem. Sozon episcopus Philippensis primæ Macedoniæ dixit: E Necessaria est lectio eorum, quæ in regia urbe acta sunt in hoc negotio. Ita enim possunt diligentius intelligi, quæ ibi mota sunt. Uranius episcopus Himeriæ provinciæ Osroenæ, interpretante [g] se Eulogio presbytero Edessenæ civitatis, dixit: consequenter judicavit sanctissimus & Deo dignissimus archiepiscopus Dioscorus, ut ea prius, quæ in urbe regia de præsenti negotio acta sunt, recitentur. Sancta synodus dixit: Omnes volumus acta recitari: legantur quæ gesta sunt.

Dioscorus episcopus Alexandriæ dixit: Dicat & beatissimus [h] Julius episcopus, vicarius sanctissimi episcopi Romanæ ecclesiæ Leonis, si congruit huic sanctæ synodo, & vult & ipse relegi quæ de hoc negotio acta sunt Constan-

[a] al. publicis sententiis.
[b] al. Lydorum
[c] al. Consors
[d] al. Marianus
[e] al. satisfieri.
[f] al. subtilem inquisitionis notionem.
[g] al. cum.
[h] Ita mss. omnes.

A ἑαυτοῦ κατηγορίας ἐπλήρωσε· καὶ νενίκηκεν, ὡς οἴεται, καὶ μετήνεγκε λοιπὸν τοῦ κατηγορήσαντος τὴν κρίσιν εἰς ἑαυτὸν ὁ δικαστὴς, ὡς καὶ παρὰ τοῖς ἔξω θεσμοῖς φυλάττεται. νῦν τοίνυν ὑμεῖς συνεκλήθητε, ὥστε τοὺς κρίναντας κρῖναι, οὐ μὴν αὖθις κατηγόρου δέξασθαι πρόσωπον, καὶ θόρυβον πάλιν ἀρχὴν ἑτέραν γίνεσθαι. κελεύσατε τοίνυν, εἰ δοκεῖ, κατὰ τάξιν καὶ τὰ λοιπὰ τὰ ἐπὶ τῇ ὑποθέσει πεπραγμένα ἀναγνωσθῆναι κατὰ τὸ ὑμῖν δοκοῦν.

Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀκολούθως ἐδίδαξεν ὁ περίβλεπτος κόμης Ἐλπίδιος. ὅθεν ἐπιδοθέντος τοῦ λιβέλλου, καὶ ἀναγνωσθέντος, ἀναγινωσκέσθω καὶ τὰ ἐν τῇ βασιλευούσῃ πόλει περὶ ταύτης τῆς κινουμένης ὑποθέσεως πεπραγμένα. λεγέτωσαν δὲ καὶ οἱ παρόντες θεοφιλέστατοι ἐπίσκοποι, εἰ τοῦτο αὐτοῖς δοκεῖ. Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ἀκόλουθός B ἐστιν ἡ ἀπόφασις τῆς σῆς ἁγιωσύνης· ὅθεν εὔλογον ἀναγινώσκεσθαι τὰ πεπραγμένα. Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· δικαίας οὔσης τῆς διαλαλιᾶς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Διοσκόρου, τοῦτο γινέσθω. Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος εἶπεν· δικαία καὶ ἀκόλουθος ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Διοσκόρου, πρὸς τὸ ἀναγνωσθῆναι τὰ ἐπὶ τῇ ὑποθέσει πεπραγμένα ἐν τῇ βασιλευούσῃ πόλει. Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἀκόλουθον τοῖς διαλαληθεῖσι παρὰ τῆς ὑμετέρας θεοφιλίας τὸ ἱκανὸν γενέσθαι. ὅθεν προκομιζέσθωσαν οἱ χάρται, οἱ ὀφείλοντες ἀναγνωσθῆναι ἐπὶ τῆς ἁγίας ταύτης συνόδου. Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπεν· καὶ ἐμοὶ δοκεῖ τὰ παραπλήσια· ὥστε κατὰ τὴν ἀπόφασιν τῶν ἁγίων πατέρων γενέσθαι τὴν τῶν πεπραγμένων ἀνάγνωσιν. Διογένης ἐπίσκοπος Κυζίκου εἶπεν· κἀγὼ τὰ αὐτὰ συντίθεμαι, ὥστε κατὰ τὴν ἀπόφασιν τῆς ἁγίας, καὶ μεγάλης C συνόδου, ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῇ βασιλευούσῃ. Φλωρέντιος ἐπίσκοπος Λυδῶν εἶπεν· σύμψηφός εἰμι τῆς γνώμης τῶν καλῶς ἐπιζητηθέντων ὑπομνημάτων. Θεόδωρος ἐπίσκοπος Ταρσοῦ εἶπεν· κατὰ τὸ ἀρέσαν τοῖς ἁγιωτάτοις ἀρχιεπισκόποις, δίκαιόν ἐστιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῇ βασιλευούσῃ. Ἰωάννης ἐπίσκοπος Σεβαστείας εἶπεν· κατὰ τὴν ψῆφον τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, ἀναγκαία ἐστὶν ἡ τῶν πραχθέντων ἐν τῇ βασιλευούσῃ πόλει ὑπομνημάτων ἀνάγνωσις. Ῥωμανὸς ἐπίσκοπος Μύρων εἶπεν· δίκαιον οἶμαι ἀναγνωσθῆναι τὰ ὑπομνήματα, τὰ ἐν τῇ βασιλευούσῃ πεπραγμένα, καθάπερ διελάλησαν οἱ ἁγιώτατοι πατέρες. Νουνέχιος ἐπίσκοπος Λαοδικείας Τριμιταρίας εἶπεν· κατὰ τὴν διαλαλιὰν τῶν θεοφιλεστάτων πατέρων, ἀκόλουθον δοκεῖ καὶ ἐμοὶ, τὸ γενέσθαι τὴν τῶν πεπραγμένων ἀνάγνωσιν. Μαρινιανὸς ἐπίσκοπος D Συννάδων εἶπεν· καθὼς διελάλησαν οἱ ὁσιώτατοι πατέρες, ἀναγινωσκέσθω ἡ τάξις τῶν ὑπομνημάτων, ἡ γενομένη ἕνεκα Εὐτυχοῦς ἐν τῇ πανευδαίμονι πόλει. Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· ἀναγκαία ἐστὶν ἡ ἀνάγνωσις τῶν ὑπομνημάτων, πρὸς εἴδησιν τῶν μὴ παρόντων τῇ ὑποθέσει. Κυντίλλος ἐπίσκοπος Ἡρακλείας, ἐπέχων καὶ τὸν τόπον τοῦ θεοσεβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων πόλεως Ἀναστασίου, εἶπεν· ἀκόλουθόν ἐστιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῇ μεγαλωνύμῳ Κωνσταντινουπόλει, τῇ ἁγίᾳ συνόδῳ, πρὸς ἐντελεστέραν εἴδησιν τῆς ὑποθέσεως. Ἀττικὸς ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ἠπείρου εἶπεν· ἀκόλουθον οὔσης τῆς διαλαλιᾶς τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Διοσκόρου, τὸ ἱκανὸν γενέσθω, καὶ τὰ ὑπομνήματα ἀναγινωσκέσθω πάσῃ τῇ ἁγιωτάτῃ συνόδῳ, πρὸς ἀκριβεστέραν εἴδησιν τῶν ζητουμένων. Σώζων ἐπίσκοπος Φιλίππων [a] Μακεδονίας εἶπεν· ἀ- E ναγκαία ἡ τῶν πεπραγμένων ἐν Κωνσταντινουπόλει περὶ τῆς ὑποθέσεως ταύτης ἀνάγνωσις· οὕτω γὰρ ἔστι μαθεῖν ἀκριβῶς τὰ ἐκεῖ κεκινημένα. Οὐράνιος ἐπίσκοπος Ἱμερίας, ἐπαρχίας Ὀσροηνῆς, ἑρμηνεύοντος αὐτῷ Εὐλογίου πρεσβυτέρου Ἐδέσσης, εἶπεν· ἀκολούθως ἀπεφήνατο ὁ ἁγιώτατος καὶ θεοφιλέστατος ἐπίσκοπος Διόσκορος, ὥστε ἀναγνωσθῆναι πρότερον τὰ πεπραγμένα ἐν τῇ πανευδαίμονι Κωνσταντινουπόλει περὶ τῆς προκειμένης ὑποθέσεως. ἡ ἁγία σύνοδος εἶπεν· πάντες θέλομεν ἀναγνωσθῆναι τὰ πεπραγμένα· ἀναγινωσκέσθω τὰ πεπραγμένα. Διόσκορος ὁ ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· λεγέτω καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος [b] Ἰουλιανὸς, ὁ ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος, εἰ σύμψηφος γίνεται τῇ ἁγίᾳ ταύτῃ συνόδῳ, καὶ βούλεται καὶ αὐτὸς ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν Κωνσταν-

[a] In Latino, πρώτης
[b] Latine, Ἰούλιος

ANNO CHRISTI 451.

πόλει ἐστὶ τῇ ὑποθέσει ταύτῃ. Ἰούλιος ἐπίσκοπος, ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπε. τούτῳ τῷ λόγῳ βουλόμεθα τὴν πρᾶξιν ἀναγνωσθῆναι, εἰ πρότερον ἀναγνωσθῇ ἡ παρὰ τοῦ πάπα ἐπιστολή. Ἱλαρος διάκονος τῆς Ῥωμαίων ἐκκλησίας, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπεν· ἐπειδὴ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ῥώμης, ἀναγνωσθέντων αὐτῷ τούτων τῶν ὑπομνημάτων, ὧν νῦν ζητεῖτε τὴν ἀνάγνωσιν, ἐπέστειλεν ἐπιστολήν….. Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· οἱ ἀποσταλέντες θεοσεβέστατοι ἄνδρες ὑπὸ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος τῆς Ῥωμαίων εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον, ὕποπτοί μοι γεγόνασι· κατήχθησαν γὰρ πρὸς Φλαβιανὸν τὸν θεοφιλέστατον ἐπίσκοπον, καὶ ἠρίστησαν παρ᾽ αὐτῷ, καὶ συνεκροτήθησαν, καὶ πάσης θεραπείας παρ᾽ αὐτοῦ ἠξιώθησαν. ἀξιῶ οὖν τὴν ὑμετέραν ἁγιωσύνην, εἴ τι παρὰ τὸ δίκαιον γένοιτο παρ᾽ αὐτῶν κατ᾽ ἐμοῦ, τοῦτο πρόκριμά μοι μὴ φέρειν. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀκόλουθόν ἐστι καὶ εὔλογον, πρότερον ἀναγνωσθῆναι τὰ ἐπὶ τῇ ὑποθέσει πεπραγμένα, εἶθ᾽ οὕτως τὰ γράμματα τοῦ θεοφιλεστάτου ἐπισκόπου Ῥώμης. ὅθεν κατὰ τὰ δόξαντα τῇ ἁγίᾳ ταύτῃ συνόδῳ ἀναγινωσκέσθω τὰ πεπραγμένα. Ἰωάννης πρεσβύτερος καὶ πρῶτος τῶν νοταρίων εἶπε· προσέταξεν ἡ ἁγία ὑμῶν καὶ μεγάλη σύνοδος ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῇ βασιλευούσῃ Κωνσταντινουπόλει ἐπὶ τῇ ἐν χερσὶν ὑποθέσει. ἐπειδὴ τοίνυν προκομίζει ταῦτα ὁ θεοσεβέστατος ἐπίσκοπος τῆς Κωνσταντινουπόλεως ἐκκλησίας Φλαβιανὸς, ἐπιδίδωσι δὲ τὰ ἴσα καὶ ὁ θεοσεβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς, ἀναγινώσκομεν, ὡς προσετάξατε.

A tinopoli. Julius episcopus agens vices sanctissimi episcopi Romanæ ecclesiæ Leonis, interpretante [a] se Florentio episcopo Lydorum, dixit: Hac ratione volumus gesta relegi, [b] ut prius Papæ legatur epistola. Hilarus diaconus Romanæ ecclesiæ interpretante [c] se Florentio episcopo Lydorum, dixit: Quoniam & sanctissimus episcopus Romanæ ecclesiæ, relectis sibi istis monumentis, quorum nunc quæritis lectionem, transmisit epistolam, quam scripsit, eam legi jubete. Quo dicente, Eutyches archimandrita dixit: Directi religiosissimi viri a sanctissimo & Deo amantissimo Leone archiepiscopo Romanæ ecclesiæ in sanctam vestram synodum, suspecti mihi facti sunt. Manserunt enim apud religiosissimum Flavianum episcopum, & pransi sunt apud eum, & munerati sunt, & omne obsequium eis præbuit. Postulo ergo sanctitatem vestram, si quid ab eis injuste factum fuerit contra me, id præjudicium mihi non generare. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Consequens & rationabile est, primitus quæ in hoc negotio acta sunt, relegi, & ita epistolam beatissimi episcopi Romani. Unde secundum quod placuit sancto concilio, acta percurrantur. Joannes presbyter & primicerius notariorum dixit: Præcepit sancta vestra & magna synodus, quæ acta sunt in regia urbe Constantinopoli legi de negotio, quod præ manibus habemus. Sed quia obtulit ea religiosissimus episcopus Constantinopolitanus Flavianus, porrexit etiam & similia reverentissimus archimandrita Eutyches, recitabimus, sicut præcepistis.

Τὰ πραχθέντα ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαβιανοῦ, ἀναγνωσθέντα δὲ ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου, ἀναγνωσθέντα ἐν Καλχηδόνι, τὰ κατὰ Εὐτυχοῦς.

C [d] Acta Constantinopoli sub Flaviano contra Eutychem relecta, in Ephesino secundo concilio sub Dioscoro, releguntur Chalcedone.

ΠΡΑΞΙΣ α΄.

Ὑπατείας Φλαυΐου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων, πρὸ ἓξ εἰδῶν Νοεμβρίων, ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου, τῆς ἐνδημούσης ἐν τῇ προειρημένῃ μεγαλοπόλει, ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκοπείου, προκαθημένου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ, καὶ ἀναγνωσθείσης ἀναφορᾶς σταλείσης παρὰ Φλωρεντίου τοῦ θεοσεβεστάτου ἐπισκόπου τῆς Σαρδιανῶν μητροπόλεως τῆς ἐπαρχίας Λυδῶν, * καὶ τῶν ὑπ᾽ αὐτὸν τελούντων θεοσεβεστάτων ἐπισκόπων, Ἰωάννου καὶ Κοσινίου, παρόντων καὶ τῶν τὰς ἀναφορὰς κομισάντων κληρικῶν, τύπου τε δοθέντος φανεροῦ ἐπί τισι ἀναγνωσθεῖσιν, ἀναστὰς Εὐσέβιος ὁ θεοφιλέστατος ἐπίσκοπος Δορυλαίου, εἷς ὢν τῶν συνεδρευόντων, λιβέλλους ἐπιδέδωκε τῇ ἁγίᾳ συνόδῳ, ὁρκῶν ἀναγνωσθῆναι αὐτοὺς, καὶ ἐμφερεσθῆναι τῇ πράξει τῶν ὑπομνημάτων. ἐνισταμένου δὲ αὐτοῦ, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· ὑποδεχθεὶς ὁ λίβελλος ἀναγνωσθήτω, πρὸς τὸ γνῶναι ἡμᾶς τὴν ὑπόθεσιν αὐτοῦ. καὶ ὑποδεξάμενος Ἀστέριος πρεσβύτερος καὶ νοτάριος, ἀνέγνω.

[e] ACTIO PRIMA.

Consulibus Flaviis [f] Zenone & Postumiano viris clarissimis, sub die sexto Idus Novembris, in Christianissima & regia urbe Constantinopoli nova Roma, congregata sancta & magna synodo, reperta in prædicta magnificentissima urbe, in secretario episcopi: præsidente sanctissimo & beatissimo archiepiscopo Flaviano, & recitantibus relationem directam a Florentio beatissimo episcopo Sardium metropolis provinciæ Lydorum, adversus sub eo constitutos reverentissimos episcopos Joannem & Cosinium: præsentibus etiam clericis his, qui easdem relationes detulerunt: & data forma de aliquibus, quæ lecta sunt: exsurgens Eusebius reverentissimus episcopus Dorylæi, unus constitutus de considentibus, libellos obtulit sancto concilio, conjurans eos relegi, & inferri monumentis actorum. Instante vero eo, sanctissimus archiepiscopus Flavianus dixit: Suscepsus libellus legatur ad cognoscendam causam quæ in eo continetur. Et suscipiens Asterius presbyter & [g] notarius legit:

Est in ms. Reg. 2951.

Ἀντίγραφον τοῦ λιβέλλου Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου.

Exemplar libelli Eusebii reverentissimi episcopi Dorylæi.

Τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ ἀρχιεπισκόπῳ Φλαβιανῷ, καὶ τῇ ἐνδημούσῃ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ τῶν θεοφιλεστάτων ἐπισκόπων, παρὰ Εὐσεβίου ἐπισκόπου Δορυλαίου.

E Sanctissimo & beatissimo archiepiscopo Flaviano, & præsenti magno & sancto concilio in hac regia urbe religiosissimorum episcoporum, ab Eusebio episcopo Dorylæi.

Εὐχόμην μὲν μὴ οὕτω παραπληξίᾳ ἁλῶναι, καὶ μέθῃ λογισμοῦ καὶ ἐκστάσει φρενῶν Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην, ὥστε ἐπιλαθέσθαι μὲν τοῦ φόβου τοῦ Θεοῦ, καταφρονῆσαι δὲ τοῦ φοβεροῦ βήματος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ τῆς δικαίας αὐτοῦ κρίσεως καὶ ἀνταποδόσεως· ὃς ἔρχεται κρίναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ὥστε τολμῆσαι κατ᾽ αὐτοῦ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ βλάσφημον κινῆσαι γλῶτταν, καὶ τοὺς πατέρας τοὺς ἐν ἁγίοις συναριθμουμένους, αἱρετικοὺς ἀποκαλεῖν, καὶ ἡμᾶς τοὺς τὴν ἐκείνων ἐζηλωκότας πίστιν. ἐπειδὴ δὲ οὐ παύ-

Optaveram quidem non sic præfocatum sensum, & ebrium cogitatione, & excessu mentis capi Eutychem presbyterum & archimandritam, ut oblitus quidem timoris Dei sperneret etiam terribile tribunal Christi Salvatoris omnium nostrum, & justum ejus judicium & retributionem; qui venturus est judicare orbem terræ in æquitate, & reddere unicuique secundum opera sua: nec ut ita auderet adversus Salvatorem omnium nostrum Christum blasphemam linguam movere, & patres qui inter sanctos connumerantur, hæreticos nominare, & nos qui eorum sumus fidei sectatores. Quoniam vero non cessa

ACTIO PRIMA.

[a] al. ipsum
[b] al. ii prius
[c] al. ipsum
[d] Actio prima de Eutyche habita Constantinopoli et gestis Ephesi & Chalcedone relecta. Colb.
[e] Prima cognitio in CP Colb.
[f] Anno 448.
[g] al. primicerius notariorum

* κατὰ Lat.

sat, inobseratum habens os & infrenem linguam, negans piissimam rectæ religionis doctrinam, derogans autem & sanctissimis patribus, & me, qui numquam hæreticus suspicatus sum, sed e contrario magis semper hæreticis repugnantem, & orthodoxam fidem secundum meas vires defendentem, permanentemque in fide sanctorum patrum trecentorum decem & octo in Nicæa congregatorum, & omnibus quæ in Ephesiorum metropoli a sancta & magna synodo acta sunt, & his quæ sapuit & [a] exposuit beatissimus Cyrillus Alexandriæ magnæ civitatis quondam episcopus,

a al. definivit.

EPHESI ACTA.

Et exclamans sancta synodus dixit: Semper memoria Cyrilli. Dioscorus & Cyrillus unam fidem habent: sic sapit omnis synodus; Cyrillo æterna memoria. Si quis retractat, anathema sit: Si quis super ista inquirit, anathema sit. Maledictus qui addit, maledictus qui aufert, maledictus qui innovat. Voces nostras Imperatori. Julius episcopus agens vices sanctissimi episcopi Romanæ ecclesiæ Leonis, interpretante se Florentio episcopo Lydorum, dixit: Apostolica sedes sic sapit.

CHALCED. ACTA.

Sancta synodus dixit: Et hæc universalis synodus sic sapit. Et post has voces sequentia libelli Eusebii.

CONSTAN. ACTA.

Et magnus Athanasius, & Gregorius, & Gregorius, & Gregorius, & Atticus, & Proclus, sancti episcopi. Supplico & peto vestram sanctitatem, minime despicere hanc meam supplicationem; sed jubere Eutychem presbyterum & archimandritam occurrere in sanctum vestrum concilium, & [b] respondere his quæ a me ingeruntur. Paratus enim sum eum convincere, falso habere catholicum nomen, & alienum omnino a recta fide. Et conjuro vos per sanctam & homousion Trinitatem, quæ salvat Christianissimos nostros Imperatores, & per salutem & [c] incolumitatem piissimorum nostrorum Imperatorum Theodosii & Valentiniani perpetuorum Augustorum, prædictum Eutychem jubere occurrere in vestram sanctam synodum, & satisfacere his a me illi objectis: quatenus hoc ita convicto a me, & qui ab eo subversi sunt, erigantur, & catholica fides vincens & nunc appareat, omnes mundi terminos circumplexa: quo [d] proveniente, gratias semper vestræ confitear sanctitati. Eusebius episcopus Dorylæi sanctæ ecclesiæ Dei, offerens hos libellos meos, subscripsi manu mea.

b al. defendere quæ a me ei ingeruntur.

c al. per reverentiam: sen ut habetur ad oram cod. Bib. perseverantiam.

d al. perveniente.

Et postquam hæc lecta sunt, sanctissimus Flavianus archiepiscopus dixit: Stupefaciunt quidem nos quæ lecta sunt, eo quod talis ingeritur reprehensio reverentissimo presbytero & archimandritæ Eutychi. Tamen dignetur sua reverentia convenire eum, & disputare cum eo de recta fide: & si pro vero invenietur non recta sentiens, tunc vocabitur a sancto concilio, & aderit sibi. Eusebius reverentissimus episcopus Dorylæi dixit: Ego quidem amicus illi eram prius: non semel autem, nec secundo, sed sæpius conveni ad eum pro hac causa, ex quo læsus est: & locutus sum cum eo, & inveni eum non recta sapere, & monui & docui: sed instabat, dicens ea quæ aliena sunt a recta nostra fide. Et hoc possum ostendere per multos testes, qui præsentes fuerunt & audierunt. Conjuro igitur vos & iterum per Dominum nostrum Jesum Christum, quatenus destinetis ad eum, ut veniat & respondeat: & postquam convictus a me fuerit, cesset a perversa doctrina, quia multi ab eo læsi sunt. Sanctissimus archiepiscopus Flavianus dixit: Patiatur nos tua reverentia, & mox fatigationem sustineat usque ad monasterium; & quæ condecent, loquatur ei, & quæ ad pacem pertinent; ut non aliqua rursus commotio & conturbatio oriatur sanctis ecclesiis Christi. Eusebius episcopus Dorylæi dixit: Impossibile est, me jam, postquam perrexi frequenter, & non persuasi, iterum ad eum accedere, & blasphema verba audire; sed dignetur vestra sanctitas dirigere ad ipsum ut occurrat: nec enim permitto, inexaminatum tantum negotium relinqui. Sancta sy-

A τῷ ἀπύλωτον ἔχων τὸ στόμα, καὶ ἀχαλίνωτον γλῶτταν, ἀρνούμενός τε τὰ εὐσεβῆ τῆς ὀρθοδοξίας δόγματα, ἐξυβρίζων δὲ καὶ τοὺς ἁγίους πατέρας, κἀμὲ τὸν μηδέποτε αἱρετικὸν ὑποπτευθέντα, αἱρετικοῖς δὲ [a] πάντοτε πολεμήσαντα, καὶ τὴν ὀρθόδοξον πίστιν κατὰ δύναμιν ἐκδικήσαντα, ἐμμένοντά τε τῇ πίστει τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, τῶν ἐν Νικαίᾳ συναγηγερμένων, καὶ πᾶσι τοῖς πραχθεῖσιν ἐν τῇ Ἐφεσίων μητροπόλει παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου, καὶ τοῖς φρονηθεῖσι καὶ ἐκτεθεῖσι παρὰ τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως γενομένου ἐπισκόπου,

a Forte, παιδὸς.

Καὶ ἐπιφωνήσασα ἡ ἁγία σύνοδος εἶπεν· ἀεὶ μνεία Κυρίλλου. Διόσκορος καὶ Κύριλλος μίαν πίστιν ἔχουσιν· οὕτω φρονεῖ πᾶσα ἡ σύνοδος. Κυρίλλου αἰωνία μνήμη. εἴ τις ἀνασκευάζει, ἀνάθεμα. εἴ τις ἐπεξεργάζεται, ἀνάθεμα· ἐπικατάρατος ὁ προστιθείς· ἐπικατάρατος ὁ ἀφαιρῶν· ἐπικατάρατος ὁ καινίζων· τὰς φωνὰς τῷ βασιλεῖ. Ἰουλιανὸς ἐπίσκοπος B ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπεν· ἡ ἀποστολικὴ καθέδρα οὕτω φρονεῖ.

Ἡ ἁγία σύνοδος εἶπε· καὶ ἡ τῆς οἰκουμένης σύνοδος οὕτω φρονεῖ. καὶ μετὰ τὰς φωνὰς τὰ λοιπὰ τῆς δεήσεως ἀνεγνώσθη οὕτως ἐφεξῆς.

Καὶ Ἀθανασίου τοῦ μεγάλου, καὶ Γρηγορίου, καὶ Γρηγορίου, καὶ Γρηγορίου, καὶ Ἀττικοῦ, καὶ Πρόκλου, τῶν ἁγίων ἐπισκόπων. δέομαι, καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα, μὴ παριδεῖν τήνδε μου τὴν ἱκετείαν, ἀλλὰ κελεῦσαι Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην ἀπαντῆσαι εἰς τὸ ἅγιον ὑμῶν συνέδριον, ἀπολογήσασθαι τοῖς παρ' ἐμοῦ αὐτῷ ἐπαγομένοις· ἕτοιμος γάρ εἰμι διελέγξαι αὐτὸν, ἐπίπλαστον ἔχοντα τῆς C ὀρθοδοξίας τὸ ὄνομα, ἀλλότριον δὲ πάντη τῆς ὀρθοδόξου πίστεως. καὶ ἐνεύχομαι ὑμῖν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, τὴν σώζουσαν τοὺς φιλοχρίστους ἡμῶν βασιλέας, καὶ τὴν σωτηρίαν καὶ διαμονὴν τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ, τῶν αἰωνίων Αὐγούστων, τὸν προειρημένον Εὐτυχῆ κελεῦσαι ἀπαντῆσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον, καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις ἑαυτῷ παρ' ἐμοῦ· ὅπως τούτου διελεγχθέντος παρ' ἐμοῦ, οἵ τε βλαβέντες παρ' αὐτοῦ διορθωθεῖεν, καὶ ἡ ὀρθόδοξος πίστις νικῶσα καὶ νῦν ὀφθείη, ἡ πάντα περιλαβοῦσα τῆς οἰκουμένης τὰ πέρατα. καὶ τούτου τυχὼν, χάριτας ὁμολογήσω τῇ ὑμετέρᾳ ἁγιωσύνῃ διὰ παντός. Εὐσέβιος ἐπίσκοπος τῆς κατὰ Δορύλαιον ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ἐπιδοὺς τούσδε μου τοὺς λιβέλλους, ὑπέγραψα χειρὶ ἐμῇ.

D Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος [b] εἶπεν· ἐκπλήττει μὲν ἡμᾶς τὰ ἀναγνωσθέντα, τοιαύτην ἐπάγοντα μέμψιν τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ καὶ ἀρχιμανδρίτῃ Εὐτυχεῖ· ὅμως καταξιώσῃ ἡ εὐλάβειά σου συντυχεῖν πρότερον πρὸς αὐτὸν, καὶ διαλεχθῆναι αὐτῷ περὶ τῆς ὀρθῆς πίστεως· καὶ εἰ εὑρεθείη κατὰ ἀλήθειαν μὴ ὀρθῶς φρονῶν, τηνικαῦτα κληθήσεται παρὰ τῆς ἁγίας συνόδου, καὶ συστήσεται ἑαυτόν. Εὐσέβιος ἐπίσκοπος εἶπεν· ἐγὼ φίλος μὲν αὐτοῦ ἤμην τὸ πρότερον· οὐχ ἅπαξ δὲ, οὐδὲ δεύτερον, ἀλλὰ καὶ πλειστάκις συνέτυχον αὐτῷ διὰ τὴν αἰτίαν ταύτην, ἀφ' οὗ ἐβλάβη· καὶ διελέχθην αὐτῷ, καὶ εὗρον αὐτὸν οὐκ ὀρθὰ φρονοῦντα. παρῄνεσα, καὶ ἐδίδαξα, καὶ ἐνίστατο, λέγων ἐκεῖνα, ἅπερ ἀλλότρια E ἦν τῆς ὀρθῆς ἡμῶν πίστεως. καὶ τοῦτο δύναμαι δεῖξαι διὰ πολλῶν μαρτύρων παρόντων καὶ ἀκηκοότων. ἐνορκίζω δὲ ὑμᾶς καὶ πάλιν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ὥστε μεταστείλασθαι αὐτὸν ἐπὶ [c] τὸ ἀπολογήσασθαι, καὶ μετὰ τὸ ἐλεγχθῆναι αὐτὸν παρ' ἐμοῦ, παύσασθαι τῆς διεστραμμένης αὐτοῦ διδασκαλίας· ἐπειδὴ πολλοί εἰσιν οἱ παρ' αὐτοῦ βλαβέντες. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἀνάσχηται ἡμῶν ἡ σὴ εὐλάβεια, καὶ αὖθις σκυλῇ ἕως τοῦ μοναστηρίου, καὶ ὁμιλήσῃ αὐτῷ τὰ πρέποντα, καὶ πρὸς εἰρήνην βλέποντα· ὥστε μή τινα πάλιν ταραχὴν καὶ θόρυβον ἐγγενέσθαι ταῖς ἁγίαις Χριστοῦ ἐκκλησίαις. Εὐσέβιος ἐπίσκοπος εἶπεν· ἀδύνατόν ἐστιν ἐμὲ λοιπὸν ἀπελθόντα πολλάκις, καὶ μὴ πείσαντα, πάλιν πρὸς αὐτὸν ἀπελθεῖν, καὶ βλασφήμων ἀκούειν ῥημάτων· ἀλλὰ καταξιώσῃ ἡ ὑμῶν ἁγιωσύνη μεταστείλασθαι αὐτὸν ἐπὶ τῷ ἀπαντῆσαι· οὐδὲ γὰρ συγχωρῶ ἀνεξέταστον τὴν τοσαύτην ὑπόθεσιν καταλιπεῖν. ἡ ἁγία

b Forte, Φλαβιανὸς

c Forte, τῷ

σύνοδος

ANNO CHRISTI 451.

σύνοδος εἶπεν· ἔδει μὲν σου τὴν εὐλάβειαν πεισθῆναι ταῖς παραινέσεσι τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν. ἐπειδὴ δὲ ἐπιμένοντά σε ὁρῶμεν, γενήσεται ὅπερ * ἐξήτησας. τέως προτεροῦσιν οἱ μὲν παρὰ σοῦ ἐπιδοθέντες λίβελλοι ὀφειλέτωσαν τοῖς ὑπομνήμασι πρὸς ἀκριβῆ τῶν πραχθησομένων ἐξέτασιν. Ἰωάννης δὲ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος, ἅμα τῷ εὐλαβεστάτῳ διακόνῳ Ἀνδρέᾳ, παραγενόμενοι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, τόν τε λίβελλον τὸν ἐπιδοθέντα κατ' αὐτοῦ, ἀναγνώσονται αὐτῷ, καὶ ὑπομνήσουσιν ἀπαντῆσαι πρὸς τὴν ἁγίαν ταύτην σύνοδον, καὶ ἑαυτῷ συναγωνίσασθαι, ἐπεὶ ἐπὶ τῷ τυχόντι ἐγκαλούμενον.

* Forte, ἐζήτησας

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· ἡνίκα Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐν Κωνσταντινουπόλει Εὐτυχοῦς κατηγόρει, ὁρᾶτε, ὅτι περ αὐτὸς ἠξίωσε, παρόντα Εὐτυχῆ ἀποδιελέγξαι· πῶς τοίνυν τὸ αὐτὸ ὑπόδειγμα καὶ ἐν Ἐφέσῳ οὐκ ἐφυλάχθη, οὔτε εἰσήχθη Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος; καὶ σιωπώντων αὐτῶν, οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· διεξίτω τὰ λοιπά.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω.

Πρᾶξις δευτέρα ἐν Κωνσταντινουπόλει, ἐπὶ Φλαβιανοῦ.

Ὑπατείας Φλαβίου Ζήνωνος, καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων, τῇ πρὸ μιᾶς εἰδῶν Νοεμβρίων, ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου, τῆς ἐνδημούσης τῇ προειρημένῃ μεγάλῃ πόλει, προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκοπείου, Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπε· προσελθὼν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, λιβέλλους ἐπιδέδωκα πρώην, αἰτιώμενος Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην ταυτησὶ τῆς πόλεως, ὡς τὰ ὀρθόδοξα δόγματα τῆς ἐκκλησίας ὑποφθείροντα, ποτὲ μὲν καὶ ἐν διαλέξεσι, ποτὲ δὲ καὶ ἐν κατηχήσεσι τῶν ἐκεῖ παραβαλλόντων· δι' ὧν δυνατόν ἐστιν, ἐπὰν ἐκεῖνος παραγένηται, τὰς ἀποδείξεις με ἐπὶ τῶν ἀγώνων παρασχεῖν, ἐκ πολλῶν ἐλέγχων φανερουμένων κατ' αὐτόν. ἐπεὶ οὖν ἑτοίμως ἔχω τοῦτον ἐλέγξαι ὄντα τοιοῦτον, ἠξίωσα δὲ τὴν ὑμετέραν ὁσιότητα, ὥστε αὐτὸν κανονικῶς ὑπομνησθέντα, καταλαβεῖν τὴν ἁγίαν ὑμῶν σύνοδον· καὶ τοῦτο ἐπετρέψατε γενέσθαι διά τινων εὐλαβεστάτων κληρικῶν· ἀναδιδάσκω πρὸς τὴν ἐντελῆ διδασκαλίαν τῆς ὑμετέρας ἁγιωσύνης, ὅτι περ ὁ τῆς ὁσίας καὶ μακαρίας μνήμης γενόμενος ἐπίσκοπος Κύριλλος τῆς κατὰ τὴν μεγαλόπολιν Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας, Νεστορίου τὰ διεστραμμένα δόγματα εἰσάγοντος καὶ κηρύττοντος ἐν ἐκκλησίαις, θεοφιλὴς ὤν, καὶ ζηλωτὴς ὑπάρχων τῆς πίστεως, γνοὺς τὰ περὶ αὐτοῦ, γράμμα παραινετικὸν ἀπέστειλε πρὸς αὐτόν, ἔχον τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαίᾳ συναχθέντων, καὶ ὅπως δεῖ ἐκείνην τὴν πνευματικὴν ἔκθεσιν καὶ νοεῖν, καὶ φρονεῖν. ταύτην δεξάμενος Νεστόριος τὴν ἐπιστολήν, ἀντέγραψε πρὸς αὐτὸν τὸν τῆς μακαρίας μνήμης Κύριλλον, τὰ διεστραμμένα αὐτοῦ κατάδηλα ποιῶν δόγματα. ἐπὶ τούτοις κατὰ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν βασιλέων σύνοδος συνεκροτήθη εἰς τὴν Ἐφεσίων μητρόπολιν· καὶ ἐν πρώτῃ τάξει ἠξίωσεν ὁ τῆς μακαρίας μνήμης Κύριλλος ἀναγινώσκεσθαι τὸ ἐπιστολιμαῖον γράμμα, τὸ ἐπισταλὲν Νεστορίῳ, τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, δοκιμάζεσθαι δὲ αὐτὸ παρ' αὐτῆς, πότερον συμβαῖνόν ἐστι τῇ ἐκθέσει τῶν ἁγίων πατέρων, ἢ ἑτέρως ἔχει. διαλαλησάσης οὖν τῆς ἁγίας ἐκείνης καὶ μεγάλης καὶ οἰκουμενικῆς συνόδου, ἀνεγνώσθη ἡ ἐπιστολή· καὶ πάντες οἱ συνεδρεύοντες ἐν τῇ μεγάλῃ ἐκείνῃ καὶ οἰκουμενικῇ συνόδῳ, ἀπεφήναντο αὐτὴν σύμφωνον εἶναι τῇ ἐκθέσει τῶν ἁγίων πατέρων, καὶ ταῖς θείαις γραφαῖς, καὶ οὐδὲν ἀπᾴδειν αὐτῶν· συντίθεσθαι δὲ αὐτοὺς τοῖς ἐκτεθεῖσιν ἐν τῇ αὐτῇ ἐπιστολῇ. ταύτην καὶ νῦν παρακαλῶ κελεῦσαι ἀναγνωσθῆναι, ἐπὶ τὸ γενέσθαι κατάδηλον πᾶσιν, ὅπερ κατὰ τὴν ἐν αὐτῇ τῇ ἐπι-

ACTIO PRIMA.

A nodus dixit: *Oportuerat quidem tuam reverentiam acquiescere suasionibus sanctissimi & beatissimi archiepiscopi nostri: sed quia perstantem te videmus, fiet quod postulasti. Nunc ergo primitus a te datos libellos fides teneat monimentorum, ad diligentem* [a] *agendorum examinationem. Joannes autem religiosissimus presbyter & defensor, simul cum religiosissimo diacono Andrea, pergentes ad religiosissimum presbyterum & archimandritam Eutychem, porrectum adversus eum libellum ei relegant, & commoneant occurrere ad hoc sanctum concilium, & sibi adesse; non enim in levi accusatur causa.*

[a] al. actorum

CHALCED. ACTA.

Et cum legerentur, gloriosissimi judices & amplissimus Senatus dixerunt: Cum Eusebius reverentissimus episcopus Constantinopoli accusaret Eutychem, B considerate quia ipse postulavit, ut præsens Eutyches discuteretur: quomodo igitur in Epheso similiter non est observatum, neque susceptus est Eusebius reverentissimus episcopus? Et omnibus tacentibus, gloriosissimi judices & amplissimus Senatus dixerunt: Reliqua percurrantur.

Veronicianus devotissimus a secretis sacri consistorii ex eadem scheda recitavit:

Actio secunda Constantinopoli sub Flaviano de Eutyche, lecta in Ephesina synodo profana, relecta in Chalcedonensi.

C *Consulatu Flavii Zenonis & Postumiani virorum clarissimorum, sub die pridie Idus Novembris, in Christiana & regia apud Constantinopolim* [b] *Roma, congregata sancta & magna synodo, conversante in prædicta magna urbe, præsidente sanctissimo & beatissimo archiepiscopo Flaviano in secretario episcopii, Eusebius episcopus Dorylæi dixit: Interpellans vestram sanctitatem dudum libellos obtuli, accusans Eutychem presbyterum & archimandritam hujus civitatis, sicut doctrinas orthodoxæ ecclesiæ corrumpentem, tam per disputationes, quam per* [c] *admonitiones ad se convenientium; per quos possibile est, postquam idem advenerit, probationes me in certamen* [d] *præsentare, & eum palam ex multis convincere probationibus. Quoniam igitur paratus sum hunc talem esse probare, rogavi vestram sanctitatem, ut eum regulariter commonitum pervenire ad sanctum concilium* D *juberetis: & hoc fieri præcepistis per quosdam* [e] *reverentissimos clericos. Suggero autem, ut perfectius vestra doceatur sanctitas, quoniam sanctæ & beatæ memoriæ quondam Alexandriæ magnæ civitatis sanctissimæ ecclesiæ archiepiscopus Cyrillus Nestorium perversam introducentem doctrinam, & prædicantem in ecclesia, habens amorem Dei & zelum fidei, cognoscens de eo, suasorias ad eum litteras destinavit, continentes expositionem sanctorum patrum qui in Nicæa congregati sunt, & quemadmodum oporteat illam spiritalem expositionem & intelligere & sapere. Hanc suscipiens Nestorius epistolam, rescripsis ad eumdem beatæ memoriæ Cyrillum, perversa sua & profana dogmata manifestans, pro quibus secundum præceptionem Christianissimorum Imperatorum no-* E *strorum synodus in Epheso metropoli congregata est. Et primo loco postulavit beatæ memoriæ Cyrillus relegi sanctæ & magnæ synodo epistolam a se Nestorio destinatam, ut approbaretur ab ea, utrum consonans esset expositioni sanctorum patrum, an aliter haberet. Interloquente igitur sancta illa & magna universali synodo, lecta est ipsa epistola: & omnes qui in illa universali synodo consederunt, decreverunt eam consonam esse expositioni sanctorum patrum & sanctarum scripturarum, & in nullo ab eis dissonare: consentire vero se his quæ in eadem continebantur epistola. Hanc & nunc vestram sanctitatem deprecor, ut jubeat* [f] *recitari, & omnibus fieri manifestam: quia secundum expositiones in memorata episto-*

[b] mss. non habent nova Roma, sed Roma tantum.

[c] al. catecheses

[d] al. præstare

[e] al. religiosos

[f] al. recensere

ACTIO PRIMA.

la continentur, sic sapimus, & sic credimus. Est autem & secunda epistola memorati sanctæ recordationis Cyrilli, scripta ad sanctam Orientalem synodum, quando inter eos concordia facta est, quomodo habent de incarnatione Salvatoris nostri Christi, & quomodo oportet ubique sanctas Dei ecclesias sapere & prædicare. Et has supplico sub fide monimentorum lectas inseri, ut manifesta sint omnibus Ecclesiæ dogmata. Sanctissimus archiepiscopus Flavianus dixit: Etsi hæc omnibus fidelibus nota sunt, & his qui nutriuntur & meditantur in libris sanctorum patrum, propter profectum & robur, quod ex eorum lectione quotidiana insitæ nobis fidei procreatur: nihil tamen prohibet pro tua postulatione etiam nunc relegi, ad inserenda omnia quæ aguntur fidei monimentorum.

A τολῆ ἐγκειμένην ἔκθεσιν πεπιστεύκαμεν. ἔστι δὲ καὶ δευτέρα ἐπιστολὴ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου, γραφεῖσα πρὸς τὴν ἁγίαν τὴν ἐν τῇ ἀνατολῇ σύνοδον, ἡνίκα καὶ συμβάσεις ἐγένοντο μεταξὺ αὐτῶν, ὅπως ἔχουσι περὶ τῆς ἐνανθρωπήσεως τοῦ [a] κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὅπως δεῖ τὰς πανταχοῦ ἐκκλησίας καὶ φρονεῖν, καὶ κηρύττειν. καὶ ταύτας ἀξιῶ ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων ἀναγνωσθείσας ἐντεθῆναι· ὥστε ἔνδηλα εἶναι τὰ τῆς ἐκκλησίας δόγματα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· εἰ καὶ γνώριμα ταῦτα πᾶσι καθέστηκε τοῖς πιστοῖς, καὶ τοῖς ἐντρεφομένοις καὶ ἐμμελετῶσι ταῖς βίβλοις τῶν ἁγίων πατέρων, διὰ τὴν ἐξ αὐτῶν καθ' ἑκάστην ἀνάγνωσιν πεπηγμένην ὠφέλειαν, καὶ βεβαίωσιν τῆς ἐνιδρυμένης ἡμῖν πίστεως, οὐδὲν κωλύει καὶ νῦν ἀναγινώσκεσθαι κατὰ τὰς παρὰ σοῦ γενομένας ἐξαιτήσεις, ἐντιθεμένων ἁπάντων τῶν πραχθησομένων τῇ πίστει τῶν ὑπομνημάτων.

ANNO CHRISTI 451.

[a] Forte, σωτῆρος

[a] Adnotatio Rustici: Mechira Ægyptii Februarium vocant, qui apud illos tunc inchoatur, quando apud nos habet mensis Januarius dies 25.

Rescriptum epistolæ religiosissimi Cyrilli Alexandriæ episcopi, ad Nestorium mense [a] Mechir, indictione decima tertia.

B Ἀντίγραφον ἐπιστολῆς γραφείσης παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀλεξανδρείας Κυρίλλου πρὸς Νεστόριον, μηνὶ Μεχὶρ, ἰνδικτιῶνος ιγ'.

Cyrillus Nestorio.

Obloquuntur quidem, sicut audio, quidam existimationi meæ apud tuam reverentiam, & hoc frequenter; tempora [b] maxime observantes, cum magistratus conveniunt; & eo magis etiam, arbitrantes forsitan delectare se aures tuas, & adversum nos inconsideratas voces emittunt, nulla quidem in re læsi, sed leniter & modeste objurgati: unus quidem, quod cæcos & pauperes injuriis vexaverit; alter quia contra matrem suam evaginavit gladium; alius vero, quia cum ancilla aurum furatus est alienum: & qui talem semper habuit existimationem, qualem nullus inimicissimis etiam evenire optaverit. Verum non multa mihi de talibus cura est, ne supra Dominum & magistrum, vel supra patres nostros mensuram [c] mediocritatis meæ extendere videar. Neque enim fieri potest, ut aliquis, [d] quamquam rectissime vivat, maledicorum hominum improbitatem vitare possit. Sed illi maledictione & amaritudine plenum os habentes, rationem judici omnino reddituri sunt. Ego autem me rursus converto ad id quod me maxime decet: & te nunc quoque admonebo quasi fratrem in Christo, ut doctrinam verbi, & sensum fidei caute & cum omni [e] observatione populo semper proponas, sciens plane, quod si quis scandalizaverit unum duntaxat de pusillis qui in Christum credunt, [f] indignationi subjacebit ingenti. Sin vero non unus sit, sed tanta multitudo [g] offensa, tunc omni arte studendum nobis est, ut prudenter [h] auferantur scandala, & illis qui quærunt veritatem, sanam rectamque fidei aperiamus rationem. Id autem facile fiet, si sanctorum patrum scripta recensentes, eos plurimi faciamus: & nosmetipsos probantes, si in fide sumus, secundum quod scriptum est, tum demum ad recta illorum atque irreprehensibilia [i] instituta sensus nostros animosque optime [k] componamus.

Καταφλυαροῦσι μὲν, ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας, καὶ τοῦτο συχνῶς, τὰς τῶν ἐν τέλει συνόδους καιροφυλακοῦντες μάλιστα, καὶ τάχα που καὶ τέρπειν οἰόμενοι τὴν σὴν ἀκοὴν, καὶ ἀβουλήτους πέμπουσι φωνὰς, ἠδικημένοι μὲν οὐδὲν, ἐλεγχθέντες δὲ, καὶ τοῦτο χρηστῶς· ὁ μὲν, ὅτι τυφλοὺς ἠδίκει, καὶ πένητας· ὁ δὲ, μητρὶ ξίφος ἐπανατείνας· ὁ δὲ, θεραπαίνῃ συγκλοπεὺς χρυσίον ἀλλότριον, καὶ τοιαύτην ἐσχηκὼς ἀεὶ τὴν ὑπόληψιν, ἣν οὐκ ἂν εὔξαιτό τις συμβῆναί ποτε καὶ τῶν λίαν ἐχθρῶν. πλὴν οὐ πολὺς τῶν τοιούτων ὁ λόγος ἐμοί· ἵνα μήτε ὑπὲρ τὸν δεσπότην καὶ διδάσκαλον, μήτε μὴν ὑπὲρ τοὺς πατέρας, τὸ τῆς ἐνούσης ἐμοὶ βραχύτητος [b] ἐκτείνοιμι μέτρον. οὐ γὰρ ἐνδέχεται τὰς τῶν φαύλων διαδράναι σκαιότητας, ὡς ἂν ἕλοιτό τις διαβιῶναι. ἀλλ' ἐκεῖνοι μὲν
C ἀρᾶς καὶ πικρίας μεστὸν ἔχοντες τὸ στόμα, τῷ πάντων ἀπολογήσονται κριτῇ. τετράψομαι δὲ πάλιν ἐγὼ πρὸς τὸ ὅτι μάλιστα πρέπον ἐμαυτῷ· καὶ ὑπομνήσω καὶ νῦν ὡς ἀδελφὸν ἐν Χριστῷ τῆς διδασκαλίας τὸν λόγον, καὶ τὸ ἐπὶ τῇ πίστει φρόνημα μετὰ πάσης ἀσφαλείας ποιεῖσθαι πρὸς τοὺς λαούς· μὴ ἀγνοεῖν τε, ὅτι τὸ σκανδαλίσαι καὶ μόνον ἕνα τῶν μικρῶν τῶν πιστευόντων εἰς Χριστὸν, ἀφόρητον ἔχει τὴν ἀγανάκτησιν. εἰ δὲ δὴ πληθὺς εἴη τοσαύτη τῶν λελυπημένων, πῶς οὐχ ἁπάσης ἐπιτεχνίας ἐν χρείᾳ καθεστήκαμεν, πρός γε τὸ δεῖν ἐμφρόνως περιελεῖν τὰ σκάνδαλα, καὶ τὸν ὑγιῆ τῆς πίστεως καταπυρῶσαι λόγον τοῖς ζητοῦσι τὸ ἀληθές; ἔσται δὲ τοῦτο καὶ μάλα ὀρθῶς, εἰ τοῖς τῶν ἁγίων πατέρων περιτυγχάνοιμεν λόγοις, περὶ πολλοῦ τε αὐτοὺς ποιεῖσθαι σπουδάζοιμεν· καὶ δοκιμάζοντες ἑαυτοὺς, εἰ ἐσμὲν ἐν τῇ πίστει, κατὰ τὸ γεγραμμένον, ταῖς ἐκείνων ὀρθαῖς καὶ [c] ἀνεπιλήπτοις δόξαις, τὰς ἐν ἡμῖν ἐννοίας, εὖ μάλα συμπλάττοιμεν.

[b] al. processionum vel conventuum plenariorum. Hujus epistolæ versionem aliam vide in Conc. Ephes. parte 1. At hanc sequitur Liberatus, cap. IV.

[b] Forte, ἐκτείνοιμι

[c] al. pusillitatis, quæ mihi inest, modus excrescat.

[d] al. quamlibet vitam suam habeat circumspectam.

Psalm. 13.

[e] al. cautela.

Matth. 18. vers. 6.

[f] al. quam sit intolerabilis indignatio Dei.

[g] al. læsorum.

[h] al. auferatur hujusmodi offensio, & sanæ fidei ratio insinuetur exposcentibus veritatem.

2. Corinth. 13. vers. 5.

[i] al. definita.

[k] al. roboremus.

[c] Forte, ἀνεπιλήπτοις

Ait igitur sancta & magna synodus, ipsum ex Deo Patre secundum naturam natum Filium unigenitum, Deum verum de Deo vero, lumen de lumine, per quem [& cum quo] omnia fecit Pater, descendisse, incarnatum esse, & hominem factum, passum esse, resurrexisse tertia die, & ascendisse in cælos. Hæc nos sequi verba debemus, his nos convenit obtemperare dogmatibus, considerantes quid sit incarnatum esse, & hominem factum Dei Verbum. Non enim dicimus, quod Verbi natura conversa vel immutata, facta sit caro: nec quod in totum hominem, qui est ex anima & corpore, transformata sit: sed illud magis, quod carnem animatam anima rationali sibi copulaverit Verbum secundum hypostasim: & ineffabiliter, & inscrutabiliter factus sit homo, & nuncupatus sit etiam filius hominis, [l] non nuda tantummodo voluntate, aut bono placito, sed nec assumptione sola personæ: sed quod diversæ quidem naturæ in unum convenerint, unus autem ex utrisque Christus & Filius; non evacuata & sublata diversitate naturarum

D Ἔφη τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος, αὐτὸν τὸν ἐκ Θεοῦ πατρὸς κατὰ φύσιν γεννηθέντα υἱὸν μονογενῆ, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινὸν, τὸ φῶς τὸ ἐκ τοῦ φωτὸς, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατὴρ, κατελθεῖν, σαρκωθῆναι, ἐνανθρωπῆσαι, παθεῖν, ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθεῖν εἰς τοὺς οὐρανούς. τούτοις καὶ ἡμᾶς ἕπεσθαι δεῖ καὶ τοῖς λόγοις καὶ τοῖς δόγμασιν, ἐννοοῦντας, τί τὸ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι δηλοῖ τὸν ἐκ Θεοῦ λόγον. οὐ γάρ φαμεν, ὅτι ἡ τοῦ λόγου φύσις μεταποιηθεῖσα γέγονε σάρξ· ἀλλ' οὐδὲ ὅτι εἰς ὅλον ἄνθρωπον
E μετεβλήθη τὸν ἐκ ψυχῆς καὶ σώματος· ἐκεῖνο δὲ μᾶλλον, ὅτι σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ ἑνώσας ὁ λόγος ἑαυτῷ καθ' ὑπόστασιν, ἀφράστως τε καὶ ἀπερινοήτως γέγονεν ἄνθρωπος, καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου οὐ κατὰ θέλησιν μόνην ἢ εὐδοκίαν, ἀλλ' οὐδὲ ὡς ἐν προσλήψει προσώπου μόνου· καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς, καὶ υἱός· οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρη-

[l] al. non tantum secundum voluntatem aut beneplacitum.

μόνης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον, καὶ Χριστὸν, καὶ υἱὸν, θεότητός τε καὶ ἀνθρωπότητος, διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου πρὸς ἑνότητα συνδρομῆς. οὕτω τοίνυν λέγεται, καίτοι πρὸ αἰώνων ἔχων τὴν ὕπαρξιν, καὶ γεννηθεὶς ἐκ πατρὸς, γεννηθῆναι καὶ κατὰ σάρκα ἐκ γυναικός· οὐχ ὡς τῆς θείας αὐτοῦ φύσεως ἀρχὴν τοῦ εἶναι λαβούσης ἐν τῇ ἁγίᾳ παρθένῳ, οὔτε μὴν δεηθείσης ἀναγκαίως δι' ἑαυτὴν δευτέρας γεννήσεως μετὰ τὴν ἐκ πατρός· ἔστι γὰρ τοῦτο εἰκαῖόν τε ὁμοῦ καὶ ἀμαθὲς, τὸν ὑπάρχοντα πρὸ παντὸς αἰῶνος, καὶ συναΐδιον τῷ πατρὶ, δεῖσθαι λέγειν ἀρχῆς τῆς εἰς τὸ εἶναι δευτέρας. ἐπειδὴ δὲ δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν σῶμα ἀνθρώπινον, προῆλθεν ἐκ γυναικὸς, ταύτῃ τοι λέγεται γεννηθῆναι σαρκικῶς. οὐ γὰρ πρῶτον ἄνθρωπος ἐγεννήθη κοινὸς ἐκ τῆς ἁγίας παρθένου, εἶθ' οὕτως καταπεφοίτηκεν ἐπ' αὐτὸν ὁ λόγος· ἀλλ' ἐξ αὐτῆς τῆς μήτρας ἑνωθεὶς, ὑπομεῖναι λέγεται γέννησιν σαρκικὴν, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. οὕτω φαμὲν αὐτὸν καὶ παθεῖν, καὶ ἀναστῆναι, οὐχ ὡς τοῦ Θεοῦ λόγου παθόντος εἰς ἰδίαν φύσιν ἢ πληγὰς, ἢ διατρήσεις ἥλων, ἢ γοῦν τὰ ἕτερα τῶν τραυμάτων· ἀπαθὲς γὰρ τὸ θεῖον, ὅτι καὶ ἀσώματον· ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα πέπονθε, ταῦτα πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν. ἦν γὰρ ὁ αὐτὸς ἀπαθὴς ἐν τῷ πάσχοντι σώματι. κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τοῦ τεθνάναι νοοῦμεν· ἀθάνατος μὲν γὰρ κατὰ φύσιν, καὶ ἄφθαρτος, καὶ ζωὴ, καὶ ζωοποιός ἐστιν ὁ τοῦ Θεοῦ λόγος. ἐπειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα χάριτι Θεοῦ, καθά φησιν ὁ Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον· οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ θανάτου, τό γε ἧκον εἰς τὴν αὐτοῦ φύσιν· ἀποπληξία γὰρ τοῦτο λέγειν, ἢ φρονεῖν· ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ ἡ αὐτοῦ ἐγεύσατο θανάτου. οὕτω καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκὸς, πάλιν ἡ ἀνάστασις αὐτοῦ λέγεται· οὐχ ὡς πεσόντος εἰς φθοράν· μὴ γένοιτο· ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶμα. οὕτω Χριστὸν ἕνα καὶ κύριον [a] ὁμολογήσομεν· οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῷ λόγῳ, ἵνα μὴ [b] τομῆς φαντασία παρεισκρίνηται διὰ τοῦ λέγειν τὸ, σύν· ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες, ὅτι μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ [c] αὐτῷ συνεδρεύει τῷ πατρί. οὐχ ὡς δύο πάλιν συνεδρευόντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς σαρκός. ἐὰν δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἢ ὡς ἀνέφικτον, ἢ ὡς ἀκαλλῆ, παραιτώμεθα, ἐμπίπτομεν εἰς τὸ λέγειν δύο υἱούς· ἀνάγκη γὰρ πᾶσα διορίσαι, καὶ εἰπεῖν, τὸν μὲν ἄνθρωπον ἰδικῶς τῇ τοῦ υἱοῦ κλήσει τετιμημένον, ἰδικῶς δὲ πάλιν τὸν ἐκ Θεοῦ λόγον υἱότητος ὄνομά τε καὶ χρῆμα ἔχοντα φυσικῶς. οὐ διαιρετέον τοιγαροῦν εἰς υἱοὺς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν. ὀνήσει δὲ κατ' οὐδένα τρόπον τὸν ὀρθὸν τῆς πίστεως λόγον εἰς τὸ οὕτως ἔχειν, κἂν εἰ προσώπων ἕνωσιν ἐπιφημίζωσί τινες. οὐ γὰρ εἴρηκεν ἡ γραφὴ, ὅτι ὁ λόγος ἀνθρώπου πρόσωπον ἥνωσεν ἑαυτῷ, ἀλλ', ὅτι γέγονε σάρξ. τὸ δὲ σάρκα γενέσθαι τὸν λόγον οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ ὅτι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός. ἴδιον δὲ σῶμα τὸ ἡμῶν ἐποιήσατο, καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικὸς, οὐκ ἀποβεβληκὼς τὸ εἶναι Θεὸς, καὶ τὸ ἐκ Θεοῦ γεννηθῆναι πατρός· ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς, μεμενηκὼς ὅπερ ἦν. τοῦτο πρεσβεύει πανταχοῦ τῆς ἀκριβοῦς πίστεως ὁ λόγος. οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας. οὕτω τεθαῤῥήκασι θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον· οὐχ ὡς τῆς τοῦ λόγου φύσεως, ἤτοι τῆς θεότητος αὐτοῦ, ἀρχὴν τοῦ εἶναι λαβούσης ἐκ τῆς ἁγίας παρθένου· ἀλλ' ὡς γεννηθέντος ἐξ αὐτῆς τοῦ ἁγίου σώματος, ψυχωθέντος τε λογικῶς, ᾧ καὶ καθ' ὑπόστασιν ἑνωθεὶς ὁ λόγος, γεννηθῆναι λέγεται κατὰ σάρκα. ταῦτα καὶ νῦν ἐξ ἀγάπης ἐν Χριστῷ γράφω, παρακαλῶν, ὡς ἀδελφὸν, καὶ διαμαρτυρόμενος ἐνώπιον τοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ταῦτα μεθ' ἡμῶν καὶ φρονεῖν καὶ διδάσκειν, ἵνα σώζηται τῶν ἐκκλησιῶν ἡ εἰρήνη, καὶ τῆς ὁμονοίας καὶ ἀγάπης ὁ σύνδεσμος ἀῤῥαγὴς ἀπομένῃ τοῖς ἱερεῦσι τοῦ Θεοῦ.

[a] Forte, ὁμολογοῦμεν.
[b] Forte, τομῆς φαντασία παρεισκρίνηται.
[c] Forte, αὐτὸς.

per conjunctionem, sed potius quia divinitas & humanitas simul nobis effecerunt unum Dominum & Christum & Filium, per arcanam illam ineffabilemque copulationem ad unitatem. Itaque is qui ante sæcula habet existentiam, & natus est ex Patre, etiam ex muliere secundum carnem dicitur procreatus: non quia divina ipsius natura de sacra Virgine sumpserit exordium: nec quod propter seipsam opus habuit secundo nasci post illam nativitatem, quam habebat ex Patre: (est enim ineptum & stultum hoc dicere, quod is qui ante omnia sæcula coæternus est Patri, secunda generatione eguerit, ut esse inciperet) sed quia propter nos & propter nostram salutem, naturam humanam sibi secundum hypostasim copulavit, & processit ex muliere; idcirco dicitur natus esse, secundum carnem. Neque enim primum natus est homo communis de sancta Virgine, & tunc demum [a] inhabitavit in eo Verbum: sed in ipso utero cum carne unitus, generationem carnalem sustinuisse dicitur, carnis suæ nativitatem tanquam propriam sibi faciens. Sic illum dicimus & passum esse, & resurrexisse: non quia Deus Verbum in sua natura passus sit aut plagas, aut clavorum [b] transfixiones, aut alia vulnera: ([c] Deus namque incorporalis extra passionem est:) sed quia corpus illud, quod ipsius proprium factum est, passum est, ideo hæc omnia pro nobis ipse dicitur passus. Inerat enim in eo corpore quod patiebatur, Deus, qui pati non poterat. Simili modo & mortem ipsius intelligimus. Immortale enim & incorruptibile est naturaliter, & vita & vivificans Dei Verbum. Sed quia corpus ipsius proprium, gratia Dei, *juxta Pauli vocem,* pro omnibus mortem gustavit; *idcirco ipse dicitur mortem passus esse pro nobis: non quod ipse mortem esset expertus, quantum ad ipsius naturam pertinet, (insania est enim, hoc vel sentire vel dicere) sed quod, ut modo diximus, caro ipsius mortem gustavit. Ita & resurgente carne ejus, rursus resurrectionem ipsius dicimus: non quia in corruptionem (quod absit) ceciderat, sed quia ejus resurrexit corpus. Ita Christum unum & Dominum confitemur, non tanquam hominem cum Verbo coadorantes, ne divisionis quædam species inducatur; sed unum jam & eumdem adorantes, quia non est alienum a Verbo corpus suum, cum quo ipsi etiam adsidet Patri. Nec hoc ita dicimus, quasi duobus filiis adsidentibus, sed uno per unitatem cum carne. Quod si talem copulationem factam per subsistentiam, aut quasi impossibilem, aut quasi parum decoram noluerimus accipere, in id incidimus, ut duos filios esse dicamus. Necesse enim est discernere & dicere hominem separatim fuisse Filii appellatione honoratum; & rursus separatim Verbum ex Deo editum, quod naturaliter & nomen & rem filiationis obtinet. Quare discernere in duos filios non debemus unum Dominum Jesum Christum. Neque enim id adjuvat rectam fidei rationem, licet nonnulli copulationem nescio quam perhibeant personarum. Non dixit enim scriptura, Verbum Dei personam sibi hominis assumpsisse, sed carnem factum esse. Verbum porro factum esse carnem, nil aliud est, nisi similiter ac nos carnem & sanguinem participasse, & corpus nostrum proprie suum fecisse, & hominem ex muliere processisse, non abjecta nec deposita deitate, aut generatione illa quam habebat ex Patre: sed mansisse etiam in assumptione carnis Deum, quod erat. Hoc ubique recta fidei ratio protestatur: in tali sensu sanctos patres fuisse comperimus. Ideo illi non dubitarunt sanctam Virginem dicere Dei genitricem: non quod Verbi natura deita, quæ ex sancta Virgine sumpserit exordium; sed quod ex ea natum sit sacrum illud corpus animatum anima rationali, cui secundum hypostasim unitum Dei Verbum, secundum carnem natum esse dicitur. Hæc igitur nunc quoque pro caritate in Christo scribo, obsecrans tamquam fratrem, & contestans coram Christo & electis angelis, ut hæc nobiscum & sentias simul & doceas; ut ecclesiarum pax salva servetur, & concordia caritatisque vinculum indissolubile maneat sacerdotibus Dei.*

[a] al. supervenit.
[b] al. perforationes.
[c] al. impassibilis namque divinitas, quoniam & incorporea.
Heb. 2.

Acta in prima synodo Ephesina sub Cyrillo, relecta Constantinopoli sub Flaviano.

CYrillus episcopus Alexandriæ dixit : Audivit hæc sancta & magna synodus quæ scripsi reverentissimo Nestorio, defendens rectam fidem. Arbitror autem, quia nullo modo trangressus invenior rectæ fidei rationem, vel in aliquo præteriens expositum symbolum a sancta & magna synodo, quæ suo tempore Nicææ collecta est : & peto vestram sanctitatem dicere, utrum recte & irreprehensibiliter & consone illi sancto concilio scripserim, nec ne. Juvenalis episcopus Hierosolymorum dixit : Relecta sancta fide, quæ in Nicæa exposita est, & epistola sanctissimi & beatissimi episcopi Cyrilli, & quæ a sancta synodo edita sunt, consona inveniuntur : & istis piis dogmatibus consentio & acquiesco. Firmus episcopus Cæsareæ Cappadociæ dixit : Quæ in brevi & capitulatim a sancta synodo dicta sunt, exponens tua religiositas subtiliter & gradatim, manifestiorem nobis & efficaciorem revelationem editæ sanctæ fidei fecit ; ut in his quæ dicta sunt, nihil ambiguum sit, omnibus invicem consonantibus & confirmantibus fidem. His ergo diligenter & immutabiliter se habentibus, ac nullam novitatem inferentibus, & ego consentio, eamdem doctrinam a sanctis patribus & episcopis meis suscipiens. Memnon episcopus Ephesiorum metropolis dixit : Exposita fidei a trecentis decem & octo sanctis patribus in Nicæa convenientibus, consona & in epistola relecta sanctissimi & beatissimi patris nostri & episcopi Cyrilli continentur : quibus & acquiescimus & consentimus, nihil minus neque dissonum invenientes. Interlocutum est autem eadem & omne sanctum magnumque concilium.

Epistola scripta Dei amantissimo episcopo Antiochiæ Joanni, a sanctissimo episcopo Alexandriæ Cyrillo, de pace.

LÆtentur cæli, & exsultet terra. *Solutus est enim medius paries maceriæ, & cessavit illud quod afferebat tristitiam, & totius dissensionis sublata est via, omnium nostrum Salvatore Christo suis ecclesiis pacem præstante, provocantibus nos & adhortantibus ad hoc ipsum piissimis & Dei amantissimis principibus nostris ; qui patrum suorum religionis æmuli exsistentes, firmam & inconcussam in suis animis rectam fidem conservant ; præcipuam vero solicitudinem gerunt pro sanctis ecclesiis, ut celeberrimam habeant sempiternam gloriam, & suum imperium dignum cum omni laude constituant. Quibus & ipse Christus omnium virtutum Dominus ditissima manu distribuit bona, & præstat superare adversarios, & donat victoriam. Neque enim mentitur, dicens :* Vivo ego, dicit Dominus, quoniam eos qui me glorificant, glorificabo. *Adveniente igitur Alexandriam domino meo venerabili comministro & fratre Paulo, lætitia repleti sumus, & valde convenienter, utpote tali viro mediatore, quique supra vires labores adire voluerit, ut diaboli invidiam superet, ac diversa conjungat ; & quæ in medio fuerant interjecta scandala auferens, concordia & pace coronet ecclesias, quæ sunt & apud nos & apud vos constitutæ. Quo enim modo divisæ sint, superfluum est dicere. Oportere autem arbitror ea sentire & loqui, quæ decent pacis tempora. Gavisi sumus igitur occursu & notitia memorati religiosissimi viri, qui forte non leviter se laboraturum putavit, ut persuaderet nobis, oportere ecclesias conjungere & adunare ad pacem, & eorum qui adversa nobis sentiunt, cohibere risum, obscurare autem & hebetare adhuc diaboli malignitatis stimulum. Invenit autem nos ita ad hoc paratos, ut omnino nullum laborem sustinuerit. Meminimus enim Salvatoris nostri dicentis :* Pacem meam do vobis, pacem

Psalm. 95. vers. 11. Ephes. 2. vers. 14. Exstat hæc epistola ex alia pariter vetusta latinitate in Conc. Ephes. parte 4. pag. 1761.

4. Reg. 2. vers. 30.

Paulus Emeseni episcopus.

Joan. 14. vers. 27.

Τὰ ἐν Ἐφέσῳ πραχθέντα ἐπὶ Κυρίλλου, ἀναγινώσκεται ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαβιανοῦ.

ΚΥριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἤκουσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος αὕτη ὧν ἐπέστειλα τῷ εὐλαβεστάτῳ Νεστορίῳ, συναγορεύων τῇ ὀρθῇ πίστει. οἴομαι δὲ, ὅτι κατ' οὐδένα τρόπον ἐκβεβηκὼς ἁλίσκομαι τὸν ὀρθὸν τῆς πίστεως λόγον, ἤγουν παραβεβηκὼς τὸ ἐκτεθὲν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς κατὰ καιροὺς ἐν τῇ Νικαέων συνειλεγμένης σύμβολον· καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα εἰπεῖν, πότερον ὀρθῶς, καὶ ἀνεπιλήπτως, καὶ συμφώνως τῇ ἁγίᾳ ἐκείνῃ συνόδῳ ταῦτα γέγραφα, ἢ μή. Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ἀναγνωσθείσης τῆς ἐκτεθείσης ἁγίας πίστεως τῆς ἐν Νικαίᾳ, καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου ἐκτεθέντα, σύμφωνα εὕρηται· καὶ τούτοις τοῖς εὐσεβέσι δόγμασι συντίθεμαι καὶ συναινῶ. Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· τὰ συντόμως καὶ ἐν κεφαλαίῳ εἰρημένα παρὰ τῆς ἁγιωτάτης συνόδου τῆς ἐν Νικαίᾳ ἐξηγησαμένη ἡ σὴ θεοσέβεια λεπτῶς καὶ κατὰ τάξιν, σαφεστέραν ἡμῖν καὶ ἐναργεστέραν τὴν ἀποκάλυψιν τῆς ἐκτεθείσης πίστεως ἐποίησεν· ὥστε μηδὲν εἶναι ἐν τοῖς λεγομένοις ἀμφίβολον, πάντων ἀλλήλοις συμφωνούντων, καὶ τῆς πίστεως βεβαιουμένης. τούτων οὖν ἀκριβῶς ἐχόντων, καὶ ἀπαραβάτως, καὶ οὐδένα νεωτερισμὸν ἐπιφερομένων, κἀγὼ συντίθεμαι, τὴν αὐτὴν δόξαν παρὰ τῶν ἁγίων ἐπισκόπων τῶν ἐμῶν πατέρων δεξάμενος. Μέμνων ἐπίσκοπος Ἐφεσίων μητροπόλεως εἶπε· τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων σύμφωνα καὶ ἡ ἐπιστολὴ ἡ ἀναγνωσθεῖσα τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ ἐπισκόπου Κυρίλλου περιέχει. οἷς καὶ συντιθέμεθα καὶ συναινοῦμεν, μηδὲν ἐλλιπὲς εὑρίσκοντες, μηδὲ διάφωνον. Διελάλησε δὲ τὰ αὐτὰ καὶ πᾶσα ἡ ἁγία καὶ μεγάλη σύνοδος.

Ἐπιστολὴ γραφεῖσα τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἀντιοχείας Ἰωάννῃ παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀλεξανδρείας Κυρίλλου, περὶ τῆς εἰρήνης.

ΕΥφραινέσθωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ πέπαυται τὸ λυποῦν, καὶ διχονοίας ἁπάσης ἀνῄρηται τρόπος, τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύοντος· κεκληκότων δὲ πρὸς τοῦτο ἡμᾶς καὶ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων, οἳ προγονικῆς εὐσεβείας ἄριστοι ζηλωταὶ γεγονότες, ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον τὴν ὀρθὴν ἐν ἰδίαις ψυχαῖς φυλάττουσι πίστιν· ἐξαίρετον δὲ ποιοῦνται φροντίδα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν, ἵνα διαβόητον ἔχωσιν εἰς αἰῶνα τὴν δόξαν, καὶ εὐκλεεστάτην ἀποφήνωσι τὴν ἑαυτῶν βασιλείαν· οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων Χριστὸς κύριος πλουσίᾳ χειρὶ διανέμει τὰ ἀγαθά· καὶ δίδωσι μὲν κατακρατεῖν τῶν ἀνθεστηκότων, χαρίζεται δὲ τὸ νικᾶν. οὐ γὰρ ἂν διαψεύσαιτο λέγων· ὅτι ζῶ ἐγὼ, λέγει κύριος· ὅτι τοὺς δοξάζοντάς με δοξάσω. ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου μου τοῦ θεοφιλεστάτου συλλειτουργοῦ καὶ ἀδελφοῦ Παύλου, θυμηδίας ἐμπεπλήσμεθα, καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος, καὶ τοῖς ὑπὲρ δύναμιν πόνοις ἑλομένου προσταλαιπωρεῖν, ἵνα τὸν τοῦ διαβόλου νικήσῃ φθόνον, καὶ συνάψῃ τὰ διῃρημένα, καὶ τὰ μεταξὺ διερριμμένα σκάνδαλα περιελὼν, ὁμονοίᾳ καὶ εἰρήνῃ στεφανώσῃ τάς τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν ἐκκλησίας. ὅπως μὲν γὰρ διῄρηνται περιττὸν εἰπεῖν. χρῆναι δὲ ὑπολαμβάνω τὰ τῷ τῆς εἰρήνης πρέποντα καιρῷ καὶ φρονεῖν καὶ λαλεῖν. ἥσθημεν τοίνυν τῇ συντυχίᾳ τοῦ μνημονευθέντος θεοσεβεστάτου ἀνδρός· ὃς τάχα που καὶ ἀγῶνας ἕξειν οὐ μικροὺς ὑπενόησεν, ἀναπείθων ἡμᾶς, ὅτι χρὴ συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλησίας, καὶ τὸν τῶν ἑτεροδόξων ἀφανίσαι γέλωτα, ἀπαμβλῦναί τε πρὸς τούτῳ τῆς τοῦ διαβόλου δυστροπίας τὸ κέντρον. ἑτοίμους δὲ οὕτως ἔχοντας ἐπὶ τούτῳ κατέλαβεν. ὡς μηδένα πόνον ὑποστῆναι παντελῶς. μεμνήμεθα γὰρ τοῦ σωτῆρος λέγοντος· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην

ANNO CHRISTI 451.

τὴν ἐμὴν ἀφίημι ὑμῖν. διδασκόμεθα δὲ καὶ λέγειν ἐν προσευχαῖς· κύριε ὁ Θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. ὥστε εἴ τις ἐν μεθέξει γένοιτο τῆς παρὰ Θεοῦ χορηγουμένης εἰρήνης, ἀπενδεὴς ἔσται παντὸς ἀγαθοῦ. ὅτι δὲ περιττὴ παντελῶς, καὶ ἐκ διαφορᾶς ἡ τῶν ἐκκλησιῶν διχοστασία γέγονε, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου μου τοῦ εὐλαβεστάτου Παύλου ἐπισκόπου χάρτην προσκομίσαντος, ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν, καὶ ταύτην συντετάχθαι διαβεβαιουμένου παρά τε τῆς σῆς ὁσιότητος καὶ τῶν αὐτόθι θεοφιλεστάτων ἐπισκόπων. ἔχει δὲ οὕτως ἡ [a] γραφή, καὶ αὐταῖς λέξεσιν ἐντέθειται τῇδε ἡμῶν τῇ ἐπιστολῇ.

[a] Forte, συγγραφή.

Περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ἀναγκαίως, οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν, ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν. οὐδὲν τὸ σύνολον προστιθέντες τῇ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν, καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δὲ οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῇ ὁμολογίᾳ τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες [b] τοῖς ἐπιφύεσθαι βουλομένοις, ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον διασκεπτόμεθα.

[b] Forte, τοὺς ἐπιφύεσθαι βουλομένους.

[c] Ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ, τὸν μονογενῆ, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· δύο γὰρ φύσεων ἕνωσις γέγονε· διὸ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς [d] ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον, διὰ τὸ τὸν Θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας, ὡς ἐφ' ἑνὸς προσώπου· τὰς δὲ διαιροῦντας, ὡς ἐπὶ δύο φύσεων. καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας.

[c] Ὁμολογία τῶν τῆς ἀνατολῆς ἐπισκόπων.

[d] In Latino, ἀσυγκρίτου

Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες. εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα. ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα Θεόν, ἀλλήλοις συγχαίροντες, ὅτι ταῖς θεοπνεύστοις γραφαῖς, καὶ τῇ παραδόσει τῶν ἁγίων ἡμῶν πατέρων, συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ἡμῖν καὶ ἡ παρ' ὑμῖν ἐκκλησίαι. ἐπειδὴ δὲ ἐπυθόμην τῶν φιλοψογεῖν εἰωθότων τινὰς σφηκῶν ἀγρίων δίκην περιβομβεῖν, καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους, ὡς ἐξ οὐρανοῦ καταπεμφθέν, καὶ οὐκ ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ ἅγιον σῶμα Χριστοῦ, δεῖν ᾠήθην ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν. ὦ ἀνόητοι, καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν· πῶς εἰς τοῦτο παρωλίσθητε γνώμης, καὶ τοσαύτην νενοσήκατε τὴν μωρίαν; ἔδει γάρ, ἔδει σαφῶς νοεῖν, ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ περὶ τῆς πίστεως ἀγὼν συγκεκρότηται, διαβεβαιουμένοις, ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος. ἀλλ' εἴπερ ἐξ οὐρανοῦ, καὶ οὐκ ἐξ αὐτῆς τὸ ἅγιον σῶμα γεγεννῆσθαί φαμεν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς ἂν ἔτι νοοῖτο θεοτόκος; τίνα γὰρ ὅλως τέτοκεν, εἰ μή ἐστιν ἀληθὲς, ὅτι γεγέννηκε κατὰ σάρκα τὸν Ἐμμανουήλ; γελάσθωσαν τοίνυν οἱ ταῦτα περὶ ἐμοῦ τεθρυλληκότες· οὐ γὰρ ψεύδεται λέγων ὁ μακάριος προφήτης Ἡσαΐας· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. ἀληθεύει δὲ πάντως καὶ ὁ ἅγιος Γαβριήλ, πρὸς τὴν μα-

ACTIO PRIMA.

meam relinquo vobis. *Edocti etiam sumus dicere in orationibus nostris:* Domine Deus noster, pacem da nobis: omnia enim reddidisti nobis. *Si quis igitur particeps fiat pacis hujus a Deo tributæ, nullius boni indigebit. Quod autem omnino superflua & nullis ex caussis ecclesiarum dissensio facta sit, nunc maxime plenius edocti sumus & cognovimus, domino meo venerabili Paulo episcopo chartam nobis proferente, quæ irreprehensibilem continet fidei confessionem, & hanc ipsam chartam confectam esse astruens & confirmans a tua sanctitate, & a venerabilibus illarum partium episcopis: quæ conscriptio ita habet, & ipsis verbis apponetur in hac epistola nostra.*

Isa. 26. vers. 12.

De genitrice autem Dei Virgine quemadmodum & sentiamus & dicamus, & de humanitatis assumptione unigeniti Filii Dei, necessario, non in additamenti, sed plenæ satisfactionis loco, ut a principio & ex divinis scripturis & traditione sanctorum patrum accepimus, breviter dicimus, nihil prorsus addentes sanctæ fidei, quæ in sanctorum patrum conventu & synodo Nicani concilii exposita & expressa fuit. Sicut enim prædiximus, ad omnem sufficit pietatis cognitionem, & universæ hæreticæ & pravæ doctrinæ abdicationem. Dicemus autem non temere audentes ea aggredi, quæ consequi non possumus; sed confessione propriæ infirmitatis excludentes eos qui adoriri nos volunt, ubi ea consideramus, quæ sunt supra hominem.

Confitemur igitur Dominum nostrum Jesum Christum Filium Dei unigenitum, Deum perfectum & hominem perfectum ex anima rationali & corpore, ante sæcula quidem ex Patre natum secundum deitatem, in novissimis vero temporibus eumdem ipsum propter nos & propter nostram salutem de Maria Virgine secundum humanitatem; consubstantialem Patri secundum deitatem, & consubstantialem nobis secundum humanitatem. Duarum enim naturarum unitio facta est: propter quod unum Christum, unum Filium, unum Dominum confitemur. Secundum hanc [a] incomparabilis unitatis fidem, confitemur sanctam Virginem Dei genitricem, propter hoc quod Deus Verbum incarnatum est, & humanitatem assumpsit, & ex ipso conceptu univit sibi templum, quod ex ipsa suscepit. Evangelicas autem & apostolicas de Domino nostro voces, novimus deiloquos viros alias quidem communes facientes, tanquam in una persona: alias autem dividentes, tanquam in duabus naturis: & illas quidem quæ Deo conveniunt, secundum deitatem Christi; humiles vero, secundum humanitatem ipsius tribuentes.

Confessio orientalium episcoporum.

[a] In Græco, inconfusæ.

His ergo sacris vocibus vestris relectis, & sic nosipsos quoque sentire invenientes (unus enim Dominus, una fides, unum baptisma,) *glorificavimus omnium Salvatorem Deum, invicem congaudentes, quoniam scripturis divinitus inspiratis, & traditioni sanctorum patrum nostrorum convenientem habent fidem nostra & vestra ecclesia. Quoniam igitur intellexi, quosdam qui amant ex more suo vituperare, velut crabrones agrestes circumstrepere, ac molesta eructare contra me verba, quasi dicam de cælo allatum esse, & non de sancta Virgine exstitisse sanctum corpus Christi, oportere arbitratus sum, pauca super hoc ad eos dicere. O stulti, & solum calumnias movere scientes; quomodo ad hoc consilium deducti estis, & tantæ stultitiæ morbo laborastis? Oportebat enim, & valde oportebat, aperte vos intelligere, quoniam pæne omne nobis quod pro fide est, luctamen advenit, affirmantibus quoniam sancta Virgo Dei est genitrix. Sed si dixerimus, de cælo, & non ex ipsa natum esse sanctum corpus omnium nostrum Salvatoris Domini, quomodo eam dicemus genitricem Dei? Quem enim omnimodo peperit, nisi est verum illud, quod peperit secundum carnem ipsum Emmanuel? Derideantur ergo qui de me ista garrierunt. Non enim mentitur beatus Isaias propheta, dicens:* Ecce Virgo in utero habebit, & pariet Filium, & vocabunt nomen ejus Emmanuel, quod interpretatur, Nobiscum Deus. *Verum quoque testatur & sanctus Gabriel, ad eamdem beatam*

Ephes. 4. vers. 5.

Isa. 7. v. 14. Matth. 1. vers. 23.

ACTIO PRIMA.

ANNO CHRISTI 451.

Virginem dicens: Noli timere, Maria, invenisti enim gratiam apud Deum. Ecce concipies in utero, & paries Filium, & vocabis nomen ejus Jesum. Ipse enim salvabit populum suum a peccatis eorum. *Quando autem dicimus, de cælo & de supernis Dominum nostrum Jesum Christum, non tamquam de cælo* [a] *deposita sancta ejus carne, talia dicimus, sed sequimur magis mirabilem Paulum, aperte clamantem:* Primus homo de terra, terrenus; secundus homo de cælo, [cælestis.] *Meminimus autem & ipsum Salvatorem dicentem:* Nemo ascendit in cælum, nisi qui descendit de cælo, Filius hominis. *Natus est enim secundum carnem, sicut paulo ante prædixi, de sancta Virgine: & quoniam de cælo & de superioribus adveniens Deus Verbum,* exinanivit seipsum formam servi accipiens, *& appellatus est Filius hominis, manens quod eras, hoc est, Deus: (immutabilis enim & inconvertibilis est secundum propriam naturam:) tamquam unus jam intellectus cum propria carne, de cælo dicitur descendisse. Appellatus est etiam & homo de cælo, cum esses in deitate perfectus, & idem ipse in humanitate perfectus, & tamquam in una persona intelligendus. Unus enim Dominus Jesus Christus, quamvis naturarum differentia non ignoretur, ex quibus inenarrabilem unitionem factam fuisse dicimus. Eos autem qui dicunt, quoniam temperamentum, aut confusio, aut conspersio facta est Dei Verbi ad carnem, dignetur tua sanctitas refrenare. Forsitan enim quosdam non ambigo, qui hæc me jactitent, aut sensisse, aut dixisse. Ego autem in tantum ab eo longe sum, ut tale aliquid sentiam, usque adeo ut insanire putem eos, qui hoc suspicati sunt, quod omnino mutationis adumbratio accidere possit circa divini Verbi naturam. Manet enim semper id quod est, & non mutatur, nec unquam mutabitur, nec suscipiet mutationem. Impassibile etiam ad hæc Dei Verbum esse confitemur universi: sametsi sapientissime ipse dispónens mysterium, sibi eas attribuere perspicitur, quæ carni passiones propriæ acciderunt. Quapropter & sapientissimus Petrus:* Christo, *inquit,* pro nobis passo in carne, *& non natura inenarrabilis deitatis. Ut enim omnium Salvator esse credatur, secundum appropriationem dispensativam in se, ut dixi, propriæ carnis refert passiones. Quale est illud per Prophetæ vocem tamquam ab eo prædictum:* Dorsum meum dedi ad flagella, & maxillas meas ad palmas, faciem autem meam non averti a confusione sputorum. *Quoniam autem sanctorum patrum doctrinam ubique sequimur, maxime autem beati & per omnia laudabilis patris nostri Athanasii, vel minima ex parte ab ea declinare recusantes, credat quidem tua sanctitas, & nullus alius ambigat. Posuissem etiam illorum plura testimonia, quibus meis dictis fidem facerem, si non prolixitatem scriptorum vererer, ne ex hoc ipso fieret fastidium. Nullo autem modo patimur a quibusdam concuti definitam fidem, sive fidei symbolum, a sanctis patribus nostris qui apud Nicæam convenerunt illis temporibus: nec permittimus aut nobis, aut aliis, mutare aliquod verbum ex his quæ ibidem consistuntur, aut unam syllabam præterire, memores dicentis:* Ne transferas terminos æternos, quos posuerunt patres tui. *Non enim erant ipsi loquentes, sed ipse Spiritus Dei & Patris, qui procedit quidem ex ipso, non est autem alienus a Filio secundum essentiæ rationem. Et ad hoc nos eorum sanctorum qui mysteria tradiderunt, dicta confirmant. In actibus enim Apostolorum scriptum est:* Venientes autem circa Mysiam, tentabant in Bithyniam ire, & non permisit ire Spiritus Jesu. *Scribit etiam admirabilis Paulus:* Qui autem in carne sunt, Deo placere non possunt. Vos autem non estis in carne, sed in spiritu; si tamen Spiritus Dei habitat in vobis. Si quis autem Spiritum Christi non habet, hic non est ejus. *Quando autem quidam eorum, qui recta pervertere solent, meas voces detorquent ad id quod eis videtur; non miretur hoc sanctitas tua, sciens quoniam & omnes hæretici ex scriptura divinitus inspirata erroris sui colligunt occasiones, & ea quæ per Spiritum sanctum*

Luc. 1. v. 30.
a in Græco, delata.
1. Corinth. 15. v. 47.
Joan 3. v. 13.
Philip. 2. v. 7.
1. Petr. 4.
Isa. 50. v. 6.
Proverb. 22. v. 8.
Matth. 10. v. 20.
Act. 16. v. 7.
Rom. 8. v. 8.

A καλέσας παρθένον εἰπών· μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. ὅταν δὲ λέγωμεν, ἐξ οὐρανοῦ καὶ ἄνωθεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· οὐχ ὡς ἄνωθεν καὶ ἐξ οὐρανοῦ κατενεχθείσης τῆς ἁγίας αὐτοῦ σαρκός, τὰ τοιαῦτά φαμεν, ἑπόμενοι δὲ μᾶλλον τῷ θεσπεσίῳ Παύλῳ διακεκραγότι σαφῶς· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. μεμνήμεθα δὲ καὶ αὐτοῦ τοῦ σωτῆρος λέγοντος· καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, καίτοι γεγέννηται κατὰ σάρκα, καθάπερ ἔφην ἀρτίως, ἐκ τῆς ἁγίας παρθένου. ἐπειδὴ δὲ ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταφοιτήσας ὁ Θεὸς λόγος, κεκένωκεν ἑαυτόν, B μορφὴν δούλου λαβών, καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖναι ὃ ἦν, τουτέστι Θεός· ἄτρεπτος γάρ, καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν· ὡς εἷς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκός, ἐξ οὐρανοῦ λέγεται κατελθεῖν. ὀνομάζεται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι, καὶ ὡς ἐν ἑνὶ προσώπῳ νοούμενος· εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά, ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσιν πεπρᾶχθαι φαμέν. τοὺς δὲ λέγοντας, ὅτι κρᾶσις, ἢ σύγχυσις, ἢ φυρμὸς ἐγένετο τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα, καταξιωσάτω ἡ σὴ ὁσιότης ἐπιστομίζειν. εἰκὸς γάρ τινας καὶ ταῦτα περὶ ἐμοῦ θρυλλεῖν, ὡς ἢ πεφρονηκότος, ἢ εἰρηκότος. ἐγὼ δὲ τοσοῦτον ἀφέστηκα τοῦ φρονῆσαί τι τοιοῦτον, ὥστε καὶ μαίνεσθαι νομίζω τοὺς οἰηθέντας ὅλως, ὅτι τροπῆς ἀποσκίασμα περὶ τὴν τοῦ Θεοῦ λόγου φύσιν συμβῆναι δύναται. μένει γάρ, ὅ ἐστιν, ἀεί, C καὶ οὐκ ἠλλοίωται· ἀλλ' οὐδὲ ἂν [a] ἀλλοιωθείη ποτέ, καὶ μεταβολῆς [b] ἔσται δεκτική. ἀπαθῆ δὲ πρὸς τούτῳ τὸν Θεοῦ λόγον ὑπάρχειν ὁμολογοῦμεν ἅπαντες, κἂν εἰ πανσόφως αὐτὸς οἰκονομῶν τὸ μυστήριον, ἑαυτῷ προσνέμων ὁρᾶται τὰ [c] ἰδίᾳ σαρκὶ συμβεβηκότα πάθη. καὶ ταύτῃ τοι καὶ ὁ πάνσοφος Πέτρος, Χριστοῦ, φησί, παθόντος σαρκί, καὶ οὐχὶ τῇ φύσει τῆς ἀρρήτου θεότητος. ἵνα γὰρ αὐτὸς τῶν ὅλων σωτὴρ εἶναι πιστεύηται, κατ' οἰκείωσιν οἰκονομικὴν εἰς ἑαυτόν, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκὸς ἀναφέρει πάθη. ὁποῖόν ἐστι τὸ διὰ φωνῆς τοῦ προφήτου προαναφωνούμενον, ὡς ἐξ αὐτοῦ· τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ὅτι δὲ ταῖς τῶν ἁγίων πατέρων δόξαις ἑπόμεθα πανταχοῦ, μάλιστα δὲ τοῦ μακαρίου καὶ πανευφήμου πα- D τρὸς ἡμῶν Ἀθανασίου, τὸ κατά τι γοῦν ὅλως ἔξω φέρεσθαι παραιτούμενοι, πειθέτω μὲν ἡ σὴ ὁσιότης, ἐνδοιαζέτω δὲ τῶν ἄλλων μηδείς. παρέθηκα δ' ἂν καὶ χρήσεις αὐτῶν πολλάς, τοὺς ἐμαυτοῦ λόγους ἐξ αὐτῶν πιστούμενος, εἰ μὴ τὸ μῆκος ἐδεδίειν τοῦ γράμματος, μὴ ἄρα πως γένηται διὰ τοῦτο προσκορές. καὶ κατ' οὐδένα δὲ τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον, παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς. οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος· μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ πνεῦμα τοῦ Θεοῦ καὶ πατρός, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ πρός γε τοῦτο ἡμᾶς οἱ τῶν E ἁγίων μυσταγωγῶν πιστοῦνται λόγοι. ἐν μὲν γὰρ ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται. ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι. καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ. ἐπιστέλλει δὲ καὶ ὁ θεσπέσιος Παῦλος· οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ὅταν δέ τινες τῶν ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς παρατρέπωσι φωνὰς εἰς τὸ αὐτοῖς δοκοῦν, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης, εἰδυῖα, ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμάς, τὰ διὰ τοῦ ἁγίου πνεύματος

a Forte, ἀλλοιωθείη ποτέ,
b Forte, ἔσται
c Forte, τῇ ἰδίᾳ

ANNO CHRISTI 451.

ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες, καὶ ταῖς ἰδίαις ἑαυτῶν κεφαλαῖς τὴν ἄσβεστον ἐπισωρεύοντες φλόγα. ἐπειδὴ δὲ μεμαθήκαμεν, ὅτι καὶ τὴν πρὸς τὸν μακάριον Ἐπίκτητον ἐπιστολὴν τοῦ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου, ὀρθοδόξως ἔχουσαν, παραφθείροντές τινες ἐκδεδώκασιν, ὡς ἐντεῦθεν ἀδικεῖσθαι πολλούς· διὰ τοῦτο χρήσιμόν τι καὶ ἀναγκαῖον ἐπινοοῦντες τοῖς ἀδελφοῖς, ἐξ ἀντιγράφων ἀρχαίων τῶν παρ' ἡμῖν, καὶ ἀπλανῶς ἐχόντων, ἀπεστείλαμεν τὰ ἴσα τῇ σῇ ὁσιότητι.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, οἱ εὐλαβέστατοι ἐπίσκοποι οἱ Ἰλλυρικιανοὶ ἐβόησαν· οὕτως πιστεύομεν, ὡς Κύριλλος· Κυρίλλου αἰωνία ἡ μνήμη. Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἀνάθεμα τῷ λέγοντι δύο υἱούς· ἕνα γὰρ υἱὸν προσκυνοῦμεν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν μονογενῆ. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ἡμεῖς ὡς Κύριλλος πιστεύομεν, οὕτως ἐπιστεύσαμεν, οὕτως πιστεύομεν· ἀνάθεμα τῷ μὴ οὕτως πιστεύοντι. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι B ἐβόησαν· Φλαβιανὸς οὕτως ἐπίστευε· Φλαβιανὸς ταῦτα ἐξεδίκει· διὰ ταῦτα Φλαβιανὸς καθῃρέθη. Εὐσέβιος Νεστόριον καθεῖλε. τὴν πίστιν Διόσκορος παρέτρωσεν. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν. ὁ Θεὸς Νεστόριον καθεῖλεν. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Λέων οὕτως πιστεύει· Ἀνατόλιος οὕτως φρονεῖ. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· πάντες οὕτως φρονοῦμεν· ὁ σατανᾶς τόπον μὴ σχῇ· ὁ σατανᾶς χώραν μὴ σχῇ. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· καὶ ὁ βασιλεὺς, καὶ ἡ σύγκλητος, καὶ πάντες οὕτως φρονοῦσιν. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, καὶ πᾶσα ἡ ἁγία σύνοδος τῶν εὐλαβεστάτων ἐπισκόπων, ἐβόησαν· ὁ βασιλεὺς οὕτως φρονεῖ· ἡ Αὐγοῦστα οὕτως φρονεῖ· πάντες οὕτως φρονοῦμεν. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· οὕτως φρονεῖ ὅλος ὁ κόσμος. τὰ τῶν C πατέρων καλῶς ἔχει. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τὸν φονέα Φλαβιανοῦ ἔξω βάλε· τὸν πατραλοίαν ἔξω βάλε. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν. πάντες οὕτω πιστεύομεν. πολλὰ τὰ ἔτη συγκλήτου· πολλὰ τὰ ἔτη τῶν βασιλέων· πολλὰ τὰ ἔτη τῶν ὀρθοδόξων. πάντες οὕτως πιστεύομεν· δι' ὑμῶν εἰρήνη γενέσθω. πάντες ὀρθῶς δοξάζομεν. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· καὶ ποίῳ λόγῳ Εὐτυχῆ μὲν τὸν ἐναντία τούτοις λέγοντα ἐδέξασθε εἰς κοινωνίαν, Φλαβιανὸν δὲ τὸν τῆς ἁγίας μνήμης, καὶ Εὐσέβιον τὸν εὐλαβέστατον ἐπίσκοπον, τούτοις κεχρημένους καθείλετε; Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· τὰ ὑπομνήματα αὐτὰ διδάξει τὴν ἀλήθειαν.

A *recte dicta sunt, malignitatibus mentis suæ corrumpentes, propriis capitibus suis ignis inextinguibilis flammas accendunt. Quoniam vero cognovimus, quod epistolam per omnia laudabilis patris nostri Athanasii ad beatum Epictetum, rectam fidem habentem, quidam a se corruptam ediderunt, ut hinc plurimi læderentur: propter hoc utile & necessarium providentes fratribus nostris, de antiquis exemplaribus, quæ apud nos sunt, nullum errorem habentibus, suæ sanctitati direximus exemplaria.*

ACTIO PRIMA.

CHALCED. ACTA.

Et cum legeretur epistola sanctæ memoriæ Cyrilli, reverentissimi episcopi Illyriciani clamaverunt: Sic credimus, sicut & Cyrillus. Cyrilli æterna memoria. Theodoretus reverentissimus episcopus dixit: Anathema ei qui dicit duos filios. Unum enim Filium adoramus Dominum nostrum Jesum Christum uni- B genitum. Omnes reverentissimi episcopi clamaverunt: Nos sicut Cyrillus credimus: sic credimus, sic credimus. Anathema ei qui sic non credit. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Flavianus sic credebat, Flavianus ista vindicabat; pro his Flavianus damnatus est. Eusebius Nestorium deposuit, Dioscorus [a] fidem corrumpit. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Nestorium Deus deposuit. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Leo sic credit, Anatolius sic sapit. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Omnes sic sapimus: satanas locum non habeat, satanas [b] occasionem non inveniat. Orientales & qui cum ipsis reverentissimi C episcopi clamaverunt: Et Imperator & Senatus, & omnes ita sapiunt. Gloriosissimi judices & amplissimus senatus, & universa synodus reverentissimorum episcoporum clamaverunt: Imperator sic sapit, Augusta sic sapit, omnes sic sapimus. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Sic sapit universus mundus: statuta patrum bene habent. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Interfectorem Flaviani foras mitte: [c] remeratorem patrum foras mitte. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Universi sic credimus. Multos annos Senatui, multos annos Imperatoribus, multos annos catholicis: universi sic credimus. Per vos pax fiat: omnes recte glorificamus. Gloriosissimi judices & amplissimus senatus dixerunt:

[a] al. corrupit in ms. Jolii.

[b] al. accusationem.

[c] Græce, parricidam.

Et qua ratione Eutychem quidem his contraria dicentem in communionem suscepistis; Flavianum vero sanctæ memoriæ, & Eusebium reverentissimum episcopum his usos deposuistis? Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Monimenta ipsa veritatem docebunt.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω. D

Veronicianus devotus a secretis sacri consistorii ex eadem scheda recitavit.

Εὐστάθιος ἐπίσκοπος Βηρύτου μετὰ τὸ ἀναγνωσθῆναι τὰς προειρημένας ἐπιστολὰς, εἶπεν· ἀναγκαῖόν ἐστι δῆλον ποιῆσαι τῇ ὑμετέρᾳ ὁσιότητι, ὅτι δὴ παρέσχεν ὁ Θεὸς τῷ μακαριωτάτῳ καὶ ὁσιωτάτῳ τὴν μνήμην πατρὶ ἡμῶν καὶ ἀρχιεπισκόπῳ τῆς Ἀλεξανδρέων Κυρίλλῳ, ἀμφιβληθῆναί τινα τῶν παρ' αὐτοῦ συγγραφέντων ἐν τῇ αὐτοῦ ζωῇ παρὰ τῶν μὴ ὀρθῶς τὰ καλῶς εἰρημένα νενοηκότων· ὥστε αὐτὸν διὰ τῆς πανσόφου καὶ διδασκαλικῆς αὐτοῦ γλώττης σαφῶς ποιῆσαι τοὺς βουλομένους διαστρέφειν τὰ καλῶς συντεθέντα συγγράμματα, καὶ ἀκολουθεῖν αὐτοῦ τῷ εὐσεβεῖ ἅπαντας ἔπεισε φρονήματι. ἀλλ' ἑτέρων τινῶν ἀπὸ τούτων τῶν ἐπὶ τοῦ παρόντος ἀναγνωσθεισῶν ἐπιστολῶν ἀμφιβάλλεσθαι παρασκευαζόντων τοῦ μακαριωτάτου καὶ ὁσιωτάτου ἀνδρὸς τὸ φρόνημα, αὖθις ἀνάγκην ἔσχε, μᾶλλον δὲ προθυμίας. ἅπαντα γὰρ αὐτοῦ τὸν χρόνον εἰς τοῦτον κατηνάλωσε τῆς εὐσεβείας τὸν πόνον, ἑαυτὸν ἑρμηνεῦσαι, καὶ τὸ ἴδιον σκοπὸν δεῖξαι, καὶ σαφῶς ἅπασι παραστῆσαι, δι' ὧν ἐπέστειλε πρὸς τοὺς τῆς μακαρίας καὶ ὁσίας μνήμης ἐπισκόπους γεγονότας, Ἀκάκιον τὸν Μελιτινῆς, καὶ * Οὐαλέριον τὸν τοῦ Ἰκονίου, καὶ Σούκενσον τὸν Διοκαισαρείας τῆς Ἰσαυρίας ἐπαρχίας, ὅπως προσήκει νοεῖν καὶ τὰς ἀρτίως ἀναγνωσθείσας ἐπιστολὰς, καὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας τὸ σέβας. πρόσκειται γὰρ ἐν τοῖς ἄλλοις ἐν ταῖς πρὸς

* Forte, Οὐαλεριανὸν.

EPHES. ACTA.

Eustathius episcopus Beryti dixit: Postquam lecta sunt prædicta epistolæ, necessarium est manifestum facere vestræ sanctitati, quia præstitit Deus beatissimo & sanctæ memoriæ patri nostro & archiepiscopo Alexandriæ Cyrillo, in vita ipsius dubitari de aliquibus quæ ab eo scripta sunt, ab his qui bene dicta non recte intelligunt, quatenus ipse per sapientissimam & doctissimam suam linguam manifestum faceret volentibus pervertere scripta bene composita: & sequi suum pium dogma omnibus per- E *suasit: sed aliis quibusdam præparantibus de epistolis in præsenti perlectis beatissimi & sanctissimi viri dubiam facere sententiam, rursus necessitatem habuit, magis autem audaciam. Omne autem suum tempus hoc pio labore consumpsit, ut seipsum interpretaretur, suamque intentionem ostenderet, & palam omnibus faceret per ea quæ scripsit ad beatæ & sanctæ memoriæ quondam episcopos Acacium Melitenæ, & Valerianum Iconii, &* [d] *Succensum Diocæsareæ Isauriæ provinciæ, quomodo oportet intelligi & nuper lectas epistolas, & cultum adventus Salvatoris nostri.* [e] *Adjacet enim & hoc inter alia in his*

[d] al. Successum.

[e] al. Adjecit.

epistolis, quas ad illos beatos viros direxit: Non oportet intelligere duas naturas, sed unam naturam Dei Verbi incarnatam. Et hanc suam vocem testimonio beatissimi viri Athanasii confirmavit.

CHALCED. ACTA.

Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Ista Eutyches dicit, hæc Dioscorus dicit. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Neque confusionem dicimus, neque divisionem, neque [a] conversionem. Anathema dicenti aut confusionem, aut conversionem, aut commixtionem. Gloriosissimi judices & amplissimus senatus dixerunt: Dicat sancta synodus, si canonicis epistolis sanctæ memoriæ Cyrilli, quæ in synodo publicatæ, & hic lectæ sunt, consonat interlocutio Eustathii reverentissimi episcopi. Et antequam responderet sancta synodus, Eustathius reverentissimus episcopus Beryti transiens in medium, & [b] gestans librum, dixit: Si male dixi, ecce codex: Liber Cyrilli anathematizetur, & anathematizer. Ægyptii & qui cum ipsis reverentissimi episcopi clamaverunt: Eustathius episcopus bene dixit, orthodoxus bene dixit: probatissimi, venerabilis Cyrilli, æterna memoria. Eustathius reverentissimus episcopus Beryti dixit: Epistola sanctæ memoriæ Cyrilli sic habet. Et [c] memoriter recitavit tenorem epistolæ, inter cetera sic continentem: Non oportet igitur intelligere duas naturas, sed unam naturam Dei Verbi incarnatam. Post pronunciationem prædictæ epistolæ, (idem reverentissimus Eustathius episcopus Beryti) dixit: Et qui dicit unam naturam ad negationem carnis Christi, quæ & consubstantialis est nobis, anathema sit: & qui dicit duas naturas ad divisionem Filii Dei, anathema sit. Et pro beato Flaviano dicere volo: Ipsa [d] nuda accepit beatus Flavianus & porrexit piissimo Imperatori: & jubete recitari manum ipsius, ut dicat universa synodus, quia juste suscepta est. Gloriosissimi judices & amplissimus senatus dixerunt: Cur ergo Flavianum reverendæ memoriæ deposuisti? Eustathius reverentissimus episcopus Beryti dixit: Erravi.

[a] al. immutationem.

[b] al. jactans.

[c] al. memoravit tenorem epistolæ.

[d] Nuda verba mittam.

A ταῖς μακαρίαις ἐκείναις ἐπιστολαῖς. οὐ δεῖ τοιγαροῦν νοεῖν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. καὶ ταύτην αὐτὴν τὴν φωνὴν τῇ τοῦ μακαριωτάτου Ἀθανασίου ἐβεβαίωσε μαρτυρίᾳ.

Οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν. ταῦτα Εὐτυχὴς λέγει· ταῦτα Διόσκορος λέγει. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὔτε σύγχυσιν λέγομεν, οὔτε τομὴν, οὔτε τροπήν. ἀνάθεμα τῷ λέγοντι σύγχυσιν, ἢ τροπὴν, ἢ ἀνάκρασιν. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· λεγέτω ἡ ἁγία σύνοδος, εἰ ταῖς κανονικαῖς ἐπιστολαῖς τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου, ταῖς καὶ ἐν τῇ συνόδῳ δημοσιευ-
B θείσαις, καὶ νῦν ἀναγνωσθείσαις, συμφωνεῖ ἡ διαλαλιὰ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου. καὶ πρινὴ ἀποκρίνηται ἡ ἁγία σύνοδος, Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρύτου παρελθὼν εἰς τὸ μέσον, καὶ ῥίψας βιβλίον, εἶπεν· εἰ κακῶς εἶπον, ἰδοὺ τὸ βιβλίον Κυρίλλου· ἀναθεματιζέσθω, καὶ ἀναθεματισθῶ. οἱ Αἰγύπτιοι, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Εὐστάθιος καλῶς εἶπεν, ὁ ὀρθόδοξος καλῶς εἶπε· τῷ ἀοιδίμῳ, τῷ εὐλαβεῖ Κυρίλλῳ αἰωνία ἡ μνήμη. Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρύτου εἶπεν. ἡ ἐπιστολὴ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου οὕτως ἔχει. καὶ ἀπήγγειλε τὴν ἐπιστολὴν τὴν μεταξὺ τῶν λοιπῶν ἔχουσαν οὕτως· οὐ δεῖ τοιγαροῦν νοεῖν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. καὶ μετὰ τὸ ἀπαγγεῖλαι
C τὴν προλεχθεῖσαν ἐπιστολὴν, εἶπε· καὶ ὁ λέγων μίαν φύσιν ἐπὶ ἀναιρέσει τῆς σαρκὸς τοῦ Χριστοῦ τῆς ὁμοουσίας ἡμῖν, ἀνάθεμα ἔστω· καὶ ὁ λέγων δύο φύσεις ἐπὶ διαιρέσει τοῦ υἱοῦ τοῦ Θεοῦ, ἀνάθεμα ἔστω. καὶ ὑπὲρ τοῦ μακαρίου δὲ Φλαβιανοῦ εἰπεῖν θέλω. αὐτὰ ξηρὰ ἔλαβεν ὁ μακάριος Φλαβιανὸς, καὶ ἐπέδωκε τῷ εὐσεβεστάτῳ βασιλεῖ· καὶ κελεύσατε [a] ἀναγνωσθῆναι τὸ ἰδιόχειρον αὐτοῦ, ἵνα πᾶσα ἡ σύνοδος εἴπῃ, ὅτι δικαίως ἐδέχθη. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε. διὰ τί τοίνυν Φλαβιανὸν τὸν τῆς εὐλαβοῦς μνήμης καθεῖλες; Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρύτου εἶπεν· ἐσφάλην.

[a] Forte, ἀναγνωσθῆναι

Veronicianus devotissimus a secretis sacri consistorii ex eadem scheda recitavit:

CONSTAN. ACTA.

Et postquam lecta sunt, Eusebius reverentissimus episcopus Dorylei dixit: Hæc meipsum sapere sciens, & ex his falsare rectum dogma volentibus exsistens adversarius, ad vestram perveni sanctam synodum: & peto vestram quoque sanctitatem, consentaneam his quæ lecta sunt, fieri: quatenus omnes sciant, quia si quis has expositiones solverit, inimicus sit catholicæ ecclesiæ, & a sacerdotali conventu alienus. Sacratissimus archiepiscopus Flavianus dixit: Necessarium & pium est, consentire nos rectæ fidei placitis. Quis enim sancti Spiritus verbis resistere potest? Lectæ namque sunt epistolæ sanctæ memoriæ inter sanctos patris nostri Cyrilli quondam episcopi Alexandrinæ sanctæ ecclesiæ, diligenter sanctorum patrum qui in Nicæa eo tempore convenerunt, sensum interpretantis; docentes ea quæ nos sapuimus semper & sapimus: quia Dominus noster Jesus Christus Filius Dei unigenitus, Deus perfectus, & homo perfectus est ex anima rationali & corpore: ante omnia quidem sæcula ex Patre sine initio genitus secundum deitatem, in fine autem & in novissimis temporibus idem ipse propter nos & propter nostram salutem de Maria Virgine natus secundum humanitatem: consubstantialis Patri secundum deitatem, & consubstantialis matri secundum humanitatem. Etenim ex duabus naturis confitemur Christum esse post incarnationem, in una subsistentia & in una persona unum Christum, unum Dominum, unum Filium confitentes. Volentes autem præter hæc sapere, abdicamus a sancta sacerdotali synodo & ecclesiæ plenitudine. Singuli autem præsentes reverentissimi episcopi suam sententiam & fidem in actorum deponant monimentis.

D Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου, ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Εὐσέβιος ἐπίσκοπος εἶπε· ταῦτα ἐμαυτὸν φρονοῦντα πεπεισμένος ἔχων, καὶ ἀπὸ τούτων τοῖς παραχαράττειν βουλομένοις τὸ τῆς ὀρθοδοξίας δόγμα εἰς ἀντιπάλου τάξιν ἀντικαθιστὰς, κατέλαβον ὑμῶν τὴν ἁγίαν σύνοδον· καὶ ἀξιῶ καὶ τὴν ὑμετέραν ἁγιωσύνην σύμψηφον γενέσθαι τοῖς ἀναγνωσθεῖσιν· ὥστε ταύτας τὰς ἐκθέσεις παραλύοντα, ἐχθρὸν εἶναι τῆς ὀρθοδόξου ἐκκλησίας, καὶ τοῦ ἱερατικοῦ συλλόγου ἀλλότριον. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· ἀναγκαῖον καὶ εὐσεβὲς συνθέσθαι ἡμᾶς τοῖς ὀρθῶς δεδογμένοις. τίς γὰρ ἁγίου πνεύματος λόγοις ἀντιτεῖναι δυνήσεται; αἱ γὰρ ἀναγνωσθεῖσαι ἐπιστολαὶ τοῦ τῆς μακαρίας μνήμης καὶ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου, τοῦ γενομένου ἐπισκόπου τῆς κατὰ Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας, ἀκριβῶς τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ κατὰ καιροὺς συνελθόντων τὴν διάνοιαν ἑρμηνεύουσαι, ἐδίδαξαν ἡμᾶς ἅπερ καὶ ἡμεῖς
E ἐφρονήσαμεν ἀεὶ, καὶ φρονοῦμεν· ὡς ὅτι περ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς, Θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς ἀνάρχως γεννηθεὶς κατὰ τὴν θεότητα· ἐπὶ τέλει δὲ, καὶ ἐν ὑστέροις καιροῖς ὁ αὐτὸς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου γεννηθεὶς κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιος τῷ πατρὶ κατὰ τὴν θεότητα, ὁμοούσιος τῇ μητρὶ κατὰ τὴν ἀνθρωπότητα. καὶ γὰρ ἐκ δύο φύσεων ὁμολογοῦμεν τὸν Χριστὸν εἶναι μετὰ τὴν ἐνανθρώπησιν, ἐν μιᾷ ὑποστάσει, καὶ ἑνὶ προσώπῳ, ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν. τοὺς δὲ μὴ ταῦτα φρονεῖν αἱρουμένους ἀποκηρύττομεν τῆς ἁγίας συνόδου τῶν ἱερέων, καὶ τοῦ πληρώματος τῆς ἐκκλησίας. καὶ ἕκαστος δὲ τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων τὴν ἑαυτοῦ γνώμην καὶ τὴν πίστιν αὐτοῦ κατατιθέσθω ἐπὶ τῆς πράξεως τῶν ὑπομνημάτων.

Ταύτης ἕνεκα τῆς διαλαλιᾶς, ὁ μὲν Φλαβιανὸς καθῃρέθη παρὰ Διοσκόρου, ὡς ἐγκριθεὶς παρ' αὐτοῦ ἐν τῇ πρώτῃ κατ' Ἔφεσον συνόδῳ. Ἰουβενάλιος δὲ, καὶ Θαλάσσιος, καὶ Εὐστάθιος ἐπερωτηθέντες ἐν Χαλκηδόνι καλῶς ἔχειν ἐπῄνεσαν. Διόσκορος δὲ, ὡς μὴ συνθέμενος ταύτῃ, παρὰ τῶν τοποτηρητῶν τοῦ Ῥώμης ἐπισκόπου ἄξιος εὑρέθη καθῃρέσεως· παρὰ δὲ τῶν ἀρχόντων οὐ μόνον αὐτὸς Διόσκορος, ἀλλὰ καὶ οἱ περὶ Ἰουβενάλιον, καὶ Εὐστάθιον, καὶ Θαλάσσιον.

Καὶ ἐν

ANNO CHRISTI 451.

ACTIO PRIMA.

CHALCED. ACTA.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τί λέγουσιν οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς παρούσης ἁγιωτάτης συνόδου; οὕτως ἐκθέμενος τὴν πίστιν ὁ τῆς ὁσίας μνήμης Φλαβιανὸς, ἔσωσε τὴν ὀρθόδοξον καὶ καθολικὴν θρησκείαν, ἤ τι περὶ αὐτῆς ἐσφάλη; Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπέχων τὸν ἀποστολικὸν θρόνον, ἔφη· ἁγνῶς καὶ ὁλοκλήρως τὴν πίστιν ἐξέθετο ὁ τῆς μακαρίας μνήμης Φλαβιανός· ἥ τε πίστις, καὶ ἔκθεσις συμφωνεῖ τῇ ἐπιστολῇ τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἀνδρὸς, ἐπισκόπου Ῥώμης. Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ὁ μακάριος Φλαβιανὸς καλῶς καὶ ὀρθοδόξως τὴν τῶν ἁγίων πατέρων ἡμῶν πίστιν ἐξέθετο. Λουκήνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπέχων τὸν τόπον ἀποστολικῆς καθέδρας, ἔφη· ἐπειδὴ τοῦ τῆς μακαρίας μνήμης Φλαβιανοῦ ἡ πίστις συμφωνεῖ μετὰ τοῦ ἀποστολικοῦ θρόνου, καὶ τῶν πατρικῶν παραδόσεων, δίκαιον τὴν ἁγιωτάτην σύνοδον τὴν καταδίκην τὴν εἰς αὐτὸν ἀπὸ τῶν αἱρετικῶν ἐπενεχθεῖσαν, εἰς αὐτοὺς ἀντιστρέψαι. ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Συρίας εἶπεν· ὀρθοδόξως ὁ τῆς ὁσίας μνήμης ἀρχιεπίσκοπος Φλαβιανὸς, καὶ συμφώνως τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Λέοντι τὴν πίστιν ἐξέθετο· καὶ πάντες αὐτὴν προθύμως δεχόμεθα. Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ὁ τῆς μακαρίας μνήμης Φλαβιανὸς συνῳδὰ διελάλησε τῷ τῆς μακαρίας μνήμης Κυρίλλῳ. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· συντιθέμεθα, καὶ ἀποδεχόμεθα τὴν τοῦ ὁσιωτάτου Φλαβιανοῦ ἐπὶ τῇ θρησκείᾳ διαλαλιάν. Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· ἠκολούθησεν ὁ θεοφιλέστατος τὴν μνήμην ἀρχιεπίσκοπος τῆς βασιλευούσης γενόμενος Φλαβιανὸς τοῖς διδάγμασι τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Ἀλεξανδρέων γενομένου Κυρίλλου. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ὁ μάρτυς Φλαβιανὸς τὴν πίστιν καλῶς ἐξέθετο· ὁ ἀρχιεπίσκοπος Φλαβιανὸς τὴν πίστιν καλῶς ἐξέθετο. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀναγνωσθήτω τὰ λοιπὰ αὐτοῦ ῥήματα, καὶ οὕτως ἀποκρίνομαι· ἐν γὰρ τοῖς ἑξῆς εὑρίσκεται διαμαχόμενος ἑαυτῷ, καὶ λέγων μετὰ τὴν ἕνωσιν δύο φύσεις. Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· σύμφωνα τοῖς εἰρημένοις τῷ μακαρίῳ τὴν μνήμην Κυρίλλῳ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Φλαβιανὸς εἶπε· παρακαλοῦμεν δὲ ἀναγνωσθῆναι τὰ ἑξῆς, ἵνα σαφεστέρα ἡ διάνοια γένηται. οἱ ἀπὸ Παλαιστίνης εὐλαβέστατοι ἐπίσκοποι εἶπον· τὰ αὐτὰ λέγομεν τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Ἰουβεναλίῳ. καὶ ἀναστὰς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰουβενάλιος ἅμα αὐτοῖς, μετῆλθεν εἰς τὸ ἄλλο μέρος. καὶ ἀνεβόησαν οἱ ἀνατολικοὶ εὐλαβέστατοι ἐπίσκοποι, καὶ οἱ σὺν αὐτοῖς· ὁ Θεὸς καλῶς ἤγαγέ σε, ὀρθόδοξε, καλῶς ἦλθες. Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορίνθου εἶπεν· ἐγὼ μὲν τηνικαῦτα οὐ παρήμην τῇ συνόδῳ τῇ κατὰ Ἔφεσον. οὐδέπω γὰρ ἤμην χειροτονηθεὶς ἐπίσκοπος. ἐκ δὲ τῶν ἀναγινωσκομένων, εὑρὼν τὰ εἰρημένα παρὰ τοῦ τῆς μακαρίας μνήμης Φλαβιανοῦ ζῆλον ἔχοντα πρὸς τὰ ἐκτεθέντα παρὰ τοῦ τῆς ἁγίας μνήμης Κυρίλλου, ὀκνῶ ἐπιλαβέσθαι· τὰ δὲ ὑπόλοιπα ἀναγινωσκόμενα, πλειότερόν με διδάξει. καὶ ἀναστὰς καὶ αὐτὸς, μετῆλθεν εἰς τὸ ἄλλο μέρος. καὶ ἀνεβόησαν οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι· ὁ Πέτρος τὰ Πέτρου φρονεῖ· ὀρθόδοξε, καλῶς ἦλθες. Εἰρηναῖος ὁ εὐλαβέστατος ἐπίσκοπος * Ἑλλάδος εἶπε· κἀγὼ οὐ παρήμην μὲν ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ κατ' Ἔφεσον ὑπάρχων ψηφισθείς· ἀπὸ δὲ τῶν ἀρτίως ἀναγνωσθέντων ἡμῖν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ διηγημάτων, ὀκνῶ ἐπιλαβέσθαι αὐτοῦ· τὰ δὲ ὑπόλοιπα ἀξιοῦμεν ἀναγνωσθῆναι ἡμῖν. οἱ ὑπόλοιποι εὐλαβέστατοι ἐπίσκοποι Ἑλλάδος εἶπον· τὰ αὐτὰ περὶ τῶν ἀναγνωσθέντων καὶ ἡμεῖς διδασκόμεθα. καὶ πάντες εἰς τὸ ἄλλο μετῆλθον μέρος. Κυντίλλος, καὶ Σώζων, καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι Μακεδονίας καὶ Κρήτης εἶπον· ἐν τῇ ἀναγνωσθείσῃ διαλα-

καίτοι γε ἐν τοῖς ἑξῆς ἐναντία οὐ φαίνεται εἰρηκὼς ὁ αὐτὸς Φλαβιανὸς, ἢ μνημονεύσας δύο φύσεων μετὰ τὴν ἕνωσιν καὶ [illegible] ἐφεξῆς [illegible] ἀναγνωσθέντα.

* Forte, Ναυπάκτου.

Et cum legerentur, gloriosissimi judices & amplissimus senatus dixerunt: Quid dicunt reverentissimi episcopi præsentis sanctæ synodi? Itane exponens fidem sanctæ memoriæ Flavianus, orthodoxam & catholicam religionem salvavit, an erravit in ea? Paschasinus reverentissimus episcopus, vicarius sedis Apostolicæ, dixit: Sancte & integre & catholice exposuit beatæ recordationis Flavianus: siquidem ejus fidei expositio cum beatissimi atque apostolici viri Papæ Romani epistola concordat. Qua voce Græce interpretata per virum devotissimum Constantinum secretarium sacri consistorii, Anatolius reverentissimus archiepiscopus Constantinopolitanæ civitatis dixit: Beatus Flavianus bene & orthodoxe sanctorum patrum nostrorum fidem exposuit. Lucentius reverentissimus episcopus, vicarius sedis Apostolicæ, dixit: Quoniam sanctæ memoriæ Flaviani fides concordat cum Apostolica sede & patrum traditione, sententiam, qua illum ab hæreticis constat esse damnatum, ipsam in eos retorqueri a sancta synodo necesse est. Qua voce Græce interpretata per Constantinum venerandum secretarium sacri consistorii, Maximus reverentissimus episcopus Antiochiæ Syriæ dixit: Sanctæ memoriæ archiepiscopus Flavianus orthodoxe & consonanter beatissimo ac sanctissimo archiepiscopo Leoni fidem exposuit, & omnes eam prompte suscipimus. Thalassius reverentissimus episcopus Cæsareæ Cappadociæ dixit: Beatæ memoriæ Flavianus consonanter locutus est sanctæ memoriæ Cyrillo. Eusebius reverentissimus episcopus Ancyræ Galatiæ dixit: Consentimus & approbamus sanctissimi Flaviani pro catholica fide interlocutionem. Eustathius reverentissimus episcopus Beryti dixit: Secutus est beatæ memoriæ archiepiscopus regiæ urbis quondam Flavianus doctrinam beatissimi & sanctissimi patris nostri & quondam episcopi Alexandriæ Cyrilli. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Martyr Flavianus fidem bene exposuit: archiepiscopus Flavianus fidem bene exposuit. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Legantur reliqua ejus verba, & sic respondebo. In sequentibus enim invenitur se impugnans, & dicens post adunationem duas naturas. Juvenalis reverentissimus episcopus Hierosolymorum dixit: Consona dictis beatæ memoriæ Cyrilli & sanctissimus episcopus Flavianus dixit: supplicamus vero sequentia recitari, ut sensus ejus manifestior fiat. Reverentissimi episcopi Palæstini dixerunt: Eadem dicimus, quæ & sanctissimus archiepiscopus Juvenalis. Exsurgens reverentissimus episcopus Juvenalis simul cum aliis transiit in alteram partem. Et clamaverunt Orientales & qui cum ipsis reverentissimi episcopi: Deus bene adduxit te, orthodoxe, bene venisti. Petrus reverentissimus episcopus Corinthi dixit: Ego quidem tunc non adfui in Ephesina synodo; necdum enim etam gratia Christi ordinatus episcopus: ex his vero quæ lecta sunt, reperi dicta a beatæ memoriæ Flaviano zelum habentia pro expositionibus sanctæ memoriæ Cyrilli, & piget me reprehendere. Reliqua vero, cum lecta fuerint, perfectius me edocebunt. Et exsurgens & ipse transiit in alteram partem. Et clamaverunt Orientales & qui cum ipsis reverentissimi episcopi: Petrus ea quæ Petri sunt, sapit. Bene venisti, orthodoxe. Irenæus reverentissimus episcopus Naupacti Helladis provinciæ dixit: Nec ego quidem præsens fueram sanctæ Ephesinæ nuper factæ synodo: ex his vero expositionibus, quæ nunc nobis lecta sunt, sanctæ memoriæ Flaviani, piget me eum reprehendere. Reliqua vero petimus recitari. Ceteri reverentissimi episcopi Helladis dixerunt: Hæc eadem & nos super his quæ lecta sunt, docemus. Et omnes in alteram partem transierunt. Quintillus & Sozon & ceteri reverentissimi episcopi Macedoniæ & Cretæ dixerunt: In recitata interlocu-

ACTIO PRIMA.

ANNO CHRISTI 451.

A tione sanctæ memoriæ Flaviani nihil inconsequens invenimus. Petimus autem reliqua recitari. Nicolaus reverentissimus episcopus Stobenus Macedoniæ secundæ dixit: In præscripta quidem synodo non adfui: ex his vero quæ lecta sunt, nihil invenio contrarium definitis a beatissimis patribus, & a beato Cyrillo, dixisse sanctæ memoriæ Flavianum. Athanasius reverentissimus episcopus Busiridis Tripolis Ægypti provinciæ dixit: Secutus est epistolas sanctissimi Cyrilli, & sanctissimus episcopus Flavianus: etenim bene exposuit fidem. Ausonius reverentissimus episcopus Sebennyti dixit: Consona his quæ exposita sunt a sanctæ memoriæ Cyrillo interlocutus est & sapuit sanctissimus & reverentissimus episcopus Flavianus, sicut & quæ lecta sunt epistolæ sanctissimi Cyrilli continent. Nestorius reverentissimus episcopus [a] Flagonensis dixit: Consequentia his quæ lecta sunt, ex fide monimentorum, & expositione, quam exposuit beatæ memoriæ Cyrillus, & beatæ memoriæ Flavianus exposuit. [b] Macarius reverentissimus episcopus Cabassi dixit: Ego hæc eadem dico. Bene enim exposuit sanctissimus episcopus Flavianus, secutus fidem sanctissimi Cyrilli. Constantinus reverentissimus episcopus Demetriadis Thessaliæ dixit: Metropolita quidem meus ægritudine detentus, adhuc in Helenopoli est: ego tamen secundum fidem trecentorum decem & octo sapio, & consentio his quæ nuper lecta sunt beatissimi Cyrilli: & si sapio aliter, aut aliquando sapui, anathema mihi: & consentio eis, sicut consensit beato Cyrillo & beatæ memoriæ Flavianus. Eutychius reverentissimus episcopus Adrianopolis veteris Epiri, Claudius episcopus [c] Anchiaxi, Marcus reverentissimus episcopus Euriæ, Peregrinus reverentissimus [d] episcopus Phœniciæ, & Sotericus reverentissimus episcopus Corcyræ, dixerunt: Sanctissimus quidem pater noster Atticus metropolita episcopus Nicopolis ante paululum recessit, dure ægrotans: nos vero tantum confitemur, quia lectis epistolis beatissimi & sanctissimi patris nostri Cyrilli consona & beatissimus Flavianus interlocutus est: & petimus sequentia omnium gestorum relegi. Et omnes in alteram partem transierunt. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Manifeste ideo damnatus est Flavianus, quoniam post adunationem duas dixit naturas. Ego autem testimonia habeo sanctorum patrum, Athanasii, Gregorii, Cyrilli in multis locis, quia non oportet dicere post adunationem duas naturas, sed unam naturam Dei Verbi incarnatam. Ego cum patribus ejicior: ego defendo patrum dogmata, non transgredior in aliquo; & horum testimonia non simpliciter, neque transitorie, sed in libris habeo. Ut vero omnes petierunt, & ego rogo aliqua recenseri.

[a] Cdd. Flagonens. al. Fragonus

[b] al. Marcellus Cabassus

[c] al. Anchiasmi

[d] al. Phœnices.

A λιᾷ τῷ τῆς ὁσίας μνήμης Φλαβιανοῦ οὐδὲν ἀνακόλουθον εὑρίσκομεν· ἀξιοῦμεν δὲ τὰ ὑπόλοιπα ἀναγνωσθῆναι. Νικόλαος ὁ εὐλαβέστατος ἐπίσκοπος Στόβων Μακεδονίας [a] εἶπεν· ἐπὶ μὲν τῆς προγεγραμμένης συνόδου οὐ παρήμην· ἀπὸ δὲ τῶν ἀναγνωσθέντων εὑρίσκω οὐδὲν ἐναντίον τῶν τυπωθέντων παρὰ τῶν μακαριωτάτων πατέρων, καὶ τοῦ μακαριωτάτου Κυρίλλου, εἰρηκέναι τὸν τῆς μακαρίας μνήμης Φλαβιανόν. Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βουσίριδος Τριπόλεως κατ' Αἴγυπτον εἶπεν· ἠκολούθησε ταῖς ἐπιστολαῖς Κυρίλλου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ὁ ἁγιώτατος ἐπίσκοπος Φλαβιανός· καὶ γὰρ καλῶς ἐξέθετο τὴν πίστιν. [b] Αὐσόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβεννύτου εἶπεν· σύμφωνα τοῖς ἐκτεθεῖσι παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου διελάλησε καὶ ἐφρόνησεν ὁ ἁγιώτατος καὶ εὐσεβέστατος ἐπίσκοπος B Φλαβιανός, καθὼς καὶ αἱ ἀναγνωσθεῖσαι ἐπιστολαὶ τοῦ ὁσιωτάτου Κυρίλλου περιέχουσι. Νεστόριος ὁ εὐλαβέστατος ἐπίσκοπος Φλαγωνίας εἶπεν· ἀκολούθως τοῖς ἀναγνωσθεῖσι [c] τῇ πίστει τῶν ὑπομνημάτων, καὶ τῇ ἐκθέσει, ᾗ ἐξέθετο ὁ τῆς μακαρίας μνήμης Κύριλλος, καὶ ὁ τῆς μακαρίας μνήμης Φλαβιανὸς ἐξέθετο. Μακάριος ὁ εὐλαβέστατος ἐπίσκοπος Καβάσσων εἶπεν· κἀγὼ τὰ αὐτὰ λέγω· καλῶς γὰρ ἐξέθετο ὁ ὁσιώτατος ἐπίσκοπος Φλαβιανός, τῇ πίστει τοῦ ἁγίου Κυρίλλου ἐξακολουθήσας. Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Δημητριάδος Θεσσαλίας εἶπεν· ὁ μὲν μητροπολίτης μου νόσῳ κατεχόμενος, ἔτι ἐστὶ κατὰ τὴν Ἑλενούπολιν. ἐγὼ δὲ κατὰ τὸ φρόνημα τῶν τριακοσίων δέκα καὶ ὀκτὼ φρονῶ, καὶ συναινῶ τοῖς ἀναγνωσθεῖσιν ἀρτίως τοῦ μακαρίου Κυρίλλου· καὶ εἰ φρονῶ ἑτέρως, ἢ ἐφρόνησα, ἀνάθεμά μοι. καὶ συναινῶ αὐτοῖς, [d] οἷς συνῄνεσε τοῖς μακαρίου C Κυρίλλου καὶ Φλαβιανὸς ὁ τῆς μακαρίας μνήμης. Εὐτύχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀδριανουπόλεως παλαιᾶς Ἠπείρου, καὶ Κλαύδιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγχιασμοῦ, Μάρκος ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐροίας, Περεγρῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Φοινίκης, καὶ Σωτήριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Κερκύρας, εἶπον· ὁ μὲν ἁγιώτατος πατὴρ ἡμῶν Ἀττικὸς ἐπίσκοπος τῆς Νικοπόλεως πρὸ ὀλίγου ἀνεχώρησεν· ἀρρωστήσας ἰσχυρῶς· ἡμεῖς δὲ τοσοῦτον καταπειθόμεθα, ὅτι ταῖς ἀναγνωσθείσαις ἐπιστολαῖς τοῦ μακαριωτάτου καὶ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου σύμφωνα, καὶ ὁ μακάριος Φλαβιανὸς διελάλησεν· καὶ ἀξιοῦμεν τὰ ἑξῆς πάντων τῶν πεπραγμένων ἀναγνωσθῆναι· καὶ πάντες εἰς τὸ ἄλλο μέρος μετῆλθον. Διόσκορος ὁ εὐλαβέστατος D ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· φανερῶς διὰ τοῦτο καθῄρηται Φλαβιανός, ὅτι μετὰ τὴν ἕνωσιν δύο φύσεις εἶπεν. ἐγὼ δὲ χρήσεις ἔχω τῶν ἁγίων πατέρων, Ἀθανασίου, Γρηγορίου, Κυρίλλου, ἐν πολλοῖς τόποις, ὅτι οὐ δεῖ λέγειν μετὰ τὴν ἕνωσιν δύο φύσεις, ἀλλὰ μίαν σεσαρκωμένην τοῦ λόγου φύσιν. ἐγὼ μετὰ τῶν πατέρων ἐκβάλλομαι· ἐγὼ συνίσταμαι τοῖς τῶν πατέρων δόγμασιν· οὐ παραβαίνω ἔν τινι. καὶ τούτων τὰς χρήσεις οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἐν βιβλίοις ἔχω. καθὼς δὲ πάντες ᾐτήσαντο, κἀγὼ ἠξίωσα τὰ ὑπόλοιπα ἀναγνωσθῆναι. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· τὰ ἑξῆς ἀναγνωσθήτω. Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου, ἀπὸ τοῦ χαρτίου [illegible].

[a] Forte, [illegible]

[b] Forte, Αὐσόνιος

[c] Forte, ἐν τῇ

[d] ὡς in Latino.

Religiosissimi judices & amplissimus senatus dixerunt: Sequentia relegantur. Veronicianus devotissimus a secretis sacri consistorii ex eadem scheda recitavit.

CONSTAN. ACTA.

Religiosissimus episcopus Basilius metropolis Seleuciæ Isauriæ dixit: Quis poterit beatissimi patris nostri Cyrilli reprehendere voces, qui impietatem Nestorii futuram mundum inundare, compescuit per propriam sapientiam? Et illo quidem dividente in duas personas & duos filios unum Dominum nostrum Deum & Salvatorem Christum, ipse ostendit in una persona & Filii & Domini, & dominatoris creaturæ, deitatem agnoscendam perfectam, & humanitatem perfectam. Approbamus igitur omnia ab eo scripta & directa, sicut vera & cum pietate conjuncta; & adoramus unum Dominum nostrum Jesum Christum in duabus naturis agnoscendum. Unam enim habebat in semetipso ante omnia sæcula, sicut splendor gloriæ Patris: alteram autem, sicut ex matre natus propter nos, accipiens ex ea, sibi univit secundum subsistentiam: & vocatus est perfectus Deus & Filius Dei,

Hebr. 1.

Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος τῆς μητροπόλεως Σελευκείας [e] εἶπε· τίς δυνήσεται τὰς τοῦ μακαρίου πατρὸς ἡμῶν Κυ- E ρίλλου μέμψασθαι φωνάς; ὃς τὴν ἀσέβειαν Νεστορίου μέλλουσαν ἐπικλύζειν τὴν οἰκουμένην, ἐπέσχε διὰ οἰκείας συνέσεως· κἀκείνου διαιροῦντος εἰς δύο πρόσωπα καὶ δύο υἱοὺς τὸν ἕνα κύριον ἡμῶν Θεὸν καὶ σωτῆρα Χριστόν, αὐτὸς ἔδειξεν ἐπὶ ἑνὸς προσώπου, καὶ υἱοῦ, καὶ κυρίου, καὶ δεσπότου τῆς κτίσεως, θεότητά γε γνωριζομένην τελείαν, καὶ ἀνθρωπότητα τελείαν. ἀποδεχόμεθα τοίνυν πάντα τὰ παρ' αὐτοῦ γεγραμμένα καὶ ἀπεσταλμένα, ὡς ἀληθῆ καὶ τῆς εὐσεβείας ἐχόμενα, καὶ προσκυνοῦμεν τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐν δύο φύσεσι γνωριζόμενον. τὴν μὲν γὰρ εἶχεν ἐν ἑαυτῷ προαιώνιον, ὡς ὢν ἀπαύγασμα τῆς τοῦ πατρὸς δόξης· τὴν δέ, ὡς μητρὸς δι' ἡμᾶς γεννηθείς, λαβὼν ἐξ αὐτῆς, ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν· καὶ ἐχρημάτισε τέλειος Θεὸς καὶ υἱὸς τοῦ Θεοῦ, καὶ τέλειος ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου, πάντας ἡμᾶς σῶσαι

[e] Forte, Ἰσαυρίας

& perfectus homo & filius hominis; omnes nos volens

βουληθεὶς ἐν τῷ σῶσαι κατὰ πάντα ἡμῖν παρεμφερὴς, πλὴν ἁμαρτίας. τοὺς δὲ ἐναντιουμένους τοῖς τοιούτοις δόγμασιν, ἐχθροὺς τῆς ἐκκλησίας εἶναί φαμεν. ὁ θεοσεβέστατος ἐπίσκοπος Σέλευκος τῆς μητροπόλεως Ἀμασείας εἶπεν· ἐπλήρωσε τὰς καρδίας ἡμῶν εὐφροσύνης τὰ ἀρτίως ἀναγνωσθέντα δόγματα τοῦ ἁγίου πατρὸς καὶ ἐπισκόπου γεγονότος Κυρίλλου, καὶ ἡ σύνεσις τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ, καὶ ἡ νῦν συγκατάθεσις τοῦ ἁγιωτάτου ἐπισκόπου Βασιλείου. ὅθεν ἀποστολικῶν καὶ ὀρθῶν καὶ εὐσεβῶν ὄντων τῶν τοιούτων δογμάτων, καὶ αὐτὸς συντίθεμαι, καὶ συναινῶ· καὶ τὸν μὴ φρονοῦντα οὕτως ἀναθεματίζω, καὶ ἀλλότριον ὑποκρίνω τῆς ἐκκλησιαστικῆς καὶ ὀρθοδόξου συναφείας. πιστεύομεν γὰρ καὶ ἡμεῖς εἰς τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐκ Θεοῦ λόγον, τὸν ἐκ τοῦ φωτὸς φῶς, τὸν ἐκ τῆς ζωῆς ζωὴν, ἐν δύο φύσεσι κατὰ τὴν ἐνανθρώπησιν, καὶ τὴν τῆς σαρκὸς τῆς ἐκ τῆς ἁγίας Μαρίας πρόσληψιν, δογματίζεσθαι· καὶ τὸν παρὰ ταῦτα φρονοῦντα, ὡς ἀλλότριον τῆς ἐκκλησίας ἀποκηρύττομεν.

Ἡ ἁγία σύνοδος εἶπεν· οὐδεὶς δύο λέγει τὸν κύριον μετὰ τὴν ἕνωσιν. οὐκ ἦν Ἀμασείας ἐπίσκοπος. τὸν ἀμέριστον μὴ μέριζε· ταῦτα Νεστόριος ἐφρόνησεν. οὐκ ἦν Ἀμασείας ἐπίσκοπος, οὐκ ἦν Ἀμασείας, Σινώπης ἐστίν. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· σιωπήσατε ὀλίγον. ἀκούσωμεν ἄλλων βλασφημιῶν. τί μεμφόμεθα Νεστορίῳ μόνῳ; πολλοὶ Νεστόριοί εἰσι. Ἰωάννης πρεσβύτερος καὶ πριμικήριος νοταρίων εἶπεν· ἐκ τῶν ἀναγινωσκομένων ἐκεῖνο ἐπισημαινόμεθα, ὅτι πίστιν ἑτέραν παρὰ τὴν ἐκτεθεῖσαν ἐν τῇ Νικαίᾳ καὶ βεβαιωθεῖσαν ἐνταῦθα τὸ πρότερον, ἐξέθεντο οἱ ταῦτα εἰπόντες. Ὀλύμπιος ἐπίσκοπος Εὐάζων εἶπεν· εἰ ἀρχὴν ἡ πίστις ἔχει ἐκ τῶν ὑπομνημάτων, οἱ δεδωκότες τὴν ἀρχὴν, ἔστωσαν ἀνάθεμα.

Ὁ θεοφιλέστατος ἐπίσκοπος Σατορνῖνος τῆς Μαρκιανουπολιτῶν μητροπόλεως εἶπεν· εἴ τις ἑτέρως φρονεῖ παρὰ τὰ ἀρτίως ἀναγνωσθέντα ἐπὶ τῆς ἁγίας ταύτης συνόδου, οὗτος κατὰ τοὺς τύπους τῶν ἁγίων πατέρων, ἀλλότριος ἔστω καὶ ἀκοινώνητος ἡμῶν, ὡς μὴ ἐμμείνων τοῖς καλῶς διατεθεῖσι παρὰ τῶν ἁγίων πατέρων. ὁ θεοφιλέστατος ἐπίσκοπος Αἰθέριχος τῆς Σμυρναίων πόλεως εἶπε· καθὼς οἱ πατέρες οἱ παρόντες συνέθεντο, κἀγὼ συναινῶ, καὶ συντίθεμαι. καὶ πρὸ τούτου, καὶ νῦν, καὶ μετὰ ταῦτα, καὶ εἰς τὸν μέλλοντα αἰῶνα.

Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· ἐγὼ ταῦτα οὐκ εἶπον. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· τί λέγει; Ἰωάννης πρεσβύτερος, καὶ πριμικήριος νοταρίων, εἶπε· κακῶς ἐπιλαμβάνεται. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· διδασκέτω ὁ εὐλαβέστατος ἐπίσκοπος Αἰθέριχος, ἃ βούλεται. Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· αἰφνιδίως ἐπιστάντος ἐν Κωνσταντινουπόλει· προσῆγον δέ μοι ἀκροαταί· εἶτα ἔδωκαν αὐτὸν τὸν μονάζοντα μετ' αὐτῶν, καὶ λέγει· κύριε ὑπόγραψον. λέγω κἀγώ· τέως κἂν ἄφες ἴδωμεν· ἐπισημειούμεθα αὐτοῦ φανερά τινα. μετὰ ταῦτα λέγει, ἔκθου. ἐγὼ λέγω, ἐκθέσθαι οὐ δύναμαι. ἀληθῶς μὲν οἶδα, ἀλλ' οὐ δύναμαι εἰπεῖν· πλὴν λέγω· εἴ τις οὐ πιστεύει καθὼς οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ, καὶ οἱ ἐν Ἐφέσῳ, ἀνάθεμα ἔστω καὶ ὧδε, καὶ εἰς ἐκεῖνον τὸν μέλλοντα αἰῶνα. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· ταῦτα οὖν τὰ ἀναγνωσθέντα πλαστά εἰσι; Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· οὐκ οἶδα ἐγώ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· περαιτέρω τούτων οὐκ εἴρηκας; Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· οὔ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐπήκουσας δὲ τῶν ἤδη παρὰ σοῦ εἰρημένων; Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν. ἐπήκουσα. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· καὶ οὐκ εἴρηκας αὐτά; Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· οὔ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· δῆλα τὰ κατατεθέντα παρὰ τοῦ παρόντος. ὅθεν ἀναγινωσκέσθω τὰ ἑξῆς.

salvare in eo, quod factus est per omnia nobis similis, absque peccato. Contrarios vero his doctrinis, inimicos catholica ecclesia esse asserimus. Seleucus reverentissimus episcopus metropolis Amasia dixit; Repleverunt corda nostra latitia, qua nuper nobis sunt lecta doctrina sancti patris nostri & quondam episcopi Cyrilli, & prudentia sanctissimi archiepiscopi nostri Flaviani, & prasens professio sanctissimi episcopi Basilii: Unde cum recta & apostolica & pia sint talia dogmata, & ego consentio & confiteor: & qui ita non sapit, anathematizo, & alienum esse judico ab ecclesiastica & catholica unitate. Credimus enim & nos in unum Dominum nostrum Jesum Christum, ex Deo Verbum, lumen ex lumine, de vita vitam, in duabus naturis post incarnationem, & ex sancta Maria carnis assumptionem, pradicari. Et eum qui prater hac sapit, sicut alienum ab ecclesia abdicamus.

Sancta synodus dixit: Nemo duo dicit Dominum post unitionem. Non erat Amasia episcopus. Indivisum noli dividere. Hac Nestorius sapuit. Non erat Amasia episcopus, non erat Amasia; Sinopes est. Dioscorus reverentissimus episcopus Alexandria dixit: Tacete modicum, audiamus alias blasphemias. Quid culpamus Nestorium solum? Multi sunt Nestorii. Joannes presbyter & primicerius notariorum dixit: Ex his qua lecta sunt, illud annotamus, quia alteram fidem prater eam qua in Nicaa exposita est, & hic prius confirmata est, exposuerunt, qui ista dixerunt. Olympius episcopus Evazorum dixit: Si initium fides habet ex gestis, qui dederunt initium, sint anathema.

Ephesi acta.

Saturninus Deo amantissimus episcopus Marcianopolis metropolis dixit: Si quis aliter sapit prater ea qua nuper lecta sunt in hac sancta synodo, hic secundum formam sanctorum patrum alienus sit & excommunicatus nobis, sicut non permanens in his qua bene a sanctis patribus definita sunt. Æthericus Deo amantissimus episcopus civitatis Smyrna dixit: Sicut prasentes patres consenserunt, & ego consentio & concordo, & ante, & nunc, & post hac, & in futuro saculo.

Æthericus episcopus Smyrnæ dixit: Ego ista non dixi. Dioscorus episcopus Alexandriæ dixit: Quid dicit? Joannes presbyter & primicerius notariorum dixit: Falsum reprehendit. Dioscorus episcopus Alexandriæ dixit: Doceat reverentissimus episcopus Æthericus, quæ voluerit. Æthericus episcopus Smyrnæ dixit: [a] Subito ut ingressus sum Constantinopolim, accedebant ad me auditores, ducentes hunc ipsum monachum cum ipsis, qui dixit: Domine, subscribe. Dico & ego: Interim sine videamus, si quæ audivimus de eo, certa sint. Postea dicit: Expone. Ego vero dixi: Exponere non possum. Vere quidem scio, sed non possum dicere. Tamen dico, si quis non credit sicut trecenti decem & octo, & qui in Epheso, anathema sit & hic, & in illo futuro sæculo. Dioscorus episcopus Alexandriæ dixit: Hæc ergo quæ lecta sunt, falsa sunt? Æthericus episcopus Smyrnæ dixit: Ego nescio. Dioscorus episcopus Alexandriæ dixit: Aliud his amplius non dixisti? Æthericus episcopus Smyrnæ dixit: Non. Dioscorus episcopus Alexandriæ dixit: Audivisti autem quæ tunc scilicet a te dicta sunt? Æthericus Smyrnæ episcopus dixit: Audivi. Dioscorus episcopus Alexandriæ dixit: Et non ea dixisti? Æthericus episcopus Smyrnæ dixit: Non.

Chalced. acta.

[a] al. Subito ingressus sum Constantinopolim attendebam autem auditores, deinde hunc ipsum monachum cum ipsis: & dicit: [b] al. Sine vel videamus: audivimus ab eo certa aliqua.

Dioscorus episcopus Alexandriæ dixit: Manifesta sunt quæ a præsente viro deposita sunt. Unde reliqua percurrantur.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης ἀναστὰς, εἶπε· τὸ πρότερον συνεθέμην, καὶ ὑπέγραψα μόνον, ἀπῆλθον· ἐκολλήθη μοι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος, καὶ λέγει· διὰ τί ὑπέγραψας κατὰ Εὐτυχοῦς; λέγω ἐγὼ, ὑπέγραψα, ὡς πάντες οἱ πατέρες ἡμῶν· εἰ δὲ ἐστι

Et cum legerentur, Æthericus reverentissimus episcopus Smyrnæ exsurgens dixit: Prius quidem consensi & subscripsi tantum: abii Ephesum; statim adhæsit mihi Dioscorus reverentissimus episcopus, & diixit: Quare subscripsisti contra Eutychem? Dico: Ego subscripsi sicut omnes patres nostri. Si vero est

aliquid aliud, dicite mihi. Dixit: Quid subscripsisti? Dico: Sicut obtulerunt mihi, subscripsi. Anathema si quis non credit sicut trecenti decem & octo, & sicut qui in Epheso, ille anathema sit. Postea, quid scripserint nescio. Præsentibus omnibus dixi. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Deducat duos testes. Æthericus reverentissimus episcopus Smyrnæ dixit: Sicut Cyrillus credo. Gloriosissimi judices & amplissimus senatus dixerunt: Quo præsente hæc tibi dixit Dioscorus reverentissimus episcopus? Æthericus reverentissimus episcopus Smyrnæ dixit. Coram omnibus dixit. Thalassius reverentissimus episcopus Cæsareæ Cappadociæ dixit: Hæc quæ scripta sunt, dixisti sine ulla necessitate: quid vis ea modo destruere? Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Calumniatus nihil patitur? Si ego essem reprehensus, non patiebar?

A ὅτι τι ἄλλο, εἴπατέ μοι. λέγει· τί ὑπέγραψας; λέγω, ὑπέγραψα, ὡς προσήνεγκαί μοι. ἀνάθεμα, εἴ τις οὐ πιστεύει τοῖς τριακοσίοις δεκαοκτὼ, καὶ ὡς ἐν Ἐφέσῳ, οὗτος ἀνάθεμα ἔστω. ὕστερον τί ὑπέγραψαν, οὐκ οἶδα· ἐπὶ πάντων εἶπα. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀγέτω δύο μάρτυρας. Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης εἶπεν· ὡς Κύριλλος, φρονῶ. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· τίνος παρόντος ταῦτά σοι εἶπε Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος; Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης εἶπεν· ἐπὶ πάντων. Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ταῦτα, ἃ γέγραπται, εἶπες ἐκτὸς ἀνάγκης, τί θέλεις ἄρτι καταστρέφειν; Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· συκοφαντήσας οὐδὲν πάσχει; εἰ ἤμην καταγνωσθεὶς, οὐκ ἔπασχον;

Veronicianus devotissimus a secretis sacri consistorii ex eadem scheda recitavit.

B Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

Valerianus reverentissimus episcopus dixit: Ego confiteor duas nativitates in Christo: divinitatis & carnis: divinitatis ex Patre, carnis ex matre: unum tamen & eundem Filium Dei, quemadmodum universi patres constituerunt, duas nativitates in una persona. Sic ergo confiteor, sicut patres trecenti decem & octo congregati in Nicæa civitate; & ut sancta synodus Ephesi decrevit, & beatæ memoriæ Cyrillus Alexandriæ urbis episcopus statuit, sic credo atque confiteor. Longinus Dei amantissimus episcopus Chersonensium civitatis dixit: Sanctam & magnam synodum trecentorum decem & octo congregatam in Nicæa sequens & sanctus pater noster Cyrillus episcopus, doctrinam in epistola cum omni diligentia exposuit. Unde & ego beatissimi archiepiscopi Flaviani consensui & beatissimorum episcoporum concordo, sciens post inhumanationem ex duabus naturis adorare divinitatem unigeniti Filii Dei & Salvatoris nostri Jesu Christi. Contrarios autem hujusmodi fidei, alienos existimamus a fide piæ sanctæ ecclesiæ.

Ὁ εὐλαβέστατος ἐπίσκοπος [a] Οὐαλέριος εἶπεν· ἐγὼ ὁμολογῶ δύο γεννήσεις, ἐκ θείας, καὶ ἐκ σαρκός· θείας μὲν, ἐκ πατρὸς, σαρκὸς δὲ, ἐκ μητρός· ἕνα καὶ τὸν αὐτὸν υἱὸν Θεοῦ, καθὼς πάντες ἔγραψαν οἱ πατέρες· δύο γεννήσεις ἐν ἑνὶ προσώπῳ. οὕτως ὁμολογῶ, καθὼς οἱ πατέρες οἱ τριακόσιοι δεκαοκτὼ, οἱ συναχθέντες ἐν τῇ Νικαίᾳ· καὶ ὡς ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσῳ ἐψηφίσατο, καὶ ὁ τῆς μακαρίας μνήμης Κύριλλος ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπίσκοπος ὥρισεν, οὕτω πιστεύω, καὶ ὁμολογῶ. ὁ θεοφιλέστατος ἐπίσκοπος Λογγῖνος τῆς Χερσονητῶν πόλεως εἶπεν· τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ τῇ τριακοσίων δεκαοκτὼ, τῇ συναχθείσῃ ἐν τῇ Νικαίᾳ, ἐπακολουθῶν καὶ ὁ

C ἐν ἁγίοις πατὴρ ἡμῶν ἐπίσκοπος Κύριλλος, τὸ δόγμα ἐν τῇ ἐπιστολῇ ἐξέθετο μετὰ πάσης ἀκριβείας· ὅθεν κἀγὼ τῇ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Φλαβιανοῦ συναινέσει καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων συντίθεμαι, εἰδὼς μετὰ τὴν ἐνανθρώπησιν τὴν ἐκ δύο φύσεων προσκυνεῖσθαι θεότητα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. τοὺς δὲ ἐναντιουμένους τῇ τοιαύτῃ πίστει, ἀλλοτρίους ἡγούμεθα τῆς εὐσεβοῦς πίστεως τῆς ἁγιωτάτης ἐκκλησίας.

Et cum legerentur, Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Ex duabus suscipio, duas non suscipio. Cogor & impudenter agere: de anima est mihi sermo. Eusebius reverentissimus episcopus Dorylæi dixit: (Tu enim dudum occidisti [a] sanctissimum archiepiscopum Flavianum,) mihi autem vitæ intulisti discrimen. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Satisfacio Deo hic & ibi. Eusebius reverentissimus episcopus Dorylæi dixit: Sed & legibus, sicut dicis. Ergo quare interpellavi? Utique ut pœnas de te exigam. Numquid ad salutandum huc ingressus es? Paschasinus reverentissimus episcopus dixit: Licuit Flaviano episcopo, isto [b] audiente, tantum loqui, quantum iste loquitur? Gloriosissimi judices & amplissimus senatus dixerunt: Sed in præsenti synodus cum justitia celebratur. Lucentius reverentissimus episcopus & vicarius sedis Apostolicæ dixit: Justa est synodus: detur ergo huic & illi justa sententia.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Διόσκορος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Ἀλεξανδρείας εἶπε· τὸ ἐκ δύο δέχομαι· τὸ δύο, οὐ δέχομαι. ἀναγκάζομαι καὶ ἀναισχυντεῖν· περὶ τῆς ψυχῆς μοί ἐστιν ὁ λόγος. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· αὐτός με ἤδη ἐφόνευσας·

D Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀπολογοῦμαι τῷ Θεῷ καὶ ὧδε, καὶ ἐκεῖ. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπε· καὶ τοῖς νόμοις, [b] ὡς λέγεις σύ. διὰ τί προσῆλθον; πάντως, ἵνα δίκας σε ἀπαιτήσω· μὴ γὰρ προσαγορεύσων εἰσῆλθες ὧδε; Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐπετρέπετο Φλαβιανῷ τῷ ἐπισκόπῳ, τούτου ἀκούοντος, τοσαῦτα λαλεῖν, οἷα καὶ οὗτος φθέγγεται; οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· ἀλλὰ ἐπὶ τοῦ παρόντος ἡ σύνοδος μετὰ δικαιοσύνης ἐπιτελεῖται. Λουκήνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπέχων τὸν ἀποστολικὸν θρόνον, εἶπε· δικαία ἐστὶν ἡ σύνοδος· δοθήτω τούτῳ κἀκείνῳ δικαία ἀπόφασις.

[a] al. re vera. Non sunt in Græco, quæ includuntur parenthesi.

[b] al. judicante

[a] Forte, Οὐαλεριανός

[b] Forte, ὡς λέγεις, διὰ τί σύ με.

Veronicianus devotus a secretis sacri consistorii ex eadem scheda recitavit.

E Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

Meliphthongus Deo amicissimus episcopus [c] Juliopolis civitatis dixit: Secundum divinum Apostolum, etiam si angelus de cælo evangelizaverit vobis aliud quid, præter ea quæ nuper lecta sunt sanctorum qui in Nicæa & in Epheso patrum, anathema sit. Et qui non confitentur, ad veram unitatem conjunctas duas naturas in unum eumdemque Filium Dei, Deum verum de Deo vero, Christum Jesum, sint anathema. Qui vero innovant aliquid præter expositiones Apostolorum & sanctorum patrum, & conturbantes Dei ecclesiam, [d] portabunt judicium, quicumque illi fuerint. Julianus Dei amantissimus episcopus Coënsis dixit: Nullus sapientum contraire potest exposita fidei a sanctis patribus qui in Ni-

Ὁ θεοφιλέστατος ἐπίσκοπος Μελίφθογγος τῆς Ἡλιουπολιτῶν εἶπε· κατὰ τὸν θεῖον ἀπόστολον, κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρὰ τὰ ἀρτίως ἀναγνωσμένα τῶν τε ἁγίων τῆς κατὰ Νίκαιαν συνόδου, καὶ Ἐφέσου πατέρων, ἀνάθεμα ἔστω. καὶ οἱ μὴ ὁμολογοῦντες τὰς πρὸς ἑνότητα τὴν ἀληθινὴν συντρεχούσας δύο φύσεις εἰς ἕνα καὶ τὸν αὐτὸν υἱὸν τοῦ Θεοῦ, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, Χριστὸν Ἰησοῦν, ἀνάθεμα ἔστωσαν· οἱ δὲ καινουργοῦντές τι παρὰ τὰς τῶν ἁγίων ἀποστόλων καὶ πατέρων ἐκθέσεις, καὶ ταράσσοντες τὴν τοῦ Θεοῦ ἐκκλησίαν, βαστάσουσι τὸ κρίμα, οἵτινες ἂν ὦσιν. ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουλιανὸς τῆς Κῶ εἶπεν· οὐδεὶς τῶν εὖ φρονούντων ἐναντιωθῆναι δύναται τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν

[c] al. Julianopolitanus Gelas. l.

[d] al. portent Gal. 5. v. 10.

ANNO CHRISTI 451.

Νικαίᾳ, καὶ πάλιν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει. ὁμολογοῦμεν τοίνυν τὰς δύο φύσεις ἐν ἑνὶ προσώπῳ· διὸ ἕνα υἱὸν, ἕνα κύριον Ἰησοῦν Χριστόν. καὶ εἴ τις σατανικῇ μανίᾳ φερόμενος, καὶ τῷ ἰδίῳ λογισμῷ, ὥς γε νομίζει, ἐξακολουθῶν, ἄλλο τι φρονεῖ παρ' ὃ παρὰ τῶν προηγησαμένων ἁγίων πατέρων παρειλήφαμεν, ἔστω τῆς ἐκκλησίας ἀλλότριος.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἰδοὺ τοῦτο ἐπιλαμβάνομαι· μετὰ γὰρ τὴν ἕνωσιν δύο φύσεις οὐκ εἰσίν.

Βερονικιανὸς ὁ καθωσιωμένος σεκρητάριος ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

Ὁ θεοφιλέστατος ἐπίσκοπος Σάββας πόλεως Πάλτου εἶπεν· ἐμάθομεν ἀκολουθεῖν τοῖς πατράσι. καὶ γὰρ οἱ πατέρες ἡμῶν, οἱ κατὰ Νίκαιαν, οὐκ ἀφ' ἑαυτῶν ἐλάλησαν. ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ὑπηγόρευσεν. ὁμοίως καὶ ὁ θεοφιλέστατος καὶ ὁσιώτατος μακάριος Κύριλλος ἐκ πνεύματος ἁγίου ἐλάλησε τὰ τῶν πατέρων, καὶ ἐφθέγξατο. ἠκολούθησε δὲ αὐτῷ καὶ ὁ ἀρχηγὸς τῆς ἀνατολῆς θεοφιλέστατος Ἰωάννης ὁ ἐπίσκοπος Ἀντιοχείας· τούτῳ δὲ ἠκολούθησε καὶ ὁ [a] πρώτως διαλαλήσας, ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος. τοῦτο κἀγὼ φρονῶ, καὶ ὁμολογῶ· καὶ εἴ τις ἐν πάσῃ τῇ οἰκουμένῃ ταύτην τὴν πίστιν μὴ φρονεῖ, οὐ μόνον ἐμοὶ ἀλλότριος, ἀλλὰ καὶ πᾶσι τοῖς ὀρθῶς πιστεύουσι. παρακαλῶ δὲ τὴν ὑμετέραν ὁσιότητα, τοῦτον τὸν τόμον πεμφθῆναι καὶ εἰς τὴν ἀνατολὴν, καὶ ἀπαλλάξαι ἡμᾶς βλασφημίας· καὶ εἴ τις οὐχ ὑπογράφει εἰς τὸν τόμον, γένηται ἀλλότριος ἡμῶν. ὁ θεοφιλέστατος ἐπίσκοπος Θωμᾶς Οὐαλεντινιανουπόλεως εἶπεν· ψυχωφελῶν ὄντων τῆς εὐσεβείας δογμάτων, τῶν ἐκτεθέντων παρὰ τῆς ἁγίας συνόδου τῆς κατὰ τὴν Νικαέων συναθροισθείσης, καὶ κατὰ τὴν Ἐφεσίων μητρόπολιν, οὕτως καὶ πεπιστεύκαμεν, καὶ τὸν ὑφ' ἡμᾶς διδάσκομεν λαόν· καὶ τὸν μὴ οὕτως φρονοῦντα, ἀλλότριον εἶναι συμψηφιζόμεθα τῆς ὀρθοδόξου ἐκκλησίας· ὁ θεοφιλέστατος ἐπίσκοπος Τρύφων πόλεως Χίου τῶν νήσων εἶπεν· κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τοῦ μακαρίου τοῦ ἐν ἁγίοις ἀρχιεπισκόπου Κυρίλλου, οὕτως καὶ ἐπιστεύσαμεν, καὶ πιστεύομεν· καὶ τοὺς μὴ πιστεύοντας τοῖς δόγμασι τῶν πατέρων ἀναθεματίζομεν, καὶ ἀλλοτρίους τῆς ἁγιωτάτης ἐκκλησίας αὐτοὺς κρίνομεν· ὁ θεοφιλέστατος ἐπίσκοπος Τιμόθεος πόλεως Πριμουπόλεως εἶπεν· τοῖς εὐσεβῶς καὶ ὀρθοδόξως διατεθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων, τούτοις καὶ ὁ τῆς μακαρίας μνήμης πατὴρ ἡμῶν γενόμενος Κύριλλος ὁ ἐπίσκοπος τῆς Ἀλεξανδρέων ἐξακολουθήσας, δόγματα θεοφιλῆ παρέδωκεν ἡμῖν. τούτοις καὶ συντιθέμεθα, καὶ συναινοῦμεν. ὅθεν ὁ μὴ τούτοις ἐξακολουθῶν, ἔστω ἀλλότριος τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐδόξιος Βοσπόρου εἶπεν· ὁ τρισμακάριος πατὴρ ἡμῶν Κύριλλος, ἐξακολουθῶν τῇ ἐν Νικαίᾳ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, εὔδηλον ἡμῖν ἐποίησε περὶ τῆς τοῦ Χριστοῦ καὶ σωτῆρος ἡμῶν παρουσίας· ὅτι γὰρ ὁ πρὸ τῶν αἰώνων Θεὸς, ὁ υἱὸς τοῦ πατρὸς, ἐνηνθρώπησεν ἐπ' ἐσχάτων, ἵνα σχίσῃ τὸ καθ' ἡμῶν χειρόγραφον· καὶ ἄνθρωπον τέλειον ἀνέλαβε διὰ τὴν ἡμετέραν σωτηρίαν. πᾶς οὖν ὁ μὴ συναινῶν τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων, ἑαυτὸν ἀλλοτριοῖ πάσης ἱερατικῆς κοινωνίας, καὶ τῆς τοῦ Χριστοῦ παρουσίας.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρύτου εἶπεν· ἄνθρωπον οὐκ ἀνέλαβεν, ἀλλ' ἄνθρωπος ἐγένετο· σάρκα δὲ ἀνέλαβε.

Βερονικιανὸς ὁ καθωσιωμένος σεκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

Ὁ θεοφιλέστατος ἐπίσκοπος [b] Εὐτύχιος πόλεως Δοκιμίου εἶπεν· τὴν γενομένην παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ τῶν ἁγίων πατέρων ἔκθεσιν, καὶ τὰς ὑπαναγνωσθείσας ἡμῖν ἐπιστολὰς τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου, καὶ τοὺς ἐκτεθέντας κανόνας καὶ πίστιν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Ἐφέσῳ, συμφωνοῦντα πάντα ἀλλήλοις εὕρομεν. τοιγαροῦν οὕτω πιστεύω καὶ ὁμολογῶ, καὶ τὸν παρὰ ταῦτα φρονοῦντα, ἀλλότριον κρίνω τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας, καὶ τῆς τῶν ὀρθοδόξων πίστεως· ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουλιανὸς πόλεως Μοστήνης εἶπεν· δήλων ὄντων καὶ ψυχωφελῶν τῶν ἀναγνωσθέντων ἡμῖν κανο-

[a] Forte, πρῶτος

[b] Eustathius, in Latino.

ACTIO PRIMA.

caea, & iterum a sancta & magna synodo in Ephesi metropoli congregata. Confitemur igitur duas naturas in una persona, propter quod unum Filium, unum Dominum Jesum Christum. Et si quis diabolica insania agitatus, & propriam cogitationem, sicut putat, sequens, aliud quid sapit praeter ea quae a praedecessoribus sanctissimis patribus accepimus, sit ab ecclesia alienus.

CHALCED. ACTA.

Et cum legerentur, Dioscorus reverentissimus episcopus Alexandriae dixit: Ecce hoc reprehendo, quia post unitionem non sunt duae naturae.

Veronicianus devotissimus a secretis sacri consistorii ex eadem scheda recitavit.

CONSTAN. ACTA.

Sabbas Dei amantissimus episcopus Palti civitatis dixit: Didicimus sanctos patres sequi. Etenim patres nostri qui in Nicaea convenerunt, non a semetipsis locuti sunt, sed quod Spiritus sanctus dictavit. Similiter & sanctissimus & Deo amicissimus beatus Cyrillus ex Spiritu sancto quae sunt sanctorum patrum locutus est & docuit. Secutus est autem eum & princeps Orientis Dei amantissimus Joannes quondam episcopus Antiochiae. Hunc etiam & qui superius interlocutus est, Deo dignus episcopus Basilius est secutus. Hoc & ego sapio & confiteor. Et si quis in universo mundo hanc fidem non sapit, non solum mihi est alienus, sed & omnibus recte credentibus. Rogo vero vestram sanctitatem, [a] hunc tomum & in Orientem dirigere, & liberare nos a blasphemiis. Et si quis non subscripserit in hoc tomo, sit nobis alienus. Thomas Dei amantissimus episcopus Valentinianopolis dixit: Cum utilia sint animae pietatis dogmata exposita a sancta synodo quae in Nicaea congregata est, & in Ephesi metropoli, sic & credidimus, & populos qui sub nobis sunt, docemus: & eum qui ita non sapit, alienum decernimus esse a catholica ecclesia. Tryphon Dei amantissimus episcopus civitatis insulae Chii dixit: Secundum expositionem patrum sanctorum in Nicaea, & beatissimi ac sanctissimi archiepiscopi Cyrilli, sic & credidimus & credimus. Et qui non credunt sanctorum patrum doctrinis, anathematizamus, & alienos eos a sancta ecclesia judicamus. Timotheus Dei amantissimus episcopus Primopolitanus dixit: Pie & recte statuta a sanctis patribus, qui in Nicaea convenerunt, & beatae memoriae pater noster Cyrillus quondam Alexandriae episcopus ea secutus, digna Deo dogmata nobis tradidit. His & concordamus & consentimus. Unde si quis haec non sequitur, alienus sit a sancta Dei ecclesia. Eudoxius Dei amantissimus episcopus Bosphori dixit: Ter beatissimus pater noster Cyrillus secutus Nicaenam sanctam & magnam synodum, manifestum nobis fecit de Christi & Salvatoris nostri praesentia; quia qui ante saecula est Deus, & Filius Patris, in novissimis temporibus inhumanatus est, ut disrumperet contra nos scriptum chirographum: & hominem perfectum assumpsit propter nostram salutem. Omnis ergo qui non consentit expositionibus sanctorum patrum, seipsum alienat ab omni sacerdotali communione, & a Christi praesentia.

[a] al. hanc chartulam

Coloss. 2.

CHALCED. ACTA.

Et cum legerentur, Eustathius reverentissimus episcopus Beryti dixit: Hominem non assumpsit, sed homo factus est; carnem autem assumpsit.

Veronicianus devotus a secretis sacri consistorii ex eadem scheda recitavit.

CONSTAN. ACTA.

Eustathius Deo amicissimus episcopus Docimii civitatis dixit: Factam a sancta synodo in Nicaea sanctorum patrum expositionem, & lectas nobis epistolas sanctissimi & Deo digni quondam episcopi Cyrilli, & expositas regulas & fidem a sancta & magna Ephesina synodo, consona omnia ad invicem comperimus. Igitur & ego sic credo & confiteor. Et qui praeter haec sapit, alienum judico a sancta catholica ecclesia, & a fide recte credentium. Julianus Dei amantissimus episcopus civitatis Mostenae dixit: Cum sint certa & utilia animae lecta nobis ca-

nonica scripta, exposita a beatissimo & sanctissimo Cyrillo, & Nicæno & Ephesino sanctis concillis, ita & ego sapio & credo. Et si quis præter hæc sapit, sit alienus a sancta ecclesia recta fide. [a] *Cossinius Dei amantissimus episcopus civitatis Hierocæsareæ dixit: Audiens has sanctorum patrum nostrorum lectas epistolas, & quæ in Epheso metropoli acta sunt, secundum sanctas regulas in Nicæa civitate expositas, ita sapimus & credimus, & docemus populum qui sub nobis est. Et si quis aliud sapit, alienus sit a sancta catholica ecclesia Dei. Joannes Dei amantissimus episcopus civitatis Hyrcanorum dixit: Nuper lectis & pridem expositis a sanctis patribus in Nicæa congregatis, & orthodoxe prædicatis a sanctis episcopis, consentio & acquiesco. Aliter autem sapientem, sicut insipientem & aversor, & alienum judico a fide recta, per gratiam Christi cum omnibus sanctis patribus stabilitus. Eusebius episcopus Dorylæi dixit: Quoniam quidam reverentissimorum episcoporum in hac regia urbe degentium, aut propter infirmitatem, aut ignorantes convocationem sanctæ synodi, non convenerunt, peto absentes per reverentissimum presbyterum & notarium Asterium, & per religiosissimos diaconos & notarios commoneri; quatenus & ipsi agnoscentes quæ acta sunt, suam manifestam faciant voluntatem. Sanctissimus (Flavianus) archiepiscopus dixit: Reverentissimi notarii absentes Dei amantissimos episcopos commonefaciant, perlegentes eis quæ acta sunt, quatenus unusquisque proprium* [b] *sententiam exponat.*

a al. Cussinus

b al. voluntatem

[c] Actio III. Constantinopoli sub Flaviano, & Chalcedone relecta.

c al. Cognitio

PRæsidente sanctissimo & beatissimo archiepiscopo nostro Flaviano, & considente ei sancta synodo, rursus in secretario episcopii, secunda feria, decima quinta die mensis Novembris, Consulatu suprascripto, Eusebius reverentissimus episcopus dixit: Quartus hodie excessit dies, ex quo vestram interpellavi sanctitatem, postulans Eutychem presbyterum & archimandritam in sanctam vestram synodum occurrere, arguendum a me, pro eo quod orthodoxa dogmata corrupit, & aliter sapit, quam credit catholica ecclesia. Et peto tunc directos a sanctitate vestra interrogatos dicere, qualia ab eo acceperunt responsa. Flavianus sanctissimus archiepiscopus dixit: Dicant notarii, quinam sunt dudum directi. Notarii dixerunt: Ante hoc vestra jusserat sanctitas, religiosissimum presbyterum & defensorem Joannem, & reverentissimum diaconum Andream, pergere ad reverentissimum presbyterum & archimandritam Eutychem: & utrique præsto sunt. Flavianus sanctissimus archiepiscopus dixit: Adstent sanctæ synodo, & dicat prius religiosissimus presbyter & defensor Joannes, si abiit ad vocandum presbyterum & archimandritam Eutychem, & si vidit eum, & quid ab eo audierit. Joannes religiosissimus presbyter & defensor dixit: Pridem religiosissimo episcopo interpellante in conventu vestram sanctitatem, & accusante reverentissimum presbyterum & archimandritam Eutychem: & libellum in scriptis porrigente, in quo manifestabat eum hæreticis passionibus ægrotare, & postulante evocatum eum apud vestram sanctitatem satisfacere pro his quæ ei ab ipso [d] *objiciebantur: providens vestra indeclinabilis sapientia præcepit pergere tam me, quam religiosum diaconum Andream ad eum in ejus monasterium, & eum ad satisfaciendum vocare. Quo facto, cum pervenissemus ad eum in ejus monasterium, libellos ei legimus, & exemplaria ei dedimus, & accusatorem ei manifestavimus, & vocationem ei denuntiavimus, & satisfactionem apud vestram sanctitatem. Ipse autem occurrere quidem & satisfacere penitus abnegavit, dicens; hoc apud se esse decretum, & definitione quadam ab ini-*

d al. ingeruntur

νικῶν γραμμάτων, τῶν ἐκτεθέντων παρὰ τοῦ μακαριωτάτου καὶ ἐν ἁγίοις Κυρίλλου, καὶ τῆς ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ ἁγιωτάτων συνόδων, οὕτω κἀγὼ καὶ φρονῶ, καὶ πιστεύω· καὶ εἴ τις παρὰ ταῦτα φρονεῖ, ἀλλότριος ἔστω τῆς ἁγιωτάτης ἐκκλησίας, καὶ τῆς ὀρθῆς πίστεως. ὁ θεοφιλέστατος ἐπίσκοπος Σισίνιος πόλεως Ἱεροκαισαρείας εἶπεν· ἐπακούσας τῶν ἀναγνωσθεισῶν ἐπιστολῶν τῶν ὁσίων πατέρων ἡμῶν, καὶ τῶν πραχθέντων ἐν τῇ Ἐφεσίων μητροπόλει κατὰ τοὺς ἁγίους κανόνας τοὺς ἐκτεθέντας ἐν τῇ Νικαέων πόλει, οὕτως φρονοῦμεν, καὶ πιστεύομεν, καὶ διδάσκομεν τὸν ὑφ' ἡμᾶς λαόν. καὶ εἴ τις ἑτέρως τι φρονεῖ, ἀλλότριος ἔστω τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησίας τοῦ Θεοῦ. ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰωάννης πόλεως Ὑρκανῶν εἶπε· τοῖς ἀρτίως ἀναγνωσθεῖσι, καὶ πάλαι παρὰ τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων ἐκτεθεῖσι καὶ ὑπὸ τῶν ὁσίων ἐπισκόπων κηρυχθεῖσιν ὀρθοδόξως, συντίθεμαι, καὶ στοιχῶ· τὸν δὲ ἑτέρως φρονοῦντα, ὡς παραφρονοῦντα, καὶ ἀποστρέφομαι, καὶ ἀλλότριον κρίνω τῆς ὀρθοδόξου πίστεως, χάριτι Χριστοῦ μετὰ πάντων τῶν ἁγίων πατέρων ἐρηρεισμένος. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· ἐπειδὴ τινὲς τῶν θεοφιλεστάτων ἐπισκόπων, τῶν ἐνδημούντων τῇ βασιλευούσῃ πόλει, ἢ δι' ἀσθένειαν, ἢ ἀγνοήσαντες τὴν κλῆσιν τῆς ἁγίας συνόδου, οὐ συνῆλθον, ἀξιῶ τοὺς ἀπολειφθέντας διὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ νοταρίου Ἀστερίου, καὶ διὰ τῶν εὐλαβεστάτων διακόνων καὶ νοταρίων ὑπομνησθῆναι· ὥστε καὶ αὐτοὺς γνόντας τὰ πραχθέντα, τὴν ἑαυτῶν γνώμην φανερὰν ποιῆσαι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οἱ εὐλαβέστατοι νοτάριοι τοὺς ἀπολειφθέντας τῶν θεοφιλεστάτων ἐπισκόπων ὑπομνήσουσιν, ὑπαναγνώσαντες αὐτοῖς τὰ πραχθέντα, ἐφ' οἷς τι ἕκαστος καταθέσθαι τὴν οἰκείαν γνώμην.

Τρίτη πρᾶξις ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαβιανοῦ.

Προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ, καὶ συνεδρευούσης αὐτῷ τῆς ἁγίας συνόδου, αὖθις ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκοπείου, ἡμέρᾳ δευτέρᾳ, μηνὸς Νοεμβρίου πεντεκαιδεκάτῃ, ἐν ὑπατείᾳ τῇ προγεγραμμένῃ, ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε· τετάρτη σήμερον παρελήλυθεν ἡμέρα, ἀφ' οὗ προσῆλθον τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, ἐξαιτῶν Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην ἀπαντῆσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον, ὀφείλοντα διελεγχθῆναι παρ' ἐμοῦ, ὅτι περὶ τὰ τῆς ὀρθοδοξίας δόγματα διέφθειρε, καὶ ἑτέρως φρονεῖ, ἢ καθὼς πιστεύει ἡ καθολικὴ ἐκκλησία. καὶ ἀξιῶ τοὺς ἀποσταλέντας ἐξ ἐκείνου παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ἐρωτηθέντας εἰπεῖν, ποίας τετυχήκασι παρ' αὐτοῦ ἀποκρίσεως. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτωσαν οἱ νοτάριοι, τίνες εἰσὶν οἱ ἤδη ἀποσταλέντες. οἱ νοτάριοι εἶπον· πρώην ἐκέλευσεν ἡ ὑμετέρα ἁγιωσύνη, τὸν θεοσεβέστατον πρεσβύτερον καὶ ἔκδικον Ἰωάννην, καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν, παραγενέσθαι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ· καὶ πάρεισιν ἀμφότεροι. ὁ ἁγιώτατος ἐπίσκοπος εἶπε· στήτωσαν ἐπὶ τῆς ἁγίας συνόδου, καὶ λεγέτω πρότερον ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης, εἰ ἀπῆλθεν ἐπὶ τῇ κλήσει τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, καὶ εἰ συνέτυχεν αὐτῷ, καὶ τί ἤκουσε παρ' αὐτοῦ. ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπε· πρώην τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου προσελθόντος ἐν συνεδρίῳ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, καὶ αἰτιασαμένου τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ βιβλίον ἔγγραφον ἐπιδεδωκότος τὸ καταδηλοῦν, τουτέστιν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη, καὶ ἐξαιτήσαντος προσκληθῆναι αὐτὸν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης ἀπολογήσασθαι ἐπὶ τοῖς ἐπιφερομένοις αὐτῷ παρ' αὐτοῦ, πρόνοιαν ποιουμένη ἡ ὑμετέρα ἀπαρέγκλιτος σοφία, προσέταξε διαβῆναι ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν ἐν τῇ μονῇ αὐτοῦ, καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου, καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῇ μονῇ αὐτοῦ, τούς τε λιβέλλους αὐτῷ ὑπανέγνωμεν, καὶ τὰ ἴσα αὐτῷ δεδώκαμεν, καὶ τὸν αἰτιασάμενον κατεδηλώσαμεν, καὶ κατεμηνύσαμεν αὐτῷ τὴν κλῆσιν, καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης· ὁ δὲ τὸ μὲν ἀπαντῆσαι, καὶ ἀπολογήσασθαι, παντελῶς ἠρνήσατο, εἰρηκώς, τοῦτο προσωρίσθαι αὐτῷ, καὶ ὅρῳ τινὶ κεκρατηκέναι

Anno Christi 451.

Actio prima.

ἀπ' ἀρχῆς, τὸ μηδαμῶς ἀνοχὴν ἀποβαίνειν αὐτὸν τῆς ἑαυτοῦ συνουσίας, ὥσπερ δέ τι, ὡς ἐν τάφῳ, διατρίβειν ἐν τῷ μοναστηρίῳ. γνωσθῆναι δὲ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ δι' ἡμῶν ἐζήτησεν, ὅτι περ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος ἐχθρὸς αὐτοῦ πάλαι τυγχάνων, λοιδορίας καὶ ὕβρεως χάριν ταύτην τὴν κατηγορίαν κατ' αὐτοῦ ἐποιήσατο. ἕτοιμον γὰρ ἑαυτὸν εἶναι ἔφασκε ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων τῶν τε ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ τὴν σύνοδον πεποιημένων, συνθέσθαι, καὶ ὑπογράφειν ταῖς ἑρμηνείαις αὐτῶν ὡμολόγει. εἰ δέ που τύχοι τι παρ' αὐτοῖς ἔν τισι λέξεσιν ἢ διεσφαλθὲν, ἢ διημαρτηθὲν, τοῦτο μηδὲ διαβάλλειν, μηδὲ καταδέχεσθαι· μόνας δὲ τὰς γραφὰς ἐρευνᾷν, ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως· μετὰ δὲ τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ λόγου, τουτέστι, μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μίαν φύσιν προσκυνεῖν, καὶ ταύτην Θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος· καὶ βιβλίον τι τοιοῦτον προκομίσας ὑπανεγίνωσκε· προσετίθει δὲ, ὅτι λοιδορίας τινὸς, ὡς ἔφη, λεχθείσης κατ' αὐτοῦ, ὡς αὐτοῦ εἰρηκότος, ὅτι γε δὴ ἐξ οὐρανοῦ τὴν σάρκα ὁ Θεὸς λόγος κατηνέγκεν, ὡς αὐτὸς ἀθῶος τυγχάνει τῆς τοιαύτης λοιδορίας· τὸ δὲ ἐκ δύο φύσεων ἑνωθεισῶν καθ' ὑπόστασιν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μὴ μεμαθηκέναι ἐν ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων, μήτε καταδέχεσθαι, εἰ τύχοι τι αὐτῷ τοιοῦτο παρά τινος ὑπαναγινώσκεσθαι, διὰ τὸ τὰς θείας γραφὰς, ὡς ἔλεγεν, ἀμείνονας εἶναι τῆς τῶν πατέρων διδασκαλίας. καὶ ταῦτα λέγων, ὡμολόγει τέλειον Θεὸν εἶναι καὶ τέλειον ἄνθρωπον τὸν γεννηθέντα ἐκ τῆς παρθένου Μαρίας, μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν· τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἴρηκεν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· ταῦτα αὐτὸς μόνος ἐπήκουσας, ἢ καὶ ὁ ἅμα σοι ἀποσταλεὶς διάκονος Ἀνδρέας; ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· ἐν ᾧ ταῦτά μοι ἐνετέλλετο εἰς τὸ ἀναγγεῖλαι τῇ ὑμετέρᾳ ὁσιότητι, παρῆν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας, εἰ ταῦτα ἐπήκουσε παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς λεγόμενα. ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπήλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ· καὶ διαλεχθέντες αὐτῷ, ταῦτα παρ' αὐτοῦ ἠκούσαμεν, ἃ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος, καὶ ἔκδικος Ἰωάννης ἤδη κατέθετο. ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· ἐν αὐτῷ τῷ καιρῷ τῆς διαλέξεως τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, ὅτε ταῦτα ἡμῖν ἐνετέλλετο ἀναγγεῖλαι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, καὶ ὁ εὐλαβέστατος διάκονος τοῦ θεοφιλεστάτου ἐπισκόπου Βασιλείου ἐκεῖσε παρὼν ἐτύγχανε, καὶ ἐπήκουσε τῶν λεγομένων· διὸ ἀξιῶ κληθέντα αὐτὸν ἐρωτηθῆναι, ὅ, τι γε δὴ τούτων ἐπήκουσεν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτωσαν οἱ εὐλαβέστατοι νοτάριοι, εἰ ὁ διάκονος ὁ συνὼν τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Βασιλείῳ, ὁ καὶ μνημονευθεὶς παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου, πάρεστιν ἐνταῦθα. οἱ νοτάριοι εἶπον· πάρεστιν ἐνταῦθα ὁ συνὼν τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Βασιλείῳ, τῷ καὶ συνεδρεύοντι τῇ ὑμετέρᾳ ὁσιότητι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· στήτω ἐν μέσῳ. καὶ μετὰ τὸ στῆναι, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· πῶς λέγῃ; ὁ δὲ εἶπεν· Ἀθανάσιος. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· ποίου βαθμοῦ τυγχάνεις ἐκκλησιαστικοῦ; Ἀθανάσιος εἶπε· Σελευκείας τῆς ὑπὸ τὸν ἁγιώτατον ἐπίσκοπον Βασίλειον. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λέγε, τί ἀκήκοας παρόντων τῶν εὐλαβεστάτων, Ἰωάννου τοῦ πρεσβυτέρου καὶ ἐκδίκου, καὶ Ἀνδρέου τοῦ διακόνου, παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου, καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, περὶ τῆς πίστεως; Ἀθανάσιος ὁ διάκονος εἶπε· ταῦτα ἤκουσα, ἅπερ καὶ ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης κατέθετο, καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· ἐξαρκεῖ μὲν τὰ διηγορευμένα παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου, καὶ τοῦ εὐλαβεστάτου διακόνου Ἀνδρέου, καὶ ἡ γενομένη κατάθεσις παρὰ Ἀθανασίου τοῦ εὐλαβεστάτου διακόνου τῆς κατὰ Σελεύκειαν ἁγιωτάτης ἐκκλησίας, δηλῶσαι ὅπερ ἔχει ἀσεβὲς φρόνημα, καὶ ὑπεναν-

tio teneri, ut nusquam alibi egrediatur a sua fraternitate: Quodammodo enim tamquam in sepulchro degere in monasterio. Innotescere autem vestræ sanctitati per nos postulavit, eo quod reverentissimus episcopus Eusebius inimicus ei jamdudum exsistens, detractionis & injuriæ causa hanc accusationem adversus eum confecerit. Paratum enim se esse asserebat, expositioni sanctorum patrum qui in Nicæa & in Epheso congregati sunt, consentire, & subscribere interpretationibus eorum confitebatur. Si vero aliquid contigit eos in aliquibus dictis aut falli, aut errare, hoc neque reprehendere, neque [a] subscribere: solas autem scripturas scrutari, tamquam firmiores sanctorum patrum expositionibus. Post incarnationem vero Dei Verbi, hoc est, post nativitatem Domini nostri Jesu Christi, unam naturam adorare, & hanc Dei incarnati & inhumanati. Et librum aliquem hujusmodi [b] proferens perlegebat. Adjiciebat vero, derogationes aliquas adversus se ab aliquibus dictas, quasi dixerit, quia Deus Verbum carnem secum de cælo deduxerit: se innoxium ab hujusmodi derogatione esse. Ex duabus autem naturis unitis secundum subsistentiam factum fuisse Dominum nostrum Jesum Christum: neque didicisse in expositionibus sanctorum patrum, neque suscipere, si contigerit ab aliquo ei tale aliquid legi: quia divina scriptura, ut dicebat, meliores sunt patrum doctrinis. Et hæc dicens, confitebatur perfectum Deum esse & perfectum hominem, qui natus est de Maria Virgine, non habentem consubstantialem nobis carnem. Hoc autem mecum colloquens dixit. Flavianus sanctissimus archiepiscopus dixit: Hæc ipsa tu solus audisti, & an qui pariter tecum directus est Andreas diaconus? Joannes presbyter & defensor dixit: Dum hæc mihi mandaret ad insinuandum vestræ sanctitati, præsens erat & venerandus Andreas diaconus. Flavianus archiepiscopus dixit: Dicat & reverentissimus Andreas diaconus, si hæc a reverentissimo presbytero & archimandrita Eutyche dicta audivit. Andreas reverentissimus diaconus dixit: Juxta vestræ sanctitatis jussionem perreximus ad reverentissimum presbyterum & archimandritam Eutychem: & colloquentes ei, hæc ab eo audivimus, quæ & reverendus presbyter & defensor Joannes jam exposuit. Joannes religiosissimus presbyter & defensor dixit: Ipso collocutionis tempore reverentissimi presbyteri & archimandritæ Eutychis, quando hæc nobis mandabat vestræ sanctitati referre, & religiosissimus diaconus reverentissimi episcopi Basilii ibi præsens fuit, & quæ dicta sunt, audivit. Quapropter peto vocatum eum interrogari, [c] si horum aliquid audivit. Flavianus sanctissimus archiepiscopus dixit: Dicant religiosissimi notarii, si diaconus, qui adesse solet reverentissimo episcopo Basilio, qui & a reverendo presbytero & defensore Joanne commoratus est, hic præsens est. Notarii dixerunt: Adest diaconus qui adesse solet reverentissimo episcopo Basilio, qui & vestræ considet sanctitati. Flavianus sanctissimus archiepiscopus dixit: Stet in medio. Et cum stetisset, sanctissimus archiepiscopus dixit: Quis vocaris? Et ait: Athanasius. Sanctissimus archiepiscopus dixit: Quo gradu fungeris ecclesiastico? Athanasius dixit: diaconus sum. Flavianus sanctissimus archiepiscopus dixit: Cujus civitatis? Athanasius diaconus dixit: Seleuciæ sub sanctissimo episcopo Basilio. Flavianus sanctissimus archiepiscopus dixit: Dic quæ audisti præsentibus reverentissimis Joanne presbytero & defensore, & Andrea diacono, a reverentissimo presbytero & archimandrita Eutyche, de fide. Athanasius diaconus dixit: Hæc audivi quæ & Dei amantissimus presbyter & defensor Joannes exposuit, & reverendus diaconus Andreas. Eusebius Dei amantissimus episcopus dixit: Sufficiunt quidem quæ prolata sunt a reverendo presbytero & defensore Joanne, & reverendo diacono Andrea, & quæ facta est professio ab Athanasio reverendo diacono sanctæ ecclesiæ Seleuciæ, ad manifestandum, quem habeat impium sensum, & contra-

[a] al. suscipere.

[b] al. professionis.

[c] al. quid horum audivit.

rium expositionibus sanctorum patrum. Tamen supplico A vestræ sanctitati, & iterum secundo eum vocari. Paratus enim sum arguere eum multorum testimoniis male sapuisse & sapere & docere. Flavianus sanctissimus archiepiscopus dixit: Utinam veniens & agnoscens suum delictum ad pœnitentiam [a] respiciat; quoniam Dominus noster Jesus Christus lætatur de salute perditorum, & circumiens ipse prior ovem errantem requirit. Quapropter & nunc directi Mamas & Theophilus reverentissimi presbyteri commoneant eum, reddentes ei a nobis transmissa vocationis scripta, quatenus ad nostram sanctam perveniat synodum, scandalizatam non solum ex accusatoriis libellis adversus eum, porrectis ab Eusebio Dei amantissimo episcopo, sed etiam ex facta professione, quasi male sentiente eo, & permanente, a religiosissimo Joanne B presbytero & defensore, & Andrea & Athanasio reverendis diaconibus: si quando veniens, & emovens priorem suam impietatem, & cognoscens rectam fidem & expositionem sanctorum patrum nostrorum, veniam mereatur, quam decet dari a nobis his qui ad pœnitentiam respiciunt. Eusebius Dei amantissimus episcopus dixit: Dignetur vestra sanctitas jubere prius recitari, & dictata a sancta synodo vocationis scripta, ut & ipsa inferantur monimentis. Flavianus sanctissimus archiepiscopus dixit: Legantur & inserantur fidei monimentorum.

[a] al. resipiscat

Luc. 15.

Epistola Constantinopolitani concilii ad Eutychem archimandritam.

Sancta & magna synodus secundum Dei gratiam degens C in Christianissima & regia Constantinopoli Roma, reverendo presbytero & archimandritæ Eutychi.

ET nunc secunda ista te vocatione vocamus per Mamam & Theophilum reverendos presbyteros, ut occurras absque dilatione ad satisfaciendum sancto concilio, incusatus a Dei amantissimo episcopo Eusebio, sicut qui aliena a fide sapuisti, & ad aliquos ex eis locutus es. Veni ergo in conventum, nihil differens, ne, ut subterfugiens in faciem convinci, subjaceas divinarum regularum severitati. Nec enim rationabilis est satisfactio, dicere, te decrevisse non procedere de monasterio, qui de talibus accusatus es.

Adhuc sedente sancta synodo, & exspectante Mamam D & Theophilum reverendos presbyteros, qui missi sunt vocare reverendum Eutychem presbyterum & archimandritam, dum legerentur eis expositiones de fide sanctorum patrum, exsurgens in medio Eusebius Dei amantissimus episcopus dixit: Nihil intemeratum relinquitur [b] in Deo impie agenti, & aliena a recta fide sapienti: audacter pergit omnia facere. Comperi enim, quia Eutyches presbyter & archimandrita volumen direxit per monasteria, & ad seditionem excitat monachos. Et quia hoc ipsum ad tutelam ecclesiasticam & sanctæ synodi pertinet, inquirere hoc & cognoscere, qualia conficit & machinatur, tumultum faciens, postulo, hic præsentem presbyterum Martyrii quod est in Septimo, dicere, E si destinavit volumen, & fecit fieri subscriptiones. Flavianus sanctissimus archiepiscopus dixit: Hic præsens est, de quo talia professus es? Notarii dixerunt: Adest. Sanctissimus archiepiscopus dixit: Sistatur in medio. Et cum stetisset, sanctissimus archiepiscopus dixit: Quis vocaris? Ille respondit: Abraamius. Sanctissimus archiepiscopus dixit: Quo gradu fungeris honoris? Abraamius dixit: Presbyter sum in Septimo sub tua sanctitate. Flavianus archiepiscopus dixit: Audisti quæ exposuit reverentissimus episcopus Eusebius? Abraamius dixit: Etiam per vestigia sua. Flavianus sanctissimus archiepiscopus dixit: Dic, qua ista? Abraamius dixit: Manuhel presbyter & archimandrita direxit me ad Asterium

[b] vel in Deum.

A τοῖς ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων. πλὴν δέομαι τῆς ὑμετέρας ἁγιωσύνης, καὶ πάλιν δεύτερον κληθῆναι. ἕτοιμος γὰρ ἔχω διελέγξαι αὐτὸν διὰ πολλῶν μαρτύρων κακῶς φρονήσαντα, καὶ φρονοῦντα, καὶ διδάσκοντα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· γένοιτο, αὐτὸν παραγινόμενον, καὶ ἐπιγνόντα τὸ ἑαυτοῦ πταῖσμα, εἰς μετάνοιαν ἐλθεῖν· ἐπειδὴ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς χαίρει ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀπολλυμένων, καὶ περιερχόμενος αὐτὸς πρότερος, ἐπιζητεῖ τὸ πλανώμενον πρόβατον. διὸ καὶ αὖθις ἀποσταλέντες Μάμας καὶ Θεόφιλος οἱ εὐλαβέστατοι πρεσβύτεροι, ὑπομνήσουσιν αὐτὸν, ἀποδιδόντες αὐτῷ τὸ παρ' ἡμῶν ἀποσταλὲν αὐτῷ τῆς κλήσεως γράμμα, ἐφ' ᾧ τε καταλαβεῖν τὴν ἁγίαν σύνοδον, σκανδαλισθεῖσαν, οὐ μόνον ἐκ τῶν ἐπιδοθέντων κατ' αὐτοῦ κατηγορικῶν λιβέλλων παρὰ Εὐσεβίου τοῦ θεοφιλεστάτου ἐπισκόπου, ἀλλὰ γὰρ καὶ ἐκ τῆς γενομένης καταθέσεως, ὡς κα- B κῶς φρονοῦντος αὐτοῦ, καὶ ἐμμένοντος, παρὰ Ἰωάννου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου, καὶ Ἀνδρέου, καὶ Ἀθανασίου τῶν εὐλαβεστάτων διακόνων· εἴ πως ἐλθὼν, καὶ ἐξιλεώσας τὴν προτέραν αὐτοῦ δυσσέβειαν, καὶ ἐπιγνοὺς τὴν ὀρθὴν πίστιν, καὶ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων ἡμῶν, συγγνώμης ἀξιωθείη τῆς πρεπούσης παρ' ἡμῶν δίδοσθαι τοῖς εἰς μετάνοιαν ὁρῶσι. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε· καταξιώσῃ ἡ ὑμετέρα ἁγιωσύνη κελεῦσαι ἀναγνωσθῆναι πρότερον καὶ τὸ ὑπαγορευθὲν παρὰ τῆς ἁγίας συνόδου τῆς κλήσεως γράμμα, ὥστε καὶ αὐτὸ ἐμφερεσθῆναι τοῖς ὑπομνήμασιν· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἀναγινωσκέσθω, καὶ ἐντιθέσθω τῇ πίστει τῶν ὑπομνημάτων.

Ἐπιστολὴ τῆς ἐν Κωνσταντινουπόλει συνόδου πρὸς τὸν ἀρχιμανδρίτην Εὐτυχῆ.

C Ἡ ἁγία καὶ μεγάλη σύνοδος, ἡ κατὰ Θεοῦ χάριν ἐνδημοῦσα ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ καὶ ἀρχιμανδρίτῃ Εὐτυχῇ.

ΚΑὶ νῦν δευτέρᾳ σε κλήσει ταύτῃ καλοῦμεν διὰ Μάμα καὶ Θεοφίλου τῶν εὐλαβεστάτων πρεσβυτέρων, ἐπὶ τῷ ἀπαντῆσαι ἀνυπερθέτως, ἀπολογησόμενον τῇ ἁγίᾳ συνόδῳ, ἐγκαλούμενον παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου, ὡς ἀλλότρια τῆς πίστεως φρονήσαντα, καὶ φρονοῦντα, καὶ προσδιαλεγόμενον πρός τινας. ἧκε τοίνυν εἰς τὸ συνέδριον, μηδὲν ἀναβαλλόμενος· ἵνα μὴ, ὡς ἀποφεύγων τὸν κατὰ πρόσωπον ἔλεγχον, ὑποπέσῃς ταῖς ἐκ τῶν θείων κανόνων ἐπιτιμίαις. οὐ γὰρ εὐπρόσωπός ἐστιν ἀπολογία, λέγειν σε κεκρικέναι μὴ προϊέναι τοῦ μοναστηρίου τὸν περὶ τηλικούτων κατηγορούμενον.

D Ἔτι καθεζομένης τῆς ἁγίας συνόδου, καὶ ἐκδεχομένης Μάμαν καὶ Θεόφιλον τοὺς εὐλαβεστάτους πρεσβυτέρους, τοὺς ἀποσταλέντας καλέσαι Εὐτυχῆ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην, ἀναγινωσκομένων τι αὐτοῖς τῶν ἐκθέσεων περὶ τῆς πίστεως τῶν ἁγίων πατέρων ἐξαναστὰς ἐκ μέσου ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· οὐδὲν ἀπείρατον τῷ εἰς Θεὸν δυσσεβήσαντι, καὶ ἀλλότρια τῆς ὀρθῆς πίστεως φρονήσαντι, προπετῶς πάντα ποιεῖν· ἔγνων γὰρ, ὡς ὅτι Εὐτυχὴς ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τόμον ἀπέστειλεν εἰς τὰ μοναστήρια, καὶ εἰς στάσιν διεγείρει μοναχούς. καὶ ἐπειδὴ τοῦτο αὐτὸ πρὸς ἀσφάλειαν τῆς ἐκκλησίας καὶ τῆς ἁγίας συνόδου συμβάλλεται, τὸ περιεργασθῆναι τὸ τοιοῦτον, καὶ γνωσθῆναι, ὁποῖα ἤδη ταράττει καὶ κατασκευάζει ἐπισύστασιν ποιούμενος· ἀξιῶ ἐνταῦθα E ὄντα τὸν πρεσβύτερον τὸν ἐν τῷ μαρτυρίῳ τοῦ Ἑβδόμου εἰπεῖν, εἴ γε ἀπέστειλε τόμον, καὶ ἐποίησεν ὑπογραφὰς γενέσθαι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἐνταῦθα πάρεστι, περὶ οὗ ταῦτα κατέθου; οἱ νοτάριοι εἶπον· πάρεστιν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· στήτω ἐν μέσῳ. καὶ στάντος αὐτοῦ, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τίς λέγῃ; ὁ δὲ εἶπεν· Ἀβραάμιος. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· ποίῳ βαθμῷ τιμᾶσαι; Ἀβραάμιος εἶπε· πρεσβύτερός εἰμι ἐν τῷ Ἑβδόμῳ ὑπὸ τὴν ὁσιότητα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἐπήκουσας ὧν κατέθετο ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος; Ἀβραάμιος εἶπε· ναὶ τῶν ποδῶν σου· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ποῖα ταῦτα; Ἀβραάμιος πρεσβύτερος εἶπε· Μανουήλιος ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἀπέστειλέ με πρὸς τὸν πρεσβύτερον Ἀστέριον.

ἀναγγεῖλαι

ANNO CHRISTI 451.

ἀναγγεῖλαι αὐτῷ ταῦτα· ὅτι Εὐτυχὴς ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἐπεμψεν αὐτῷ τόμον περὶ τῆς πίστεως, καὶ ἔπειθεν αὐτὸν ὑπογράψαι εἰς αὐτόν· καὶ ταῦτα ἐδήλωσεν, ἵνα τῇ ὑμετέρᾳ ὁσιότητι ἀπαγγείλῃ ὁ πρεσβύτερος Αστέριος. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· ἐπειδὴ οὐκ ἄχρι τοῦ μοναστηρίου Μανουήλου τοῦ πρεσβυτέρου τοῦτο αὐτὸ ἐτόλμησε ποιῆσαι, ἀξιῶ περιελθεῖν εἰς τὰ ἄλλα μοναστήρια, καὶ μαθεῖν πρότερον, εἰ κἀκεῖ ἀπέστειλε τόμον εἰς τὸ ὑπογράψαι, ὡς ἀθετουμένης τῆς πίστεως, ἢ οὔ. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· κατὰ τὰς αἰτήσεις τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου, διαβήτωσαν εἰς τὰ μοναστήρια· εἰς μὲν τὰ ἐν τῇ πόλει Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος, καὶ Πατρίκιος ὁ εὐλαβέστατος διάκονος· εἰς δὲ τὰ πέραν ἐν Συκαῖς, Ῥητόριος πρεσβύτερος, καὶ Εὐτρόπιος διάκονος· εἰς δὲ τὰ ἐν Καλχηδόνι Παῦλος καὶ Ἰωάννης οἱ πρεσβύτεροι, ἐπὶ τῷ γνῶναι παρ' αὐτῶν, εἰ ἀπεστάλη αὐτοῖς τόμος παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, πείθοντος αὐτοὺς ὑποσημήνασθαι καὶ ὑπογράψαι. καὶ τούτων λεγομένων παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· οἱ ἀποσταλέντες σήμερον παρὰ τῆς ὑμετέρας ἁγιωσύνης εὐλαβέστατοι πρεσβύτεροι Μάμας καὶ Θεόφιλος πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, παραγεγόνασι· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτωσαν οἱ εὐλαβέστατοι πρεσβύτεροι, οἱ διακονησάμενοι τὰς δέξεις τῇ ἁγίᾳ συνόδῳ, τί ἠκηκόασι παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς· καὶ εἰ ἕτοιμος ἐστι παραγενέσθαι εἰς τὸ συνέδριον τῆς ἁγιωτάτης συνόδου. ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας εἶπε· καταλαβόντες τὸ μοναστήριον τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, εὕρομεν μονάζοντας ἑστῶτας πρὸ τοῦ πυλῶνος· καὶ εἰσελθόντες μετ' αὐτῶν ἔσω ἐν τῷ μοναστηρίῳ, λέγομεν αὐτοῖς· ὅτι μηνύσατε· συντυχεῖν γὰρ ἔχομεν τῷ ἀρχιμανδρίτῃ, ἀποσταλέντες παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, καὶ τῆς παρούσης ἁγίας συνόδου· καὶ ἔλεγον ἡμῖν, ὅτι ὁ κύριος ὁ ἀρχιμανδρίτης ἀρρωστεῖ, καὶ θεάσασθαι ὑμᾶς οὐ δύναται· τί οὖν δοκεῖ ὑμῖν, ἢ τί αἰτεῖτε, εἴπατε ἡμῖν. ἡμεῖς δὲ οὐκ ἠνεσχόμεθα, εἰπόντες αὐτοῖς· ὅτι ἡμεῖς πρὸς ἐκεῖνον αὐτὸν ἀπεστάλημεν, καὶ ἔγγραφον ἀπόστολον πληροῦμεν, καὶ ἔχομεν μετὰ χεῖρας τὰ γραφέντα παρὰ τῆς ἁγίας συνόδου πρὸς αὐτόν. οἱ δὲ εἰσελθόντες, πάλιν ἐξῆλθον, καὶ ἤγαγον μεθ' ἑαυτῶν Ἐλευσίνιόν τινα μονάζοντα, λέγοντες· ὅτι ἐπειδὴ ὁ ἀρχιμανδρίτης ἡμῶν ἀρρωστεῖ, αὐτὸν ἀπέστειλεν εἰς τὸν τόπον αὐτοῦ, ἵνα αὐτῷ τὰ δηλωθέντα εἴπητε. ἡμεῖς δὲ οὐδ' οὕτως ἠνεσχόμεθα εἰπεῖν αὐτῷ, ἀλλ' ἔφημεν· ὅτι εἰ δέχεται ἡμᾶς ἀποσταλέντας παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου, καὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου, εἴπατε ἡμῖν. εἶτα θεασάμενοι αὐτοὺς θορυβουμένους, καὶ πρὸς ἀλλήλους ψιθυρίζοντας καὶ λέγοντάς τινα· καὶ ὡς οὐκ ἐλαμβάνομεν ἀπόκρισιν, θορυβουμένων αὐτῶν διὰ τὸ ἔγγραφον εἶναι τὴν ἀποστολήν, εἴπομεν αὐτοῖς· ἵνα τί θορυβεῖσθε; οὐδέν ἐστιν ἐπαχθές· τὰ γεγραμμένα οὐκ ἔστι κρυπτά, ἀλλὰ λέγομεν καὶ ἡμεῖς τὴν δύναμιν τοῦ χαρτίου. ὑπεμνησεν αὐτὸν ἡ ἁγία σύνοδος δεύτερον ἤδη τοῦτο, ὥστε ἀπαντῆσαι αὐτόν, καὶ ἐφ' οἷς κατηγορήθη παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου τοῦ ἐπισκόπου, στῆναι, καὶ ἀπολογήσασθαι ἐγκαλούμενον. τότε εἰσελθόντες ἐμήνυσαν, καὶ ἐδέξατο ἡμᾶς ὁ προειρημένος εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχής. εἰσελθόντες, ἐπιδώκαμεν τὸ ἀποσταλὲν χαρτίον. ἐποίησεν ἀναγνωσθῆναι ἐφ' ἡμῶν. μετὰ δὲ τὴν ἀνάγνωσιν λέγει· ὅτι ἐγὼ ὅρον ἔθηκα, ὥστε τοῦ μοναστηρίου μὴ ἐξελθεῖν εἰ μὴ θανατικῆς ἀνάγκης. συνορᾷ δὲ καὶ ἡ ἁγία σύνοδος, καὶ ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος, ὅτι καὶ γέρων εἰμί, καὶ σκελετός. εἴπομεν ἡμεῖς· ὅτι καταξίωσον ἐλθεῖν, καὶ ἐφ' οἷς ᾐτιάθης ἀπολογήσασθαι ἐπὶ τῆς ἁγίας συνόδου. καὶ εἶπεν· ἐγὼ οὐκ ἐξέρχομαι τοῦ μοναστηρίου μου, τὴν κρίσιν ταύτην ἐσχηκώς μου. εἰ δὲ βούλεται ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος, καὶ ἡ ἁγία σύνοδος πρᾶξαί τι, ὃ δοκεῖ αὐτοῖς πραξάτωσαν. ἓν δὲ παρακαλῶ, μὴ σκυλλῶσαί τινας εἰς ἄλλην ἀγγελίαν. κέκριται γάρ μοι μὴ ἐξελθεῖν· ἵνα οὖν μὴ μένωσι καὶ πάλιν πέμπειν, ὃ θέλουσι, καὶ πρὸ τοῦ καλέσαι με τὸ τρίτον, πραξάτωσαν· ἐμοὶ γὰρ ὡς κεκληκότες εἰσί. παρεκαλεῖτο δὲ ἡμᾶς εἰπεῖν τῇ ἁγιωσύνῃ τοῦ κυρίου ταῦτα· ἠνάγκαζε δὲ ἡμᾶς καὶ χάρτην τινὰ γεγραμμένον ἐπικομίσασθαι, καὶ οὐχ εἱλόμεθα κατα-

A presbyterum, hac ei denunciare, quod Eutyches presbyter & archimandrita direxit ei tomum de fide, & suadebat ei in eo subscribere. Et hæc mandavit ut prædictus presbyter Asterius vestræ suggerat sanctitati. Eusebius Dei amantissimus episcopus dixit: Quoniam non solum in monasterio Manuhelis presbyteri hoc ausus est facere, peto se dirigere & in alia monasteria, & prius addiscere, utrum & illic direxerit tomum ad subscribendum, quasi fides contempta sit, nec ne. Flavianus sanctissimus archiepiscopus dixit: Juxta postulationes religiosissimi Eusebii episcopi, pergant ad monasteria; civitatis quidem, Petrus reverentissimus presbyter, & Patricius religiosissimus diaconus: trans vero in Sycas, Rhetorius presbyter, & Eutropius diaconus: in Chalcedonem autem B Paulus & Joannes presbyteri: ad cognoscendum ab eis, si directus est eis tomus ab Eutyche presbytero & archimandrita, suadente eis subscribere. Et cum hæc a sanctissimo archiepiscopo dicerentur, Aetius diaconus & notarius dixit: Qui hodie directi sunt a sanctitate vestra venerandi presbyteri Mamas & Theophilus ad Eutychem reverentissimum presbyterum & archimandritam, præsto sunt. Sanctissimus archiepiscopus dixit: Dicant reverentissimi presbyteri, qui mandata sancti concilii pertulerunt, quid audierint ab Eutyche reverendo presbytero & archimandrita, & si paratus est conventui sanctæ hujus synodi præsentari. Mamas reverentissimus presbyter dixit: Pervenientes ad monasterium Eutychis reverendi presbyteri & archimandritæ, reperimus ante januas monachos stantes. Et ingressi cum eis monasterium, C diximus: Nunciate: loqui enim habemus archimandritæ, directi a sanctissimo archiepiscopo & præsente sancta synodo. Et dicebant nobis, quia dominus archimandrita ægrotat; & videre [a] vos non potest. Quid ergo vobis placet, aut pro qua re estis directi, dicite nobis. Nos autem non acquievimus, dicentes eis, quia nos ad illum ipsum sumus directi, & scriptam jussionem complemus, & præ manibus habemus quæ ad eum scripta sunt a sancta synodo. Qui ingressi, iterum regressi sunt, & deduxerunt secum Eleusinium quemdam monachum, dicentes: Quoniam archimandrita noster ægrotat, hunc loco suo direxit, ut huic quæ sunt mandata dicatis. Nec sic acquievimus dicere ei, sed diximus: Si suscipit nos missos a D sanctissimo & beatissimo archiepiscopo, & a sancta & magna synodo, dicite nobis. Deinde vidimus eos turbatos, & ad alterutrum susurrantes, & dicentes aliqua. Et cum non acciperemus responsum, conturbatis eis, eo quod in scriptis esset mandatum, diximus eis: Quid conturbamini? Nihil est durum. Quæ scripta sunt, non sunt occulta, sed didicimus & nos quid scriptura continet. Commonuit eum ecce hoc secundo sancta synodus, quatenus occurrat, & in his, in quibus accusatus est a Dei amantissimo Eusebio episcopo, se sistat, & satisfaciat inclamatus. Tunc ingressi nunciaverunt, & suscepit nos prædictus reverentissimus presbyter & archimandrita Eutyches. Ingressi porreximus ei missam chartulam, & fecit eam nobis præsentibus legi. Et postquam lecta est, dixit: E Ego apud me definitum habeo, citra mortis necessitatem non egredi monasterium. Pervidet autem & sancta synodus, & Dei amantissimus archiepiscopus, quoniam & senex sum & defectus. Diximus & nos: Dignare venire, & in his quibus, accusaris, satisfacere apud sanctam synodum. Qui respondit: Ego non egredior de monasterio meo, quia sic habeo definitum. Si autem voluerit beatissimus archiepiscopus & sancta synodus aliquid agere, quod eis placet agant. Hoc unum peto, nullum huc altera vice fatigari: definitum enim mihi est, non egredi monasterium. Ne ergo & iterum dirigant, quod volunt, & ante tertiam vocationem meam faciant: mihi enim, ac si vocassent, sunt. Petiit autem nos dicere sanctitati domini hæc. Compellebat autem nos & chartulam aliquam scriptam deportare; & non acquievimus susci-

[a] al. eum non potestis.

ACTIO PRIMA.

pere, dicentes: Si quid volueris, perveniens doce. Ita nobis talia ad eum dicentibus, delata est charta, & voluit eam nobis legi, & nec sic acquievimus audire: sed accipiens subscripsit eam: & nos vale facientes, egressi sumus, dicente eo: Quia dirigo sanctæ synodo hanc chartulam cum subscriptione mea. Flavianus sanctissimus archiepiscopus dixit: Dicat & reverentissimus presbyter Theophilus, quæ pergens ad reverentissimum presbyterum & archimandritam Eutychem pariter cum religiosissimo presbytero Mama, audivit. Theophilus reverentissimus presbyter dixit: Perveniens pariter cum Mama presbytero in monasterium Eutychis presbyteri & archimandritæ, hæc eum audivi dicentem: Nisi forte mors ejiciat me de hoc monasterio, quia definitum mihi est, & impossibile mihi est egredi. Et alia omnia quæ dicta sunt a reverentissimo presbytero Eutyche, exposuit religiosissimus presbyter Mamas, quæ & ego audivi. Eusebius Dei amantissimus episcopus dixit: [a] Excogitatio est semper & occasio obnoxiis, ut dilationibus utantur. Nec enim in arbitrio eorum qui accusantur, est recusare, aut loco seipsos circumscribere. Sed peto & nunc regularum sanctarum invigilare potentiam adversus accusatum, & jubete eum etiam invitum huc advenire. Sanctissimus archiepiscopus dixit: Audiens sancta synodus quæ mandata sunt ab Eutyche reverentissimo presbytero & archimandrita per reverentissimos presbyteros qui ad eum directi fuerant, quod placet, declaret. Sancta synodus dixit: Rationis est, & tertio a sancta & magna hac synodo reverentissimum presbyterum & archimandritam Eutychem commoneri, ut ad hanc sanctam synodum occurrat. Quod si hoc minime fecerit, seipsum culpabit. Flavianus archiepiscopus dixit: Religiosissimi presbyteri, Memnon sacrorum vasorum custos, & Epiphanius, & Germanus diaconus, euntes ad reverentissimum presbyterum & archimandritam Eutychem, tertiæ vocationis scripta, a sancta synodo ei directa, insinuent: quatenus veniens satisfaciat super his quæ ei irrogantur. Continebat vero directa a sancta synodo vocationis chartula, sic:

[a] al. Tractatus. Divion. & Paris. Forte prætextus.

δέξασθαι, εἰπόντες· ὅτι εἴ τι βούλει παραγενόμενος δίδαξον. οὕτω ἡμῶν ταῦτα πρὸς αὐτὸν λεγόντων, ἠνέχθη ὁ χάρτης, καὶ ἠθέλησε τοῦτον ἡμῖν ὑπαναγνωσθῆναι, καὶ οὐδὲ οὕτως κατεδεξάμεθα ἀκοῦσαι· ἀλλὰ λαβὼν, ὑπέγραψεν αὐτῷ. καὶ ἡμεῖς συνταξάμενοι ἐξήλθομεν, εἰπόντος αὐτοῦ· ὅτι ἀποστέλλω τῇ ἁγίᾳ συνόδῳ τὸν χάρτην τοῦτον μετὰ καὶ τῆς ἐμῆς ὑπογραφῆς. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος, ἅπερ ἐπήκουσε παραγενόμενος πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, ἅμα τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ Μάμᾳ. ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος εἶπε· παραγενόμενος ἅμα τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ Μάμᾳ, εἴσω ἐπὶ τὸ μοναστήριον Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, ταῦτα ἐπήκουσα λέγοντος αὐτοῦ· ὅτι εἰ μήτι με θάνατος ἐκβάλῃ ἐκ μοναστηρίου, ἐπεὶ κέκριταί μοι, καὶ ἀδύνατόν με ἐξελθεῖν. καὶ τὰ ἄλλα δὲ πάντα, ὅσα ἐλέχθη παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Εὐτυχοῦς, κατέθετο ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας, ἅπερ κἀγὼ ἐπήκουσα. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε· σκῆψίς ἐστιν ἀεὶ, καὶ προφάσεις τῶν ὑπευθύνων, ὥστε ταῖς ὑπερθέσεσι ἐμπεσεῖν. οὐδὲ γὰρ ἐν τοῖς ἐγκαλουμένοις ἐστὶ τὸ παραιτεῖσθαι, ἢ τόπῳ ἑαυτοὺς περιγράφειν. ἀλλὰ παρακαλῶ, ἡ δυναστεία τῶν ἁγίων κανόνων καὶ νῦν ἐπαγρυπνήσῃ ἐπὶ τῷ καθαιρεθέντι καὶ κελεύσατε αὐτὸν, καὶ ἄκοντα ἐνταῦθα ἐλθεῖν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἐπακούσασα ἡ ἁγία σύνοδος τῶν δηλωθέντων παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, διὰ τῶν ἀποσταλέντων εὐλαβεστάτων πρεσβυτέρων, τὸ παριστάμενον ἀποφηνάσθω. ἡ ἁγία σύνοδος εἶπεν· εὔλογον ἐστὶ καὶ τρίτον ὑπομνησθῆναι παρὰ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, ὥστε ἀπαντῆσαι ἐν τῇ ἁγίᾳ ταύτῃ συνόδῳ· ὡς εἴ γε τοῦτο μὴ ποιήσῃ, μέμψηται ἑαυτῷ. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οἱ εὐλαβέστατοι πρεσβύτεροι, Μέμνων ὁ σκευοφύλαξ, καὶ Ἐπιφάνιος, καὶ Γερμανὸς ὁ διάκονος, παραγενόμενοι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, τὸ τρίτον τῆς κλήσεως γράμμα, τὸ διαπεμφθὲν παρὰ τῆς ἁγίας συνόδου, διακομισάτωσαν πρὸς αὐτὸν, ὥστε αὐτὸν παραγενέσθαι, καὶ ἀπολογήσασθαι τοῖς ἐγκαλουμένοις. καὶ εἶχε τὸ παραγγελτικὸν τὸ ἀποσταλὲν δι' αὐτῶν, οὕτως·

Epistola Constantinopolitanæ synodi ad Eutychem presbyterum.

Sancta & magna synodus per Dei gratiam degens in Christianissima & regia Constantinopoli Roma, Eutychi reverentissimo presbytero & archimandritæ.

ARbitramur te non ignorare quæ a sanctis regulis definita sunt adversus minime obedientes & nolentes ad satisfaciendum occurrere, cum & tertia ad eos facta vocatio fuerit. Ne ergo teipsum his quæ pie ab his statuta sunt, [b] configas, vel nunc etiam tertio a nobis vocatus per reverentissimos presbyteros, id est, Memnonem custodem sacrorum vasorum, & Epiphanium, & reverendum Germanum diaconum, in sanctum concilium, [c] acquiesce præsens esse in subsequenti die mature, hoc est, quarta feria, die decima septima mensis Novembris.

[b] al. succumbas.

[c] al. festina in crastino.

Ἐπιστολὴ τῆς ἐν Κωνσταντινουπόλει πρὸς Εὐτυχῆ πρεσβύτερον.

Ἡ ἁγία καὶ μεγάλη σύνοδος, ἡ κατὰ Θεοῦ χάριν ἐνδημοῦσα ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ καὶ ἀρχιμανδρίτῃ Εὐτυχῇ.

ΟΥκ ἀγνοεῖς τὰ τοῖς θείοις κανόσι διηγορευμένα κατὰ τῶν ἀπειθούντων, καὶ μὴ ἀνεχομένων ἀπαντῆσαι εἰς ἀπολογίαν, ὅταν καὶ τρίτη κλῆσις πρὸς αὐτοὺς γένηται. ἵνα τοίνυν μὴ σαυτὸν περιπείρῃς τοῖς ὑπ' αὐτῶν εὐσεβῶς διηγορευμένοις, νῦν γοῦν τὸ τρίτον παρ' ἡμῶν καλούμενος διὰ τῶν εὐλαβεστάτων πρεσβυτέρων, Μέμνονος τοῦ σκευοφύλακος, καὶ Ἐπιφανίου, καὶ τοῦ εὐλαβεστάτου διακόνου Γερμανοῦ, θέλησον παραγενέσθαι εἰς τὴν σύνοδον ταχέως· τουτέστι τῇ τετάρτῃ ἡμέρᾳ, τῇ ἑπτακαιδεκάτῃ τοῦ Νοεμβρίου μηνός.

[d] Actio IV. Constantinopolitanæ synodi, lecta Ephesi, & relecta Chalcedone.

[d] al. Item quarta cognitio CP. Concilii ex gestis Ephesinis.

ET sequenti die tertia feria, quæ est sextadecima mensis Novembris, præsidente sanctissimo archiepiscopo & sancta synodo, & disputante de divinis dogmatibus eodem ipso sanctissimo archiepiscopo, Asclepiades diaconus & notarius nunciavit, dicens: Quidam monachi a presbytero & archimandrita Eutyche directi, & Abraamius reverentissimus presbyter & archimandrita, foris sunt, & postulant ingredi. Sanctissimus archiepiscopus dixit: Ingrediantur. Et cum ingressi fuissent Abraamius reverentissimus presbyter & archimandrita,

Πρᾶξις τετάρτη ἐν Κωνσταντινουπόλει.

ΚΑὶ τῇ ἑξῆς ἡμέρᾳ, ἥτις ἐστὶν ἑκκαιδεκάτη τοῦ Νοεμβρίου μηνὸς, ἡμέρα τρίτη, προκαθεζομένου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, καὶ τῆς ἁγίας συνόδου, καὶ διαλεγομένου περὶ θείων δογμάτων τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, Ἀσκληπιάδης διάκονος καὶ νοτάριος ἐμήνυσε λέγων· μονάζοντές τινες ἀπὸ τῶν τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, καὶ Ἀβραάμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης, ἔξω εἰσὶ, καὶ παρακαλοῦσιν εἰσελθεῖν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰσίτωσαν. καὶ εἰσελθόντος Ἀβραμίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου,

ANNO CHRISTI 451.

καὶ Ἐλευσινίου, καὶ Κωνσταντίου, καὶ Κωνσταντίνου, τῶν διακόνων τῆς μονῆς τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τί ἐσκύλη πρὸς ἡμᾶς ἡ εὐλάβεια ὑμῶν; Ἀβραάμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· ἀπεστάλημεν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τίς ὑμᾶς ἀπέστειλεν; ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Ἀβραάμιος εἶπεν· ὁ ἀρχιμανδρίτης. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· ποῖος ἀρχιμανδρίτης; Ἀβραάμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Εὐτυχής. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τί μάλιστα; Ἀβραάμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· ἀπέστειλεν ἡμᾶς ἀῤῥωστῶν. μὰ τὰς εὐχάς σου, ὅλην τὴν νύκτα οὐκ ἐκοιμήθη, μύζων· οὔτε δὲ ἐγὼ ἐκοιμήθην μύζοντος αὐτοῦ. μετεστείλατο γάρ με ἀφ' ἑσπέρας διὰ τοῦτο· εἶπε δέ μοι καί τινα εἰπεῖν τῷ κυρίῳ. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· καὶ ἐνδιδόαμεν, οὐκ ἐπιτιθέμεθα. Θεοῦ γάρ ἐστι τὸ δοῦναι ὑγίειαν, ἡμῶν δὲ τὸ περιμεῖναι τὴν ῥῶσιν αὐτοῦ. οὐ γὰρ εἰς τομὴν ὁρῶμεν, ἀλλ' εἰς αὔξησιν. οὔτε γὰρ τέρπεται Θεὸς ἐπ' ἀπωλείᾳ τῶν ζώντων· οὔτε ἐσμὲν ἀπανθρωπίας τέκνα, ἀλλὰ φιλανθρωπίας Θεοῦ· εἰ γὰρ δι' ἡμᾶς ὁ πλούσιος ἐπτώχευσε, καὶ ἡμεῖς ὀφείλομεν τῇ ὑψηλῇ αὐτοῦ πτωχείᾳ ἕπεσθαι· εἰς γὰρ φιλανθρωπίας ἔργα ὑπὸ Θεοῦ κατεσκευάσθημεν. ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Ἀβραάμιος εἶπεν· ἐμοὶ, τῶν ποδῶν σου, καὶ ἐνετείλατο ἄλλα τινὰ, ἃ ἐὰν ἐρωτηθῶ, λέγω. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· πῶς δυνατὸν, παρακαλῶ σε, ἄλλου κατηγορουμένου, ἄλλον εἰπεῖν ὑπὲρ αὐτοῦ; ἀλλὰ μᾶλλον ἐνδιδόαμεν, οὐκ ἐπιτιθέμεθα· κἂν ἔλθῃ ἐνταῦθα, πρὸς πατέρας ἔρχεται, καὶ πρὸς ἀδελφοὺς, πρὸς οὐκ ἀγνοοῦντας αὐτὸν, πρός τινας καὶ νῦν ἐπιμένοντας τῇ φιλίᾳ. πολλοὶ ἤκουσαν, καὶ ἐσκανδαλίσθησαν· ὁ γὰρ κατήγορος αὐτοῦ ἐνίσταται, καὶ ὀφείλει ἀπολογήσασθαι. εἰ γάρ ποτε, Νεστορίου ἐναντιουμένου τῇ ἀληθείᾳ, ὑπὲρ ἀληθείας εἰσῆλθε, πόσῳ μᾶλλον ὀφείλει νῦν ὑπὲρ τῆς ἀληθείας καὶ ὑπὲρ ἑαυτοῦ εἰσελθεῖν; ἄνθρωποί ἐσμεν, καὶ πολλοὶ τῶν μεγάλων ἐσκανδαλίσθησαν, καὶ ἐσφάλησαν ὑπὸ ἀνοίας καὶ ὑπὸ ἀπειρίας, νομίζοντες ὀρθὰ φρονεῖν. αἰσχύνην οὐ φέρει μεταμέλεια, ἀλλὰ τὸ ἐπιμένειν τῇ ἁμαρτίᾳ, ὄνειδος. ὥσπερ γὰρ σκώληξ ἀναλίσκει τὸ ξύλον, ἐξ οὗ περ ἐστὶν· οὕτω καὶ ἡ ἁμαρτία μένουσα ἐν τῷ ποιοῦντι αὐτήν. ἀλλὰ ἐλθὲ ἐνταῦθα, καὶ ὁμολογοῦντος αὐτοῦ τὸ πταῖσμα, καὶ ἀναθεματίζοντος, δίδομεν ὑπὲρ τῶν προλαβόντων συγγνώμην. καὶ ὑπὲρ τῶν μελλόντων ἡμᾶς [a] ἀσφαλίζεται καὶ τὴν ἁγίαν σύνοδον, ὅτι περ ὁμοίως φρονεῖ ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων ἡμῶν, καὶ παρὰ ταύτας τὸ λοιπὸν οὔτε διδάσκει τινὰς, οὐδὲ τινι διαλέγεται. οὕτω χρὴ, παρακαλῶ σε. καὶ γὰρ πρὸ τοῦ εἰδέναι σε αὐτὸν, οἶδα αὐτὸν· καὶ πρὸ τοῦ σε γνῶναι ἐκεῖνον, οἶδεν ἐμέ. Ἀβραάμιος ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· οὕτως ἔχει, τῶν ποδῶν σου. καὶ μετὰ τὸ ἀναστῆναι, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οἴδατε τὸν ζῆλον τοῦ κατηγοροῦντος; ὅτι καὶ αὐτὸ τὸ πῦρ ψυχρὸν αὐτῷ φαίνεται διὰ τὸν ζῆλον τὸν ὑπὲρ τῆς εὐσεβείας. καὶ Θεὸς οἶδε. καὶ παρῄνεσα, καὶ παρεκάλεσα, ὅτι μὴ, παρακαλῶ σε, ἐνδός. ὡς δὲ [b] ἐπετέθη, τί εἶχον ποιῆσαι; [c] ἄρα ἐγὼ βούλομαι τὸν σκορπισμὸν ὑμῶν; μὴ γένοιτο· οὐχὶ μᾶλλον καὶ συναγαγεῖν ὑμᾶς; ἐχθρῶν ἐστὶ τὸ σκορπίζειν, πατέρων δὲ τὸ συλλέγειν.

[a] Forte, ἀσφαλίζεται,

[b] Forte, ἐνετέθη.

[c] ἄρα, in Latino.

A & Eleusinius & Constantinus & Constantius diaconi monasterii reverentissimi presbyteri & archimandritæ Eutychis, sanctissimus archiepiscopus dixit: Quid est fatigata ad nos [a] reverentia vestra? Abraamius reverentissimus presbyter & archimandrita dixit: Directi sumus. Sanctissimus archiepiscopus dixit: Quis vos direxit? Abraamius reverentissimus presbyter & archimandrita dixit: Archimandrita. Sanctissimus archiepiscopus dixit: Quis archimandrita? Abraamius reverentissimus presbyter & archimandrita dixit: Eutyches. Sanctissimus archiepiscopus dixit: Quid maxime? Abraamius reverentissimus presbyter & archimandrita dixit: Direxit nos ægrotans. Per orationes enim tuas tota nocte dormire non potuit, gemens: nec ego quidem dormivi, eo gemente. A vespere enim propter hoc me vocavit: B dixit autem mihi ut aliqua dicerem domno. Sanctissimus archiepiscopus dixit: [b] Et intermittimus, non imminemus. Dei enim est dare sanitatem, nostrum autem exspectare sospitatem ipsius. Neque enim in abscisionem inspicimus, sed ad incrementum. Nec enim delectatur Deus in perditione vivorum: nec sumus filii inhumanitatis, sed clementiæ Dei. Si enim propter nos, qui dives erat, pauper factus est & nos excelsam ejus paupertatem sequi debemus. Ad misericordiæ enim opera a Deo facti sumus. Abraamius reverentissimus presbyter & archimandrita dixit: Mihi per vestigia tua, & alia aliqua mandavit, quæ si interrogatus fuero, dico. Sanctissimus C archiepiscopus dixit: Quomodo (rogo te) est possibile, altero accusato, pro eo alterum dicere? Sed magis intermittimus, & non imminemus. Adveniat huc; ad patres veniet & ad fratres, non ad ignorantes eum, immo hactenus in amicitia permanentes. Multi audierunt & scandalizati sunt. Nam accusator ejus instat, & debet satisfacere. Si enim tunc, Nestorio adversante veritati, pro veritate iste ingressus est: quanto magis nunc debet pro veritate & pro semetipso ingredi? Homines sumus: multi & magni scandalizati sunt, & per imprudentiam & imperitiam decepti sunt, putantes se recta sapere. Pœnitentia non affert confusionem: sed permanere in peccato, opprobrium est. Sicut enim vermis consumit lignum ex quo nascitur, ita & peccatum permanens in faciente illud. Sed magis adveniat; & confitenti ei delictum, & anathematizanti, dabimus pro præcedentibus veniam: & de futuris nos & sanctam synodum muniat, quod similia expositionibus sanctorum patrum sapiat, D & præter hos postmodum neque doceat aliquos, neque in aliquorum præsentia disputet. Sic oportet, obsecro te. Nam & antequam tu eum scires, scio eum; & antequam ille te cognosceret, me cognovit. Abraamius reverentissimus presbyter & archimandrita dixit: Ita habet per vestigia vestra. Et postquam surrexerunt, Flavianus sanctissimus archiepiscopus dixit: Cognoscitis zelum accusatoris? quoniam & ipse ignis frigidus illi videtur propter pietatis zelum. Et Deus scit. Et monui & rogavi, dicens: Noli obsecro: intermitte. Cum autem immineret, quid eram facturus? Numquid ego dispersionem vestram volo? absit; & non magis congregari vos? Inimicorum est dispergere, patrum autem [c] colligere.

ACTIO PRIMA.

[a] al. sanctitas

[b] Crabbi scholium in hunc locum: Suspendimus cognitionem negotii donec convalescat: non urgemus ægrotantem.

Sap. 1. v. 13.

2. Corinth. 8. v. 9.

[c] al. continere.

Πρᾶξις πέμπτη ἐν Κωνσταντινουπόλει.

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

Τῇ ἑξῆς ἡμέρᾳ, ἥ ἐστιν ἑπτακαιδεκάτη τοῦ Νοεμβρίου μηνὸς, αὖθις συνεδρευούσης τῆς ἁγίας συνόδου ἐν τῷ σηκρήτῳ τοῦ ἐπισκοπείου, Αέτιος διάκονος καὶ νοτάριος εἶπεν· οἱ ἀποσταλέντες τῇ χθὲς ἡμέρᾳ, ἥ τις ἐστὶν ἑκκαιδεκάτη τοῦ Νοεμβρίου μηνὸς, οἱ εὐλαβέστατοι πρεσβύτεροι Μέμνων σκευοφύλαξ, καὶ Ἐπιφάνιος, καὶ Γερμανὸς, ἐπὶ τῇ τρίτῃ κλήσει πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, πάρεισιν ἀπαγγεῖλαι βουλόμενοι, ἅπερ παρὰ τοῦ μνημονευθέντος ἀκηκόασι, διακονησάμενοι τοῖς ὑμετέροις γράμμασιν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτω ἐν πρώτῃ τάξει Μέμνων ὁ εὐλαβέ-

E [d] Actio V. Constantinopolitani Concilii, lecta Ephesi, & relecta Chalcedone.

SEquenti die, id est, septimadecima mensis Novembris, rursus congregata sancta synodo in secretario episcopii, Aetius diaconus & notarius dixit: Qui directi sunt hesterno die, qui erat sextusdecimus dies mensis Novembris, religiosissimi presbyteri, Memnon sacrorum vasorum custos, & Epiphanius, & Germanus diaconus, in tertiam vocationem ad reverentissimum Eutychem presbyterum & archimandritam, adsunt, volentes intimare quæ a memorato viro audierunt, [e] ministrantes litteris vestræ sanctitatis. Flavianus sanctissimus archiepiscopus dixit: Priore loco dicat Memnon reverentissi-

[d] al. Quinta cognitio, &c.

[e] al. porrantes ei litteras

ANNO CHRISTI 451.

mus presbyter, quale responsum accepit ab Eutyche presbytero & archimandrita super his, pro quibus directus est a sancta synodo. Memnon presbyter & sacrorum vasorum custos dixit: Secundum jussionem vestræ sanctitatis & vestræ sanctæ congregationis, pervenientes usque ad reverentissimum presbyterum & archimandritam Eutychem, reddidimus ei scripta, quæ a vestra sancta synodo transmissa sunt ei. Accipiens autem & perlegens dixit nobis: Quia direxi reverendum presbyterum & archimandritam Abraamium ad sanctissimum & beatissimum archiepiscopum nostrum, necnon & sanctum concilium, quatenus ex persona mea consentiat omnibus quæ dicta sunt a sanctis patribus in Nicæa vel in Epheso congregatis, & omnibus quæ a beato Cyrillo. Et adhuc eo dicente, Eusebius reverentissimus episcopus dixit: Nunc venit consentire? Ego non de futuris eum, sed de præteritis accusavi. Numquid modo, si ei quidam ediderunt aliquam expositionem dicentes: Propter necessitatem consenti & subscribe: propterea ego jam victus sum? Flavianus sanctissimus archiepiscopus dixit: Nullus neque tibi concedet recedere ab accusatione, neque illi, ut non satisfaciat de præteritis. Eusebius Dei amantissimus episcopus dixit: Postulo [a] hanc vocem mihi non præjudicare. Ego enim fidelissimos testes habeo, sub quorum præsentia perversa docebat & admonebat: & contentionem expertus est, non semel, non bis, sed & sæpius admonitus a me, ut recta saperet, nec ita acquievit. Num si dicas his qui in carcere sunt: Ex hodie non latrocinemini; & omnes promittunt. Flavianus sanctissimus archiepiscopus dixit: Nullum præjudicium generatur tuæ sanctitati in accusatione a te proposita, etsi millies spoponderit subscribere expositionibus sanctorum patrum. Sicut enim sæpius jam a nobis dictum est, oportet eum prius convictum esse in quibus accusatus est, & satisfacere. Et cum adhuc hæc dicerentur, adjecit reverentissimus presbyter & vasorum custos Memnon: dicebat vero: Eo quod in infirmitate constitutus sum, hac de causa direxi presbyterum & archimandritam Abraamium. Cum vero ferventius ei imminerem, quia debes pervenire & præsentare te in sancta synodo, & satisfacere his, quibus impeteris, hoc ait: Quia [b] exspecto papam Abraamium; forte exorabit dominum, & sanctam synodum. Dico ei; Quid ergo? Nos manemus hic, donec veniat? Respondit: Peto supplicari domino archiepiscopo & sanctæ synodo, quatenus inducias mihi tribuant præsentis septimanæ: & secunda feria volente Deo, ingredior, & satisfacio, & domino, & sanctæ synodo. Flavianus reverentissimus archiepiscopus dixit: Dicat & reverentissimus presbyter Epiphanius, quid audierit a religiosissimo presbytero & archimandrita Eutyche. Religiosissimus presbyter Epiphanius dixit: Secundum jussionem vestræ sanctitatis pervenimus ego & reverendus presbyter & custos sacrorum vasorum Memnon, pariter cum reverendo Germano diacono: & reddidimus reverendo presbytero & archimandritæ Eutychi commonitorium scriptum a vestra sancta synodo; & perlegens ipsum, illa dixit, quæ reverendus presbyter Memnon prosecutus est. Flavianus sanctissimus archiepiscopus dixit: Dicat & religiosissimus Germanus diaconus quæ audierit. Religiosissimus diaconus Germanus dixit: Secundum jussionem vestræ sanctitatis & sancti concilii pervenimus ad reverendum presbyterum & archimandritam Eutychem: Et hæc eadem nobis dixit, quæ & reverendi presbyteri prosecuti sunt. Eusebius Dei amantissimus episcopus dixit: Jam & pridem postulavi vestram sanctitatem pro seditione ab eo meditata, quoniam conturbationes immittit etiam monasteriis, quatenus dirigatur ad monasteria ad cognoscendum: quia omnes [c] commonet, debere eos alicui chartulæ ab ipso conscriptæ aut (nescio quomodo) ad eum perductæ subscribere. Pro quo vestra sanctitas præcepit certos reverendos clericos pergere ad monasteria. Jubete ergo eos adesse, & sub fide monimentorum ea quæ a mo-

[a] al. hac voce mihi non præjudicari.

[b] al. sustineo

[c] al. commovet

ACTIO PRIMA.

σαντος πρεσβυτέρου, ποίας τετύχηκεν ἀποκρίσεως παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, ἐφ' οἷς ἀπέσταλται παρὰ τῆς ἁγίας συνόδου. ὁ εὐλαβέστατος πρεσβύτερος, καὶ σκευοφύλαξ Μέμνων εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης, καὶ τῆς ἁγίας ὑμῶν συνόδου, ἀφικόμενοι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, ἐπιδεδώκαμεν αὐτῷ τὸ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου γράμμα ἀποσταλὲν αὐτῷ. λαβὼν δὲ, καὶ ἀναγνοὺς, εἶπεν ἡμῖν· ὅτι ἀπέστειλα τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Ἀβραάμιον πρὸς τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχιεπίσκοπον ὑμῶν, καὶ τὴν ἁγίαν σύνοδον· ὥστε συνθέσθαι αὐτὸν εἰς πρόσωπον ἐμὸν πᾶσι τοῖς ἐκφωνηθεῖσι παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν ἐν Ἐφέσῳ, καὶ τοῖς κατὰ τὸν μακάριον Κύριλλον πᾶσι. καὶ ἔτι τοῦτο λέγοντος, ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε· νῦν ἦλθε συνθέσθαι; ἐγὼ οὐ περὶ τῶν μελλόντων κατηγόρησα, ἀλλὰ περὶ τῶν φθασάντων. μὴ γὰρ ἄρτι, ἐὰν ἐκδεδώκασιν αὐτῷ τινες ἔκθεσιν, καὶ εἶπον ὅτι διὰ τὴν ἀνάγκην σύνθου, ἢ ὑπόγραψον, ἤδη ἡττήθην ἐγώ; ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οὐδεὶς οὐδέ σοι συγχωρεῖ ἐκστῆναι τῆς κατηγορίας, οὔτε ἐκείνῳ τὸ μὴ ἀπολογήσασθαι ὑπὲρ τῶν παρῳχηκότων. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· ἀξιῶ ταύτην τὴν φωνὴν ἐμοὶ μὴ προκρῖναι. ἐγὼ γὰρ ἀξιοπίστους μάρτυρας ἔχω, ἐφ' ὧν τὰ διεστραμμένα ἐδίδασκε, καὶ κατήχει, καὶ ἀντιλογίας ἐπειράθη, οὐχ ἅπαξ, οὐ δὶς, ἀλλὰ καὶ πολλάκις ὑπομνησθεὶς παρ' ἐμοῦ, ὥστε τὰ ὀρθὰ φρονεῖν οὐδὲ οὕτως ἐπείσθη. ἐπεὶ, εἴπε καὶ τοῖς ἐν φυλακῇ· ἀπὸ τῆς σήμερον μὴ λῃστεύετε· καὶ πάντες ἐπαγγέλλονται. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οὐδὲν πρόκριμα οἴσει τῇ σῇ θεοσεβείᾳ εἰς τὴν παρὰ σοῦ τεθεῖσαν κατηγορίαν, κἂν μυριάκις ὑπισχνῆται καθυπογράφειν τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων. καθὼς γὰρ καὶ ἤδη εἴρηται πολλάκις ἡμῖν, δεῖ αὐτὸν πρότερον ἐλεγχθῆναι ἐφ' οἷς κατηγορήθη, καὶ ἀπολογήσασθαι. καὶ ἔτι τούτων λεγομένων, προσέθηκεν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ σκευοφύλαξ Μέμνων. ἔλεγε δὲ· ὅτι διὰ τὸ ἐν ἀῤῥωστίᾳ με ἐξετάζεσθαι, τούτου ἕνεκεν ἀπέστειλα τὸν εὐλαβέστατον πρεσβύτερον Ἀβραάμιον. ὡς δὲ πολὺ ἐγκειμένου, ὅτι ὀφείλεις παραγενέσθαι καὶ ἀπαντῆσαι πρὸς τὴν ἁγίαν σύνοδον, καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις σοι, ἔφη τοῦτο ὅτι περιμένω τὸν [a] πάπαν Ἀβραάμιον, ἴσως δυσωπήσει τὸν κύριον, καὶ τὴν ἁγίαν σύνοδον. λέγω αὐτῷ· ἡμεῖς μένομεν μέχρι ἐνταῦθα ἕως οὗ ἔρχεται; λέγει· παρακαλῶ δυσωπηθῆναι τὸν κύριον τὸν ἀρχιεπίσκοπον, καὶ τὴν σύνοδον, ὥστε ταύτης ἑβδομάδος ταύτης ἀνοχήν μοι δοθῆναι, καὶ τῇ δευτέρᾳ, ἐὰν ᾖ θέλημα Θεοῦ, εἰσέρχομαι, καὶ ἀπολογοῦμαι τῷ κυρίῳ, καὶ τῇ ἁγίᾳ συνόδῳ. ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Ἐπιφάνιος, τί ἤκουσε παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἀρχιμανδρίτου Εὐτυχοῦς. ὁ εὐλαβέστατος πρεσβύτερος Ἐπιφάνιος εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης παραγενόμενος ἐγώ τε, καὶ ὁ θεοσεβέστατος πρεσβύτερος καὶ σκευοφύλαξ Μέμνων, ἅμα τῷ εὐλαβεστάτῳ διακόνῳ Γερμανῷ, ἀποδεδώκαμεν τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ καὶ ἀρχιμανδρίτῃ Εὐτυχεῖ τὸ χαρτὶν αὐτοῦ ὑπομνηστικὸν παρὰ τῆς ἁγίας ὑμῶν συνόδου· καὶ ἀναγνοὺς τοῦτο, ἐκεῖνα εἶπεν, ἅπερ κατέθετο ὁ θεοσεβέστατος πρεσβύτερος Μέμνων. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος Γερμανὸς, ἅπερ ἤκουσεν. ὁ εὐλαβέστατος διάκονος Γερμανὸς εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης, καὶ τῆς ἁγίας συνόδου, παρεγενόμεθα πρὸς τὸν εὐλαβέστατον πρεσβύτερόν τε καὶ ἀρχιμανδρίτην Εὐτυχέα· καὶ ταῦτα αὐτὸς εἶπεν ἡμῖν, ἅπερ οἱ εὐλαβέστατοι πρεσβύτεροι κατέθεντο. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· ἠξίωσα καὶ πρώην τὴν ὑμετέραν ἁγιωσύνην διὰ τὴν ἐπισύστασιν τὴν παρ' αὐτοῦ μελετωμένην, ἐπειδὴ ταραχὴν ἐμβάλλει καὶ τοῖς μοναστηρίοις, ὥστε ἀποσταλῆναι εἰς τὰ ἀσκητήρια ἐπὶ τῷ γνωσθῆναι ὅτι πάντας [b] αἰτιᾶται, ὡς ὀφείλοντας τόμῳ τινὶ παρ' αὐτοῦ ἢ συνταχθέντι, ἢ οὐκ οἶδ' ὅπως εἰς αὐτὸν ἐλθόντι, ὑπογράψαι. περὶ τούτου ἡ ὑμετέρα ἁγιωσύνη ἐκέλευσε φανερῶς τοὺς εὐλαβεστάτους κληρικοὺς διαβῆναι εἰς τὰ ἀσκητήρια. κελεύσατε καὶ τούτους παρεῖναι, καὶ καταθέσθαι ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων, ἅπερ παρὰ τῶν μο-

[a] Forte, παπᾶν.

[b] Forte, ἀνασείουσιν.

ANNO CHRISTI 451.

ναχῶν ἀκηκόασιν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτωσαν οἱ νοτάριοι, τίνες εἰσὶν ἀποσταλέντες εἰς τὰ ἐν τῇ πόλει μοναστήρια. οἱ νοτάριοι εἶπον· οἱ εὐλαβέστατοι, Πέτρος ὁ πρεσβύτερος, καὶ Πατρίκιος ὁ διάκονος· καὶ πάρεισιν ἐνταῦθα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτωσαν τί ἀκηκόασι παρ' ἑκάστου τῶν εὐλαβεστάτων ἀρχιμανδριτῶν. ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἁγίας συνόδου, φθάσαντες ἕως τοῦ μοναστηρίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Μαρτίνου, ἐπηρωτήσαμεν, εἴ τινα τόμον παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς ἐδέξατο. καὶ ἀπεκρίνατο, ἀπεστάλθαι μὲν πρὸς αὐτὸν τῇ παρασκευῇ τῇ παρελθούσῃ, ἥτις ἐστὶ δωδεκάτη τοῦ Νοεμβρίου μηνὸς, διὰ Κωνσταντίνου διακόνου τινὸς, ἀξιοῦν ὑπογράψαι· καὶ οὐκ ἐπείσθην, εἰπών, μὴ εἶναι ἐμὸν τὸ ὑπογράφειν, ἐπισκόπων δὲ μόνον. καὶ ἀξιοῦν ἔλεγεν· ὅτι εἰ μὴ νῦν συμπνεύσετέ μοι, καὶ ταπεινώσει με ὁ ἐπίσκοπος, πολλῷ πλέον καὶ ὑμῖν ἐπιβήσεται. ἐκεῖθεν ἐξελθόντες, ἤλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Φαῦστον. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τί δὲ περιεῖχεν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος τὸν τόμον ἔλεγεν, ὃν καθυπογράψαι οὐχ εἵλετο; ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος εἶπεν· ὡς ἔλεγε, τὰ ἐν Ἐφέσῳ γενόμενα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἀναγνοὺς, καὶ καταμαθὼν, ἢ ἀκούσας μόνον, ταῦτα πρὸς ἐκεῖνον ἀπεκρίνατο; ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· οὐκ ἀνέγνω μὲν, ἔλεγε δὲ, ὅτι ταῦτά ἐστι τοῦ μακαρίου Κυρίλλου, καὶ τῶν ἐν Ἐφέσῳ ἐπισκόπων. ὑπεγέγραπτο δὲ καὶ ὁ τόμος, καὶ τὴν ὑπογραφὴν ὑπέκρυπτεν. ὁμοίως δὲ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Φαῦστος ἔλεγεν, ἀπεστάλθαι πρὸς αὐτὸν τόμον διὰ Κωνσταντίνου καὶ Ἐλευσινίου, ὡς ὀφείλειν αὐτὸν ὑπογράψαι· καὶ ἀπῄτει τὴν δύναμιν τοῦ τόμου καὶ ἔλεγεν ἐκεῖνος· ὅτι τῶν τριακοσίων δέκα καὶ ὀκτώ ἐστιν ἡ ἔκθεσις, καὶ τῶν ἐν Ἐφέσῳ συλλεγέντων ἐπισκόπων, καὶ εἶπον αὐτοῖς, λέγει, ὅτι τὰ ἴσα ἐκείνων σώζεται παρ' ἡμῖν· καὶ δὸς ἡμῖν πρὸς ἐπίσκεψιν, μή ποτέ τινα προσθήκην ἔχει. καὶ οὐ κατεδέξαντο, ἀλλ' ἀνεχώρησαν. ἡμεῖς δὲ καὶ τέκνα τῆς ἐκκλησίας ἐσμὲν, καὶ ἕνα πατέρα, μετὰ τὸν Θεὸν, τὸν ἀρχιεπίσκοπον ἔχομεν. καὶ ὁ [a] κύρειος Ἰὼβ λέγει· τόμον μὲν οὐκ ἀπέστειλε πρὸς ἡμᾶς· φασὶ δὲ, ὅτι ἐν ταῖς ἡμέραις ταύταις τόμον ἔχει σοι ἀποστεῖλαι ὁ ἀρχιεπίσκοπος, ὥστε ὑπογράψαι· καὶ μὴ πεισθῇς αὐτῷ. ἀπήλθομεν δὲ καὶ πρὸς Μανουήλιον· καὶ ἔφησε μὴ ἀπεστάλθαι πρὸς αὐτόν. ὁμοίως δὲ καὶ πρὸς Ἀβραάμιον· κἀκεῖνος ἔλεγε, μὴ πεπέμφθαι πρὸς αὐτὸν μήτε φάσιν, μήτε τόμον. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ Πατρίκιος ὁ διάκονος, τί ἤκουσε παρὰ τῶν εὐλαβεστάτων πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν. ὁ εὐλαβέστατος διάκονος Πατρίκιος εἶπεν· ἀποσταλεὶς παρὰ τῆς ὑμετέρας ἁγιότητος, καὶ τῆς ἁγίας ὑμῶν συνόδου, μετὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Πέτρου· κἀκεῖνα ἤκουσα, ἅπερ κατέθετο ὁ μνημονευθεὶς εὐλαβέστατος πρεσβύτερος. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· ὁρᾷ ἡ ὑμετέρα ἁγιωσύνη τὰ πλημμεληθέντα Εὐτυχεῖ τῷ ἀρχιμανδρίτῃ, καὶ ὅτι τὰ ἀλλότρια τῆς πίστεως φρονεῖ. ταῦτα γὰρ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης κατέθετο, καὶ ὁ σὺν αὐτῷ ἀποσταλεὶς εὐλαβέστατος διάκονος Ἀνδρέας, καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος, ὁ τοῦ θεοφιλεστάτου ἐπισκόπου Βασιλείου· οἷα δὲ καὶ νῦν οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται διὰ τῶν ἀποσταλέντων πρὸς αὐτοὺς εὐλαβεστάτων κληρικῶν ἐγνώρισαν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. τίς οὖν ἔτι λείπεται ἐκείνῳ τόπος ἀπολογίας; διὸ ἀξιῶ τὰ δοκοῦντα τοῖς ἁγίοις κανόσιν ἐπενεχθῆναι ἤδη καὶ ἐπ' αὐτῷ ψηφισθῆναι. ὁ γὰρ ταραχὰς ἐμβάλλων, καὶ ἀλλότρια φρονῶν τῆς πίστεως, πῶς οὗτος ἐν ἱερεῦσι Θεοῦ, ἢ ἐν ἀρχιμανδρίταις [b] δίκαιόν ἐστιν ἀριθμεῖσθαι; συνορᾶτε δὲ, ὅτι καὶ ἐπιορκῶν ἐλήλεγκται. ὁ γὰρ εἰπών, ὅτι κέκριταί μοι μὴ ἐξελθεῖν, καὶ τάφος μοί ἐστι τὸ μοναστήριον, οὗτος ἐπαγγέλλεται ἐλθεῖν, πρὸς ὑπέρθεσιν ὁρῶν, καὶ ἕτερά τινα τεχνάζων ὥστε φυγεῖν τοὺς ἐλέγχους, καὶ μὴ ὑπομεῖναι τιμωρίαν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἐξαρκεῖ μὲν πάντα τὰ κατατεθέντα κατὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, δεῖξαι ἡμῖν, ὅτι ἕτερα

[a] Forte, κύρις

[b] Forte, δίκαιος

A nachis audierint, profiteri. Sanctissimus archiepiscopus dixit: Dicant notarii quinam sunt directi ad monasteria civitatis. Notarii dixerunt: Religiosissimi, Petrus presbyter, & Patricius diaconus; & hic praesentes sunt. Flavianus sanctissimus archiepiscopus dixit: Dicant quid audierint ab unoquoque reverentissimorum archimandritarum. Reverentissimus Petrus presbyter dixit: Secundum jussionem vestrae sanctitatis & sanctae synodi pervenientes ad monasterium reverentissimi presbyteri & archimandritae Martini, requisivimus si aliquam chartulam directam a reverendo presbytero & archimandrita Eutyche susceperit. Qui respondit directam ad se quidem fuisse praeterita sexta feria, quae est duodecima mensis Novembris, B per quemdam Constantinum diaconum, petens ut subscriberem; & non acquievi, dicens: Non est meum subscribere, sed episcoporum tantum est. Et postulans dicebat: Si nunc mihi conspirare nolueritis, & humiliaverit me episcopus, postmodum [a] & vobis impositurus est. Exinde egressi, venimus ad reverendum presbyterum & archimandritam Faustum. Flavianus sanctissimus archiepiscopus dixit: Quid autem continere reverendus presbyter & archimandrita Martinus dicebat tomum, quem subscribere noluit? Petrus presbyter dixit: Ut dicebat, quae in Epheso acta sunt. Flavianus sanctissimus archiepiscopus dixit: Legerat & cognoverat; an tantummodo audiens, haec illi respondit? Petrus reverentissimus presbyter dixit: C Non legerat quidem; dicebat vero, quia ista sunt beati Cyrilli, & episcoporum qui in Epheso. Subscriptus vero erat & tomus, & occultabat subscriptionem. Similia vero & reverendus presbyter & archimandrita Faustus dicebat, directum ad se tomum per Constantinum & Eleusinium, quasi deberet a se subscribi: & exigebat virtutem & sententiam chartulae. Dicebat ille: Trecentorum decem & octo est expositio, & in Epheso congregatorum beatissimorum episcoporum. Et respondi eis, inquit: Exemplaria eorum salvantur apud nos; & date nobis ad [b] inspiciendum, ne forte aliquod additamentum habeat. Et non acquieverunt, sed recesserunt. Nos vero & ecclesiae filii sumus, & unum patrem post Deum habemus archiepiscopum. D Et domnus Job dixit: Tomum quidem non direxit ad nos; dicebant vero quia in his diebus tomum ad te directurus est archiepiscopus, ut subscribas, & ne persuadearis ab eo. Perreximus vero & ad Manuhelem: & dixit ad se non directum. Similiter ad Abraamium: & ipse dicebat, neque tomum, neque aliquod responsum ad se fuisse directum. Flavianus sanctissimus archiepiscopus dixit: Dicat & Patricius reverendus diaconus, quid a reverendis presbyteris & archimandritis audierit. Patricius reverendus diaconus dixit: Directus a vestra sanctitate, & a vestra sancta synodo, una cum reverendo presbytero Petro, audivi illa, quae & memoratus reverendus presbyter professus est. Eusebius Dei amantissimus episcopus E dixit: Pervidet vestra sanctitas, quae ab Eutyche archimandrita commissa sunt, & quia aliena a fide sapit. Talia enim & religiosus presbyter & defensor Joannes prosecutus est, & cum eo directus Andreas reverendus diaconus, & Athanasius religiosus diaconus reverentissimi Basilii episcopi; qualia & nunc responsa reverentissimi archimandritae per directos ad se religiosissimos clericos innotuerunt vestrae sanctitati. Qualis ergo adhuc ei satisfactionis locus relinquitur? Pro quo puto, quae praecipiunt sanctae regulae ad praesens in eum jam exerceri. Qui enim conturbationes immittit, & aliena a fide sapit, qua forte dignus est inter Dei sacerdotes & archimandritas connumerari? Perspicitis vero, quia & de perjurio arguitur. Qui enim dixit, quia definitum est mihi non egredi, & sepulchrum mihi est monasterium, ipse promittit venire, ad dilationem respiciens, & alia aliqua machinans, quatenus fugiat comprobationes, & non sustineat poenam. Flavianus sanctissimus archiepiscopus dixit: Sufficiunt quidem universa quae adversus Eutychem presbyterum & archimandritam deposita sunt, ad ostendendum nobis, quia aliena

[a] al. & vobis se superimpositurus est

[b] al. pertractandum

a recta fide sapit, & conturbare festinavit ecclesiam: quatenus amodo jam vindicta canonica subjaceret, & alienaretur & a sacerdotali, qua fungitur, dignitate, & a principatu monasterii. Propter pleniorem vero examinationem, & postulatas ab eo præstamus inducias: sic enim occurrens, in faciem convincetur. Si vero secundum propriam promissionem Eutyches presbyter & archimandrita minime occurrerit proxima secunda feria, id est, vigesimo secundo die præsentis mensis Novembris, privabitur omnino & presbyterii dignitate, & alienabitur præesse monasterio.

παρὰ τὴν ὀρθὴν πίστιν φρονεῖ, καὶ τὴν ἐκκλησίαν διαταράξαι ἐσπούδασεν· ὥστε αὐτὸν ἐντεῦθεν ἤδη ὑποπεσεῖν τοῖς τῶν κανόνων ἐπιτιμίοις, καὶ ἀλλοτριωθῆναι καὶ τῆς περικειμένης αὐτῷ ἀξίας ἱερατικῆς, καὶ τοῦ προΐστασθαι μοναστηρίου. ὑπὲρ δὲ πλείονος ἀκριβείας καὶ τὴν ἐξαιτηθεῖσαν παρ' αὐτοῦ διωρίαν παρέχομεν αὐτῷ. οὕτως γὰρ ἀπαντήσας κατὰ πρόσωπον ἐλεγχθήσεται. εἰ δέ γε κατὰ τὴν ἰδίαν ἐπαγγελίαν μὴ ἀπαντήσοι ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχὴς, τῇ προσεχούσῃ δευτέρᾳ, τουτέστι τῇ εἰκάδι δευτέρᾳ τοῦ ἐνεστῶτος μηνὸς Νοεμβρίου, ἀπαλλοτριωθήσεται εἰς τὸ παντελὲς καὶ τῆς ἀξίας τοῦ πρεσβυτέρου, καὶ ξένος γενήσεται τοῦ προΐστασθαι μοναστηρίου.

Actio VI. [a] Constantinopoli, lecta Ephesi, & relecta Chalcedone.

a In ms. Florentino dicitur quinta: at in Bib. sexta.

Πρᾶξις ϛʹ. ἐν Κωνσταντινουπόλει.

DIe sabbato, qui est vigesimus dies mensis Novembris, considente sancta & magna synodo in secretario episcopii, Eusebius Dei amantissimus episcopus dixit: In quibus scripto accusavi Eutychem presbyterum & archimandritam, supplico vestram sanctitatem, necessarios mihi, propter motum a me adversus eum negotium, præcipere in vestram venire sanctam synodum die proxima secunda feria, in qua & ille se venire promisit. Sunt autem qui a me quæruntur, Narses presbyter & syncellus ejus, Maximus archimandrita & amicus ejus, & Constantinus diaconus & apocrisarius ejusdem Eutychis, & Eleusinius diaconus ejusdem monasterii; ut eis præsentibus facta cognitione, veritas manifestetur. Flavianus sanctissimus archiepiscopus dixit: Inquisiti a reverentissimo Eusebio episcopo vocentur ad occurrendum præfinito die. Eusebius Dei amantissimus episcopus dixit: A quibusdam comperi, quia secunda facta vocatione a sancta vestra synodo, directi a vobis religiosissimi presbyteri Mamas & Theophilus aliqua ab Eutyche presbytero & archimandrita audierint, quæ sub fide monimentorum non sunt professi. Et hæc si manifesta fuerint, comprobatio est certa quid sapiat. Peto igitur vocatos Mamam & Theophilum presbyteros, propositis sanctis evangeliis, dicere quæ audierunt ab Eutyche presbytero & archimandrita. Flavianus sanctissimus archiepiscopus dixit: Dicant notarii, si supradicti reverentissimi presbyteri in præsenti sunt. Notarii dixerunt: Adest quidem reverendus Theophilus presbyter: reverendus vero Mamas presbyter absens est. Flavianus sanctissimus archiepiscopus dixit: Audivisti quæ a Dei amantissimo episcopo Eusebio dicta sunt? Propter quod timorem Dei præ oculis habens, omnia cum veritate profitere, quæ ab Eutyche presbytero dicente audisti, cum ad vocandum eum a nobis & a sancta synodo directus es. Theophilus religiosissimus presbyter dixit: Secundum jussionem sanctitatis vestræ ego & religiosissimus presbyter Mamas pervenimus ad monasterium reverentissimi presbyteri & archimandritæ Eutychis, & porreximus ei a vestra sancta synodo directum commonitorium evocationis ejus: & cœpit velle disputare nobiscum. Reverendo autem presbytero Mama dicente ei, quia non pro hoc venimus, ut una cum tua [b] reverentia disputemus, sed evocare te ad occurrendum in sancta synodo; cœpit idem reverentissimus presbyter & archimandrita, præsente Narsete presbytero, & Maximo archimandrita, & aliis quibusdam monachis, dicere: In qua scriptura jacent duæ naturæ? Deinde vero quis sanctorum patrum exposuit, Deum Verbum habere duas naturas? Ad hæc nobis respondentibus: Et tu ostende nobis ubi continetur homousion, aut quæ scriptura hoc dicit? Respondit idem reverentissimus presbyter Eutyches: Non continentur in scripturis, in expositione vero patrum jacet. Ad hæc reverendus presbyter Mamas respondens dixit: Eo modo, sicut homousion in sanctis scripturis non jacet, sed a sanctis patribus expositum est; ita & de duabus naturis idem sancti patres exposuerunt. Dixi ad hæc & ego: Perfectus est

b al. beatitudine.

ΗΜέρᾳ σαββάτου, ἥτις ἐστὶν εἰκὰς τοῦ Νοεμβρίου μηνὸς, συνεδρευούσης τῆς ἁγίας καὶ μεγάλης συνόδου ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκοπείου, ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· ἐφ' οἷς ἐγγράφως ὑπεσχόμην Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην, παρακαλῶ τὴν ὑμετέραν ἁγιωσύνην, ἀναγκαίους μοι ὄντας εἰς τὴν κινουμένην παρ' ἐμοῦ κατ' αὐτοῦ ὑπόθεσιν, κελεῦσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον παραγενέσθαι τῇ προσεχούσῃ δευτέρᾳ, εἰς ἣν ἐκεῖνος ἐπηγγείλατο παραγίνεσθαι. εἰσὶ δὲ οἱ ἐπιζητούμενοι παρ' ἐμοῦ, Ναρσῆς ὁ πρεσβύτερος καὶ σύγκελλος αὐτοῦ, Μάξιμος ἀρχιμανδρίτης, ὁ φίλος αὐτοῦ, καὶ Κωνσταντῖνος διάκονος καὶ ἀποκρισιάριος τοῦ αὐτοῦ Εὐτυχοῦς, Ἐλευσίνιος διάκονος τῆς αὐτῆς μονῆς. ἐφ' ᾧ τε παρόντων αὐτῶν γινομένης τῆς διαγνώσεως, τὸ ἀληθὲς κατάδηλον γενέσθαι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οἱ ἐπιζητηθέντες παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Εὐσεβίου, κληθήτωσαν εἰς τὸ ἀπαντῆσαι τῇ ὡρισμένῃ ἡμέρᾳ. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε· περιηχήθην παρά τινων, ὡς τῆς δευτέρας κλήσεως γινομένης παρὰ τῆς ἁγίας ὑμῶν συνόδου, οἱ ἀποσταλέντες παρ' ὑμῶν εὐλαβέστατοι πρεσβύτεροι, Μάμας καὶ Θεόφιλος, ἐπήκουσάν τινα παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, ἅπερ ἐπὶ τῆς * πράξεως τῶν ὑπομνημάτων οὐ κατέθεντο. καὶ ταῦτα δὲ εἰ φανείη, ἀπόδειξίς ἐστιν ἐναργὴς τοῦ φρονήματος αὐτοῦ. ἀξιῶ τοίνυν κληθέντας Μάμαντα καὶ Θεόφιλον τοὺς πρεσβυτέρους, προκειμένων τῶν ἁγίων εὐαγγελίων, εἰπεῖν ἅπερ ἀκηκόασι παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτωσαν οἱ νοτάριοι, εἰ οἱ προειρημένοι εὐλαβέστατοι πρεσβύτεροι ἐνταῦθά εἰσι. οἱ νοτάριοι εἶπον· ὁ μὲν εὐλαβέστατος Θεόφιλος ὁ πρεσβύτερος πάρεστιν· ὁ δὲ εὐλαβέστατος πρεσβύτερος Μάμας οὐκ ἔστιν ἐνταῦθα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἐπήκουσας τῶν λεχθέντων παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου; διὸ πρὸ ὀφθαλμῶν ἔχων τὸν φόβον τοῦ Θεοῦ, κατάθου σύμπαντα μετὰ ἀληθείας, ἅπερ ἀκήκοας λέγοντος τοῦ πρεσβυτέρου Εὐτυχοῦς, ἡνίκα ἀπεστάλης πρὸς τὸ καλέσαι αὐτὸν, παρά τε ἡμῶν καὶ τῆς ἁγίας συνόδου. Θεόφιλος πρεσβύτερος εἶπε· κατὰ κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης, ἐγώ τε καὶ ὁ θεοσεβέστατος πρεσβύτερος Μάμας καταλαβόντες τὸ μοναστήριον τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς· καὶ ἐπιδεδώκαμεν αὐτῷ τὸ ὑπομνηστικὸν τῆς κλήσεως αὐτοῦ, παρὰ τῆς ἁγίας συνόδου ἀποσταλὲν αὐτῷ. καὶ ἤρξατο θέλειν συζητεῖν ἡμῖν. τοῦ δὲ εὐλαβεστάτου πρεσβυτέρου Μάμα λέγοντος αὐτῷ, ὅτι περ οὐ διὰ τοῦτο ἤλθομεν τοῦ συζητῆσαι τῇ σῇ εὐλαβείᾳ, ἀλλὰ καλέσαι σε ὑπαντῆσαι εἰς τὴν ἁγίαν σύνοδον· ἤρξατο λέγειν ὁ αὐτὸς εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης, παρόντος τοῦ πρεσβυτέρου Ναρσοῦ, καὶ τοῦ ἀρχιμανδρίτου Μαξίμου, καὶ ἑτέρων τινῶν μοναχῶν· ὅτι ἐν ποίᾳ γραφῇ κεῖνται δύο φύσεις; ἔπειτα δὲ, τίς τῶν ἁγίων πατέρων ἐξέθετο δύο φύσεις τὸν Θεὸν λόγον ἔχειν; ἡμῶν δὲ πρὸς ταῦτα ἀποκριναμένων αὐτῷ· καὶ αὐτὸς δεῖξον ἡμῖν, ποῦ κεῖται τὸ ὁμοούσιον, ἢ ποία γραφὴ λέγει ποτέ; ἀπεκρίθη ὁ αὐτὸς εὐλαβέστατος Εὐτυχής· οὐ κεῖται παρὰ τῇ γραφῇ, εἰς τὴν ἔκθεσιν δὲ τῶν πατέρων κεῖται. πρὸς ταῦτα ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας ἀποκρινάμενος εἶπεν· ὃν τρόπον τὸ ὁμοούσιον οὐ κεῖται παρὰ τῇ γραφῇ, ἀλλὰ παρὰ τῶν πατέρων ἐξετέθη, οὕτω καὶ περὶ δύο φύσεων οἱ αὐτοὶ ἅγιοι πατέρες ἐξέθεντο· εἶπον κἀγὼ πρὸς ταῦτα· τέλειός ἐστι

* πίστεως, in Latino.

ANNO CHRISTI 451.

ACTIO PRIMA.

ὁ Θεὸς λόγος, ἢ οὔ; λέγει ὁ αὐτὸς πρεσβύτερος· τέλειος. εἶπον κἀγώ· τέλειος ἄνθρωπος ὁ σαρκωθεὶς, ἢ οὔ; λέγει ὁ αὐτὸς πρεσβύτερος· τέλειος. εἰ τοίνυν Θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος, δύο τέλεια ἕνα ἀποτελοῦσιν υἱὸν, τί κωλύει λέγειν ἡμᾶς ἐκ δύο φύσεων ἕνα υἱόν; πρὸς ταῦτα ἀπεκρίνατο ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχής· μὴ γένοιτο εἰπεῖν ἐμὲ, ἐκ δύο φύσεων τὸν Χριστὸν, ἢ φυσιολογεῖν τὸν Θεόν μου. εἴτε οὖν βούλονται καθελεῖν με, εἴτε θέλουσι ποιεῖν κατ' ἐμοῦ, κατὰ συγχώρησιν Θεοῦ ποιείτωσαν· ἐγὼ γὰρ ἐν τῇ πίστει, ᾗ παρέλαβον, ἐν αὐτῇ ἕστηκα, καὶ πληροφορῆσαι βούλομαι. ἅπερ ἀκήκοα παρ' αὐτοῦ, ταῦτά ἐστιν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰπὲ ἡμῖν, τίνος ἕνεκεν τοιαῦτα περὶ τῆς πίστεως ἀκούσας παρὰ τοῦ εὐλαβεστάτου Εὐτυχοῦς, παραγενόμενος τῇ προτεραίᾳ ταῦτα παρεσιώπησας; ὁ εὐλαβέστατος Θεόφιλος πρεσβύτερος εἶπεν· οἶδε καὶ ἡ ὑμετέρα θεοφιλία, ὡς οὐ διὰ ταύτην ἀπεστάλημεν τὴν αἰτίαν, ἀλλὰ μόνον τοῦ καλέσαι τὸν πρεσβύτερον Εὐτυχῆ· διὸ μὴ ἐρωτηθέντες, περιττὸν ἡγησάμεθα ταῦτα εἰπεῖν, περὶ ὧν οὐκ ἐνετάλθημεν. οἱ νοτάριοι εἶπον· παρεγένετο καὶ Μάμας ὁ πρεσβύτερος, οὗ ἐμνημόνευσεν ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἀναγνωσθήτω τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ Μάμᾳ τὰ καταπραχθέντα παρὰ Θεοφίλου τοῦ εὐλαβεστάτου πρεσβυτέρου· καὶ μετὰ τὸ ἀναγνωσθῆναι, ὁ θεοφιλέστατος πρεσβύτερος Μάμας εἶπεν· εἰ περὶ ἀνθρώπου ἦν τὸ ζητούμενον, ὄνομα κληρικοῦ ἔχων, οὐκ ἂν ἐψευσάμην· περὶ δὲ πίστεως λεγομένων, οὐκ ἂν ἀρνήσομαι, οὐδὲ ψεύσομαι μὴ γένοιτο. ἐπειδὴ ἀποστελλόμενοι οὐδὲν ἕτερον ἐνετάλθημεν παρὰ τῆς ἁγίας συνόδου, ἢ μόνον τὸ ὑπομνηστικὸν δοῦναι, καὶ ἀπόκρισιν λαβεῖν, εἴτε ἔρχεται, εἴτε μή· διὰ τοῦτο ἐν τῇ πρώτῃ καταθέσει, ἅπερ ἠθέλησεν ἐκεῖνος λαλῆσαι, περιττὰ ἐνόμισα εἶναι καταθέσθαι. ἀλλ' ἐπειδὴ ἠρώτησεν ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος καὶ τὰ λαληθέντα καταθέσθαι, τὰ αὐτὰ κἀγὼ κατατίθημι, ἅπερ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος κατέθετο. καὶ γὰρ ἡμῶν ἡσυχαζόντων, καὶ μὴ βουλομένων αὐτῷ περὶ μηδενὸς λαλῆσαι, αὐτὸς ἐφιλονείκει, λέγων περὶ τοῦ δόγματος, ὡς ἐφρόνει· καὶ ἠρέμα κατηγοροῦμεν αὐτοῦ. ἔλεγε γὰρ, ὅτι ὁ Θεὸς λόγος σαρκωθεὶς τὴν ἀνθρωπίνην φύσιν ἣν πεπτωκυῖαν ἦλθεν ἐγεῖραι. εὐθέως ἐπιλαβόμενος εἶπον· ποίαν; πάλιν λέγει αὐτός· ὅτι τὴν ἀνθρωπίνην φύσιν. ἔλεγον ἐγὼ, σημειωσάμενος τὴν ἀνθρωπίνην φύσιν· καὶ παρὰ ποίας φύσεως αὕτη * ἀνῃρέθη; ἔλεγεν· ὅτι ἐγὼ παρὰ τῆς γραφῆς οὐκ ἐδιδάχθην περὶ δύο φύσεων. εἶπον ἐγώ· ὅτι οὔτε περὶ τοῦ ὁμοουσίου παρὰ τῆς γραφῆς ἐδιδάχθημεν, ἀλλὰ παρὰ τῶν ἁγίων πατέρων τῶν τὰς γραφὰς καὶ νοησάντων ὀρθῶς, καὶ ἐκθεμένων πιστῶς· οὕτως οὖν παρελάβομεν καὶ περὶ τοῦ ὁμοουσίου, καὶ περὶ τοῦ ἐκ δύο φύσεων εἶναι τὸν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ. ἔφησε πρὸς ταῦτα· ὅτι ἐγὼ θεότητα οὐ φυσιολογῶ, οὔτε λέγω δύο φύσεις· μὴ γένοιτο. καί εἰμι ἐνταῦθα· κἂν καθαιρεθῶ, τάφος μοι ἔστω τὸ μοναστήριον· καὶ ἐὰν συγχωρῇ Θεὸς παθεῖν μέ τι, ἡδέως πάσχω· ἐγὼ γὰρ δύο φύσεις οὐχ ὁμολογῶ. διὰ δὲ τὴν αἰτίαν, ἣν προεῖπον, ἐπειδὴ οὔτε συζητῆσαι ἀπήλθομεν, ἀλλὰ μόνον ἀπόκρισιν δοῦναι καὶ λαβεῖν, διὰ τοῦτο ταῦτα ἐν τῇ προτεραίᾳ οὐ κατεθέμεθα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· δῆλά ἐστι τὰ παρὰ ἀμφοτέρων τῶν εὐλαβεστάτων πρεσβυτέρων κατατεθέντα. ὅθεν καὶ αὐτὰ ἀναλαμβανέσθω τῇ πίστει τῶν ὑπομνημάτων.

A Deus Verbum, an non? Dixit idem presbyter: Perfectus. Dixi ego: Perfectus & homo incarnatus, an non? Dixit idem presbyter: Perfectus. Dixi: Si ergo Deus perfectus & homo perfectus, duo perfecta unum perficiunt Filium: quid igitur prohibet nos dicere, ex duabus naturis unum Filium? Et ad hæc respondit reverentissimus presbyter & archimandrita Eutyches: Absit a me, dicere ex duabus naturis esse Christum, aut de natura loqui seu disputare Dei mei. Si ergo me deponere volunt, aut si desiderant facere aliquid adversum me, secundum permissum Dei faciant. Ego enim in fide quam accepi, in ipsa steti, & consummari desidero. Hæc sunt quæ ab eo audivi. Flavianus sanctissimus archiepiscopus dixit: Dic nobis, qua de re talia de fide a reverentissimo Eutyche audiens, hæc ipsa adveniens prius tacueras? B Theophilus reverentissimus presbyter dixit: Scit & vestra beatitudo, quia non pro hac causa sumus directi, sed tantummodo vocare presbyterum Eutychem. Propter quod minime interrogati, superfluum putavimus hæc dicere, de quibus mandatum non accepimus. Notarii dixerunt: Advenit & Mamas presbyter, quem memoratus est Eusebius Dei amantissimus episcopus. Flavianus sanctissimus archiepiscopus dixit: Relegatur reverendo presbytero Mamæ prosecutio reverendi Theophili presbyteri. Et postquam lecta est, Mamas religiosissimus presbyter dixit: Si de homine esset quod inquirebatur, cum nomen clerici habeam, non mentirer: de fide autem loquendo absit ut negem, aut mentiar. Quoniam directi nihil aliud a sancta synodo in mandatis accepimus, nisi C tantummodo commonitorium dare, & responsum accipere, si venit, aut non; propterea in prima prosecutione, quæ voluit ille loqui, superflua putavi profiteri. Sed quia interrogavit reverentissimus Eusebius episcopus & quæ locuti sumus profiteri, hæc eadem & ego profiteor, quæ etiam & reverentissimus presbyter Theophilus professus est. Nam nobis tacentibus, & minime ei volentibus de ulla causa loqui, ipse certabat, dicens de dogmate, sicut sapiebat; & leniter reprehendimus eum. Dicebat enim, quia Deus Verbum incarnatus humanam naturam, quæ ceciderat, venit erigere. Statim respondens dixi: Qualem? Dixit iterum ille, quia humanam naturam. Dico ego: Fige in memoriam, quia humanam, & a qua D natura hæc suscepta est? Dicebat: Quia ego a sanctis scripturis non didici de duabus naturis. Dixi ego: Quia neque de homousio a sanctis scripturis edocti sumus, sed a sanctis patribus, qui scripturas & pie intellexerunt, & exposuerunt fideliter: sic ergo accepimus & de homousio, & de ex duabus naturis esse Christum Filium Dei. Ait ad hæc: Quia ego de deitatis natura non disputo, neque dico duas naturas; absit: & hic sum; & si damnatus fuero, sepulchrum mihi sit monasterium: & si permiserit Deus me pati aliquid, libenter patior; ego tamen duas naturas non confiteor. Pro ea ergo causa, quam dixeram, quia non ad conquirendum missi sumus, sed tantummodo responsum dare, & accipere; ideo hæc prius minime sumus prosecuti. Flavianus sanctissimus archiepiscopus dixit: Manifesta sunt ab utrisque reverentissimis presbyteris exposita: unde hæc gestorum fides accipiat.

* Forte, ἀνάρξη

Πρᾶξις ἑβδόμη ἐν Κωνσταντινουπόλει.

E

Actio VII. [a] Constantinopoli, lecta Ephesi, relecta Chalcedone.

Συναχθείσης αὖθις τῆς ἁγίας καὶ μεγάλης συνόδου, προκειμένων τῶν ἁγίων καὶ φρικτῶν εὐαγγελίων, καὶ προεδρεύοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκοπείου, τῇ ὁρισθείσῃ προθεσμίᾳ, ἡμέρᾳ δευτέρᾳ, ἥ τις ἐστὶν εἰκὰς δευτέρα τοῦ Νοεμβρίου μηνὸς, Ἀστέριος πρεσβύτερος καὶ νοτάριος εἶπεν· ἀπήντησεν ἡ κυρία ἡμέρα, καὶ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος πρὸ τῶν θυρῶν ἕστηκε, ζητῶν εἰσελθεῖν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰσίτω. καὶ μετὰ τὸ εἰσελθεῖν, ὁ ἁγιώτατος ἀρχι-

Congregata rursus sancta & magna synodo, prolatis sanctis & tremendis evangeliis, & præsidente sanctissimo archiepiscopo nostro Flaviano in secretario episcopii, statuto tempore, secunda feria, quæ est vicesima secunda dies mensis Novembris, [b] Asterius presbyter & notarius dixit: Advenit [c] statutus dies, & Dei amantissimus Eusebius episcopus præ foribus stans petit se intromitti. Flavianus sanctissimus archiepiscopus dixit: Ingrediatur. Cumque ingressus fuisset, Flavianus

[a] In mss. Seguerano dicitur sexta cognitio; in Bob. septima.

Anno 448

[b] al. Aetius

[c] al. tractatus

sanctissimus archiepiscopus dixit: Eant Philadelphius & [a] Cyrillus diacones, & requirant reverendum presbyterum & archimandritam Eutychem circa episcopium, si occurrerit secundum promissionem suam, & vocent eum ad concilium. Et paulo post redeuntes prædicti dixerunt, quæsitum quidem illum per universam ecclesiam, sed non inventum, nec ipsum nec quemquam ipsius. Flavianus sanctissimus archiepiscopus dixit: Et rursus Crispinus & [b] Diogenianus diaconi euntes, requirant eum circa ecclesiam, & ubicumque esse didicerint, & evocent eum. Et cum abiissent & reversi essent, dixerunt, ipsum quidem non repertum, sed didicisse, quod cum maxima multitudine militum & monachorum ac præfectianorum apparitorum esset venturus. Et cum ista dicerentur, & exspectaret sancta synodus, Joannes venerabilis presbyter & defensor dixit: Occurrit reverendus presbyter & archimandrita Eutyches cum magna multitudine militum & monachorum & præfectianorum apparitorum, sublissimæ potestatis præfectorum prætorio, & non aliter eum volunt dimittere, ut ingrediatur in vestrum sanctum concilium, nisi eis promiserimus restituturos ejus personam. Est vero pariter & Magnus [d] mirandissimus Silentiarius, & ipse una cum eo præ foribus cupiens ingredi, utpote directus a piissimo & amante Christum Imperatore nostro. Flavianus sanctissimus archiepiscopus dixit: Ingrediantur. Cumque ingressi fuissent, mirandissimus Magnus Silentiarius dixit: Per vestigia sanctitatis vestræ, si jubetis suscipere responsum domini Imperatoris. Certa enim quædam vobis [e] scripto mandavit, quæ si placet, relegam. Sancta synodus dixit: Relege quæ a piissimo & religiosissimo nostro Imperatore præcepta sunt, fili. Et legit mirificentissimus Magnus Silentiarius ita:

Nos pacem cogitamus sanctarum ecclesiarum & catholicæ fidei, & custodiri volumus rectam & Deo inspirante prædicatam fidem a patribus nostris qui in Nicæa congregati sunt, trecentis decem & octo, & ab his qui Ephesi interfuerunt damnationi Nestorii. Hoc ergo volumus, ne scandalum in prædicta catholica fide immittatur. Et quoniam scimus magnificentissimum Patricium Florentium esse fidelem, & testimoniis probatum in recta fide, volumus ipsum interesse audientiæ [f] synodi, quoniam sermo de fide est.

Adhuc cum hæc legerentur, sancta synodus dixit: Multos annos Imperatori. Magna fides Imperatorum. Custodibus fidei multos annos, orthodoxis Imperatoribus multos annos. Pio & orthodoxo, pio Imperatori, Pontifici Imperatori. Audite sancti patres: Gratias agimus orthodoxis Imperatoribus. Flavianus sanctissimus archiepiscopus dixit: Dominum Florentium fidelem omnes scimus, & testificationibus probatum in catholica fide & volumus eum interesse. Discamus autem & ab Eutyche presbytero, si vult & ipse eum interesse. Eutyches presbyter & archimandrita dixit: Quod vult Deus, & sanctitas vestra, facite: ego me vobis commendo. Flavianus sanctissimus archiepiscopus dixit: Veniat & magnificentissimus patricius Florentius. Dignare ergo, fili Silentiarie, [g] ipsum vocare. Vir laudabilis Magnus silentiarius dixit: Jubete & aliquem clericorum mecum missi, ne forte dubitet, quod vestra sanctitas non miserit. Flavianus sanctissimus archiepiscopus dixit: Si jussisset piissimus Imperator noster nos mittere, misissemus: quoniam vero non jussit, ipse solus perge ad ejus amplitudinem. Et cum venisset magnificentissimus & gloriosissimus Expræfectus & Exconsul & Patricius Florentius, sancta synodus dixit: Stent in medio accusator & accusatus, & legantur ab initio quæ acta sunt de negotio, quod vertitur inter Dei amantissimum episcopum Eusebium, & venerabilem presbyterum & archimandritam Eutychem: ut instructi ex his quæ gesta sunt, [h] congruentem æquitati & sanctis canonibus terminum demus his quæ mota sunt. Et transiens in medium Aëtius dia-

a al. Betillus

b al. Jovinianus

c al. magnificentissimi & gloriosissimi Præfecti prætoriorum.

d al. vir laudabilis, in cod. Bob.

e al. scripta

f al. synodali

g al. fatigate ad eum.

h al. convenientem justitiæ & sanctis regulis.

ἐπίσκοπος εἶπεν· ἀπελθόντες Φιλάδελφος καὶ Βήριλλος οἱ διάκονοι, ἐπιζητησάτωσαν τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ περὶ τὸ ἐπισκοπεῖον· εἴ γε κατὰ τὰς ἰδίας ὑποσχέσεις ἀπήντησε, καὶ καλέσωσιν αὐτὸν εἰς τὸ συνέδριον. καὶ ἐν τῷ μεταξὺ ἐπανελθόντες οἱ προειρημένοι, ἔφησαν· ἐζητήκαμεν μὲν αὐτὸν διὰ πάσης τῆς ἐκκλησίας, μὴ εὑρηκέναι δὲ μήτε αὐτὸν, μήτε τινὰ τῶν αὐτοῦ. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· καὶ αὖθις Κρισπῖνος καὶ Γαβιανὸς οἱ διάκονοι ἀπελθόντες ζητησάτωσαν αὐτὸν περὶ τὴν ἐκκλησίαν, καὶ ὅπου ἂν μάθωσιν εἶναι, καὶ καλεσάτωσαν αὐτόν. οἱ δὲ ἀπελθόντες, μετὰ τὸ ὑποστρέψαι, εἶπον, αὐτὸν μὲν μὴ εὑρηκέναι, μεμαθηκέναι δὲ μετὰ πολλῆς βοηθείας στρατιωτῶν, καὶ μοναχῶν, καὶ ἐπαρχικῶν, μέλλειν αὐτὸν παραγίνεσθαι. καὶ τούτων λεγομένων, καὶ ἐκδεχομένης τῆς ἁγίας συνόδου, ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· ἀπήντησεν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχὴς μετὰ πολλοῦ πλήθους στρατιωτῶν, καὶ μοναχῶν, καὶ ταξεωτῶν τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν πραιτωρίων· καὶ οὐχ ἑτέρως αὐτὸν βούλονται ἀπολῦσαι, ἵνα εἰσέλθῃ εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον, εἰ μὴ ἀντιφωνήσωμεν ἀποκαταστῆσαι αὐτοῦ τὸ πρόσωπον. ἔστι δὲ καὶ Μάγνος ὁ θαυμασιώτατος σιλεντιάριος, καὶ αὐτὸς ἅμα αὐτῷ περὶ τὰς θύρας, βουλόμενος εἰσελθεῖν, ὡς ἀποσταλεὶς παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰσίτωσαν. καὶ μετὰ τὸ εἰσελθεῖν, ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος εἶπε· τῷ ἴχνει τῆς ἁγιωσύνης ὑμῶν, εἰ κελεύετε δέξασθαι τὴν ἀπόκρισιν τοῦ δεσπότου. φανερὰ γάρ ὑμῖν ἐγγράφως ἐδήλωσε, καὶ εἰ παρίσταται, ἀναγινώσκω. ἡ ἁγία σύνοδος εἶπεν· ἀνάγνωθι τὰ παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως προσταχθέντα, τέκνον. καὶ ἀνέγνω ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος·

Ὅτι ἡμεῖς τῆς εἰρήνης φροντίζομεν, καὶ τῶν ἁγίων ἐκκλησιῶν, καὶ τῆς ὀρθοδόξου πίστεως· καὶ φυλάττεσθαι θέλομεν τὴν ὀρθῶς καὶ θεοπνεύστως ἐκφωνηθεῖσαν πίστιν παρὰ τῶν πατέρων ἡμῶν, τῶν ἐν Νικαίᾳ συναχθέντων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ τῶν ἐν Ἐφέσῳ, τῶν ἐπὶ τῇ καθαιρέσει Νεστορίου. τοῦτο οὖν θέλομεν, μὴ σκάνδαλον εἰς τὴν προειρημένην ὀρθοδοξίαν βληθῆναι. ἐπειδὴ δὲ οἴδαμεν τὸν μεγαλοπρεπέστατον πατρίκιον Φλωρέντιον ὄντα πιστὸν, καὶ μεμαρτυρημένον ἐπὶ τῇ ὀρθότητι, θέλομεν συνεῖναι αὐτὸν τῇ ἀκροάσει τῆς συνόδου, ἐπειδὴ λόγος περὶ πίστεώς ἐστι.

Ἐν τούτῳ ἀναγινωσκομένων, ἡ ἁγία σύνοδος εἶπε· πολλὰ τὰ ἔτη τοῦ βασιλέως. μεγάλη ἡ πίστις τῶν βασιλέων· τῶν φυλάκων τῆς πίστεως πολλὰ τὰ ἔτη· τῶν ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη· τῷ εὐσεβεῖ, τῷ ὀρθοδόξῳ, τῷ εὐσεβεῖ βασιλεῖ, τῷ ἀρχιερεῖ βασιλεῖ. ἀκούετε ἅγιοι πατέρες· εὐχαριστοῦμεν τοῖς ὀρθοδόξοις βασιλεῦσιν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τὸν κύριον Φλωρέντιον πιστὸν πάντες ἴσμεν, καὶ μεμαρτυρημένον ἐπὶ ὀρθοδοξίᾳ, καὶ βουλόμεθα αὐτὸν παρεῖναι. μάθωμεν δὲ καὶ παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου, εἰ βούλεται αὐτὸς παρεῖναι. Εὐτυχὴς πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· ὃ θέλει ὁ Θεὸς, καὶ ἡ ἁγιωσύνη ὑμῶν, ποιήσατε· ἐγὼ ἐμαυτὸν ὑμῖν παρατίθημι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἐλθέτω καὶ ὁ μεγαλοπρεπέστατος πατρίκιος Φλωρέντιος. καταξίωσον οὖν τέκνον ὁ σιλεντιάριος καλέσαι αὐτόν. ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος εἶπε· καὶ κελεύσατέ τινα μετ' ἐμοῦ συμπεμφθῆναι κληρικὸν, μή πως ἀμφιβάλῃ περὶ τούτου, ὅτι ἡ ἁγιωσύνη ὑμῶν οὐκ ἀπέστειλεν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰ ἐκέλευσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἡμᾶς πέμψαι, ἐπέμψαμεν ἄν· ἐπειδὴ δὲ οὐκ ἐκέλευσεν, αὐτὸς μόνος ἀπελθὲ πρὸς τὴν αὐτοῦ μεγαλοπρέπειαν. καὶ μετὰ τὸ ἐλθεῖν τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων, καὶ ὑπάτων, καὶ πατρίκιον Φλωρέντιον, ἡ ἁγία σύνοδος εἶπε· στήτωσαν εἰς μέσον ὅ, τε κατηγορῶν καὶ ὁ κατηγορούμενος, καὶ ἀναγινωσκέσθω ἄνωθεν ἡ γενομένη πρᾶξις ἐπὶ τῇ κατὰ τὸν θεοφιλέστατον ἐπίσκοπον Εὐσέβιον, καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ ὑποθέσει. ἐφ' ᾧ τε ὁδηγηθέντας ἡμᾶς ἐκ τῶν πεπραγμένων, πέρας δοῦναι τοῖς ἤδη κινηθεῖσι, τῷ τε δικαίῳ καὶ τοῖς ἁγίοις κανόσι συμβαῖνον· καὶ παρελθὼν εἰς μέσον Αέτιος διάκονος

ANNO CHRISTI 451.

ACTIO PRIMA.

διάκονος καὶ νοτάριος, ἀνεγίνωσκε τὴν γενομένην πρᾶξιν τῶν ὑπομνημάτων. καὶ ἐν τῷ ἀναγινώσκειν, φθάσαντος αὐτοῦ εἰς τὸ μέρος τῆς δευτέρας ἐπιστολῆς τοῦ τῆς θείας μνήμης Κυρίλλου, τῆς γραφείσης πρὸς τοὺς θεοφιλεστάτους τῆς ἀνατολῆς ἐπισκόπους, ἐν ᾗ περιέχει τὰ ῥήματα ταῦτα· ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι᾽ ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονε. διὸ ἕνα Χριστὸν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον, διὰ τὸ τὸν Θεὸν λόγον σαρκωθῆναι, καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα * ναόν. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· οὗτος, τῶν ποδῶν ὑμῶν, ἰδοὺ οὐχ ὁμολογεῖ· οὐδὲ συνέθετό ποτε τούτοις, ἀλλὰ ἐναντία τούτων ἐφρόνησε, καὶ ἐλάλησε πρὸς ἕκαστον τῶν συντυγχανόντων αὐτῷ, καὶ κατήχει. ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων, καὶ ὑπάτων, καὶ πατρικίων Φλωρέντιος εἶπεν· εἰ παρίσταται τῇ ὑμετέρᾳ ὁσιότητι, ἐρωτάσθω ὁ πατὴρ Εὐτυχὲς, εἰ γε συντίθεται τούτοις. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν. ἔνδον, ἀναγνωσθῇ πᾶσα ἡ πρᾶξις τῶν ὑπομνημάτων. ἀρκεῖ γάρ μοι ἡ πρᾶξις εἰς ἔλεγχον· καὶ γὰρ ἐμοὶ ἐληλεγμένος ἐστίν. οὐδὲ γὰρ ἄρτι ἐὰν συνθῆται, λαβών ποθεν ἔκθεσιν, ἐγὼ πρόκριμα ὀφείλω ὑπομεῖναι. ἐγὼ ἀπέδειξα αὐτὸν καὶ διὰ τῶν καταθέσεων τῶν πρὸς αὐτὸν ἀποσταλέντων παρὰ τῆς ἁγίας συνόδου, καὶ διὰ μαρτύρων ὁσιωτάτων ἐπισκόπων δύναμαι πάλιν τὰ αὐτὰ ἀποδεῖξαι, εἴγε ἀρνήσαιτο. ἔστι γὰρ ὁ κύριος Μελίφθογγος, καὶ ὁ κύριος Ἰοβιανὸς, καὶ ὁ κύριος Ἰουλιανὸς, εἰδότες ἀκριβῶς. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν. οὐδεὶς οὔτε σοι συγχωρεῖ, ἐπίσκοπε Εὐσέβιε, μὴ ἐλέγξαι αὐτὸν, οὔτε τὸν πρεσβύτερον Εὐτυχῆ ἐκ τοῦ παραχρῆμα δέξεταί τις συντιθέμενον, ἐὰν μὴ ἐλεγχθῇ, τί πρότερον ἐφρόνει. ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε· δέδοικα αὐτοῦ τὴν περιδρομήν. ἐγὼ πένης εἰμὶ, ἀκτήμων. ἐξορίαν μοι ἀπειλεῖ. χρήματα ἔχει· ἀναζωγραφεῖ μοι ἤδη τὴν Ὄασιν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· κἂν μυριάκις ταῦτα λέγῃς ἐπιμένων, ἡμεῖς τῆς ἀληθείας οὐδὲν προτιμῶμεν. Εὐσέβιος ἐπίσκοπος εἶπεν· ἐὰν ἁλῶ ἐγὼ συκοφάντης, ἀφαιρεθῶ τῆς ἀξίας. ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπε· πεῦσις προσενεχθῇ τῷ πρεσβυτέρῳ Εὐτυχεῖ, πῶς πιστεύει, καὶ τί λέγει· καὶ τότε πάλιν ἐρωτάσθω, διὰ τί νῦν ταῦτα λέγων, πρότερον ἄλλως ἐφρόνει. Εὐσέβιος ἐπίσκοπος εἶπε· καθὼς προεῖπον, προκρίματός μοι μὴ γενομένου ἀπὸ τῆς νῦν καταθέσεως, ἐρωτάσθω. ἐγὼ γὰρ ἀπὸ τῶν ἤδη πραχθέντων ὑπομνημάτων ἤλεγξα αὐτὸν μὴ ὀρθῶς φρονοῦντα. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οὐκ ἔσται σοι πρόκριμα ἀπὸ τοῦ νῦν αὐτὸν καταθέσθαι· ἡ γὰρ ἤδη γενομένη πρᾶξις τὴν ἰδίαν ἰσχὺν ἔχει. Εὐσέβιος ἐπίσκοπος εἶπε· συντίθεται τοῖς ἀναγνωσθεῖσιν ἄρτι τοῖς τοῦ μακαρίου Κυρίλλου, καὶ ὁμολογεῖ δύο φύσεων ἕνωσιν γεγενῆσθαι ἐν ἑνὶ προσώπῳ καὶ μιᾷ ὑποστάσει, ἢ οὔ; ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἤκουσας, πρεσβύτερε [b] Εὐτυχῆ, τί ὁ κατήγορός σου λέγει; λέγε τοίνυν. εἰ ἐκ δύο φύσεων ἕνωσιν ὁμολογεῖς. Εὐτυχὲς πρεσβύτερος εἶπε· ναὶ ἐκ δύο φύσεων. Εὐσέβιος ἐπίσκοπος εἶπεν· ὁμολογεῖς δύο φύσεις, κύριε ὁ ἀρχιμανδρίτης, μετὰ τὴν ἐνανθρώπησιν, καὶ ὁμοούσιον ἡμῖν εἶναι τὸν Χριστὸν λέγεις κατὰ σάρκα, ἢ οὔ;

* Forte, ἄ-[illegible]

[b] Forte, Εὐτυχῆ.

A *conus & notarius, legebat factam cognitionem gestorum. Et cum legeret, pervenit ad partem secundæ epistolæ sanctæ memoriæ Cyrilli scripta ad Dei amantissimos episcopos Orientales, in qua hæc continebantur: Confitemur itaque Dominum nostrum Jesum Christum Filium Dei unigenitum, Deum perfectum & hominem perfectum ex anima rationali & corpore, ante sæcula quidem ex Patre natum secundum divinitatem, in ultimis autem diebus eumdem propter nos & propter nostram salutem de Maria Virgine secundum humanitatem: consubstantialem Patri secundum divinitatem, & consubstantialem nobis secundum humanitatem. Duarum enim naturarum unitio facta est: propter quod unum Christum, unum Dominum confitemur, secundum hunc intellectum inconfusæ* B *unionis. Confitemur sanctam Virginem [a] Dei genitricem, propter incarnationem Dei Verbi & hominis assumptionem, & quia ex ejus conceptione univit sibi templum, quod accepit ex ipsa. Eusebius Dei amantissimus episcopus dixit: Iste, per Vestigia vestra, hoc non confitetur, nec his aliquando consensit, sed contraria illis sensit, & locutus est ad unumquemque ad se venientem, & docuit. Magnificentissimus & gloriosissimus Florentius Exprafectus & Exconsul & Patricius dixit: Si placet vestræ sanctitati, interrogetur papas Eutyches, utrum his consentiat. Eusebius Dei amantissimus episcopus dixit: Patimini ut legatur omnis actio gestorum. Sufficiunt enim mihi prius acta ad eum convincendum: nam mihi jam convictus est. Neque enim si modo consenserit, sumens alicunde documentum, debeo pati præjudicium. Nam ego demonstravi eum & per professiones eorum qui ad eum* C *missi sunt a sancta synodo; & per testes episcopos sanctissimos eadem possum rursus ostendere, si negaverit. Est enim domnus Meliphthongus, & domnus [b] Joannes & domnus Julianus, scientes certissime. Flavianus sanctissimus archiepiscopus dixit: Nemo neque tibi concedit, Eusebi episcope, eum non convincere, neque presbyterum Eutychem continuo suscipiet aliquis consentientem, nisi convincatur quid ante senserit. Eusebius Dei amantissimus episcopus dixit: Metuo ipsius [c] concussionem. Ego pauper sum nihil possidens; minatur mihi exsilium; divitias habet; [d] designat mihi jam nunc Oasim. Flavianus sanctissimus archiepiscopus dixit: Licet millies ista perseveres dicendo, nos tamen nihil præponimus veritati. Eusebius episcopus dixit: Si convictus fuero calumniæ, amittam dignitatem. Magnificentissimus & glorio-* D *sissimus Exprafectus & Patricius Florentius dixit: [e] Interrogatio offeratur Eutychi presbytero, ut exponat quemadmodum credit & dicit: & tunc rursus interrogetur, cur modo ista asserens, ante aliter asserebat. Eusebius episcopus dixit: Sicut prædixi, dum præjudicium mihi non fiat ex ejus repentina consensione, interrogetur. Ego enim ex his quæ ante acta sunt, [f] documentis convici eum non recte sentientem. Flavianus sanctissimus archiepiscopus dixit: Non erit tibi præjudicium, si modo consenseris; nam quæ ante acta sunt, habent propriam firmitatem. Eusebius episcopus dixit: Consentit istis quæ modo lecta sunt beatæ memoriæ Cyrilli, & confitetur duarum naturarum unitionem factam in una persona & in una subsistentia, an non? Flavianus sanctissimus archiepiscopus dixit: Audisti, presbyter Eutyches, quid accusator tuus dicit? edicito nunc, si ex duabus naturis unitionem confiteris. Eutyches presbyter dixit: Etiam ex duabus naturis. Eusebius episcopus dixit: Confiteris duas naturas, domne archimandrita, post incarnationem, & consubstantialem nobis esse Christum dicis secundum carnem, an non?*

[a] al. theotocon

[b] al. Jovianus, & sic legit in cod. Acarmetensi Rusticus.

[c] al. circumventionem.

[d] al. perpingit mihi jam Oasam, id est, Petram exsilii.

[e] al. Inquisitio

[f] al. moderna professione

Ἐπὶ Διοσκόρου.

E

Ἡ ἁγία σύνοδος εἶπεν· ἆρον, καῦσον Εὐσέβιον. οὗτος ζῶν καῇ· οὗτος εἰς δύο γένηται· ὡς ἐμέρισε, μερισθῇ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἀνεκτὸς ὑμῖν ἐστιν οὗτος ὁ λόγος, μετὰ τὴν ἐνανθρώπησιν δύο φύσεις εἰπεῖν; ἡ ἁγία σύνοδος εἶπεν· ἀνάθεμα τῷ λέγοντι. Διόσκορος ἐπί-

Interruptio in Epheso.

EPHESI ACTA.

Sancta synodus dixit: Tolle, incende Eusebium. Iste vivus ardeat, iste in duo fiat. Sicut partitus est, partiatur. Dioscorus episcopus Alexandriæ dixit: Tolerabilis est vobis iste sermo, post inhumanationem duas naturas dicere? Sancta synodus dixit: Anathema ei qui dixerit.

Dioscorus episcopus Alexandriæ dixit: Quoniam voces vestras necessarias habeo & manus, si quis non potest clamare, manum extendat. Sancta synodus dixit: Si quis dicit duo, sit anathema.

A ... σκοπος Ἀλεξανδρείας εἶπεν· ἐπειδὴ καὶ τῶν φωνῶν ὑμῶν χρείαν ἔχω, καὶ τῶν χειρῶν, εἴ τις οὐ δύναται βοῆσαι, τὴν χεῖρα ἐκτεινάτω. ἡ ἁγία σύνοδος εἶπεν· εἴ τις λέγει δύο, ἀνάθεμα.

Interruptio in Chalcedone.

CHALCED. ACTA.

Et cum legerentur, Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Nullus ista dixit. Dioscorus hæc dixit: ista Ægyptii dixerunt. Ægyptii reverentissimi episcopi dixerunt: Ista tunc diximus, & nunc dicimus. Constantinus devotus a secretis sacri consistorii ex eadem scheda recitavit:

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν. ταῦτα οὐδεὶς εἶπε· ταῦτα Διόσκορος εἶπε· ταῦτα οἱ Αἰγύπτιοι εἶπον· οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτιοι εἶπον. οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτιοι εἶπον· ταῦτα καὶ τότε εἴπομεν, καὶ νῦν λέγομεν. Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

* Quæ in Constantinopoli.

Ἐπὶ Φλαβιανοῦ.

CONSTAN. ACTA.

a *Lectio gestorum supra scriptorum.*

b *al. disserere.*

Eutyches presbyter dixit: Ego non veni [b] *disputare, sed veni suggerere sanctitati vestræ quid sentiam. Scriptum est enim in hac chartula, quid sentiam: jubete eam legi. Sanctissimus archiepiscopus dixit: Ipse lege. Eutyches presbyter dixit: Non possum. Sanctissimus archiepiscopus dixit: Quare? Tu ne exposuisti, an alterius est expositio? Si tua est, lege tu ipse. Eutyches presbyter dixit: Mea quidem est dictatio, quæ dictatio æqualis est expositioni sanctorum patrum. Sanctissimus archiepiscopus dixit: Dic, quorum patrum? Dic per te ipsum; quid opus habes charta?*

B Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐγὼ οὐκ ἦλθον διαλεχθῆναι, ἀλλὰ ἦλθον ποιῆσαι τὴν ὁσιότητα ὑμῶν, ὅπως φρονῶ. γέγραπται γάρ ἐν τῷ χάρτῃ τούτῳ τὸ ὅπως φρονῶ· καὶ κελεύσατε αὐτὸ ἀναγνωσθῆναι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· αὐτὸς ἀνάγνωθι. Εὐτυχὴς πρεσβύτερος εἶπεν· οὐ δύναμαι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· διὰ τί; αὐτὸς ἐξέθου, ἢ ἄλλου ἐστὶν ἡ ἔκθεσις; εἰ σή ἐστιν, ἀνάγνωθι αὐτός. Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐμὴ μέν ἐστιν ἡ ἔκθεσις, ἡ δὲ ὑπαγόρευσις ἴση ἐστὶ τῶν ἁγίων πατέρων. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε, ποίων πατέρων; εἰπὲ δι' ἑαυτοῦ, τί χρείαν ἔχεις χάρτου;

EPHESI ACTA.

Et cum legerentur, Joannes episcopus Hephæsti dixit: Quando quidem abfuit, & in concilium venire minime sperabatur, omnis ei quasi promitti clementia videbatur: quando vero advenit, in omnem tentationem inhumanitatis inducitur.

Ἰωάννης ἐπίσκοπος Ἡφαίστου εἶπεν· ὅτε μὲν ἀπῆν, καὶ οὐκ ἠλπίζετο εἰς τὸ συνέδριον παραγενέσθαι, πᾶσα αὐτῷ φιλανθρωπία κατεπηγγέλλετο τὸ δοκεῖν· ἐπειδὴ * δὲ παραγέγονε, ἐπὶ C πᾶσαν ἀπανθρωπίας εἰς πεῖραν ἄγεται.

* *Forte*, δὲ

CONSTAN. ACTA.

Eutyches presbyter dixit: Sic credo. Adoro Patrem cum Filio, & Filium cum Patre, & Spiritum sanctum una cum Patre & Filio. Confiteor autem factam ejus in carne præsentiam ex carne sanctæ Virginis, & incorporatum eum perfecte propter nostram salutem. Sic confiteor coram Patre & Filio & Spiritu sancto, & vestra sanctitate.

Εὐτυχὴς ὁ πρεσβύτερος εἶπεν, οὕτως πιστεύω. προσκυνῶ τὸν πατέρα μετὰ τοῦ υἱοῦ, καὶ τὸν υἱὸν μετὰ τοῦ πατρὸς, καὶ τὸ ἅγιον πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογῶ δὲ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν γεγενῆσθαι ἐκ τῆς σαρκὸς τῆς ἁγίας παρθένου, καὶ ἐνανθρωπῆσαι αὐτὸν τελείως διὰ τὴν σωτηρίαν ἡμῶν. οὕτως ὁμολογῶ ἐπὶ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, καὶ τῆς ὑμετέρας ἁγιωσύνης.

Σημείωσαι, ὅτι ἐπὶ ταύτῃ τῇ ἐνθέῳ τῆς ὁμολογίας ἐδέξατο Διόσκορος Εὐτυχῆ ἅμα πάσῃ τῇ συνόδῳ.

EPHESI ACTA.

Dioscorus episcopus Alexandriæ dixit: Admittimus hanc vocem. Sancta synodus dixit: Hæc fides patrum. Dioscorus episcopus Alexandriæ dixit: Quoniam dicit religiositas vestra, hæc est fides patrum, quæ fides? quam quis exposuit? Sancta synodus dixit: Eutyches; nam Eusebius impius est. Dioscorus episcopus Alexandriæ dixit: Audistis fidem Eutychis archimandritæ: Ecce omnibus vobis manifesta est ejus intentio. (Joannes presbyter & primicerius notariorum reliqua recitavit:)

Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· καταδεχόμεθα ταύτην τὴν φωνήν. ἡ ἁγία σύνοδος εἶπε· αὕτη ἡ πίστις τῶν πατέρων. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐπειδὴ λέγει ἡ θεοσέβεια ὑμῶν· αὕτη ἡ πίστις τῶν πατέρων· ποία πίστις; ἣν ἐξέθετο τίς; ἡ ἁγία σύνοδος εἶπεν. Εὐτυχὴς, ὁ γὰρ D Εὐσέβιος ἀσεβής ἐστιν. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἠκούσατε τῆς πίστεως Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου; ἰδοὺ πᾶσιν ὑμῖν ὁ σκοπὸς αὐτοῦ ἀναφανὴς εὑρέθη.

CONSTAN. ACTA.

Sanctissimus archiepiscopus dixit: Confiteris consubstantialem Patri secundum divinitatem, & consubstantialem matri secundum humanitatem, eumdem ipsum unum Filium Dominum nostrum Jesum Christum? Eutyches presbyter dixit: Ego, quoniam commendavi me sanctitati vestræ, dixi quid sentiam de ipso Patre & Filio & Spiritu sancto: nihil ulterius me interrogetis. Sanctissimus archiepiscopus dixit: Nunc Christum confiteris ex duabus naturis? Eutyches presbyter dixit: Quoniam confiteor Deum meum, Dominum cæli & terræ, hactenus de ejus natura disputare non mihi persuadebam: consubstantialem autem nobis hactenus nunquam me dixisse confiteor. Sanctissimus archiepiscopus dixit: Non dicis consubstantialem Patri secundum divinitatem, & consubstantialem nobis eumdem secundum humanitatem? Eutyches presbyter dixit: Usque ad hodiernum diem non dixi corpus Domini & Dei nostri consubstantiale nobis: sanctam autem Virginem confiteor nobis esse consubstantialem, & quoniam ex ipsa incarnatus est Deus noster. Sanctissimus archiepiscopus dixit: Consubstantialis ergo nobis est Virgo, ex qua incarnatus est Dominator Christus? Eutyches presbyter dixit: Dixi, quia Virgo consubstantialis est nobis. Basilius reverentissimus episcopus dixit: Si mater est nobis consubstantialis, & ipse: quoniam Filius hominis vocatus est. Si ergo mater ejus consubstantialis est nobis, & ipse secundum carnem

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ὁμολογεῖς ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τῇ μητρὶ κατὰ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ἕνα υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν; Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐγὼ ἐπειδὴ παρέθηκα ἐμαυτὸν τῇ ἁγιωσύνῃ ὑμῶν, εἶπον ὅπως φρονῶ περὶ αὐτοῦ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· τί ποτε ἄλλο μηκέτι με ἐξέταζε. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· νῦν ὁμολογεῖς ἐκ δύο φύσεων; Εὐτυχὴς ὁ πρεσβύτερος εἶπεν· ἐπειδὴ ὁμολογῶ Θεόν μου καὶ κύριον οὐρανοῦ καὶ γῆς, ἕως σήμερον φυσιολογεῖν ἐμαυτῷ οὐκ ἐπιτρέπω· ὁμοούσιον δὲ ἡμῖν E ἕως νῦν οὐκ εἶπον αὐτὸν, ὁμολογῶ. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οὐ λέγεις ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα; Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἕως σήμερον οὐκ εἶπον τὸ σῶμα τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν ὁμοούσιον ἡμῖν· τὴν δὲ ἁγίαν παρθένον ὁμολογῶ εἶναι ἡμῖν ὁμοούσιον, καὶ ὅτι ἐξ αὐτῆς ἐσαρκώθη ὁ Θεὸς ἡμῶν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ὁμοούσιος οὖν ἡμῖν ἐστιν ἡ παρθένος, ἐξ ἧς ἐσαρκώθη ὁ δεσπότης Χριστός; Εὐτυχὴς πρεσβύτερος εἶπεν· εἶπον, ὅτι ἡ παρθένος ὁμοούσιος ἡμῖν ἐστιν. ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· εἰ ἡ μήτηρ ἐστὶν ὁμοούσιος, καὶ αὐτός· υἱὸς γὰρ ἀνθρώπου ἐκλήθη. εἰ οὖν ἡ μήτηρ ἐστὶν ὁμοούσιος ἡμῖν, καὶ αὐτὸς κατὰ σάρκα

ANNO CHRISTI 451.

ACTIO PRIMA.

ὁμοούσιος ἡμῖν ἐστιν. Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐπειδὴ νῦν λέγετε, πάντα στοιχῶ. ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ἀπὸ ὑπάτων καὶ πατρικίων Φλωρέντιος εἶπε· τῆς μητρὸς ὁμοουσίου ἡμῖν οὔσης, πάντως καὶ ὁ υἱὸς ὁμοούσιος ἡμῖν ἐστιν. Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἕως σήμερον οὐκ εἶπον· ἐπειδὴ γὰρ σῶμα Θεοῦ αὐτὸ ὁμολογῶ, προσέχεις; οὐκ εἶπον σῶμα ἀνθρώπου τὸ τοῦ Θεοῦ σῶμα, ἀνθρώπινον δὲ τὸ σῶμα· καὶ ὅτι ἐκ τῆς παρθένου ἐσαρκώθη ὁ κύριος. εἰ δὲ δεῖ εἰπεῖν ἐκ τῆς παρθένου καὶ ὁμοούσιον ἡμῖν, καὶ τοῦτο λέγω, κύριε· πλὴν τὸν υἱὸν τοῦ Θεοῦ μονογενῆ, κύριον οὐρανοῦ καὶ γῆς, συνδεσπόζοντα καὶ συμβασιλεύοντα τῷ πατρί, μεθ' οὗ καὶ συγκαθέζεται καὶ συνδοξάζεται. οὔτε γὰρ λέγω τὸ ὁμοούσιον, ἀρνούμενος [a] τὸ εἶναι αὐτὸν υἱὸν τοῦ Θεοῦ. πρότερον μὲν οὐκ ἔλεγον· λέγω δέ σοι, ὅτι νομίζω ἐν ταῖς ἀρχαῖς οὐκ ἔλεγον· νῦν δὲ ἐπειδὴ ἡ ὁσιότης ὑμῶν εἶπε, τοῦτο λέγω. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οὐκοῦν κατὰ ἀνάγκην, οὐ κατὰ γνώμην τὴν ἀληθῆ πίστιν ὁμολογεῖς; Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἄρτι κύριε οὕτως [b] ἔχω. ἕως τῆς ὥρας ταύτης ἐφοβούμην εἰπεῖν· [c] ἐπειδὴ δὲ οἶδα τὸν κύριον Θεὸν ἡμῶν, καὶ φυσιολογεῖν ἐμαυτῷ οὐκ ἐπέτρεπον· ἐπειδὴ δὲ ἡ ὁσιότης ὑμῶν ἐπιτρέπει καὶ διδάσκει, λέγω. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οὐχ ἡμεῖς καινοτομοῦμεν, ἀλλ' οἱ πατέρες ἐξέθεντο· καὶ καθὼς ἡ ἐκτεθεῖσα πίστις παρ' αὐτῶν ἔχει, οὕτως πιστεύοντες, τούτοις ἐμμένειν ἅπαντας βουλόμεθα, καὶ μηδένα καινοτομεῖν. ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος πατρίκιος Φλωρέντιος εἶπεν· ὁμοούσιον καὶ ἐκ δύο φύσεων μετὰ τὴν ἐνανθρώπησιν τὸν κύριον ἡμῶν τὸν ἐκ τῆς παρθένου λέγεις, ἢ οὔ; Εὐτυχὴς πρεσβύτερος εἶπεν· ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως· μετὰ δὲ τὴν ἕνωσιν, μίαν φύσιν ὁμολογῶ.

[a] Forte, τὸ

[b] al. ἔχε

[c] Forte, ἐπειδὴ οἶδα

A *consubstantialis est nobis. Eutyches presbyter dixit: Quoniam modo dicitis, omnibus consentio. Magnificentissimus atque gloriosissimus Exprafectus & Exconsul Florentius Patricius dixit: Cum mater nobis consubstantialis sit, sine dubio & Filius consubstantialis est nobis. Eutyches presbyter dixit: Hactenus non dixi. Quoniam ipsum corpus Dei confiteor, anima ivertis? Non dixi corpus hominis corpus Dei; humanum autem corpus est, quoniam ex ipsa Virgine incarnatus est Dominus. Si autem oportet ut dicatur ex Virgine, & consubstantiale nobis; & hoc dico, domne: tamen Filium Dei unigenitum Dominum cali & terra, condominantem & conregnantem Patri, cui consides & collaudatur. Neque enim dico consubstantialem, negans quod ipse sit Filius Dei. Ante quidem non dicebam: dico quidem modo tibi: quod puto, in* B *exordio non dixi: nunc autem, quia vestra sanctitas hoc dicit, dico. Sanctissimus archiepiscopus dixit: Ergo per necessitatem, non per voluntatem, veram fidem confiteris? Eutyches presbyter dixit: Nunc domne, [a] ita me habeo. Usque ad hanc horam metuebam dicere: [b] quoniam vero scio Dominum nostrum Deum, & de ejus natura disputare mihi non [c] persuadebam: quoniam autem vestra sanctitas permittit & docet, dico. Sanctissimus archiepiscopus dixit: Non nos novitatem inducimus, sed patres nostri exposuerunt: & sicut exposita ab eis fides habet, sic credentes, in his perseverare omnes volumus, & nullum aliquid innovare. Magnificentissimus & gloriosissimus Florentius Patricius dixit: Consubstantialem & ex duabus naturis post incarnationem Dominum nostrum, qui ex Virgine est, dicis, an non? Eutyches presbyter dixit: Confiteor ex duabus naturis fuisse Dominum nostrum ante adunationem; post adunationem vero unam naturam confiteor.*

[a] al. ita habe.

[b] al. quoniam scio

[c] al. permittebam:

Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· συντιθέμεθα τούτοις καὶ ἡμεῖς πάντες. ἡ ἁγία σύνοδος εἶπε· συντιθέμεθα.

A τοιαύτη ἀνέκυψεν; ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὸ πρᾶγμα ἀναζητηθῆναι ἐκελεύσθην· καὶ διὰ τοῦτο τῶν ὑπομνημάτων ἡ προκομιδὴ ἀναγκαία ἐστί. διὰ τί τοίνυν ὑπερθέσει καὶ πανουργίᾳ κέχρησαι; Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· ὁ τὴν ἀρχὴν τῆς ἐξετάσεως τῷ πράγματι παρέχων, καὶ τὴν αἰτίαν, δότω ἡμῖν καιρὸν τῆς ἀπολογίας, ἢ προσενέγκαι, ἢ μὴ προσενέγκαι. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ὑμεῖς τὰ ὑπομνήματα ἐξελάβετε. παρ' ὑμῶν τοίνυν ταῦτα προσενεκτέα εἰσί. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπε· τίς ἐστιν ὁ αἰτιώμενος; Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· δεήσεις τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς ἀνεγνώσθησαν ἡμῖν, περιέχουσαι, ὡς ἐντυχόντος τοῖς ὑπομνήμασι, καὶ ἐπισημειωσαμένου, μὴ κεῖσθαι ἐν αὐτοῖς τὰ πεπραγμένα ἐν τῇ ἁγίᾳ συνόδῳ. δίκαιον οὖν ἡμῖν τοῦτο καταφαίνεται, προκομισθῆναι ἐκεῖνα τὰ ὑπομνήματα. οἷς φησὶν ἐντετυχηκέναι, B καὶ ἐξ αὐτῶν τὴν ἐξέτασιν τοῦ πράγματος γενέσθαι. ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς Ἀέτιον εἶπε· τῶν ὑπομνημάτων τῶν αὐθεντικῶν χρεία ἐστὶν, ἐν οἷς αἱ ὑπογραφαὶ τῶν ἐπισκόπων περιέχονται. διὸ ἅπερ πλειστάκις διελάλησα, ταῦτα παρὰ τῶν νοταρίων προκομισθήτω. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπε· καταξιώσῃ ἡ ἁγία καὶ μεγάλη σύνοδος καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καιρὸν ἡμῖν δοῦναι, περὶ ὧν βουλόμεθα λέγειν· οὐ γάρ ἐστιν ἡμῖν ἀκίνδυνον. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὰ ὑπομνήματα πρότερον ἁρμόζει δημοσιευθῆναι. καὶ μετὰ ταῦτα εἴ τι διδάξαι ἐπιζητεῖς, ἄδειά σοι παρασχεθήσεται. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· οὐδὲν ἄτοπον, οὐδὲ παρὰ τὸ δίκαιον ἐπιζητοῦμεν. καὶ πρὸ πάντων ἐπίσταται ἡ ὑμετέρα μεγαλοπρέπεια, καὶ καθὼς εἶπον, ἐπειδὴ οὐ περὶ μικρῶν ἡμῖν ἐστιν ὁ κίνδυνος. πεπληροφορήμεθα δὲ, ὡς C αἰτίασις γέγονε καθ' ἡμῶν παρά τινος πρὸς τὸν εὐσεβέστατον, καὶ φιλόχριστον, καὶ παρὰ τοῦ δεσπότου Θεοῦ ἡμῶν φρουρούμενον βασιλέα. ἀξιοῦμεν ταύτας καὶ ἐμφανεῖς ἡμῖν γενέσθαι, καὶ τὰς αἰτίας μαθεῖν, καὶ τὸ πρόσωπον εἶναι, καὶ φανερὰν τὴν κατηγορίαν κατὰ φανερῶν προσώπων ποιήσασθαι. καὶ οὕτως ἀπολογησόμεθα, καὶ ἑαυτοὺς συσκεψόμεθα, θαῤῥοῦντες τῇ δικαιοσύνῃ τῇ ὑμετέρᾳ. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· καθ' ὑμῶν πως οὐδὲν * ἐτέθη, ἀλλὰ τὰ ὑπομνήματα ζητοῦνται· ἅ τινα, καθὼς πλειστάκις ἐῤῥέθη, παρ' ὑμῶν προκομιστέα ἐστίν. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· ἡ τῶν ὑπομνημάτων πρᾶξις ἄγει ἡμᾶς εἰς μέσον· οὔτε γὰρ παρὰ ἄλλων γεγένηται. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· μή τινι ὑπονοίᾳ πληγεὶς, ταῦτα προσενέγκαι εὐλαβῇ; Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· οὐδὲν τοιοῦτο παρ' ἐμοὶ εἴρηται, οὔτε γέγονεν. ὁ μεγαλοπρεπέστατος D πατρίκιος εἶπε· τὰ ὑπομνήματα προσενεχθήτω. καὶ πρὶν ἢ προσενεχθῶσιν, ὁ εὐλαβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως Φλαβιανὸς εἶπεν· οἴδατε ὅτι τότε συνελθούσης τῆς ἁγίας συνόδου, καὶ τὰς παρ' ἑκατέρων φωνὰς ὅτι καὶ ἐξειλήφατε ὑμεῖς, καὶ ἴστε ἀκριβῶς τὰ γεγραμμένα παρ' ὑμῶν· καὶ εἰ ἀληθῆ ταῦτα, εἴπατε μετὰ ἀκριβείας καὶ φόβου Θεοῦ· εἰ δὲ παραπεποίηνταί τινα, ὡς ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ μὴ ψεύσησθε, καὶ τὸν παραποιήσαντα μὴ παρασιωπήσητε. τούτων οὕτως μεταξὺ λαληθέντων παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὴν πρόθεσιν τοῦ εὐλαβεστάτου ἐπιστάμεθα ἐπισκόπου, ὅτι τῇ ἰδίᾳ συνειδήσει θαῤῥῶν, ἀπῃτήσατο τοὺς εὐλαβεστάτους νοταρίους τὰ ὑπομνήματα προσενεγκεῖν, καὶ τὴν ἀλήθειαν περὶ πάντων διδάξαι. διὰ τὸ ὑπομνήματα, ὡς πλειστάκις εἴρηται, προσενεχθῶσιν. Ἀέτιος διάκο- E νος καὶ νοτάριος εἶπεν· ἡ παραίνεσις τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἡμῶν ἀρχιεπισκόπου τῇ γνώμῃ ἀποδίδωσι τῇ ἡμετέρᾳ, ὥστε τὸ ἀληθὲς ἐπὶ τῇ πράξει τῶν ὑπομνημάτων εἰπεῖν· εἰ τοίνυν λεγόντων ἡμῶν πίστεως ἐσόμεθα ἄξιοι, καὶ κατατιθέμεθα, καὶ προκομίσομεν, καὶ λέξομεν τὴν ἀλήθειαν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τῶν ὑπομνημάτων ἡ ἀνάγνωσις γενέσθω. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· ἀξιῶ καὶ τὴν ἁγίαν σύνοδον τὴν τότε παροῦσαν, ἐπιτρέψαι ἡμῖν προκομίσαι τὴν τῶν ὑπομνημάτων πρᾶξιν. ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· ἅπαξ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν κελεύσαντος προκομισθῆναι τὴν πρᾶξιν τῶν ὑπομνημάτων, οὐδεμίαν δεῖ ἀναβολὴν περὶ τὴν προκομιδὴν γενέσθαι. καὶ ὡσπερεὶ παρὰ πάντων τῶν εὐλαβεστάτων ἐπισκόπων ἐῤῥέθη, πάντες τὰ αὐτὰ λέγομεν· ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἐν ὅσῳ ἕκαστα

* Forte, κατετέθη.

Anno Christi 451.

κεφαλαία ἀναγινώσκεται, τί ἐν τούτοις καταψεκτέον τὸ μέρος τοῦ εὐλαβεστάτου μοναχοῦ δοκιμάζει, καὶ ἔτι καὶ τὰ ἀντίγραφα, ἃ τινα παρ' ἑαυτῷ ἔχει τὸ μέρος τοῦ εὐλαβεστάτου μοναχοῦ, προσενεχθέντα, τῇ ἀναγνώσει τῶν αὐθεντικῶν ὑπομνημάτων συγκριθήτωσαν. καὶ ὅτε τὸ ἑκάτερον μέρος τὰ ὑπομνήματα προσήνεγκεν, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· εἰ κελεύει ἡ μεγαλοπρέπεια ὑμῶν, ἔχομέν τι εἰπεῖν. ἐμάθομεν, ὡς διὰ τῶν δεήσεων ἀνεδίδαξεν ὁ εὐλαβέστατος Εὐτυχής, πράξει ὑπομνημάτων ἐντετυχηκέναι, κἀκεῖθεν τὰς αἰτίας τῶν αὐτοῦ προσόντων δικαιολογιῶν εὑρηκέναι. ταύτην τὴν πρᾶξιν ἀξιοῦμεν. οὕτω λέγοντος, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· διὰ τοῦτο συγκρίνεσθαι τοῖς αὐθεντικοῖς ὑπομνήμασι τὰ ἀντίγραφα εἴπομεν. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· ἀξιοῦμεν γνῶναι, πότερον αὐθεντικά ἐστιν, ἢ ἀντίγραφα, ἢ τι τοιοῦτο παρά τινος αὐτῷ παρεσχέθη. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ὁ εὐλαβέστατος Κωνσταντῖνος, εἰ ἃ προφέρει ἀντίγραφα, ἴσα εἰσιν, ἢ αὐθεντικά, διδάξει. Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· ἴσα ἐστι. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· νῦν ἡ ἀνάγνωσις παρακολουθείτω. καὶ πρὶν ἢ ἀναγνωσθῆναι, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· ἀξιοῦμεν ἐντυχεῖν τῇ πράξει τῶν ὑπομνημάτων τῇ παρ' αὐτοῦ προκομισθείσῃ, ἵνα γνωρίσωμεν τίνος χείρ ἐστι, καὶ παρὰ τίνος δέδοται, εἰ ἐκδέδοται παρὰ νοταρίου. δέξασθε τὰς ἡμετέρας αἰτήσεις ὡς ἀπρεπεῖς οὔσας. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· εἰ τοῖς αὐθεντικοῖς ὑπομνήμασι τὰ ἀντίγραφα οὐ συμφωνοίη, τότε ἐστὶ ἀξίως ἐπιζητηθείη. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· οὐδὲν κωλύει. ἀεὶ ἐδικάσατε, καὶ δικάζοντες διελάμψατε. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τῶν περιττῶν ἐασθέντων, ἡ ἀνάγνωσις γινέσθω. καὶ δι' Ἀστερίου τοῦ καθωσιωμένου ἐκσκέπτορος τὸ αὐθεντικὸν σχεδάριον, τὸ ἀπὸ τῶν νοταρίων προσενεχθέν, ἄλλου τὰ ἀντίγραφα, ἅ τινα ἐκ τοῦ μέρους Εὐτυχοῦς εὐλαβεστάτου ἀρχιμανδρίτου προσενεχθέντα, συγκρίνοντος, ἀνεγνώσθησαν. καὶ ἀνεγνώσθη ἐξ ἀρχῆς ἡ πρώτη καὶ ἡ δευτέρα πρᾶξις· ἥ τις καὶ ἐν τοῖς ὑπομνήμασιν ἐμφέρεται οὕτως.

Ὑπατείας Φλαβίου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων, τῇ πρὸ ἓξ εἰδῶν Νοεμβρίων, ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ. καὶ τὰ λοιπά.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν πρώτην καὶ δευτέραν πρᾶξιν, καὶ πληρωθῆναι τὰς καταθέσεις τῶν εὐλαβεστάτων ἐπισκόπων, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· ἀξιοῦμεν τὴν ἁγίαν καὶ μεγάλην σύνοδον, ἐρωτηθῆναι, ἐπακούσασαν τῶν ἰδίων φωνῶν, καὶ τῆς πράξεως τῶν ὑπομνημάτων, μή τι παραπεποίηται, ἢ παρέφθαρται. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἐν ᾧ σιωπῶσι, συγκατατίθεσθαι * φαίνονται. ὅθεν καὶ δὴ τὰ λοιπὰ ἀναγινωσκέσθω. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη ἡ τρίτη πρᾶξις, καὶ ἐμφέρεται ἐν τοῖς ὑπομνήμασι. καὶ ἀναγνωσθείσης τῆς καταθέσεως τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου, Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· οὕτως οὐκ ἐλέχθη, τῶν ποδῶν ὑμῶν, ὡς ἔχει. ὁ αὐτὸς καθωσιωμένος ἐκσκέπτωρ, ἐπαναληφθείσης τῆς ἀναγνώσεως, ἀνέγνω· εἰ δέ που τύχοι τι παρ' αὐτῶν ἔν τισι λέξεσιν ἢ διασφαλῆναι, ἢ διαπλανηθῆναι, τοῦτο μήτε διαβάλλειν, μήτε καταδέχεσθαι· μόνας δὲ τὰς γραφὰς ἐρευνᾷν, ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως. καὶ ὅτε ἀνεγνώσθη, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μοναχὸς εἶπεν· ὅτι διαφόρως μὲν ἐλάλησαν οἱ ἅγιοι πατέρες, καὶ πάντα δέχομαι· εἰς κανόνα δὲ πίστεως οὐ δέχομαι. καὶ ὅτε γογγυσμὸς καὶ θόρυβος ἀνεφύη, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· τοῦτο παρακαλῶ, ὥστε τοὺς ἐξελθόντας, καὶ ἀκούσαντας παρὰ τοῦ ἀρχιμανδρίτου, μετὰ τοῦ συνειδότος, ὡς ἐπὶ τοῦ κυρίου, ἃ ἤκουσαν, μετὰ ἀληθείας εἰπεῖν· προκρίματος μὴ γινομένου τῷ ἀρχιμανδρίτῃ ἐκ τῆς ἐμῆς καταθέσεως· ἀξιῶ τοὺς παρατυχόντας εὐλαβεστάτους κληρικοὺς καταθέσθαι, ἅπερ ἤκουσαν παρ' αὐτοῦ, καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον. Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· πρὸ τῆς καταθέσεως τοῦ ἀδελφοῦ Κωνσταντίνου, οἱ εἰς πρόσωπον ἀποσταλέντες τοῦ τὰς δεήσεις προσαναθέντος, ὑπέσχοντο πάντα, ἃ ἂν αὐτοὶ εἴπωσι, στοιχεῖν τὸν ἀρχιμανδρίτην αὐτῶν· καὶ ἀξιοῦμεν τὴν ἐπὶ τῷ προκρίματι φωνὴν πρόκριμα τῇ πράξει τῶν ὑπομνημάτων μὴ ποιεῖν. Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· ἀξιῶ

Actio Prima. Acta alia Constant.

A capitula relegantur, quid in his reprehensibile probat pars reverendi monachi, prosequatur: & scripta, quæ penes se habet pars prædicti reverendi monachi, oblata lectione, cum gestis authenticis conferantur. Et cum utraque pars obtulisset monimenta, Aëtius diaconus & notarius dixit: Si jubet magnificentia vestra, habemus aliquid dicere. Didicimus, quod per supplicationem docuit reverendus Eutyches, se gesta recensuisse, & exinde causas pro suis assertionibus reperisse; hæc acta petimus. Quo dicente, magnificentissimus Patricius dixit: Propter hoc conferri authenticis gestis [a] rescripta diximus. Aëtius diaconus & notarius dixit: Petimus agnoscere, utrum authentica sint, an exemplaria, aut si quid tale ab aliquo ei est præstitum. Magnificentissimus Patricius dixit: B Reverentissimus Constantinus, si hæc quæ profert, exemplaria sunt, aut authentica, doceat. Constantinus diaconus & monachus dixit: Exemplaria sunt. Magnificentissimus Patricius dixit: Nunc lectio subsequatur. Et priusquam legerentur, Aëtius diaconus & notarius dixit: Petimus considerare seriem gestorum, quæ ab eis offertur, ut cognoscamus cujus manus sit, vel a quo data sit, aut si a notariis sit edita. Suscipite nostras petitiones quæ non sunt incongruæ. Magnificentissimus Patricius dixit: Si authenticis gestis schedæ non concordant, hæc juste postea requirentur. Aëtius diaconus & notarius dixit: Nihil prohibet. Semper judicastis, & judicando claruistis. Magnificentissimus Patricius dixit: Superfluis prætermissis, lectio celebretur. Et relecta est per Asterium devotissimum exceptorem authentica scheda a notariis oblata, & ab alio collatis exemplaribus prolatis a parte Eutychis reverentissimi presbyteri & archimandritæ relecta sunt, & ab exordio recensita sunt prima & secunda acta, quæ & in monimentis ita inserta sunt.

C

Consulatu Flavii Zenonis & Postumiani virorum clarissimorum, sub die sexto Idus Novembris, in [b] amica Christi & regia urbe Constantinopoli Roma, & reliqua.

Et postquam relecta est prima & secunda actorum series, & suppletis depositionibus reverentissimorum episcoporum, Aëtius diaconus & notarius dixit: Petimus sanctam & magnam synodum interrogari, auditis propriis vocibus & gestorum serie, ne aliquid falsatum sit vel corruptum. Magnificentissimus Patricius dixit: [c] In hoc ipso quod tacent, consentire monstrantur. Unde convenit & reliqua recenseri. Et per eumdem devotissimum exceptorem tertia gestorum series est relecta, quæ est & monimentis inserta. Et relecta prosecutione viri religiosissimi Joannis presbyteri & defensoris, Constantinus diaconus & monachus dixit: Ita non est dictum, per vestigia vestra, ut continet. Idem devotissimus exceptor, repetita eadem lectione, relegit: Et si alicubi contigit aliqua ab eis in aliquibus verbis falli, aut errari; hoc neque accusare, neque suscipere: solas autem scripturas scrutari, ut firmiores sanctorum patrum expositionibus. Et cum lectum fuisset, Constantinus reverendus diaconus & monachus dixit: Quoniam diversis modis locuti sunt sancti patres, & omnia suscipio: In regula autem fidei non suscipio. Et quando perturbatio & mussitatio facta est, Constantinus reverendus diaconus & monachus dixit: Hoc rogo, ut qui egressi sunt, & audierunt ab archimandrita, cum integra conscientia, quasi in præsentia Domini, quæ audierunt, cum veritate dicant, præjudicio minime generato archimandritæ ex mea depositione; rogo reverentissimos clericos qui interfuerunt, deponere quæ ab eo audierint, & religiosum diaconum Athanasium. Seleucus reverentissimus episcopus dixit: Ante [d] depositionem fratris Constantini, qui in persona directi sunt ipsius qui precem porrexit, promiserunt omnia quæ ipsi dixerint, rata habere eorum archimandritam; & petimus vocem præjudicantem non facere præjudicium monimentis actorum. Constantinus diaconus & monachus dixit: Sup-

D

E

[a] al. schedas

Anno 441.

[b] al. Christianissima

[c] al. Donec tacent,

* Forte, φαίνονται. ex Latino.

[d] al. professionem

plico illud auferri, quod est, In regula fidei; quia in perturbatione nesciens sum locutus. Seleucus reverentissimus episcopus dixit: Quia cum quies esset, ante perturbationem, hanc vocem frater Constantinus deposuit, attestantur sanctissimi episcopi, necnon & ipsorum potestas. Magnificentissimus Patricius dixit: De postulatione utriusque partis quid considerandum putant, reverentissimus episcopus Thalassius & Eusebius dignentur dicere. Reverentissimus episcopus Thalassius dixit: Non potest directus a reverentissimo monacho, certa quidem de his quæ ipse voce sua confitetur, suscipere: certa autem minime suscipere. Eusebius reverentissimus episcopus Ancyranorum civitatis dixit: Et mihi similiter placet, ut qui personam religiosi archimandritæ suscepit, omnia ei firma consistant, quæ ex ejus voce prolata sunt: & non in parte velle ea teneri; in parte vero, quæ dicta sunt velle improbari. Magnificentissimus Patricius dixit: Religiosissimi Joannes presbyter, & Andreas, quæ cognoscunt se ab Eutyche monacho audisse, memores suæ opinionis exponant. Et cum in medio stetissent Joannes reverentissimus presbyter & defensor sanctæ ecclesiæ hujus gloriosæ civitatis, & Andreas reverendus diaconus, Constantinus diaconus & monachus dixit: Non diximus, quia complacent omnia archimandritæ, quæ dico? Magnificentissimus Patricius dixit: Voces tuæ in monimentis continentur. Seleucus reverentissimus episcopus dixit: Veniens magnificentissimus referendarius, directus a piissimo & Christi amico Imperatore nostro, deposuit pro persona archimandritæ Eutychis directos, Constantinum, & qui cum eo sunt, suscepturos omnia quæ in eum inferuntur. Magnificentissimus Patricius dixit: Verba similiter tua eisdem monimentis continentur. Et adjecit: Religiosus presbyter Joannes, quæ ab Eutyche religioso monacho audivit, exponat. Et priusquam exponeret, Meliphthongus reverentissimus episcopus dixit: Ex providentia quadam in exordio statim, accusatione instante, commemoravi, & dixi, quia non de qualibetcumque re accusatio commovetur, neque per procuratorem tam periculosa causa tentari aut fieri debet: sed necessaria est & accusati præsentia, [a] legibus hoc præcipientibus. Si vero forte videtur piissimo Principi, per procuratorem ventilari criminale negotium, & accusare sine periculo, & hoc [b] constituerit, innotescat ipsi: & necesse erit nos in omnibus Imperatoris Christi amici cedere jussioni. Seleucus reverentissimus episcopus dixit: Firmitatem tenentibus etiam his, quæ & hodie acta sunt ex prosecutione magnificentissimi referendarii, & consensu sanctorum episcoporum, & magnificentissimi & gloriosissimi Exconsulis & Patricii Florentii, exponant & religiosissimi Joannes presbyter & Andreas diaconus, quæ noverunt. Joannes reverendus presbyter & defensor dixit: Ea quidem, quæ professus sum, & sanctissimo & Deo amabili concilio sunt relecta, præsente magnificentissimo & per omnia gloriosissimo Exconsule ac Patricio Florentio, quoniam hac veritate subsistunt; hoc & religiosissimus diaconus. Quo dicente, Constantinus Diaconus dixit: Non omnia sunt relecta. Idem Joannes reverendus presbyter & defensor dixit: Etiam ecce hoc dico. Constantinus reverendus diaconus dixit: Ego unum verbum dixi perturbatus, & scriptum est. Quo dicente reverentissimus episcopus Thalassius dixit: Sufficiebat quidem & opinio Joannis presbyteri; quoniam vero Evangelium nobis omnibus est antepositum, rationabile est & ipsum super his quæ dicit, coram Evangelio roborare. Idem Joannes reverendus presbyter & defensor subjungens, dixit: Quoniam vero hac veritate subsistunt, & ex eo quod placuit adversario dubitare, majore ea vinculo veritatis obstrinxit: & hoc agnovit Deo amabile sanctumque concilium, ex eo quod postea verba propria refutare tentavit. Sed quoniam oportet perfici lectionem, & satisfieri mihi ex consequentibus, quatenus cognoscam ea quæ dicta sunt a reverentissimo archimandrita Eutyche, & si convenien-

[a] al. & maxime

[b] al. constituerit, vel innotuerit

ἐκεῖνο περιαιρεθῆναι, τὸ, εἰς τὸν κανόνα τῆς πίστεως· ὅτι ἐν θορύβῳ μὴ εἰδὼς ἐλάλησα. Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὅτι ἡσυχίας οὔσης, πρὸ τοῦ θορύβου, ταύτην τὴν φωνὴν ὁ ἀδελφὸς Κωνσταντῖνος κατέθετο, μαρτυροῦσι καὶ οἱ ἁγιώτατοι ἐπίσκοποι, καὶ ἡ αὐτῶν ἐξουσία. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· περὶ τῆς [a] αἰτήσεως ἑκατέρου μέρους τί σκεπτέον δοκιμάζουσιν οἱ εὐλαβέστατοι ἐπίσκοποι Θαλάσσιος καὶ Εὐσέβιος, καταξιωσάτωσαν εἰπεῖν. ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· οὐ δύναται ὁ ἀποσταλεὶς παρὰ τοῦ εὐλαβεστάτου μοναχοῦ, τινὰ μὲν ὧν κατατίθεται, αὐτὸς τῇ ἰδίᾳ φωνῇ καταδέχεσθαι, τινὰ δὲ μὴ καταδέχεσθαι. ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος τῆς Ἀγκυρανῶν πόλεως εἶπε· καὶ ἐμοὶ τὰ σύμφωνα δοκεῖ, ὥστε τὸν τὸ πρόσωπον ἀναδεξάμενον τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, πάντα κύρια ἡγεῖσθαι τὰ παρὰ τῆς ἑαυτοῦ φωνῆς εἰρημένα· καὶ μὴ μέρος μὲν [b] βουλεύεσθαι κρατεῖν, μέρος δὲ θέλειν τῶν εἰρημένων ἀνατρέπεσθαι. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· ὁ εὐλαβέστατος Ἰωάννης ὁ πρεσβύτερος, καὶ Ἀνδρέας, ἅ τινα γινώσκουσιν ἑαυτοὺς παρὰ Εὐτυχοῦς τοῦ εὐλαβεστάτου μοναχοῦ ἀκηκοέναι, μεμνημένοι τῆς ἰδίας ὑπολήψεως καταθέσθωσαν. καὶ ὁπότε εἰς μέσον ἔστησαν, Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος τῆς ἁγίας ἐκκλησίας ταύτης τῆς ἐνδόξου πόλεως, καὶ Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος, Κωνσταντῖνος διάκονος εἶπεν· οὐκ εἴπομεν, ὅτι στοιχεῖ πάντα τῷ ἀρχιμανδρίτῃ, ἅπερ λέγω; ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· αἱ φωναί σου ἐν τοῖς ὑπομνήμασι περιέχονται. Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· Φθάσας ὁ μεγαλοπρεπέστατος ῥεφερενδάριος, ὡς ἀπὸ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν, κατέθετο εἰς πρόσωπον τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς ἀπεστάλθαι Κωνσταντῖνον καὶ τοὺς σὺν αὐτῷ, ὀφείλοντας ἀναδέξασθαι τὰ εἰς αὐτὸν ἀναφερόμενα. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὰ ῥήματα ὡσαύτως τὰ σὰ τοῖς ὑπομνήμασι περιέχεται. καὶ προσέθηκεν· ὁ εὐλαβέστατος πρεσβύτερος Ἰωάννης, τινὰ παρὰ Εὐτυχοῦς τοῦ μοναχοῦ ἤκουσεν, ἐκθέσθω. καὶ πρὶν ἢ καταθέσθαι, Μελιφθόγγιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐκ προμηθείας τινὸς παρὰ τὰς ἀρχὰς εὐθὺς τῆς κατηγορίας [c] ἐνιστάμενος, ἐμνημόνευσα, καὶ εἶπον· ὅτι οὐ περὶ τῶν τυχόντων ἡ κατηγορία γίνεται, οὔτε δι' ἐντολέως τὸ τηλικοῦτον ἐπικίνδυνον πρᾶγμα δοκιμάζεται, ἢ ὀφείλει γίνεσθαι· ἀλλὰ χρήζομεν τῆς παρουσίας τοῦ κατηγορουμένου, τοῦτο καὶ τῶν νόμων βουλομένων. εἰ δὲ ἄρα παρέστατο τῷ εὐσεβεστάτῳ βασιλεῖ, δι' ἐντολέως ἐγκληματικὴν γυμνάζεσθαι δίκην, καὶ κατηγορεῖν ἀκινδύνως, καὶ προστάξειεν, τοῦτο γνωρισθῇ αὐτῷ· καὶ ἀνάγκη ἡμᾶς εἶξαι φιλοχρίστῳ βασιλεῖ πάντα κελεύοντι. Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· βεβαίων ὄντων τῶν πραχθέντων καὶ σήμερον ἐκ τῆς καταθέσεως τοῦ μεγαλοπρεπεστάτου ῥεφερενδαρίου, καὶ τῆς συναινέσεως τῶν ἁγιωτάτων ἐπισκόπων, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Φλωρεντίου, καταθέσθωσαν καὶ οἱ εὐλαβέστατοι, ὁ πρεσβύτερος Ἰωάννης, καὶ ὁ διάκονος Ἀνδρέας, ἅπερ ἴσασιν. Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπε· τὰ μὲν κατατεθέντα παρ' ἐμοῦ, καὶ ὑπαναγνωσθέντα τῇ ἁγιωτάτῃ καὶ θεοφιλεστάτῃ συνόδῳ παρόντος καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ τὰ πάντα ἐνδοξοτάτου, τοῦ ἀπὸ ὑπάτων καὶ πατρικίου Φλωρεντίου, ὅτι γε δὴ ἀληθείας ὑπάρχει ἐστίν· τοῦτο καὶ ὁ εὐλαβέστατος διάκονος. οὕ λέγοντος, Κωνσταντῖνος διάκονος εἶπεν· ὅλα οὐκ ἀνεγνώσθη. ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· ἐγὼ εἶπον ἵνα λέγω ἐν θορύβῳ, καὶ ἐγράφη. οὕ λέγοντος, ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· ἤρκει μὲν καὶ ἡ ὑπόληψις Ἰωάννου τοῦ πρεσβυτέρου. ἐπειδὴ δὲ τὸ εὐαγγέλιον πᾶσι πρόκειται ἡμῖν, εὔλογόν ἐστι καὶ αὐτὸν, ἐφ' οἷς λέγει, ἐπὶ τοῦ εὐαγγελίου πιστώσασθαι. ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος ὑποδείξας εἶπεν. ὅτι γε δὴ ἀληθείας ἐστὶν ὑπάρχει, πρὸς οἷς ἔδοξεν ἐπαμφιβάλλειν, πλείονι δεσμῷ ἀληθείας κατέδησε· καὶ τοῦτο ἡ θεοφιλὴς καὶ ἁγία σύνοδος ἔγνω, ἀφ' ὧν τελευταῖον πρὸς ἀνατροπὴν εἶδε τῶν οἰκείων λόγων. ἐπειδὴ δὲ δεῖ τελείαν ὑπανάγνωσιν γενέσθαι, καὶ πεισθῆναί με ἀπὸ τῶν ἑπομένων, ὥστε γνωρίσαι με τὰ κατατεθέντα παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, καὶ εἰ συμ-

[a] Forte, αἰτήσεως, ex Latino.

[b] Forte, βούλεσθαι.

[c] Forte, ἐνιστάμενος, ex Latino.

ANNO CHRISTI 451.

βάλοιτο εἶπε τῆς καταπεθείσης πολυκαίδα παρ' ἐμοῦ, ἢ ἀπαρνήσασθαι, εἰ γε ἄρα τύχοι, μὴ ἐπιγνωσθῆν παρ' ἐμοῦ· ἀξιῶ τὴν ὑμετέραν θεοφιλίαν ὑπαναγνωσθῆναι, καὶ πληρεστάτην γενέσθαι τὴν ἀνάγνωσιν· ὥστε σωτηρεῖν με διὰ πάντων διὰ σέβας τῶν ἁγίων εὐαγγελίων τὸ προτεθὲν παρὰ τῆς ὑμετέρας θεοφιλείας, καὶ ἀκολουθήσαι τῷ λόγῳ τῆς ἀληθείας. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· αὖθις Ἰωάννου τοῦ πρεσβυτέρου αἱ φωναὶ ἐκ τῶν ὑπομνημάτων ἐπαναληφθῶσιν, ὅπου ἑαυτόν τινα παρὰ Εὐτυχοῦς ἀκηκοέναι κατέθετο. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος πάλιν φωναὶ τοῦ αὐτοῦ εὐλαβεστάτου πρεσβυτέρου Ἰωάννου ἀνεγνώσθησαν.

Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπε· πρότερον τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου προσελθόντος ἐν συνεδρίῳ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, καὶ αἰτιασαμένου τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ βιβλίον ἔγγραφον ἐπιδεδωκότος, τὸ κατάδηλον ποιοῦν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη, καὶ ἐξαιτήσαντος προσκληθῆναι αὐτὸν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης ἀπολογήσασθαι ἐπὶ τοῖς ἐπαγομένοις αὐτῷ παρ' αὐτοῦ, προνοίᾳ πειθομένη ἡ ὑμετέρα ἀπερίγραπτος σοφία, προσέταξε διαβῆναι ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν ἐν τῇ μονῇ αὐτοῦ, καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου, καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῇ αὐτοῦ μονῇ, τούς τε λιβέλλους αὐτῷ ὑπανέγνωμεν, καὶ τὰ ἴσα τούτων δεδώκαμεν, καὶ τὸν αἰτιασάμενον κατάδηλον ἐποιήσαμεν, καὶ κατεμηνύσαμεν αὐτῷ τὴν κλῆσιν, καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης. ὁ δὲ τὸ μὲν ὑπαντῆσαι καὶ ἀπολογήσασθαι, παντελῶς ἀπηρνήσατο. εἰρηκὼς τοῦτο προκεῖσθαι αὐτῷ, καὶ ὅρῳ τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς, τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν αὐτὸν τῆς ἑαυτοῦ συνοδίας, ὥσπερ δέ τινι ὡς ἐν τάφῳ διατρίβειν ἐν τῇ μονῇ· γνωσθῆναι δὲ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ δι' ἡμῶν ἐξῄτησεν, ὅτι περ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος, ἐχθρὸς αὐτῷ πάλαι τυγχάνων, λοιδορίας καὶ ὕβρεως χάριν, ταύτην τὴν κατηγορίαν κατ' αὐτοῦ ἐποιήσατο. ἕτοιμον γὰρ αὐτὸν εἶναι ἔφασκε ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων, τῶν τε ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ τὴν σύνοδον ποιησαμένων, συντίθεσθαι, καὶ ὑπογράφειν ταῖς ἑρμηνείαις αὐτῶν ὡμολόγει. εἰ δέ που τύχοι τι παρ' αὐτοῖς ἔν τισι λέξεσιν ἢ διασφαλθὲν, ἢ διαπλανηθὲν, τοῦτο μήτε διαβάλλειν, μηδὲ καταδέχεσθαι. μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν, ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως. μετὰ δὲ τὴν ἐνανθρώπησιν τοῦ Θεοῦ λόγου, τουτέστι μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μίαν φύσιν προσκυνεῖν, καὶ ταύτην Θεοῦ σαρκωθέντος, καὶ ἐνανθρωπήσαντος· καὶ βιβλίον τοιοῦτον προσκομίσας ὑπανεγίνωσκε. προσετίθει δὲ, ὅτι λοιδορίας τινὸς, ὡς ἔφη, * καταπεθείσης κατ' αὐτοῦ, ὡς αὐτοῦ εἰρηκότος, ὅτι τὴν δὴ ἐξ οὐρανοῦ τὴν σάρκα ὁ Θεὸς λόγος κατενήνοχεν, αὐτὸς ἀνεύθυνος τυγχάνει τῆς τοιαύτης λοιδορίας. τὸ δὲ ἐκ δύο φύσεων ἑνωθεισῶν καθ' ὑπόστασιν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μήτε μεμαθηκέναι ἐν ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων· μήτε καταδέχεσθαι, εἰ τύχοι τι αὐτῷ τοιοῦτον παρά τινος ὑπαναγινώσκεσθαι· διὰ τὸ τὰς θείας γραφὰς, ὡς ἔλεγεν, ἀμείνονας εἶναι τῆς τῶν πατέρων διδασκαλίας. καὶ ταῦτα λέγων, ὡμολόγει τέλειον Θεὸν εἶναι, καὶ τέλειον ἄνθρωπον, τὸν γεννηθέντα ἐκ τῆς παρθένου Μαρίας, μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν. τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἶπεν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· ταῦτα αὐτὸς μόνος ἀκήκοας, ἢ καὶ ὁ ἅμα σοι ἀποσταλεὶς διάκονος Ἀνδρέας; ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· ἐν ᾧ ταῦτά μοι ἐνετέλλετο εἰς τὸ ἀναγγεῖλαι τῇ ὑμετέρᾳ ὁσιότητι, παρῆν καὶ ὁ εὐλαβέστατος Ἀνδρέας ὁ διάκονος.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· οἶδε καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια, καὶ ἡ θεοφιλεστάτη καὶ ἁγία σύνοδος, ὅτι ἐπ' αὐτοῖς τῶν λέξεών τινα ἔρχεσθαι, ἀποστελλόμενον μηνύματα κομίσαι πρός τινας, οὐχ οἷόν τέ ἐστι. οὔτε γὰρ τῶν πάνυ εὐδοκιμωτάτων ῥητόρων ἄν τις ποιήσοιτο τοῦτο, τὸ τὰς ἀλλοτρίας λέξεις ποτὲ διαπορθμεύειν καὶ διακομίζειν ποι. ὅτε δὲ ἡνίκα ταῦτα ἐπυνθανόμην παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, παρῆν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας, ἔτι γε μὴν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος· κἀγὼ δὲ κατ' ἐκεῖνο καιροῦ ὑπομνηστικὸν ποιήσας παρ' ἐμαυτῷ, ὡς ᾤμην, τῶν παρ' ἐκείνου ῥηθέντων, φυ-

* Forte, κατενεχθείσης ex Latino.

ACTIO PRIMA. ACTA ALIA CONSTANT.

A *tia dixit his quæ tunc a me dicta sunt: aut denegem, si a me non agnosci contigerit: peto vestram* [a] *Deoamabilitatem, plenissimam fieri lectionem, ut & cuncta perspiciam propter reverentiam sancti Evangelii, quod vestra Deoamabilitas proposuit, & verbum consequar veritatis. Magnificentissimus Patricius dixit: Rursus Joannis presbyteri voces ex monimentis repetantur, ubi aliqua ab Eutyche se audisse confessus est. Et per eumdem devotissimum exceptorem denuo voces Joannis presbyteri recitata sunt.*

[a] al. sanctitatem

Religiosus Joannes presbyter & defensor dixit: Ante hoc reverentissimo Eusebio episcopo interpellante vestram sanctitatem in synodo & accusante religiosissimum Eutychem presbyterum & archimandritam, & libellum in B *scriptis porrigente, declarantem ægrotare eum hæreticorum passione, & postulante evocari eum ad vestram sanctitatem, & satisfacere pro his, quæ ei ab ipso ingerebantur: providens vestra incircumscripta sapientia, præcepit pervenire me & reverendum Andream diaconum ad monasterium ipsius, & evocare eum ad satisfaciendum. Quo facto, pervenientes ad eum in monasterio ipsius, libellos ei legimus, & exemplaria eorum dedimus, & accusatorem manifestavimus, & nunciavimus ei vestræ sanctitatis evocationem, pro satisfactione apud beatitudinem vestram. Qui occurrere quidem & satisfacere modis omnibus abnegavit, dicens, hoc apud se decretum ex definitione quadam ab initio contineri, ut nullo modo alibi a sua congregatione discederet, sed quodammodo eum velut in sepulcro degere in monasterio. Cognitum vero per nos* C *sanctitati vestræ fieri postulavit, quia Dei amantissimus episcopus Eusebius olim inimicus ejus existens, detractionis atque injuria gratia hanc accusationem adversus eum conflaverit. Paratum enim se esse dicebat expositionibus sanctorum patrum qui in Nicæno & Ephesino concilio congregati fuint, consentire, & subscribere eorum interpretationibus fatebatur. Si vero alicubi contigerit ab ipsis in aliquibus verbis vel falli, vel eos errasse, hoc neque accusare, neque suscipere: solas autem scripturas inquirere, sicut patrum* [b] *expositionibus firmiores. Post inhumanationem vero Dei Verbi, id est, post nativitatem Domini nostri Jesu Christi, unam naturam adorare, & hanc Dei incarnati &* [c] *inhumanati. Et de hujusmodi codicem proferens, legebat. Addebat autem detractionem quam-* D *dam contra se ubique diffusam, quasi ipse dixerit, quod de cælo carnem Deus Verbum deduxerit: se vero liberum esse ab hujusmodi detractione. Ex duabus autem naturis adunatis secundum subsistentiam factum fuisse Dominum nostrum Jesum Christum, neque didicisse in expositionibus sanctorum patrum: neque suscipere, si contigerit ei aliquid hujusmodi a quolibet relegi: quoniam divinæ scripturæ, sicut dicebat, meliores sunt sanctorum patrum doctrinis. Et hæc dicens, confitebatur perfectum Deum esse & perfectum hominem, qui natus est ex Maria Virgine, non habentem carnem consubstantialem nobis. Hoc autem mihi colloquens dixit. Sanctissimus archiepiscopus dixit: Hæc eadem solus audisti, an & qui tecum directus est, Andreas diaconus? Reverentissimus Joannes presbyter &* E *defensor dixit: Cum ista mihi mandaret vestræ suggerere sanctitati, præsens erat & reverendus diaconus Andreas.*

Hæc quæ sequuntur, habentur supra post initium III. actionis Constantinopol. pag. 140. alia subinde latinitate.

[b] al. traditionibus

[c] al. hominis facti.

Et postquam lectum est, Joannes reverentissimus presbyter & defensor dixit: Scit & vestra magnificentia, & Deoamabilis & sancta synodus, quoniam impossibile est eisdem verbis uti eum, qui dirigitur enunciationem aliquibus intimare. Nec enim hoc vel probatissimorum rhetorum aliquis forsan efficiat, aliena verba deferre, & aliquibus deportare. Veruntamen quando hæc a viro religioso archimandrita Eutyche inquirebam, præsens fuis & religiosus Andreas diaconus, & insuper religiosus Athanasius diaconus. Ego autem eo tempore commemoratorium faciens, apud meipsum, ut putabam, quæ ille dixit, cu-

ACTIO PRIMA.
Acta alia Constant.

stodio, atque apud me habeo. Oportuit autem eumdem reverentissimum archimandritam Eutychem esse præsentem his quæ hodie peraguntur, pro confessione mea. Hoc enim & a vestra incircumscriptibili prudentia credidi comprobari; ut ipse qui dixerat mihi, præsens hic quæ a me dicebantur, audiret; & (interrogatus) contradiceret sermonibus meis, aut consentiret eis. Nec enim puto religiosum virum, propositis sanctis Evangeliis, verba mea destruere, quæ tunc ipse locutus est, maxime cum & præsens reverendus diaconus Constantinus aliquando quidem consentiat his quæ a me dicuntur, aliquando autem, ut suspicatur, adversetur his quæ a me dicta sunt. Et rogo, ne valde a me expressa verba quærantur, quæ ille locutus est: nec enim hoc quisquam facere potuit, ipsius prorsus verbis redintegrare alicujus eloquia. Conscriptos autem a me sermones tunc in commemoratorio jubete relegi. Magnificentissimus Patricius dixit: Commemoratorium, quod postulat, relegatur, & conferatur professioni, quæ gestis continetur; ut si quid ex sensu vel ex verbis dissonat, agnoscatur. Et priusquam legeretur, Joannes religiosus presbyter & defensor dixit: Rogo primum ut religiosus Andreas, & religiosus diaconus Athanasius præsentes dicant, si consonant his quæ jam lecta sunt, & a me jampridem exposita. Magnificentissimus Patricius dixit: Interim lectio subsequatur. Et cum protulisset commentarium religiosus Joannes presbyter & defensor, per eumdem devotissimum exceptorem relectum est.

Ante hæc religioso Eusebio episcopo in concilio vestræ beatitudinis interpellante, & accusante Eutychem religiosum presbyterum & archimandritam, & libellum contra eum dante, quo indicatur, hæretica eum ægrotare perfidia: ac postulante eumdem religiosum archimandritam accersitum, satisfacere de iis quæ ei ab ipso impingebantur: providens catholicæ fidei incircumscriptibilis vestra providentia, abire ad illum præcepit me, & religiosum diaconum Andream, & vocare eum satisfacturum. Hoc autem facto, nobisque ei in suo monasterio præsentatis, relectaque ei accusatione conscripta, atque exemplaribus traditis, accusatoreque etiam declarato, & evocatione ad satisfactionem apud vestrum Deoamabile sanctumque concilium, memoratus Eutyches, huc quidem venire, & his, de quibus inclamatur, occurrere, modis omnibus distulit: dicens, decretum sibi, & definitione quadam ab exordio conservatum, ut nusquam alibi a congregatione discedat, propterea quod velut in sepulcro quodam in monasterio degat. Innotescere vero per nos vestræ sanctitati postulavit, quod olim inimicus ejus exsistens Deo amicissimus Eusebius, injuriæ & derogationis gratia hanc contra eum accusationem instituit. Se enim sequi expositiones sanctorum & beatissimorum patrum, qui in Nicæno atque Ephesino concilio fuerunt, & subscribere eis paratum esse promittit. Si vero forte alicubi, ut dicebat, circa aliqua verba vel erraverunt patres nostri vel falli potuerunt, ea se (quod ad ipsum attinet) neque accusare, neque suscipere; sed solas divinas scripturas scrutari de hujusmodi, utpote firmiores. Dicebat autem memoratus, ab aliquibus vanas contra se derogationes dispersas, quasi Deus Verbum carnem de cælo deduxerit: alienum autem se esse ab hujusmodi derogatione. Nam post incarnationem Dei Verbi, hoc est, post nativitatem Domini nostri Jesu Christi, unam naturam adorare, & hanc Dei incarnati atque inhumanati. Et de hoc codicem proferens, relegebat. Ex duabus enim naturis post unionem Domini nostri Jesu Christi disputare oportere, neque didicisse in expositionibus patrum; neque suscipere, si contingat sibi forte tale aliquid relegi; eo quod divina scriptura, ut dixit, nullam de naturis faciant mentionem, & meliores sint [a] expositionibus magistrorum. Et hæc dicens, addebat, quoniam Deus perfectus & homo perfectus natus est ex Virgine.

[a] al. doctrinis atque expositionibus patrum.

ANNO CHRISTI 451.

λάθω, καὶ ἔχω παρ' ἐμαυτῷ. ἔδει δὲ καὶ αὐτὸν τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ παρεῖναι τοῖς πραττομένοις σήμερον, τῆς καθαιρέσεως ἕνεκεν τῆς ἐμῆς. τοῦτο γὰρ δὴ καὶ παρὰ τῇ ὑμετέρᾳ ἀπεριλογίστῳ σοφίᾳ δοκιμάζεσθαι νενόμικα. ὥστε αὐτὸν τὸν εἰρηκότα μοι, παρόντα ἐνταῦθα πυνθάνεσθαι τῶν λεγομένων παρ' ἐμοῦ, καὶ ἀντειπεῖν πρὸς τὰ παρ' ἐμοῦ λεγόμενα, ἢ συνθέσθαι αὐτοῖς. οὔτε γὰρ οἶμαι εὐλαβείας αὐτὸν ἐντὸς ὄντα, τῶν εὐαγγελίων προκειμένων, ἀναιρεῖν μου τοὺς λόγους, παρ' αὐτοῦ τηνικαῦτα ῥηθέντας, μάλιστα ἐπειδήπερ καὶ ὁ παρὼν εὐλαβέστατος διάκονος Κωνσταντῖνος, τῇ μὲν συντίθεται τοῖς λεγομένοις παρ' ἐμοῦ, τῇ δὲ, ὡς ὑπονοεῖ, ἄντικρυς βαίνει τῶν ῥηθέντων παρ' ἐμοῦ. καὶ ἀξιῶ, μὴ πάνυ τὴν λέξιν αὐτῶν σαφῶς ἀπαιτουμένων παρ' ἐμοῦ, τῶν ῥηθέντων παρ' ἐκείνου· οὐδὲ γὰρ ἂν ποιήσαιτό τις τοῦτο, τὸ αὐτολεξεὶ διαμνημονεῦσαι ῥήματά τινος· τὰ δὲ γραφέντα τότε ἐν τῷ ὑπομνηστικῷ, κελεύσατε ἀναγνωσθῆναι. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὸ ὑπομνηστικὸν, ὅπερ ἐξαιτεῖς, ἀναγνωσθήτω, καὶ συγκριθῇ τῇ καταθέσει, ἵνα τις ἐν τοῖς ὑπομνήμασι περιέχεται· ἵν' εἴ τι περὶ τὸν νοῦν, ἢ περὶ τὰ ῥήματα διαφωνηθῇ, γνωσθῇ. καὶ πρὶν ἢ ἀναγνωσθῆναι, Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· ἀξιῶ πρότερον τὸν εὐλαβέστατον Ἀνδρέαν, καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον, παρόντας λέγειν, εἴ γε συνᾴδουσι τοῖς ὑπαναγνωσθεῖσιν ἤδη, καὶ τηνικαῦτα παρ' ἐμοῦ κατατεθεῖσιν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τέως ἡ ἀνάγνωσις παρακολουθείτω. καὶ ὅτε προήνεγκε τὸ ὑπομνηστικὸν Ἰωάννης πρεσβύτερος καὶ ἔκδικος, διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐξκέπτορος ἀνεγνώσθη.

Πρώην τοῦ θεοφιλεστάτου Εὐσεβίου ἐν συνεδρίῳ προσελθόντος τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, καὶ κατηγορήσαντος Εὐτυχοῦς τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, καὶ βιβλίον ἐπιδιδόντος κατ' αὐτοῦ, τὸ καταδηλοῦν νοσεῖν αὐτὸν τὰ τῆς αἱρετικῆς πάθη, καὶ ἐξαιτήσαντος, τὸν μνημονευθέντα εὐλαβέστατον ἀρχιμανδρίτην μεταπεμφθέντα, ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῷ παρ' αὐτοῦ· πρόνοιαν δὲ ποιουμένη τῆς ὀρθοδόξου πίστεως ἡ ἀπερίληπτος ὑμῶν σοφία, διαβῆναι προσέταξεν ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν, καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὴ γενομένου, καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῇ αὐτοῦ μονῇ, καὶ ὑπαναγνόντων αὐτῷ τὴν ἔγγραφον κατηγορίαν, καὶ τὰ ἴσα δεδωκότων, καὶ καθυπομνησάντων αὐτῷ τὸν αἰτιασάμενον, τὴν κλῆσιν, καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς θεοφιλοῦς ὑμῶν καὶ ἁγίας συνόδου, ὁ μνημονευθεὶς Εὐτυχὴς, τὸ μὲν ἐνταῦθα ἀπαντῆσαι, καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῷ, παντελῶς παρῃτήσατο, ὑμῶν καὶ ἁγίας συνόδου, ὁ μνημονευθεὶς Εὐτυχὴς, τὸ μὲν ἐνταῦθα ἀπαντῆσαι, καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῷ, παντελῶς παρῃτήσατο, εἰρηκὼς προκεῖσθαι αὐτῷ τοῦτο, καὶ ὅρῳ τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς, τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν τῆς ἑαυτοῦ συνοδίας, ἀλλά τι, ὥσπερ ἐν τάφῳ τινὶ, διατρίβειν ἐν τῇ μονῇ. γνωσθῆναι δὲ τῇ ὑμετέρᾳ ὁσιότητι δι' ἡμῶν ἐξῄτει, ὡς ἐχθρὸς ὢν αὐτῷ πάλαι ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος, ὕβρεως χάριν καὶ λοιδορίας ταύτην κατ' αὐτοῦ τὴν κατηγορίαν ἐνεστήσατο. αὐτὸς γὰρ ἕπεσθαι ταῖς ἐκθέσεσι τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ συνόδων γενομένων, καὶ καθυπογράφειν αὐταῖς ἑτοίμως ἔχειν ἐπηγγείλατο. εἰ δέ που τύχοι, ὡς ἔφησε, περί τινας λέξεις ἢ διεσφάλησαν οἱ πατέρες ἡμῶν, ἢ διεπλανήθησαν, ταῦτα, τό γε ἐπ' αὐτῷ, μήτε διαβάλλειν, μήτε προσδέχεσθαι· ἐρευνᾶν δὲ μόνας τὰς θείας γραφὰς περὶ τῶν τοιούτων, ὡς βεβαιοτέρας. ἔφη δὲ ὁ αὐτὸς λοιδορίας παρά τινων λεχθείσας ὡς ὁ Θεὸς λόγος ἐξ οὐρανοῦ τὴν σάρκα κατήνεγκεν, ἀλλότριος ὑπάρχειν τῆς τοιαύτης λοιδορίας. μετὰ τὴν ἐνανθρώπησιν δὲ τοῦ Θεοῦ λόγου, τουτέστι μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μίαν φύσιν προσκυνεῖν, καὶ ταύτην Θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος· καὶ περὶ τούτου βιβλίον προκομίσας, ὑπανεγίνωσκε. τὸ γὰρ ἐκ δύο φύσεων μετὰ τὴν ἕνωσιν φυσιολογεῖν χρῆναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὔτε μεμαθηκέναι [a] ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων ἔφασκεν, οὔτε μὴν δέχεσθαι, εἰ ἄρα καὶ τύχοι τοιοῦτόν τι [b] παραναγινωσκόμενον· διὰ τὸ τὰς θείας γραφὰς, καθὼς ἔφη, μηδεμίαν μνήμην πεποιῆσθαι περὶ φύσεων, καὶ κρείττονας εἶναι τῶν διδασκαλικῶν ἐκθέσεων. καὶ ταῦτα λέγων, προσετίθει, Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ τῆς παρθένου γεγεννῆσθαι.

[a] Forte, ἐν ταῖς, ex Latino.

[b] Forte, παραναγινωσκόμενον.

ANNO CHRISTI 451.

Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε πρὸς Κωνσταντῖνον τὸν μοναχόν· κατὰ τὴν ὕφην τοῦ ὑπομνηστικοῦ, ἢ κατὰ τὴν ὕφην τῶν ὑπομνημάτων, εἰρηκέναι τὸν εὐλαβέστατον μοναχὸν Εὐτυχῆ τοῖς κληρικοῖς, φάσκεις; Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· ὅ,τι ἂν καταθῶνται οἱ ἀκούσαντες, τοῦτο καταδέχεται ὁ ἀρχιμανδρίτης μετὰ τῆς ἀληθείας. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀνδρέας ἅπερ παρὰ τοῦ μοναχοῦ ἤκουσεν, εἴπῃ, πρότερον τῶν φωνῶν αὐτοῦ ἐκ τῶν ὑπομνημάτων ἀναγινωσκομένων. καὶ πρὶν ἢ ἀναγνωσθῶσιν, Ἐλευσίνιος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπε· τὸ, μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν, τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἴρηκεν, ἐν τῷ προκομισθέντι παρ᾽ αὐτοῦ ὑπομνηστικῷ οὐ κεῖται. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τί πρὸς ταῦτα λέγει ὁ εὐλαβέστατος Ἰωάννης; Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπε· τὰς ἁγίας γραφὰς προέθηκεν ἡμῖν τοῖς ταπεινοῖς ἡ ὑμετέρα θεοφίλεια, καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια· καὶ ἃ ἔχει τὸ ὑπόμνημα, καὶ ἡ κατάθεσις αὕτη, ἡ ἐν τῷ ὑπομνηστικῷ, εἰ καὶ συνέβη διαφωνεῖν εἰς τὰς λέξεις αὐτὰς, οὐκ * εἰμί. οὗ λέγοντος, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἀλλ᾽ οὐκ ἔστιν ὀλίγον, ὅπερ ἐνηλλάχθαι λέγεται. Ἰωάννης πρεσβύτερος καὶ ἔκδικος εἶπε. καὶ τίς δύναται τὰς ἀλλοτρίας λέξεις αὐτὰς διακρατεῖν τινι, τὴν δὲ διάνοιαν αὐτῶν, ἣν εἶπεν; οὗ λέγοντος, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τί τοίνυν τοῦτον ἐν τούτῳ τῷ μέρει εἰρηκέναι διαβεβαιοῦσαι; Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπε· τί γάρ ἐστι τὸ ἀμφιβαλλόμενον περὶ τοῦ ὁμοουσίου; εἴρηκεν· ὅτι τῇ μητρὶ ἐστιν ὁμοούσιος· οὐκ εἶπεν ἡμῖν τοῖς ἀνθρώποις. καὶ ὅπου θέλετε, ὀμνύω, ὅτι εἶπεν· ὁμοούσιος τῇ μητρί ἐστι, καὶ οὐκ ἔχει ἡμῖν ὁμοούσιον τὴν σάρκα. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· αὖθις τὸ μέρος τοῦτο τῇ μὲν ἐκ τοῦ ὑπομνηστικοῦ, τῇ δὲ ἐκ τῶν ὑπομνημάτων ἀναγινωσκέσθω, ἵνα ὁ εὐλαβέστατος Ἰωάννης ἰδικῶς καταθῆται, τί ἐν τούτῳ παρ᾽ αὐτοῦ ἤκουσεν. οὗ γενομένου, Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπε· τοῦτο μόνῳ μοι διαλεγόμενος εἶπεν· ὅτι ἡμῖν ὁμοούσιον οὐκ ἔχει τὴν σάρκα, ἀλλὰ τῇ μητρί. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἐπελάθου ὅπερ ἤκουσας, καὶ διὰ τοῦτο οὐκ ἔχει τοῦτο ἐν τῷ ὑπομνηστικῷ, οὐ ἐνέταξας. Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· ἐπειδὴ οἱ παρόντες μετ᾽ ἐμοῦ εὐλαβέστατοι διάκονοι οὐκ ἤκουσαν τὰ ἐμοὶ ἰδίᾳ ῥηθέντα, διὰ τοῦτο οὐκ ἐνέθηκα τῷ ὑπομνηστικῷ. Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπε· καὶ τοῦτο παρακαλοῦμεν, ὥστε τοὺς εὐλαβεστάτους διακόνους ἐλθεῖν, καὶ καταθέσθαι μετὰ ἀληθείας, ἃ ἤκουσαν παρὰ τοῦ ἀρχιμανδρίτου, καὶ εἰ ἰδίᾳ αὐτῷ ἐλάλησεν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· καθάπερ ἀνώτερον διελάλησα, παρόντος Ἀνδρέου, αἱ φωναὶ αὐτοῦ δημοσιευθῶσι. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἐξ αὐτῶν τῶν ὑπομνημάτων ἀνεγνώσθησαν.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας, εἰ ταῦτα ἤκουσε παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς λεγόμενα. ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπήλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ διαλεχθέντες αὐτῷ, ταῦτα παρ᾽ αὐτοῦ ἠκούσαμεν, ἃ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης ἤδη κατέθετο.

Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος τί παρὰ Εὐτυχοῦς ἤκουσε, καταθέσθω. Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος εἶπεν· ἐπειδὴ ὁ Θεὸς συγκαθέζεται ὑμῖν, καὶ φόβος, καὶ τρόμος ἔχει μου τὴν ψυχὴν, τῆς ἀληθείας ἐκστῆναι οὐ δύναμαι. πρώτως γὰρ ἀποσταλεὶς παρὰ τοῦ δεσπότου μου τοῦ τὰ πάντα ἁγιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ, καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου, πρὸς τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ, περὶ μὲν τῆς κλήσεως ὅσα κατέθετο ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης, ταῦτα καὶ συγκατατίθεμαι, καὶ σύνοιδα. περὶ δὲ τοῦ ὁμοουσίου πεῦσιν προσαγαγόντος τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ καὶ ἀρχιμανδρίτῃ Εὐτυχεῖ, πότερον λέγει ὁμοούσιον τῷ πατρὶ τὸν Θεὸν λόγον κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, ἔφη ὁ ἀρχιμανδρίτης Εὐτυχὴς, λέγων τὸ μά-

* Forte, ἴσμεν, ex Latino.

ACTIO PRIMA: ACTA ALIA CONSTANT.

Magnificentissimus Patricius ad Constantinum monachum dixit: Secundum narrationem commemoratorii, an secundum monimentorum seriem locutum fuisse reverentissimum monachum Eutychem clericis, dicis? Constantinus reverendus diaconus & monachus dixit: Quidquid allegaverint qui audierunt, hoc suscipit archimandrita cum veritate. Magnificentissimus Patricius dixit: Andreas, quæ ab ipso monacho audivit, edicat, relectis prius ejus vocibus ex monimentis gestorum. Et priusquam legerentur, Eleusinius religiosus diaconus & monachus dixit: Non habentem carnem consubstantialem nobis, hoc mihi in collocutione dixit, in prolato ab eo commentario non continetur. Magnificentissimus Patricius dixit: Quid ad hæc dicit religiosus Joannes? Joannes reverentissimus presbyter & defensor dixit: Sanctas scripturas proposuit nobis humilibus vestra beatitudo & vestra magnificentia: & quæ habet commemoratorium meum, ista & confessio in gestis: & si contigit in sermonibus ea dissonare, non scio. Quo dicente, magnificentissimus Patricius dixit: Sed non est modicum quod dicitur immutatum. Joannes religiosissimus presbyter & defensor dixit: Et quis potest ipsa aliena verba redintegrare cuilibet, sed magis ipsum intellectum quem dixit? Quo dicente, magnificentissimus Patricius dixit: Quid ergo istum in hac parte dixisse confirmas? Joannes religiosissimus presbyter & defensor dixit, Quid enim exstat ambiguum de consubstantiali? Dixit: quia matri consubstantialis est: non dixit, nobis hominibus. Et ubi vultis, juro quia dixit: "Consubstantialis matri est, & non habet consubstantialem nobis carnem." Magnificentissimus Patricius dixit: Rursus hæc pars tam de monimentis, quam de commemoratorio relegatur, ut religiosus Joannes specialiter fateatur, quid in hoc ab eo audierit. Quo facto, Joannes religiosus presbyter & defensor dixit: Istud mihi soli disputans dixit, "quoniam consubstantialem nobis carnem non habet, sed matri." Magnificentissimus Patricius dixit: Oblitus es quæ audisti, & propterea hæc commemoratorio non indidisti. Joannes religiosissimus presbyter & defensor dixit: Quoniam præsentes mecum viri reverendi diaconi non audierunt quæ mihi seorsum dicta sunt, propterea hæc non indidi commentario. Constantinus diaconus & monachus dixit: Et hoc rogamus, ut reverendi diaconi veniant, & cum veritate profiteantur quæ audierunt ab archimandrita: & si [a] semotim illi locutus est. Magnificentissimus Patricius dixit: Sicut superius interlocutus sum, præsente Andrea voces ipsius publicentur. Et per eumdem virum devotissimum exceptorem ex gestis relecta sunt.

Sanctissimus archiepiscopus dixit: Dicat & reverentissimus diaconus Andreas, si hæc audivit a reverentissimo presbytero & archimandrita Eutyche dicta. Andreas reverendus diaconus dixit: Secundum præceptum vestræ sanctitatis ivimus ad reverentissimum presbyterum & archimandritam Eutychem: & locuti illi, hæc ab ipso audivimus, quæ & religiosus presbyter & defensor Joannes jam professus est.

Magnificentissimus Patricius dixit: Andreas religiosus diaconus quid ab Eutyche audivit, referat. Andreas religiosus diaconus dixit: Quoniam Deus considet vobis, & timor & tremor sensum meum detinet, non possum a veritate excedere. Primitus etenim directus a domino meo [b] sanctissimo archiepiscopo Flaviano, & sanctissimo cum ipso conventu, ad reverentissimum archimandritam Eutychem, ea quidem quæcumque de evocatione edocuit reverendus presbyter & defensor Joannes, hæc & comprofessus sum, & conscius sum. De consubstantiali autem cum interrogationem faceret reverentissimus presbyter & defensor Joannes reverentissimo archimandritæ Eutychi, utrum dicat consubstantialem Patri Deum Verbum secundum deitatem, & consubstantialem nobis secundum humanitatem, inquit archimandrita Eutyches, dicens:

[a] al. singillatim.

[b] Cod. meo cuncta sanctissimo

Symbolum quemadmodum habet? Dicit domnus Joannes, A quia [a] mathema consubstantialem Patri habet tantum. Opposuit archimandrita Eutyches, dicens: Ita ergo habe & tu, quoniam & ego ita teneo. Aliud quid nescio in hoc negotio. Magnificentissimus Patricius dixit: [b] Semotim tamen aliquid Joannes cum Eutyche monacho te absente locutus est? Andreas diaconus dixit: Quadam locutus est, per vestigia vestra, quæ ego non audivi. Magnificentissimus Patricius dixit: Nunc vir religiosus diaconus Athanasius adveniat. Et cum stetisset in medio Athanasius diaconus, magnificentissimus Patricius ad eum dixit: Propositum tuum considerans, cum veritate dic quid monachum Eutychem Joanni viro reverentissimo, vel Andrea, dixisse cognoscis. Athanasius reverendus diaconus dixit: Quoniam de anima est sermo, & non est absque periculo non proferenti veritatem; quæ comperi, hæc & dico. Non sum directus ego pro hac causa cum Dei amantissimo presbytero Joanne, vel Andrea diacono: vocatus tamen a prædicto Dei [c] amantissimo presbytero & defensore Joanne, tamquam sibi præsente & audiente quæ ab eo dicta sunt, & requisitus a sanctissimis episcopis, professus est. Sed & nunc hoc commemoratorio relecto, quod tenebat prædictus Deo amicissimus vir, agnovi omnes alios sermones, solum vero de consubstantiali non agnovi. Sed tunc, eodem presbytero interrogante archimandritam, ac dicente: Confiteris Dominum consubstantialem quidem Patri secundum divinitatem, consubstantialem vero nobis secundum humanitatem? idem archimandrita dixit: Symbolum quemadmodum habet? Deinde respondens presbyter, ait: Consubstantialem Patri. Dicit ille: Ita habeto, quia & ego ita habeo. Magnificentissimus Patricius dixit: Sermocinationes tamen quasdam inter se privatim Eutyches religiosus monachus & Joannes presbyter habuerunt? Athanasius religiosus diaconus dixit: Non intendi, per vestigia vestra. Eleusinius religiosus monachus dixit: Precamur virum religiosum Athanasium diaconum requisitum profiteri de iis, quibus in secunda interrogatione reprehendit virum reverendum presbyterum Joannem. Docuit namque, quod post primam professionem alia iterum legebantur, & reprehendit, protestans quod ita non sunt scripta hæc, quæ D professus est prius, quando venit de monasterio, sive hæc, sive alia: Sed postea congregatione habita, & jubente sanctissimo archiepiscopo acta gestorum proferri, in quibus professus est Deo amicissimus Joannes presbyter, relectis eis, reprehendit reverendus diaconus Athanasius, dicens, quia hæc non audivi. Magnificentissimus Patricius dixit: Joannis voces ex monimentis relegantur: & quod amplius de iis Athanasius paratus est docere, prosequatur. Et cum iterum recitata fuissent, idem Joannes reverentissimus presbyter & defensor dixit: Præcedens vir religiosus diaconus Andreas, necnon & reverendus Athanasius diaconus, omnibus quæ a me dicta sunt in commemoratorio consenserunt, præter consubstantialem, ut dixerunt: & hoc profitentes, qualiter dictum est a E reverentissimo archimandrita: & poteris intelligere, & venerabile sanctumque hoc concilium, & vestra magnificentia, quia hoc ipsum, quod dixerim, quoniam scis consubstantialem Patri secundum divinitatem, & consubstantialem nobis secundum humanitatem? quia hoc ipsum, quod e contrario interrogavit, dubitationis erat signum; & precor vocem reverendorum diaconorum, quæ confirmat omnem professionem meam factam in commemoratorio, jam nullatenus everti debere. Magnificentissimus Patricius dixit: Athanasius quod requisitus est, dicat. Athanasius reverendus diaconus dixit: In tertia discussione hæc professio, quæ nunc deposita est a presbytero, relegebatur in secretario: & novum hunc sermonem accepi, qui in fine positus est, ubi dicit: Non habentem carnem consubstantialem nobis; & contradixi. Dixit enim etiam idem presbyter Joannes: Hoc mihi soli locutus est. Magnificentissimus Patricius dixit: Absente

θημα πῶς ἔχει; ἔφη ὁ [a] κῦρ Ἰωάννης· ὅτι περὶ τὸ μάθημα ἔχει, ὁμοούσιον τῷ πατρὶ μόνον. ἀντέφησεν ὁ ἀρχιμανδρίτης Εὐτυχής, λέγων· οὕτως ἔχε καὶ αὐτός, ἐπειδὴ κἀγὼ οὕτως ἔχω. ἕτερόν τι οὐκ ἐπίσταμαι ἐν τῇ ὑποθέσει. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἰδιάζοντος ὅμως Ἰωάννης μετὰ Εὐτυχοῦς τοῦ μοναχοῦ τί ποτε σοῦ ἀπόντος ἐλάλησεν; Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος εἶπε· τινὰ ἐλάλησε, τῶν ποδῶν ὑμῶν, ἃ ἐγὼ οὐκ ἤκουσα. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· νῦν Ἀθανάσιος ὁ εὐλαβέστατος ἐλθέτω. καὶ ὅτε εἰς μέσον ἔστη Ἀθανάσιος ὁ διάκονος, ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς αὐτὸν εἶπε· τὸ σὸν ἐπιτήδευμα σκοπῶν, μετὰ ἀληθείας εἰπὲ τί τὸν μοναχὸν Εὐτυχῆ Ἰωάννῃ τῷ εὐλαβεστάτῳ, ἢ Ἀνδρέᾳ εἰρηκέναι γινώσκεις; Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· B ἐπειδὴ περὶ ψυχῆς ἐστιν ὁ λόγος, καὶ οὐκ ἀκίνδυνόν ἐστι τῷ μὴ λέγοντι τὴν ἀλήθειαν, ἅπερ ἤκουσα, ταῦτα καὶ λέγω. ἐγὼ οὐκ ἀπεστάλην διὰ ταύτην τὴν αἰτίαν μετὰ τοῦ θεοφιλεστάτου Ἰωάννου, ἢ τοῦ εὐλαβεστάτου διακόνου Ἀνδρέου· προσκληθεὶς δὲ παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου, ὡς ἐκεῖ μου παρόντος, καὶ ἀκούσαντος τὰ παρ' ἐκείνου εἰρημένα· καὶ ἐρωτηθεὶς παρὰ τῶν ὁσιωτάτων ἁγίων ἐπισκόπων, κατέθηκα ὅτι ταῦτα κἀγὼ παρὼν ἐκεῖ ἤκουσα, ὅσαπερ καὶ αὐτὸς κατέθετο· καὶ νῦν δὲ τοῦ ὑπομνηστικοῦ τούτου ἀναγνωσθέντος, ὅπερ κατεῖχεν ὁ προειρημένος θεοφιλέστατος ἀνήρ, ἐπέγνων τὰς ἄλλας λέξεις· τὸ μέντοι περὶ τοῦ ὁμοουσίου οὐκ ἐπέγνων. ἀλλὰ τότε αὐτοῦ τοῦ πρεσβυτέρου ἐρωτήσαντος τὸν ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ εἰρηκότος· ὁμολογεῖς τὸν κύριον ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, ὁμοούσιον δὲ τὸν αὐτὸν C ἡμῖν κατὰ τὴν ἀνθρωπότητα; ἔφησεν ὁ αὐτὸς ἀρχιμανδρίτης, λέγων· τὸ μάθημα πῶς ἔχει; εἶτα ἀποκριθεὶς ὁ πρεσβύτερος λέγει· ὁμοούσιον τῷ πατρί. λέγει ὁ αὐτός· οὕτως ἔχε, ὅτι κἀγὼ οὕτως ἔχω. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ὁμιλίας ὅμως μεταξὺ αὐτῶν ἰδιαζόντων ὁ εὐλαβέστατος Εὐτυχὴς ὁ μονάζων, [b] ἢ Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος εἶχεν; Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· οὐ προσέσχον, τῶν ποδῶν ὑμῶν. Ἐλευσίνιος ὁ εὐλαβέστατος μονάζων εἶπεν· ἀξιοῦμεν τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον ἐρωτηθέντα καταθέσθαι περὶ ὧν ἐν τῇ δευτέρᾳ ἐξετάσει ἐπελάβετο τοῦ εὐλαβεστάτου πρεσβυτέρου Ἰωάννου. ἔδειξε γάρ, ὅτι μετὰ τὴν προτέραν κατάθεσιν ἕτερα πάλιν ἀνεγινώσκετο, καὶ ἐπελάβετο· οὕτως οὐκ ἐγράφη ταῦτα, ἃ κατέθετο πρότερον, ὅτε ἦλθεν ἀπὸ τοῦ μοναστηρίου, εἴτε D ταῦτα, εἴτε ἄλλα. μετὰ δὲ ταῦτα συνεδρίου γενομένου, καὶ κελεύσαντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τὴν πρᾶξιν τῶν ὑπομνημάτων φέρεσθαι, ἔνθα κατέθετο ὁ θεοφιλέστατος πρεσβύτερος Ἰωάννης, ἀναγινωσκομένων ἐκείνων, ἐπελάβετο ὁ διάκονος Ἀθανάσιος· ὅτι ταῦτα οὐκ ἤκουσα. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἰωάννου αἱ φωναὶ ἐκ τῶν ὑπομνημάτων ἀναγνωσθῶσι· καὶ τὸ πλέον περὶ τούτων ἕτοιμός ἐστιν Ἀθανάσιος διδάξαι, κατατεθήτω. καὶ ὅτε πάλιν ἀνεγνώσθησαν, ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· προλαβὼν ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας, ἔτι γε μὴν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος, πᾶσι τοῖς παρ' ἐμοῦ ῥηθεῖσιν ἐν τῷ ὑπομνηστικῷ συνέθεντο, δίχα τοῦ ὁμοουσίου, ὡς ἔφησαν· καὶ αὐτὸ καταθέμενοι, πῶς ἐλαλήθη παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου. καὶ δύναται συνιέναι καὶ ἡ εὐλαβεστάτη ἁγία σύνοδος, καὶ ἡ E ὑμετέρα μεγαλοπρέπεια, ὅτι τὸ αὐτὸ τοῦτο τὸ εἰπεῖν ἐμέ, ὅτι οἶδας ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα; ἐκ τοῦ ἀντιπεριστῆσαι αὐτόν, ἀμφιβολίας ἦν τεκμήριον. καὶ ἀξιῶ τὴν φωνὴν τῶν εὐλαβεστάτων διακόνων, τὴν βεβαιώσασάν μου ταύτην τὴν κατάθεσιν ἐν τῷ ὑπομνήματι, μηκέτι χρῆναι ἀνατρέπεσθαι. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀθανάσιος, ὅπερ ἐζητήθη, εἰπέτω. Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· ἐν τῇ τρίτῃ ἐξετάσει αὕτη ἡ κατάθεσις, ἡ καταπεθεῖσα παρὰ τοῦ πρεσβυτέρου, ἀνεγινώσκετο εἰς τὸ σέκρετον· καὶ ἐξενοφωνήθην περὶ τὴν λέξιν τὴν ἐπὶ τέλει κειμένην ταύτην, ὅπου λέγει· μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν· καὶ ἀντέκρουσα. εἶπε γὰρ καὶ αὐτὸς ὁ πρεσβύτερος· ὅτι τοῦτο ἐμοὶ μόνῳ διελέχθη. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἀπόντος

σου ὅμως

[a] Mathema, id est, doctrina, symbolum est.
[b] al. sigillatim
[c] al. cultore

[a] Forte, ὡς
[b] Forte, ἢ ex Latino.

ANNO CHRISTI 451.

ACTIO PRIMA. ACTA ALIA CONSTAN.

σου ὅμως ἰδιάζοντος τί ποτε μετ᾽ αὐτοῦ ἐλαλήθη; Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· οὐκ οἶδα. Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· ὅτι μὲν πάντα τὰ παρ᾽ ἐμοῦ ῥηθέντα, καὶ δεύτερον καὶ τρίτον ἐρωτηθέντες οἱ εὐλαβέστατοι διάκονοι ἐβεβαίωσαν ταῖς οἰκείαις φωναῖς, ἔγνω καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καὶ ἀκούει, καὶ ἐπίσταται. περὶ δὲ τοῦ ὁμοουσίου, ἐπειδὴ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος ἔφησε ξενοφωνηθεὶς ἔτι θόρυβόν τινα ἐμπεποιηκέναι, κἀγὼ συνομολογῶ· ἰδίᾳ γάρ μοι ἔγνω ἔφην εἰρηκέναι αὐτόν· ὅπερ οὖν καὶ εἴρηκεν. ὅτι δὲ καὶ αὐτοὶ μεγαλοφωνοῦς ἤκουσαν ἐμοῦ λέγοντος αὐτῷ· ὅτι οἶδας αὐτὸν τῷ πατρὶ ὁμοούσιον κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα; καὶ αὐτοὶ ταῖς οἰκείαις φωναῖς κατέθεντο.

Καὶ πληρωθέντος τοῦ πρώτου ὑπομνήματος Μαρῖνος ἀναγνώστης καὶ νοτάριος τῆς Καισαρέων ἐκκλησίας Καππαδοκίας πρώτης ἀνέγνω. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὸ μέρος τῶν ὑπομνημάτων λοιπὸν ἀναγνωσθήτω. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐξκέπτορος ἀνεγνώσθη. ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· ἐν αὐτῷ τῷ καιρῷ τῆς διαλέξεως· καὶ τὰ λοιπὰ τῆς τρίτης πράξεως· καὶ ὅτε ἀνεγνώσθη, Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· οὐκ εἶπεν[a] ὅτι εἰ μὴ συμπνεύσητέ μοι, καὶ ταπεινώσῃ με ὁ ἐπίσκοπος, πλεῖστον καὶ ὑμῖν ἐπιθήσεται. οὐκ εἶπεν[b], κατὰ τῶν ποδῶν ὑμῶν. Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· ἐπειδὴ οὔτε οἱ ἀποσταλέντες ἐνταῦθά εἰσιν, οὔτε ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος ἐνταῦθά ἐστιν, εἰ κελεύετε, παρέλθῃ τοῦτο. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· πατρίκιος, ὅς τις ἅμα Πέτρῳ πρὸς τὸν μονάζοντα ἀπῆλθεν, ἐνταῦθα εἶναι λέγεται. τί οὖν βούλεσθε; τοῦτον ἐρωτηθῆναι; ἢ τὸν εὐλαβέστατον Μαρτῖνον; Ἐλευσίνιος ὁ εὐλαβέστατος μονάζων καὶ διάκονος εἶπε· τὸ ἀναγκαῖον [c]γινέσθω, κατὰ τῶν ποδῶν ὑμῶν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· μὴ ἄλλως τὰ ὑπομνήματα περιέχῃ, ἤπερ ἡ ἀλήθεια ἔχει περὶ τούτου τοῦ μέρους; οὐ λέγοντος, Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· οὐχί, κατὰ τῶν ποδῶν ὑμῶν, εἰς τὸ μέρος τοῦτο. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὰ ἀκόλουθα ἀναγινωσκέσθω. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐξκέπτορος ἐκ τοῦ αὐτοῦ χαρτίου ἀνεγνώσθη.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τί δὲ περιέχει ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος τοῦ ὕπνου ἀνεγερθεὶς; καὶ τὰ λοιπά. καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Αἔτιος διάκονος καὶ νοτάριος εἶπε· δεόμεθα τῆς παρούσης ἁγίας συνόδου, καὶ τῆς ὑμετέρας μεγαλοπρεπείας, καταξιώσατε κελεῦσαι, πεῦσιν προσαχθῆναι τοῖς εὐλαβεστάτοις κληρικοῖς, ὧν μνήμην πεποίηται ἡ παροῦσα τῶν ὑπομνημάτων ἀνάγνωσις· καὶ καθομολογῆσαι, μή τι ἀμφιβάλλουσιν ἐπὶ τοῖς ἀνεγνωσμένοις, καὶ τὰ τηνικαῦτα παρ᾽ αὐτῶν κατατεθέντα· τουτέστι, Μάμαν τὸν εὐλαβέστατον πρεσβύτερον, Θεόφιλον, Μέμνονα, Ἰωάννην, Ἀνδρέαν καὶ Ἀθανάσιον, τοὺς διακόνους. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· μὴ ἀμφιβαλλόντων ἐκείνων, ἡ παροῦσα ζήτησις πρόκειται; ἀλλὰ τῷ εὐλαβεστάτῳ ἀνδρὶ μοναχῷ, οὗ καὶ οἱ ἄνθρωποι ἐν τῷ παρόντι ἵστανται. καὶ προσέθηκε· τὰ λοιπὰ ἀναγινωσκέσθω. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐξκέπτορος ἀνεγνώσθησαν.

Ἡμέρα σαββάτου, ἥ τις ἐστὶν εἰκὰς τοῦ Νοεμβρίου μηνός· καὶ τὰ λοιπά. καὶ ὅτε ἀνεγνώσθησαν, Κωνσταντῖνος ὁ διάκονος εἶπε· παρακαλοῦμεν, ὥστε ἐρωτηθῆναι αὐτούς, εἰ ταῦτα ἤκουσαν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· καὶ Θεόφιλος, τῶν καθοσιώσεων αὐτοῦ δημοσιευθεισῶν, εἰ[d] ταύτης αὐτὸν ἀκηκοέναι ἢ εἰρηκέναι ἔγνω, εἰπάτω. καὶ ὅτε εἰς μέσον ἔστη Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος, εἶπεν· ἀποσταλεὶς ἐγὼ καὶ ὁ πρεσβύτερος Μάμας παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς ἁγίας συνόδου, καταλαβόμενοι τὸ μοναστήριον τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς· καὶ πρῶτον μὲν τὰ ἀναγνωσθέντα [e]ἀρτίως, ἤρξατο λέγειν· ὕστερον δὲ οὐκ ἐβουλόμεθα αὐτῷ συζητῆσαι· ὡς ἐπὶ τοῦ Χριστοῦ ἠνάγκασεν ἡμᾶς, καὶ οἰκείᾳ φωνῇ εἶπεν· ὅτι ἀμήχανον τὸν Χριστὸν ἐμὲ εἰπεῖν ἐκ δύο φύσεων· οὔτε γὰρ φυσιολογῶ τὸν κύριόν μου. ταῦτα οὖν αὐτὰ τὰ ἀναγνωσθέντα ἐκ τοῦ στόματος τοῦ εὐλαβεστάτου ἀνδρὸς ἀκούσαν-

[a] Forte, εἶπε, ex Lat.
[b] Forte, εἶπεν, ex Lat.
[c] Forte, γινέσθω
[d] Forte, ταῦτα, ex Latino.
[e] Forte, ἄρτι,

A te tamen, singulatim aliquid cum illo sermocinatus non est? Athanasius reverendus diaconus dixit: Non vidi. Joannes reverentissimus presbyter & defensor dixit: Quoniam quidem omnia quæ a me dicta sunt, & secundo & tertio requisiti reverendi diacones confirmaverunt propriis vocibus, hoc & vester Deo amabilis sanctus conventus, & vestra magnificentia audivit, & cognoscit. De consubstantiali autem, quoniam vir religiosus diaconus Athanasius dixit, novum se comperisse sermonem, sed & conturbationem etiam quamdam concitasse, hoc etiam ego confiteor. Semotim enim hoc dixi eum retulisse mihi, quod qui lem & dixit. Quia vero & ipsi ex parte audierint me ei dicentem: Agnoscis eum Patri consubstantialem secundum deitatem, & consubstantialem nobis secundum B humanitatem? etiam ipsi propriis vocibus affirmaverunt.

Completis autem primis gestis, Marinus lector & notarius Cæsareensis ecclesiæ Cappadociæ primæ relegit. Magnificentissimus Patricius dixit: Pars gestorum reliqua relegatur. Et per eumdem virum devotum exceptorem relectum est. Joannes religiosissimus presbyter & defensor dixit: In eodem tempore collocutionis nostræ: & reliqua tertiæ cognitionis. Et cum relectum fuisset, Constantinus diaconus & monachus ait: Hoc non dixit: Quod nisi conspiraveritis mihi, & humiliaverit me episcopus, postmodum etiam vobis imponet. Hoc non dixit, per vestigia vestra. Constantinus reverendus diaconus ait: Quoniam neque qui directi sunt, hic sunt, neque presbyter & archimandrita Martinus in præsenti reperitur, si jubetis, hoc transeat. Magnificentissimus Patricius dixit: C Patricius, qui simul cum Petro ad monachum ivit, hic esse dicitur. Dicite ergo: Vultis istum interrogari, an reverendum Martinum? Eleusinius reverendus diaconus & monachus dixit: Necessaria pertractate, per vestigia vestra. Magnificentissimus Patricius dixit: Ne forte aliter gesta contineant, quam ipsa veritas habet de hac parte? Quo dicente, Constantinus diaconus & monachus dixit: Non habent aliter, per vestigia vestra, in hac parte. Magnificentissimus Patricius dixit: Sequentia relegantur. Et per eumdem virum devotum exceptorem de eadem scheda relectum est.

Supra, pag. 142. Sup. act. 5. Constantinop. pag. 154.

Sanctissimus archiepiscopus dixit: Quid autem contineri reverendus presbyter & archimandrita Martinus in D somo retulit? & reliqua. Et postquam lecta sunt, Aetius diaconus & notarius dixit: Precamur præsentem sanctum conventum, sed & vestram magnificentiam, jubere interrogationem adhiberi viris reverendis clericis, quorum nobis mentionem præsens lectio gestorum continuit; & profiteri, numquid dubitent super his quæ relecta sunt, & ab eis tunc exposita: id est, Mamæ viro religioso presbytero, Theophilo, Memnoni, & Joanni presbytero & defensori, Andreæ & Athanasio diaconis. Magnificentissimus Patricius dixit: Numquid ambigentibus illis præsens requisitio proponitur, sed viro reverentissimo Eutychi monacho, cujus & homines in præsenti stant? Et addidit: Reliqua relegantur. Et per eumdem virum devotum exceptorem relectum est:

Supra, pag. 154.

E Die sabbati, quæ est vigesima dies mensis Novembris; & reliqua. Et cum lecta fuissent, Constantinus diaconus dixit: Rogamus interrogari eos, si hæc audierunt. Magnificentissimus Patricius dixit: Et Theophilus, professionibus suis publicatis, si hæc eum audisse vel dixisse scis, dicat. Et cum in medio stetisset Theophilus reverendus presbyter, dixit: Directus ego & presbyter Mamas a sanctissimo archiepiscopo & a sancto conventu, pervenimus ad monasterium viri reverentissimi archimandritæ Eutychis: Et primum quidem hæc, quæ nuper relecta sunt, cœpit dicere: Postea vero noluimus cum ipso certare; sicut coram Christo compulit nos, & propria voce dixit: Quoniam impossibile est dicere me Christum ex duabus naturis: neque enim de natura disputo Domini mei. Hæc ergo ipsa quæ relecta sunt, audientes ex ore viri re-

Sup. act. 6. Constantinop. pag. 155.

ACTIO PRIMA. ACTA ALIA CONSTAN.

verentissimi Eutychis, professi sumus: & neque additamentum, neque ablationem aliquam fecimus. Constantinus monachus dixit: Aliud nihil audivit? Magnificentissimus Patricius dixit: Extra hæc quæ confessus es, nihil aliud audisti? Theophilus reverendus presbyter dixit: Dicebat, quia & patrum expositiones sequor. Ista dixit. Magnificentissimus Patricius ad monachos dixit: Quid amplius requiritis? Constantinus diaconus & monachus dixit: Supplicamus & domnum Mamam dicere. Magnificentissimus Patricius dixit: Similiter & religiosus Mamas quæ cognoscit, profiteatur. Et antequam profiteretur, Eleusinius diaconus & monachus dixit: Ipse confessus est, quoniam dicebat: Et patrum expositiones sequor; & non est insertum in gestis. Magnificentissimus Patricius ad Theophilum dixit: Quare in gestis nullo modo continetur, quod tamquam ab Eutyche dictum, in tua professione postea addidisti? Theophilus reverendus presbyter dixit: Et alia dixit, per vestigia vestra, quæ in memoria non habeo. Quæ autem in mentem venerunt, confessus sum. Magnificentissimus Patricius dixit: Quare hoc in gestis illo tempore non inseruisti? Eleusinius monachus dixit: Certe superius dixit, neque additamentum, neque detractionem eorum quæ dixit, se fecisse. Theophilus presbyter dixit: Quæ audivi ex ore archimandritæ, hæc dixi. Si autem volunt ut ampliora dicam quæ non audivi ª....... Quo dicente, magnificentissimus Patricius dixit: Mamas presbyter, sicut dictum est, profequatur. Mamas religiosus presbyter dixit: Relegatur, per vestigia vestra, professio, quæ tunc habita est, quoniam oblitus sum. Magnificentissimus Patricius dixit: Voces illius ex gestis publicentur; ut relectis his, quæ se audisse cognoscit, dicat. Et per eumdem virum devotum exceptorem ex gestis voces ejus relectæ sunt.

ª *Hic interpellatus est a Eleusinio: atque ejus abrupta oratio*

Supra pag. 157.

Sanctissimus archiepiscopus dixit: Dic nobis, cujus gratia; & cetera. Quæ postquam relecta sunt, Mamas presbyter dixit: Ita est, per vestigia vestra; hæc professus sum, quæ mihi relecta sunt, & nihil amplius professus sum. Constantinus diaconus & monachus dixit: Arbitror quia contraria sunt sibimet, quæ dixit dominus presbyter, quantum ex relectis professionibus Theophili & Mamæ. Magnificentissimus Patricius dixit: Num forte aliter habent gesta? Eleusinius monachus dixit: Non habent aliter, per vestigia vestra. Magnificentissimus Patricius dixit: Si quid aliud est, relegatur. Et per eumdem virum devotum exceptorem relectum est.

Ultima actio.

Supra pag. 158.

Congregato rursus sanctissimo & magno conventu, propositis sacris ac venerabilibus Evangeliis, & præsidente sanctissimo archiepiscopo nostro Flaviano in secretario episcopii, definita dilatione, id est, secunda feria, quæ est vigesima secunda dies mensis Novembris; & cetera. Et postquam relecta sunt, magnificentissimus Patricius dixit: Interlocutio mea posita est, continens, quoniam requisitio oblata est presbytero Eutychi, quemadmodum credit, & quid dicit: usque ad hoc dixi. Addiderunt vero, quod non est dictum, quod & insensatum est. Et nunc iterum interrogetur, cur nunc hoc dicens, primum aliter sapiebat. Et addidit: Quomodo hoc potui dicere, necdum aliquid reverentissimo archimandrita Eutyche dicente? Sanctissimus episcopus hujus gloriosæ civitatis ad notarios dixit: Quemadmodum hæc, quæ non est interlocutus magnificentissimus Patricius, gestis inserta sunt? Aëtius religiosus diaconus & notarius dixit: Habemus quid de his dicere. Sanctissimus episcopus hujus gloriosæ civitatis dixit: Quis vobis hæc dictavit? Ego vobis aliquid addere dixi? aut a vobis, vel certe ab aliis hæc audientes, fecistis? Aëtius diaconus dixit: Jam enim quasi persuasa sanctitas vestra quod additamentum factum est, hæc interrogat? Magnificentissimus Patricius dixit: Relegantur sequentia. Similiter per eumdem virum devotum exceptorem relectum est.

ANNO CHRISTI 451.

τες, κατεθέμεθα, καὶ οὔτε προσθήκην τινὰ ἐποιησάμεθα, οὔτε ὑφαίρεσιν. Κωνσταντῖνος εἶπεν· ἄλλο οὐδὲν ª ἤκουσε. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἐκτὸς τούτων, ὧν κατέθου, οὐδὲν ἄλλο ἤκουσας; Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν. ἔλεγεν, ὅτι καὶ τῇ ἐκθέσει τῶν πατέρων ἀκολουθῶ. ταῦτα ἔλεγεν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε πρὸς τοὺς μοναχούς· τί πλέον ἐπιζητεῖτε; Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· ἀξιοῦμεν καὶ τὸν κύριον Μάμαν εἰπεῖν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ὁ εὐλαβέστατος ὡσαύτως Μάμας, ἅτινα οἶδε, καταθέσθω. καὶ πρὶν ἢ καταθέσθαι, Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· αὐτὸς καθωμολόγησεν, ὅτι ἔλεγε καὶ ταῖς ἐκθέσεσι τῶν πατέρων ἀκολουθεῖν. καὶ οὐκ ἔγκειται ἐν τοῖς ὑπομνήμασι. ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς Θεόφιλον εἶπε· διὰ τί ἐν τοῖς ὑπομνήμασιν οὐδαμῶς περιέχεται, ὅπερ, ὡς ἐρρέθη παρὰ Εὐτυχοῦς, ἐν τῇ σῇ καταθέσει μετὰ ταῦτα προσέθηκας; Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπε· καὶ ἄλλα εἶπε, τῶν ποδῶν ὑμῶν, ἃ ἐπὶ μνήμης οὐ φέρω· ἃ δὲ φέρω ἐπὶ μνήμης, κατεθέμην. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· διὰ τί τότε τοῖς ὑπομνήμασι τῷ τότε καιρῷ οὐδαμῶς ἐνέταξας; Ἐλευσίνιος μονάζων εἶπε. καὶ μὴν ἐν τοῖς ἀνωτέρω εἶπεν· ὅτι οὔτε προσθήκην ἂν εἴποι, οὔτε ὑφαίρεσιν ἐποιησάμην. Θεόφιλος πρεσβύτερος εἶπεν· ἃ ἤκουσα ἐκ τοῦ στόματος αὐτοῦ τοῦ ἀρχιμανδρίτου, ταῦτα εἶπον· εἰ δὲ θέλουσιν, ἵνα πλείονα εἴπω, ἃ ἤκουσα, ᵇ οὐδὲ λέγω. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· Μάμας ὁ πρεσβύτερος, καθὰ εἴρηται, καταθέσθω. Μάμας ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· ἀναγνωσθῇ, τῶν ποδῶν ὑμῶν, ἡ κατάθεσις ἡ ἐπὶ γενομένη, ἐπειδὴ ἐπελαθόμην. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· αἱ φωναὶ αὐτοῦ ἐκ τῶν ὑπομνημάτων ἀναγνωσθῶσιν· ἵνα τούτων ἐπαναγνωσθέντων, ἅτινα αὐτὸς ἀκηκοέναι οἶδε, εἴπῃ. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθησαν ἐκ τῶν ὑπομνημάτων αἱ φωναὶ αὐτοῦ.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰπὲ ἡμῖν, τίνος ἕνεκεν καὶ τὰ λοιπά. καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Μάμας ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· οὕτως ἐστὶ, τῶν ποδῶν ὑμῶν· ταῦτα κατεθέμην, ἃ ἀνέγνω, καὶ οὐδὲν πλέον κατεθέμην. Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπε· λογίζομαι, ὅτι ἐναντία ἐστὶν ἀλλήλοις, ἃ εἶπεν ὁ κύριος ὁ πρεσβύτερος, ὡς ἀπὸ τῶν ἀναγνωσθεισῶν τῆς καταθέσεως Θεοφίλου καὶ Μάμα· ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· μὴ τὰ ὑπομνήματα ἄλλως περιέχουσιν; Ἐλευσίνιος μονάζων εἶπεν. οὐχὶ, τῶν ποδῶν ὑμῶν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· εἴ τι ἄλλο ἐστὶν, ἀναγνωσθήτω. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη.

Τετάρτη πρᾶξις.

Συναχθείσης αὖθις τῆς ἁγίας καὶ μεγάλης συνόδου, προκειμένων τῶν ἁγίων καὶ φρικτῶν εὐαγγελίων, καὶ προεδρεύοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκοπείου, τῇ ὁρισθείσῃ προθεσμίᾳ, ἡμέρᾳ δευτέρᾳ, ἥ τις ἐστὶ δευτέρα καὶ εἰκὰς τοῦ Νοεμβρίου μηνός· καὶ τὰ λοιπά. καὶ μετὰ τὸ ἀναγνωσθῆναι, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· διαλαλιὰ τέτακταί μου, περιέχουσα τὴν προσενεχθεῖσαν τῷ πρεσβυτέρῳ Εὐτυχεῖ, πῶς πιστεύει, καὶ τί λέγει. ἕως τούτου εἶπον· προσέθηκαν δὲ ὃ μὴ εἴρηται, ὃ ἐστι καὶ ἀδιανόητον. καὶ νῦν πάλιν ἐρωτάσθω, διὰ τί νῦν ταῦτα λέγων, πρότερον ἄλλως ἐφρόνει. καὶ προσέθηκε· πῶς τοῦτο ἠδυνάμην εἰπεῖν, μηδὲν εἰρηκότος μηδέπω τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς; ὁ ἁγιώτατος ἀρχιεπίσκοπος ταύτης ἐνδόξου πόλεως πρὸς τοὺς ταχυγράφους εἶπε· πῶς ἃ μὴ διελάληθη παρὰ τοῦ μεγαλοπρεπεστάτου ἀνδρὸς, ἔγκειται τοῖς ὑπομνήμασι; Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· ἔχομέν τι περὶ τούτων εἰπεῖν. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· τίς ὑμῖν ταῦτα ὑπηγόρευσεν; ἐγὼ εἶπον ὑμῖν προσθεῖναι; ἢ ἀφ' ἑαυτῶν, ἢ παρ' ἑτέρων ἀκούσαντες, ταῦτα ἐποιήσατε; Ἀέτιος διάκονος εἶπεν· ἤδη γὰρ ὡς πεπεισμένη ἡ ἁγιωσύνη ὑμῶν, ὅτι προσθήκη γέγονε, ταῦτα ἐρωτᾷ; ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν. ἀναγνωσθήτω τὰ ἑξῆς. ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη.

ª *Forte, ἤκουσεν; ex Latino.*

ᵇ *Forte, οὐ λέγεις, ὁ μεγαλοπρεπέστατος, ex Latino.*

ANNO CHRISTI 451.

ACTIO PRIMA.

ACTA ALIA CONSTANT.

Εὐσέβιος ἐπίσκοπος εἶπε· καθὼς προεῖπον, προκρίματός μοι μὴ γινομένου ἀπὸ τῆς νῦν αὐτοῦ καταθέσεως. καὶ τὰ λοιπά. καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Ἐλευσίνιος διάκονος εἶπε· κατὰ τάξιν οὐ κεῖται. πρότερον ἐπεδίδου τὸν λίβελλον, ἔνθα ἡ πίστις τῶν τριακοσίων δέκα καὶ ὀκτὼ περιείχετο, καθὼς καὶ ἐν Ἐφέσῳ ἡ ἁγία σύνοδος ἐβεβαίωσε· καὶ τότε [a] προσκομίζων τὸν λίβελλον, οὐκ ἐδέξατο ὁ θεοφιλέστατος ἐπίσκοπος. καὶ τῆς μεγαλοπρεπείας ὑμῶν λεγούσης, ὅτι ὀφείλει δέξασθαι· οὐδὲ οὕτως ἐδέχθη. ὁ εὐλαβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπε· καὶ πόθεν τοῦτο δῆλον, ὅτι τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τὴν ἔκθεσιν ἐκεῖνος εἶχεν ὁ χάρτης; Ἐλευσίνιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· ἔδει οὖν [b] λεχθῆναι αὐτόν. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Δορυλαέων πόλεως εἶπεν· ἐνεύχομαι τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, τῇ μελλούσῃ ἔσεσθαι οἰκουμενικῇ συνόδῳ κατὰ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν βασιλέων, φυλαχθῆναι τὴν ὑπόθεσιν ταύτην· ὥστε ἐκεῖ μετὰ πάσης ἀκριβείας δειχθῆναι Εὐτυχῆ τὸν ἤδη καθῃρημένον ὡς αἱρετικόν, ὅτι καὶ τὰ αἱρετικὰ φρονεῖ, καὶ φρονῶν οὐ παύεται. Αἴτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπε· δεόμεθα τῆς ὑμετέρας μεγαλοπρεπείας, καὶ τῆς παρούσης ἁγίας συνόδου. οὐ λέγοντος, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· οὐδὲ ὁ θεοφιλέστατος καὶ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς τοῦτο ἀμφιβάλλει, ὅτι προσκομίζοντος λίβελλον τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς, δέξασθαι οὐκ ἐβουλήθη, ἀλλ' ἑαυτὸν ἀποκρίνασθαι αὐτὸν διελάλησεν. ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπε· προλαβὼν ὁ εὐλαβέστατος διάκονος Ἐλευσίνιος εἶπε, λίβελλον προσενηνοχέναι τῇ ἁγίᾳ συνόδῳ τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ, ἐν ᾧ ἔφασκε τὸ δόγμα τῆς πίστεως περιέχεσθαι. ἐπειδὴ δὲ πρὸ ὀλίγων ἡμερῶν γράμματα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος ἐνεφανίσθη ἡμῖν, περιέχοντα, ὡς ᾐτιάσατο ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχής, καὶ ἐπεκαλέσατο ἐν τῷ καιρῷ τῆς ζητήσεως τὴν ὑμετέραν ἀκρόασιν διὰ τῆς τοῦ λιβέλλου δόσεως· πῶς νῦν ἐνιστάμενος, καὶ λέγων, περὶ τὴν πίστιν εἶναι τὸν λίβελλον, ἐπὶ τοῦ Ῥώμης ἁγιωτάτου ἐπισκόπου τὴν ἐπὶ [c] συνόδου παραίτησιν, ἔκκλητον αὐτὴν ἀπεκάλεσε; καὶ ἐντεῦθεν διδαχθῆναι, ὅτι οὐ τοῖς αὐτοῖς ἐπιμένει ὁ εὐλαβέστατος ἀρχιμανδρίτης. καὶ ἀξιῶ τὴν ἐπιστολὴν προσκομισθεῖσαν ἀναγνωσθῆναι. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· μετὰ τὸ τὴν σύνοδον παύσασθαι τῶν εὐλαβεστάτων ἐπισκόπων, ἐπιδέδωκέ μοι ὁ εὐλαβέστατος Εὐτυχὴς ἴσον λιβέλλου, ὃ ἔλεγε προσκεκομικέναι τῇ ἁγίᾳ συνόδῳ, καὶ ἐν τῷ ἀναγινώσκεσθαι, ὁ καθωσιωμένος ἐκσκέπτωρ ὑπέζευξεν· Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐγὼ οὐκ ἦλθον διαλεχθῆναι ἀλλ' ἦλθον πεῖσαι τὴν ὁσιότητα ὑμῶν, ὅπως φρονῶ. γέγραπται γὰρ ἐν τῷ χάρτῃ τούτῳ, ὅπως φρονῶ· καὶ κελεύσατε αὐτὸν ἀναγνωσθῆναι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· αὐτὸς ἀνάγνωθι. Εὐτυχὴς πρεσβύτερος εἶπεν· οὐ δύναμαι. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· διὰ τί; σὺ οὐκ ἐξέθου; ἢ ἄλλου ἐστὶν ἡ ἔκθεσις; εἰ σή ἐστιν, ἀνάγνωθι αὐτήν. Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐμὴ μέν ἐστιν ἡ ἐπαγγελία, ἡ δὲ [d] ὑπαγορεία αὕτη ἐστὶ τῶν ἁγίων πατέρων. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· ποίων πατέρων, εἰπὲ διὰ σεαυτοῦ, τί χρείαν ἔχεις χάρτου; Εὐτυχὴς πρεσβύτερος εἶπεν· οὕτως πιστεύω. προσκυνῶ τὸν πατέρα μετὰ τοῦ υἱοῦ, καὶ τὸν υἱὸν μετὰ τοῦ πατρός, καὶ τὸ ἅγιον πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογῶ δὲ καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν γεγενῆσθαι ἐκ τῆς ἁγίας παρθένου, καὶ ἐνανθρωπῆσαι αὐτὸν τελείως διὰ τὴν σωτηρίαν ἡμῶν. οὕτως ὁμολογῶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ τῆς ὑμετέρας ἁγιωσύνης.

Eusebius episcopus dixit: [a] *Sicut & antea dixi, nullo mihi præjudicio generato ex moderna hujus professione: & cetera. Et postquam relectum est, Eleusinius diaconus dixit: Non sunt secundum ordinem posita. Prius libellum porrigebat, in quo fides trecentorum decem & octo patrum continebatur, sicut & in Epheso sanctus conventus confirmavit: & hunc offerentem libellum non suscepit Dei amantissimus episcopus. Sed & magnificentia vestra dicente, quoniam suscipi oportet, nec tunc auditus est. Sanctissimus archiepiscopus hujus gloriosæ civitatis dixit: Et unde hoc certum est, quia trecentorum decem & octo patrum fidem illa chartula continebat? Eleusinius religiosus diaconus dixit: Oportuerat ergo suscipi eum. Eusebius reverentissimus episcopus Dorylæi dixit: Conjuro vos per sanctam & consubstantialem Trinitatem, futuro Concilio universali, secundum sanctionem Christi amicorum Principum, hoc negotium reservari: ut ibi cum omni diligentia ostendatur Eutyches jam abdicatus sicut hæreticus, quia hæretica & sapiat, & sapere non quiescit. Aetius religiosus diaconus & notarius dixit: Rogamus magnificentiam vestram, & præsentem sanctum conventum...... Quo dicente, magnificentissimus Patricius dixit: Neque Dei amantissimus & sanctissimus archiepiscopus Flavianus de hoc ambigit, quoniam offerente libellum reverentissimo archimandrita Eutyche, noluit suscipere: sed ut per semetipsum responderet, interlocutus est. Seleucus reverentissimus episcopus dixit: Anticipans vir religiosus diaconus Eleusinius dixit, libellum obtulisse sancto conventui reverentissimum archimandritam Eutychem, in quo dicebat expositionem fidei contineri. Quoniam vero ante paucos dies litteræ sanctissimi archiepiscopi Romanorum Leonis insinuatæ sunt nobis, continentes quia accusavit reverentissimus archimandrita Eutyches, & appellavit in tempore examinationis vestram audientiam per dationem libelli, & ideo post damnationem eum archimandritam renominaverunt; quomodo nunc instans, & dicens de fide esse libellum, apud sanctissimum Romanorum episcopum recusationem in synodo, appellationem nominavit? Et hinc doceri debetis, quoniam non in eisdem permanet reverentissimus archimandrita: & postulo epistolam prolatam relegi. Magnificentissimus Patricius dixit: Postquam quievit conventus reverentissimorum episcoporum, obtulit mihi reverentissimus Eutyches exemplum libelli, quem dicebat se obtulisse sancto conventui. Et cum legeretur, idem vir devotissimus exceptor subjunxit: Eutyches presbyter dixit: Ego non veni disputare, sed satisfacere sanctitati vestræ, quemadmodum sapio. Scriptum autem est in hac charta, quemadmodum credo: & jubete eam relegi. Sanctissimus archiepiscopus dixit: Tu relege. Eutyches presbyter dixit: Non possum. Sanctissimus archiepiscopus dixit: Quare? Tu non exposuisti? an alterius est hæc expositio? Si sua, ipse relege. Eutyches presbyter dixit: Enuntiatio quidem mea est; dictatio vero hæc, sanctorum patrum est. Sanctissimus archiepiscopus dixit: Quorum patrum? dic per se, quid opus habes charta? Eutyches presbyter dixit: Ita credo. Adoro Patrem cum Filio, & Filium cum Patre, & Spiritum sanctum cum Patre & Filio. Confiteor vero & incarnatam ejus præsentiam factam ex carne Virginis, & inhumanatum eum perfecte propter salutem nostram. Ita confiteor coram Patre & Filio & sancto Spiritu, & vestra sanctitate.*

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Ἐλευσίνιος διάκονος εἶπεν· ὡς ἀναγκασθεὶς δι' ἑαυτοῦ τὴν πίστιν ὁμολογῆσαι, λέγει ὅτι ἑστὼς ἔμπροσθεν τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ὃν προσεκύνησα καὶ προσκυνῶ, ὅτι οὕτω φρονῶ, ὡς οἱ πατέρες οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ οἱ ἐν Νικαίᾳ ἐξέθεντο, καὶ ἡ ἐν Ἐφέσῳ ἐβεβαίωσεν ἁγία σύνοδος· καὶ ταῦτα ἐν τοῖς ὑπομνήμασιν οὐ κεῖται. Αἴτιος διάκονος καὶ νοτάριος εἶπεν· ἀξιοῦ τὴν ὑμετέραν ἁγιωσύνην, καὶ τὴν ὑμετέραν μεγαλοπρέπειαν, ἐπειδὴ προσ-

Et postquam relecta sunt, Eleusinius diaconus dixit: Ut coactus est per se fidem confiteri, dicit: Quod stans in conspectu Patris & Filii & Spiritus sancti, quem adoravi & adoro, & adoraturus sum, quia ita sapio, quemadmodum sancti patres trecenti decem & octo sanxerunt, qui in Nicæa, sed & sanctissimus conventus confirmavit in Epheso; & hæc in gestis inserta non sunt. Aetius diaconus & notarius dixit: Precamur sanctitatem vestram, sed & vestram magnificentiam, interrogationem adhibe-

[a] Forte, προσκομίζων ex Latino.

[b] Forte, δέξασθαι ex Latino.

[c] Forte, σύνοδον

[d] Forte, ὑπαγορία

[a] Supra, pag. 181.

Supra pag. 181.

ACTIO PRIMA.

ACTA ALIA CONSTAN.

ri tunc præsentibus sanctissimis episcopis, qui & interlocuti sunt ea quæ produxit lingua ipsorum, & hac manu propria confirmaverunt; si ea quæ nunc ab his dicta sunt, eo tempore a viro religioso Eutyche dicta sunt, & si aliquid immutatum est in his quæ gesta continent. Basilius episcopus dixit: Ut vere dicam, ego memoriam eorum diligenter non habeo. Seleucus episcopus dixit: Relegantur mihi voces, quibus reverendus diaconus Eleusinius [a] ministravit. Et cum de tabulis voces Eleusinii relegerentur huic, Seleucus reverentissimus episcopus dixit: Neque ego commemoro hæc dicta a reverentissimo archimandrita Eutyche. Tryphonianus episcopus dixit: Sicut sub Dei veritate, prout in gestis continetur, ita hic locutus est ille. Longinus episcopus dixit: Sicut gesta relecta continent, ita & ego commemoro Eutychem archimandritam dixisse. Quod autem dicitur modo ab Eleusinio reverentissimo, quoniam dixit: Ut trecenti decem & octo qui in Nicæa, & qui in Epheso confirmaverunt; ita habeo; ostenditur & ex ultimis, ubi noluit confiteri Dominum nostrum Jesum Christum consubstantialem nobis secundum carnem factum; & sicut coram Deo, ita hæc dico. Meliphthongus reverentissimus episcopus dixit: Ut coram Deo dico, nihil aliter comperi tunc factum, quam nunc relectum est. Quod vero dixit diaconus Eleusinius, quia tales emisit voces Eutyches; ipse scit, qui corda hominum scrutatur Deus: quia non audivi, non commemoro. Julianus reverentissimus episcopus dixit: Et ante verba mea arguet infidelitatem Eutychis gestorum series. Nos enim ea quæ nunc professa sunt ab Eleusinio diacono, ignoramus. Neque enim aliquid tale dictum est ab Eutyche. Paulus reverentissimus episcopus dixit. In veritate dico, quasi novam sum audiens vocem, cum hæc ab Eleusinio diacono audio. Scio autem, quia quæ continentur in gestis, vera sunt omnia; & neque vel unius syllabæ aut additio est, aut detractio. Eudoxius reverentissimus episcopus dixit: Coram Deo dico, obstupesco nunc audiens hæc ab Eleusinio diacono. Tunc enim non est dictum tale aliquid a reverentissimo archimandrita Eutyche, sed tantum quæ gestis inserta sunt. Eustochius reverentissimus episcopus dixit: Sicut coram Deo, quæ dixerunt qui ante me sunt, hæc & ego dico: quoniam illa tantum scio, quæ gestis inserta sunt. Timotheus reverentissimus episcopus dixit: Quia audivi dicentem eum: Quoniam ita credo, sicut patres nostri. Scit tamen & vestra magnificentia, quia, sive sursum, sive deorsum, audivi eum dicentem: Ita sapio, sicut patres nostri. Valerianus reverentissimus episcopus dixit: Hæc & ego dico. Sabbas reverentissimus episcopus dixit: Testis mihi est Deus, cui in die judicii pro his ipsis reddituri sumus rationem, quoniam quæ in gestis inserta sunt, hæc locutus est archimandrita. Et laboravi ego, supplicans ei ut confiteretur consubstantialem nobis; & nullo modo eum persuadere potui. Secundinus reverentissimus episcopus dixit: Extra ea quæ gestis inserta sunt, nihil audivi, nihil dictum est. Aurelius reverentissimus episcopus dixit: Hæc quæ nobis relecta sunt prius, & illo tempore ab archimandrita dicta esse commemoror. Constantinus diaconus dixit: Rogo sanctum conventum vestrum, interrogari domnum episcopum Basilium, quid est quod dixit, quando domnus Eusebius episcopus insurrexit contra eum, & objurgavit; sicut coram Deo, quid est quod dixit? Surrexit dicens, quoniam libellos contra eum daturus sum; & ita eum corripuit. Magnificentissimus Patricius dixit: Interim acquiesce fieri lectionem:

[a] al. obsecutus est.

A τεχθεῖσαι τοῖς τότε παροῦσιν ἁγιωτάτοις ἐπισκόποις, τοῖς καὶ διαλεχθεῖσιν ἅπερ προήγαγεν αὐτῶν ἡ γλῶσσα, καὶ ταῦτα τῇ οἰκείᾳ χειρὶ βεβαιώσασιν, εἰ γε ταῦτα νῦν παρ' αὐτοῦ εἰρημένα, τότε παρὰ τοῦ εὐλαβεστάτου Εὐτυχοῦς εἴρηνται· καὶ εἴ γέ τι παρακεχάρακται τῶν ἐν τοῖς ὑπομνήμασιν ἐγκειμένων. Βασίλειος ἐπίσκοπος εἶπεν· ὡς ἐπ' ἀληθείας ἐγὼ μνήμην τούτων ἀκριβῶς οὐ φέρω. Σέλευκος ἐπίσκοπος εἶπεν· ἀναγνωσθήτωσάν μοι αἱ φωναὶ, αἷς ὑπηρέτησεν ὁ εὐλαβέστατος διάκονος Ἐλευσίνιος. Καὶ ὅτε ἀπὸ δέλτων αἱ φωναὶ Ἐλευσινίου τούτῳ ἀνεγνώσθησαν, Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὔτε ἐγὼ ἐπιμέμνημαι τῶν τοιούτων ῥηθέντων παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς. Τρυφωνιανὸς ἐπίσκοπος εἶπεν· ὡς ἐπ' ἀληθείας τοῦ Θεοῦ, ὡς κεῖται εἰς τὰ ὑπομνήματα, οὕτως ἐλάλησεν ἐκεῖνος ὧδε. Λογγῖνος ἐπίσκοπος εἶπεν· ὡς τὰ ὑπομνήματα ἀνεγνώσθη, καὶ περιέχει, οὕτω μέμνημαι κἀγὼ, ὅτι ἐρρέθη παρὰ Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου· τὸ δὲ λεχθὲν ἄρτι τῷ εὐλαβεστάτῳ Ἐλευσινίῳ, ὅτι εἶπεν· ὡς οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες οἱ ἐν Νικαίᾳ, καὶ οἱ ἐν Ἐφέσῳ ἐβεβαίωσαν, οὕτως ἔχω· δείκνυται καὶ ἐκ τῶν τελευταίων, ὅπου οὐκ ἠθέλησεν ὁμολογῆσαι τὸν κύριον ἡμῶν τὸν Χριστὸν ὁμοούσιον ἡμῖν κατὰ τὴν σάρκα γεγενῆσθαι· καὶ ὡς ἐπὶ τοῦ Θεοῦ, ταῦτα λέγω. Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς ἐπὶ Θεοῦ λέγω, ὅτι οὐδὲν ἕτερον εὗρον τῶν τότε πραχθέντων, ἢ νῦν ἀναγνωσθέντων. περὶ δὲ τοῦ λεχθέντος τῷ διακόνῳ Ἐλευσινίῳ, ὅτι τοιαύτας ἔρριψε φωνὰς ἐκεῖνος, οἶδεν ὁ τὰς καρδίας ἐμβατεύων· οὐκ ἤκουσα, οὐδὲ μέμνημαι. Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· καὶ πρὸ τῶν λόγων ἐμῶν ἐλέγχει τὴν ἀπιστίαν Εὐτυχοῦς τῶν ὑπομνημάτων ἡ πρᾶξις. ἡμεῖς γὰρ ταῦτα τὰ νῦν κατατεθέντα παρὰ Ἐλευσινίου τοῦ διακόνου, ἀγνοοῦμεν· οὐδὲ γὰρ εἴρηταί τι τοιοῦτον παρὰ Εὐτυχοῦς. Παῦλος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐπ' ἀληθείας λέγω, ὅτι ξενοφωνοῦμαι νῦν, παρὰ Ἐλευσινίου ταῦτα ἀκούων. οἶδα δὲ τὰ ἐμφερόμενα ἐν τοῖς ὑπομνήμασιν ἀληθῆ εἶναι πάντα· καὶ οὔτε προσθήκη συλλαβῆς, οὔτε ὑφαίρεσίς ἐστιν. Εὐδόξιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς ἐπὶ Θεοῦ λέγω, ξενοφωνεῖ με τὰ παρὰ τοῦ εὐλαβεστάτου Ἐλευσινίου τοῦ διακόνου ἀρτίως ῥηθέντα. ὅτε γὰρ οὐκ ἐλαλήθη παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, ἀλλὰ τὰ ἐγκείμενα ἐν τοῖς ὑπομνήμασιν. Εὐστόχιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς ἐπὶ Θεοῦ, ἃ εἶπον οἱ πρὸ ἐμοῦ, ταῦτα κἀγὼ λέγω, τὰ ἐν τοῖς ὑπομνήμασιν ἐγκείμενα. Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὅτι ἤκουσα λέγοντος αὐτοῦ· ὅτι οὕτως φρονῶ, ὡς οἱ πατέρες ἡμῶν· οἶδε δὲ καὶ ἡ μεγαλοπρέπεια ὑμῶν, εἴτε ἄνω, εἴτε κάτω, ὅτι ἤκουσα αὐτοῦ λέγοντος· ὅτι οὕτω φρονῶ, ὡς οἱ πατέρες ἡμῶν. Οὐαλεριανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὐδὲν ὧν εἶπεν Ἐλευσίνιος ὁ διάκονος, ἤκουσα παρὰ Εὐτυχοῦς. ὁ Θεὸς μάρτυς. Σάββας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· μάρτυς ἐστὶν ὁ Θεὸς, ᾧ διδόαμεν * αὐτοῦ ἀπολογίαν ἐν ἡμέρᾳ τῆς κρίσεως, ὅτι τὰ κείμενα ἐν τοῖς ὑπομνήμασι, ταῦτα ἐλάλησεν ὁ ἀρχιμανδρίτης. ἔκαμον δὲ ἐγὼ, παρακαλῶν αὐτὸν καθαρῶς ὁμοούσιον ἡμῖν, καὶ οὐκ ἠδυνήθην πεῖσαι αὐτόν. Σεκουνδῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐκτὸς ἐκείνων τῶν ἐν τοῖς ὑπομνήμασι γεγραμμένων, οὐδὲν ἤκουσα, οὐδὲ ἐρρέθη. Αὐρήλιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· κατὰ ταῦτα τὰ ἀναγνωσθέντα ἡμῖν πρότερον, ταῦτα ἐν τῷ καιρῷ παρὰ τοῦ ἀρχιμανδρίτου μεμνήμεθα εἰρῆσθαι. Κωνσταντῖνος διάκονος εἶπε· παρακαλῶ τὴν ἁγίαν ὑμῶν σύνοδον, τὸν κύριον τὸν ἐπίσκοπον Βασίλειον ἐρωτηθῆναι, τί ἐστιν, ὃ εἶπεν, ὅτε κύριος ὁ Εὐσέβιος ὁ ἐπίσκοπος κατεστασίασεν αὐτοῦ, καὶ ἐπετίμησεν· ὡς ἐπὶ κυρίου, τί ἐστιν, ὃ εἶπε; ἀνέστη λέγων· ὅτι λιβέλλους κατ' αὐτοῦ ἔχω δοῦναι. καὶ ἐπετίμησεν αὐτῷ. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τέως ἀνέχου γενέσθαι τὴν ἀνάγνωσιν, καὶ εἰ κατωτέρω ταῦτα περιέχονται, τότε ταῖς δικαιολογίαις χρῆσαι. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ὀνοματάρίου ἀνεγνώσθη.

* Forte, αὐτῷ, ex Latino.

& si inferius hæc non continentur, tunc istis allegationibus utere. Et per eumdem virum devotum exceptorem relectum est:

Supra pag. 161.

Sanctissimus archiepiscopus dixit: Confiteris consubstantialem Patri secundum deitatem, & consubstantialem nobis secundum humanitatem eumdem unum Filium? & cetera. Et postquam relecta sunt, Constantinus diaconus dixit: Quando dixit archimandri-

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ὁμολογεῖς ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τῇ μητρὶ κατὰ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ἕνα υἱόν; καὶ τὰ λοιπά. Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Κωνσταντῖνος ὁ διάκονος εἶπεν ὅτι εἶπεν ὁ ἀρχιμαν-

ANNO CHRISTI 451.

Anno Christi 451.

ὁρίτης· ὅτι μίαν φύσιν ὁ κύριος ὁ ἐπίσκοπος οὕτως εἶπε. οὗ λέγοντος, Ἐλευσίνιος ὁ διάκονος εἶπεν· ὡς ἐπὶ τοῦ Θεοῦ, ἀνεθεματίσθη τότε παρὰ τῆς θεοσεβείας ὑμῶν, ὅτι λέγει· ἀναστᾶσα ἡ ἁγία σύνοδος ἀνεθεμάτισεν αὐτόν; [a] Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὐκ ἤκουσα. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· τοιοῦτον οὖν τι οὐδὲ [b] ἐῤῥέθη; Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐγὼ οὐκ ἤκουσα. Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἀληθῶς τοῦτο οὐδὲ ἐγὼ ἤκουσα. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὄντως, ἑταῖρε, τῆς γλώττης μου τοιοῦτόν τι οὐκ ἐξῆλθεν. Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐγὼ ὑβρίσθην κατὰ τὴν ὥραν παρά τινων, ὡς ἀνάξιος ὢν τῆς συνόδου. ἐπειδὴ ἐπιβόησα ὑπερθέσει, καὶ οὐκ οἶδα. Σάββας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐπὶ ἀρχόντων ὅταν εἰσέλθῃ μάρτυς εἰς μαρτυρίαν, καὶ μὴ δυνηθῇ λαλῆσαι, νεύει εἰς τὴν κεφαλὴν αὐτοῦ, καὶ ἔχει στέφανον τῶν μαρτύρων. πάντες οὖν ἡμεῖς ὑπεγράψαμεν διὰ χειρὸς, καὶ ὡμολογήσαμεν ἐγγράφως· πῶς δυνάμεθα ἀρνήσασθαι; Τρύφων ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς ἅπαξ αὐτοῦ ἀσεβῆ λαλήσαντος ῥήματα, καὶ παρὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ τῆς ἐν Ἐφέσῳ ἁγίας συνόδου, πάντες ἀνεθεμάτισαν αὐτὸν οἱ παρόντες κληρικοί. Αἴτιος διάκονος καὶ νοτάριος εἶπεν· ἐν ταῖς τοιούταις ἁγιωτάταις συνόδοις συμβαίνει πολλάκις, ἵνα τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων εἴπῃ τι καὶ τὸ παρὰ τοῦ ἑνὸς λεγόμενον, ὡς παρὰ πάντων ὁμοῦ ἐκφωνούμενον, καὶ γράφεται καὶ νοεῖται. τοῦτο ἐξ ἀρχῆς παρηκολούθησεν· ἀμέλει ἑνὸς λέγοντος, γράφομεν. ἡ ἁγία σύνοδος εἶπεν· εἰ τοίνυν εὑρεθείη νῦν εἷς, ἢ δεύτερος εἰπὼν, ὡς καὶ κατέθεντο οἱ θεοφιλέστατοι, [c] καὶ συνεφώνησαν, καὶ ἐπεβόησαν τότε ὁ ἁγιώτατος κλῆρος, ἀξιοῦμεν μηδόλως τὴν φωνὴν ταύτην ἐκβληθῆναι, ἢ περιγραφῆναι τῶν ὑπομνημάτων· ἐπειδὴ φαίνονται πάντες οἱ ἁγιώτατοι ἐπίσκοποι ὑπογράψαντες. καὶ οὗ λέγοντος, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἃ μὲν ἕκαστοι κατέθεντο, βέβαιά ἐστιν· ἃ ἀλήθεια περιέχει, οὐδαμῶς ἀμφιβάλλονται. Αἴτιος διάκονος καὶ νοτάριος εἶπεν· ἀξιοῦμεν τὴν περὶ τούτου κατάθεσιν νῦν τοῦ θεοφιλεστάτου ἐπισκόπου Σάββα, καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Τρύφωνος, φανερωθῆναι ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης, καὶ Παύλου τοῦ θεοφιλεστάτου. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· ἐγνωσμένα εἰσὶ, καὶ τοῖς ὑπομνήμασι περιέχονται. διόπερ τὰ λοιπὰ ἀναγινωσκέσθω. ὡσαύτως τὰ λοιπὰ διὰ τοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη.

Καὶ μετὰ ταῦτα ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· λεγέτω ἡ ἁγία σύνοδος, τίνος ἐστὶν ἄξιος ὁ παρὼν, μήτε ὁμολογῶν σαφῶς τὴν ὀρθὴν πίστιν, μήτε συνθέσθαι τῷ φρονήματι τῆς παρούσης ἁγίας συνόδου βουλόμενος, ἀλλ' ἐπιμένων τῇ διεστραμμένῃ καὶ πονηρᾷ αὐτοῦ κακονοίᾳ. ὁ θεοφιλέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· ἄξιος μέν ἐστιν οὗτος καθαιρέσεως· ἐν δὲ τῇ φιλανθρωπίᾳ μόνον κεῖται τῆς ὑμετέρας ἁγιωσύνης. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰ μὲν ὁμολογήσας τὸ οἰκεῖον πταῖσμα, ἐπείσθη ἀναθεματίσαι τὸ ἴδιον δόγμα, καὶ συνθέσθαι ἡμῖν ἑπομένοις ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων, εἰκότως ἠξιοῦτο συγγνώμης· ἐπειδὴ δὲ ἐπιμένει τῇ ἑαυτοῦ κακογνωμίᾳ, ὑποπεσεῖται ταῖς τῶν κανόνων ἐπιτιμίαις. Εὐτυχὲς πρεσβύτερος εἶπε· λέγω μὲν ταῦτα, ἐπειδὴ καὶ ὑμεῖς νῦν ἐκελεύσατε· οὐκ ἀναθεματίζω δέ· ὃ γὰρ λέγω, μετὰ ἀληθείας λέγω. ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων, καὶ ὑπάτων, καὶ πατρίκιος Φλωρέντιος εἶπε· δύο φύσεις λέγεις, καὶ ὁμοούσιον ἡμῖν; εἰπέ.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὸ εἰπὲ, οὐχ ὡς ἐξελέγχων, [d] ἀλλὰ προτρέπων αὐτὸν τοῖς λεγομένοις παρὰ τῆς συνόδου συνθέσθαι. Κωνσταντῖνος διάκονος εἶπεν· ἐπὶ τίνι καθῃρέθη ὁ ἀρχιμανδρίτης; οὐχὶ ἐπειδὴ ὁ θεοφιλέστατος καὶ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ἠρώτα αὐτόν· λέγεις δύο φύσεις μετὰ τὴν ἕνωσιν, καὶ ἀναθεματίζεις τοὺς μὴ λέγοντας; καὶ ἐπειδὴ οὐκ ἀπεδέξατο ἀναθεματίσαι, ἐπὶ τούτῳ καθῃρέθη; καὶ αἱ φωναὶ αὐτοῦ οὐ κεῖνται ἐν τοῖς ὑπομνήμασι. ὁ μεγαλοπρεπέστατος πα-

a Forte, Παῖδες

b Forte, ἐῤῥέθη

c Forte, ἐπίσκοποι, ex Latino.

d Forte, εἶπε, ex Latino.

Actio Prima. Acta alia Constant.

ta unam naturam, tunc dominus episcopus ita dixit: Quo dicente, Eleusinius diaconus dixit: Sicut coram Deo, numquid anathematizatus est tunc a religiositate vestra, quia dicit: Exsurgens sancta synodus anathematizavit eum? Timotheus reverentissimus episcopus dixit: Non audivi. Magnificentissimus Patricius dixit: Tunc nihil tale dictum est? Seleucus reverentissimus episcopus dixit: Ego non audivi. Julianus reverentissimus episcopus dixit: Vere hoc nec ego audivi. Basilius reverentissimus episcopus dixit: Vere, frater, ex lingua mea talis vox non est egressa. Meliphthongus reverentissimus episcopus dixit: Ego in illa hora a quibusdam injuriatus sum, tamquam indignus conventu, quia dilationem clamavi, & nescio. Sabbas reverentissimus episcopus dixit: Ante judices quando [a] introierit martyr ad martyrium, & loqui non potuerit, annuit capite suo, & habet coronam [b] martyrum. Omnes ergo nos subscripsimus manibus nostris, & confessi sumus scriptis: quomodo negare possumus? Tryphon reverentissimus episcopus dixit: Sicut semel impia eo verba locuto, & extra expositionem sanctorum trecentorum decem & octo patrum, & sancta Ephesina synodi, omnes anathematizaverunt eum præsentes clerici. Aëtius diaconus & notarius dixit: In talibus sanctissimis conciliis contingit frequenter, unum ex præsentibus reverentissimis episcopis aliquid dicere: & quod ab uno dictum est, tamquam ab omnibus simul dicatur, & scribitur & intelligitur. Hoc ab exordio subsecutum est, in tantum, ut uno dicente scribamus. Sancta synodus dixit: Si ergo inventus fuerit nunc unus aut secundus dicens, quia & professi sunt Dei amantissimi episcopi, & consonaverunt, & acclamaverunt tunc sanctissimi clerici, petimus nullatenus hanc vocem excludi aut submoveri de gestis, quoniam videntur omnes sancti episcopi subscripsisse. Quo dicente, magnificentissimus Patricius dixit: Quæ unusquisque professus est, firma sunt: quæ veritas continet, nullatenus dubitantur. Aetius diaconus & notarius dixit: Rogamus de hoc professionem nunc reverentissimi episcopi Sabba, & reverentissimi episcopi Tryphonis fieri manifestam præsente sanctitate vestra, sed & Pauli reverentissimi episcopi. Magnificentissimus Patricius dixit: Manifesta sunt, & gestis inserta sunt. Unde reliqua relegantur. Similiter per eumdem virum devotum exceptorem relectum est.

Et post hæc sanctissimus archiepiscopus dixit: Dicat sanctus conventus, quid meretur hic præsens, neque aperte rectam fidem confitens, neque volens doctrinæ præsentis concilii consentire, sed permanens in perversa ac maligna sua sententia. Seleucus Dei amantissimus episcopus dixit: Dignus est iste quidem damnari: in humanitate autem sola vestræ sanctitatis positum est. Sanctissimus archiepiscopus dixit: Si quidem confitens proprium peccatum, acquievisset condemnare suam doctrinam, & consentires nobis sequentibus traditiones sanctorum patrum, consequenter dignus erat venia: sed quoniam permanet in malignitate sua, subjacebit canonum vindictis. Eutyches presbyter dixit: Dico quidem ista, quoniam & vos nunc jussistis, non autem anathematizo. Quod enim dico, cum veritate dico. Magnificentissimus & gloriosissimus Exprefectus & Consul & Patricius Florentius dixit: Duas naturas dicis, & consubstantialem nobis? dic.

Et postquam recitatum est, magnificentissimus Patricius dixit: Quod dixi, Dic; non quasi interloquens dixi, sed exhortans eum, ut consentiret his quæ a sancta synodo dicebantur. Constantinus diaconus dixit: Propter quæ damnatus est Eutyches archimandrita? Nonne quia religiosissimus & sanctissimus archiepiscopus noster interrogabat eum: Dicis duas naturas post adunationem, & anathematizas eos qui non dicunt? Et quoniam non acquievit anathematizare, pro hoc condemnatus est: & voces ejus non continentur in gestis. Magnificentissimus

a al. venerit unus testis in testimonium,

b al. testimonii.

Supra pag. 180

ACTIO PRIMA. Acta alia Constant.

ANNO CHRISTI 451.

A *Patricius dixit : Reliqua relegantur , ut si nullatenus in gestis posita sunt , quæ Constantinus confirmavit , sciamus. Similiter per eumdem devotissimum exceptorem recitatum est.*

Supra pag. 167.

Eutyches presbyter dixit : Ego legi scripta beati Cyrilli , & sanctorum patrum , & sancti Athanasii , quoniam ex duabus quidem naturis dixerunt ante adunationem : post adunationem vero & incarnationem , jam non dixerunt duas naturas , sed unam. Magnificentissimus & gloriosissimus Exprafectus & Consul & Patricius Florentius dixit : Confiteris duas naturas post adunationem? dic : si non dixeris , damnaberis.

Et cum recitarentur , magnificentissimus Patricius dixit : Istud, Dic : Si non dixeris, damnaberis ; non quasi interloquens dixi , sed quia videbam instantes ei omnes , B hortabar eum consentire. Similiter & per eumdem virum devotum exceptorem relectum est.

Supra ibidem.

Eutyches presbyter dixit : Legi jubete sancti Athanasii scripta , ut advertatis , quoniam nihil tale dicit. Basilius Dei amantissimus episcopus dixit : Si non duas naturas & post adunationem dicis , commixtionem quamdam & confusionem dicis. Magnificentissimus & gloriosissimus Patricius Florentius dixit : Qui non dicit , Ex duabus naturis , & duas naturas ; non credit recte.

Et cum legerentur , magnificentissimus Patricius dixit : Hanc interlocutionem non dixi ; neque enim idoneus eram dicere. Reverentissimus episcopus hujus gloriosæ civitatis dixit : Quæ dicuntur non fuisse tunc dicta , C gestorum tamen serie continentur : adnotate vos notarii : Contra vos enim de hoc certamen est , & opportuno tempore requirenda sunt hæc diligentius. Aëtius diaconus & notarius dixit : Nunc est tempus [a] & convinci , & non convinci. Hic etenim sunt & præsentes sanctissimi episcopi , qui audierunt. Sed & magnitudo ipsorum audivit sæpe gesta ex his etiam qui in præcelsis dignitatibus sunt , præsentibus & multis sanctissimis episcopis : & numquid magnificentia ipsorum non unquam reprehendit ? Quo dicente , magnificentissimus Patricius dixit : Quando enim mihi relecta sunt gesta , ut & reprehenderem? quippe cum quærenti mihi ea relegere, non dederunt. Aëtius diaconus & notarius dixit : Nemo nobis dixit. Similiter per eumdem virum devotum exceptorem relectum est.

[a] al. probari ea , & improbari.

τρίκιος εἶπεν· τὰ ὑπόλοιπα ἀναγινωσκέσθω· ἵνα εἰ μηδαμῶς ἐν τοῖς ὑπομνήμασι περιέχονται, ἅ τινα Κωνσταντῖνος διεβεβαιώσατο, γνῶμεν. ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐγὼ ἀνέγνων τοῦ μακαρίου Κυρίλλου, καὶ τῶν ἁγίων πατέρων, καὶ τοῦ ἁγίου Ἀθανασίου, ὅτι ἐκ δύο μὲν φύσεων εἶπον πρὸ τῆς ἑνώσεως· μετὰ δὲ τὴν ἕνωσιν καὶ τὴν σάρκωσιν, οὐκέτι δύο φύσεις εἶπον, ἀλλὰ μίαν. ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων, καὶ ὑπάτων, καὶ πατρίκιος Φλωρέντιος εἶπεν· ὁμολογεῖς δύο φύσεις μετὰ τὴν ἕνωσιν; εἰπέ. ἐὰν μὴ εἴπῃς, καθαιρῇ.

Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· τὸ, εἰπὲ, ἐὰν μὴ εἴπῃς, καθαιρῇ· οὐχ ὡς διαλαλῶν εἶπον, ἀλλ' ἐπειδὴ ἑώρων ἐπικειμένους αὐτῷ πάντας, προετρεπόμην αὐτὸν συνθέσθαι. ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἀναγνωσθῆναι κελεύσατε τὰ τοῦ ἁγίου Ἀθανασίου, ἵνα γνῶτε, ὅτι οὐδὲν τοιοῦτο λέγει. ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· ἐὰν μὴ δύο φύσεις καὶ μετὰ τὴν ἕνωσιν εἴπῃς, σύγκρασιν λέγεις, καὶ σύγχυσιν. ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος πατρίκιος Φλωρέντιος εἶπεν· ὁ μὴ λέγων, ἐκ δύο φύσεων, καὶ δύο φύσεις, οὐ πιστεύει ὀρθῶς.

Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· ταύτην τὴν διαλαλιὰν οὐκ εἶπον· οὐδὲ γὰρ ἐγὼ οἷός τε ἤμην δογματίζειν. ὁ θεοσεβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· ἃ λέγεται μὴ λελέχθαι, ἔγκειται δὲ τοῖς ὑπομνήμασι, σημειώσασθε ὑμεῖς οἱ νοτάριοι· πρὸς γὰρ ὑμᾶς ἐστιν ὁ ἀγὼν περὶ τούτου, καὶ ἀναγκαίως ζητηθήσεται μετὰ ἀκριβείας ταῦτα. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπε· νῦν ἐστι καιρὸς καὶ τοῦ ἐλεγχθῆναι, καὶ τοῦ μὴ ἐλεγχθῆναι· ἐνθάδε γάρ εἰσιν οἱ παρόντες ἁγιώτατοι ἐπίσκοποι, οἱ καὶ ἀκηκοότες· καὶ τὸ αὐτοῦ μέγεθος πολλάκις ἐπήκουσε τῶν ὑπομνημάτων καὶ τῶν ἐν ἀξιώμασι κορυφαίων, παρόντων πολλῶν καὶ ἁγιωτάτων ἐπισκόπων. καὶ οὐδέποτε ἡ αὐτοῦ μεγαλοπρέπεια οὔτε ἐμέμψατο. οὕτω λέγοντος, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· πότε γὰρ ἀνεγνώσθη μοι τὰ ὑπομνήματα, ἵνα καὶ μέμψωμαι; ἀμέλει ζητήσαντί μοι αὐτὰ ἀναγνωσθῆναι, οὐκ ἔδωσαν. Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· οὐδεὶς ἡμῖν εἶπεν. ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη.

Supra ibidem.

D *Et exsurgens universa sancta synodus exclamavit : Ex necessitate fides non est. Multi anni Imperatorum ; multi anni. Fides nostra semper vincit. Non consentit : quid illi persuades?*

Et postquam relectum est , Constantinus reverendus diaconus dixit : Hæc synodus dixit? Aëtius reverendus diaconus dixit : Interrogetur sancta synodus. Sabbas reverentissimus episcopus dixit : In omnibus ecclesiis anathematizatus est , & in uno angulo non habuit anathematizari? Tryphon reverentissimus episcopus dixit : Et ego hæc eadem dico. Constantinus reverendus diaconus dixit : Propter quod damnatus est archimandrita , ejus rei vox non est posita. Domnus enim archiepiscopus noster exegit eum , dicens : Dic duas naturas post adunationem , & anathematiza eos qui non dicunt. Et E quoniam noluit anathematizare ; dicens : Væ mihi est , si sanctos patres anathematizavero : tunc fecit damnationem ejus : & hæc vox non est posita ; & tunc relectum est. Et domnus Basilius episcopus novit , quando interrogatus est archimandrita : Dicis duas naturas? & dixit : Ego unam confiteor ; & subjunxit mox domnus Basilius episcopus dicens , quia a sancto Athanasio dictum est , Una natura Verbi incarnati ; & nec hoc positum est. Sed & domnus episcopus Seleucus interlocutus est , quod relegantur confessiones nostræ : & si consentit his archimandrita , videamus. Et jubente domno archiepiscopo nostro relegi, surrexit subito religiosus presbyter Asterius, & damnationem relegit. Et hoc non est positum. Magnificentissimus Patricius dixit : Juxta me sedens religiosissimus Seleucus dixit : Jubeat sanctitas vestra expositio-

Καὶ ἀναστᾶσα ἡ σύνοδος πᾶσα ἐπεβόα. κατὰ ἀνάγκης οὐκ ἔνι πίστις. πολλὰ τὰ ἔτη τῶν βασιλέων, πολλὰ τὰ ἔτη· ἡ πίστις ἡμῶν ἀεὶ νικᾷ. οὐ συντίθεται· τί αὐτὸν πείθεις;

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπε· ταῦτα ἡ σύνοδος εἶπεν; Ἀέτιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· ἐρωτηθῇ ἡ ἁγία σύνοδος. Σάββας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐπὶ ὅλων τῶν ἐκκλησιῶν ἀνεθεματίσθη, καὶ εἰς μίαν γωνίαν οὐκ εἶχεν ἀνάθεμα; Τρύφων ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· κἀγὼ ταῦτα λέγω. Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπε· διὸ καθῃρέθη ὁ ἀρχιμανδρίτης, οὐ κεῖται ἡ φωνή. ὁ γὰρ κύριος ὁ ἀρχιεπίσκοπος ἡμῶν ἀπῄτησεν αὐτὸν, λέγων ὅτι εἰπὲ δύο φύσεις μετὰ τὴν ἕνωσιν, καὶ ἀναθεμάτισον τοὺς μὴ λέγοντας. καὶ ἐπειδὴ οὐκ ἠθέλησεν ἀναθεματίσαι λέγων· ὅτι οὐαί μοί ἐστιν, ἐὰν ἀναθεματίσω τοὺς ἁγίους πατέρας· καὶ τότε ἐποίησε τὴν καθαίρεσιν αὐτοῦ· καὶ αὕτη ἡ φωνὴ οὐ κεῖται. καὶ τότε ἀνεγνώσθη. καὶ ὁ κύριος Βασίλειος ὁ ἐπίσκοπος, ὅτε ἠρωτήθη ὁ ἀρχιμανδρίτης· ὅτι λέγεις δύο φύσεις; καὶ εἶπεν· ὅτι ὁμολογῶ μίαν φύσιν· ἐπήγαγεν εὐθὺς ὁ κύριος Βασίλειος ὁ ἐπίσκοπος λέγων· ὅτι καὶ τοῦ ἁγίου Ἀθανασίου φέρεται μίαν φύσιν τοῦ λόγου σεσαρκωμένου, καὶ οὔτε τοῦτο κεῖται. καὶ ἄλλο ὁ κύριος ὁ ἐπίσκοπος Σέλευκος διελάλησεν· ὅτι ἀναγνωσθῇ ἡμῶν ἡ κατάθεσις, καὶ ἴδωμεν, εἰ συντίθεται ταύταις ὁ ἀρχιμανδρίτης ταῖς καταθέσεσιν ἡμῶν. καὶ κελεύσαντος τοῦ κυρίου τοῦ ἀρχιεπισκόπου ἡμῶν ἀναγνωσθῆναι, ἀνέστη ἀμέσως ὁ θεοσεβέστατος πρεσβύτερος Ἀστέριος, καὶ τὴν καθαίρεσιν ἀνέγνω. καὶ τοῦτο οὐ κεῖται. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· πλησίον μου καθεζόμενος ὁ θεοφιλέστατος Σέλευκος εἶπε· κελεύσῃ ἡ ἁγιότης ὑμῶν τὰς καταθέ-

ANNO CHRISTI 451.

ACTIO PRIMA. ACTA ALIA CONSTANT.

σις πάντων ἡμῶν, τὰς γενομένας περὶ τῆς πίστεως, ἀναγνωσθῆναι, καὶ εἰπεῖν τὸν εὐλαβέστατον Εὐτυχῆ, εἰ συντίθεται ταύταις. τούτων ῥηθέντων, εἶπον τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Φλαβιανῷ, κελεῦσαι γενέσθαι τὴν ἀνάγνωσιν. καὶ διελάλησεν ἀναγνωσθῆναι τὰς καταθέσεις. καὶ τούτων οὐδὲν γέγονεν, ἀλλὰ ἀμέσως ἡ καθαίρεσις ἀνεγνώσθη. ἴσασι δὲ τοῦτο καὶ οἱ θεοφιλέστατοι ἐπίσκοποι, Σέλευκος καὶ Βασίλειος. Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· μέμνημαι διαλαλήσας. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς ἐπ' ἀληθείας λέγω, ὡς ἐπὶ λέξεως μὲν τῶν ὑπ' ἐμοῦ διαλαληθέντων μνησθῆναι οὐ δύναμαι. καὶ γὰρ καὶ πολὺς χρόνος παρῆλθε. τοῦ δὲ κυρίου, καὶ τῆς συνόδου λεγούσης· λέγεις γνωρίζεσθαι δύο φύσεις ἐν τῷ κυρίῳ, [a] θεότητος καὶ ἀνθρωπότητος; τοῦ δὲ ἀρχιμανδρίτου λέγοντος· ἐκ δύο μὲν φύσεων λέγω τὸν κύριον Ἰησοῦν Χριστὸν πρὸ τῆς ἑνώσεως· μετὰ δὲ τὴν ἕνωσιν, μίαν λέγω φύσιν· οἶδα ἐγὼ τοιαύτην τινὰ διάνοιαν ἐπαγαγών· ἐὰν ἐκ δύο φύσεων εἴπῃς πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν εἴπῃς ἀπολελυμένως, σύγχυσιν ὑποπτεύῃ λέγειν, καὶ σύγκρασιν. μετὰ δὲ ταῦτα οἶδα ἀποστραφεὶς, καὶ εἰπὼν κατὰ τὴν διάνοιάν μου, οἷον οἶδεν ὁ Χριστός. καὶ γὰρ καὶ τὸν κύριον τὸν ἀρχιεπίσκοπον ἐκμειλισσόμενος, καὶ αὐτὸν τὸν ἀρχιμανδρίτην ἕλκων ἠρέμα εἰς τὸ συνθέσθαι ἡμῖν, λέγω· ἐὰν δὲ εἴπῃς τοῦ Θεοῦ λόγου μίαν φύσιν σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν, τὰ αὐτὰ λέγεις ἡμῖν καὶ τοῖς πατράσι· δῆλον γὰρ, ὅτι ἄλλο μέν τί ἐστιν ἡ θεότης ἡ ἐκ τοῦ πατρὸς, ἄλλο δέ τι ἡ σὰρξ ἡ ἐκ τῆς μητρὸς, ἣ ἐσάρκωσεν ἑαυτόν. Αἴτιος διάκονος καὶ νοτάριος εἶπε· πολλὰ πολλάκις, ὡς ἐν διαλέξει κοινῇ, καὶ ἐν συμβουλῆς μέρει, ἐν συνόδῳ παρὰ τῶν παρόντων ἁγιωτάτων ἐπισκόπων λέγεται, ἃ οὐκ ἐπιτρέπουσι γράφεσθαι. Λογγῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· καὶ ἐρρέθη, καὶ κεῖται, καὶ ἀνεγνώσθη, καὶ πάλιν ἀνεγνώσθη. Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· ὅτι ἡ καθαίρεσις ἡ ἀναγνωσθεῖσα, οὐκ αὐτῇ τῇ ὥρᾳ ὑπηγορεύθη, ἀλλὰ πρὸ τοῦ ἐλθεῖν τὸν ἀρχιμανδρίτην εἰς τὸ ἐπισκοπεῖον ὑπηγορεύθη. Αἴτιος διάκονος εἶπεν· ἀξιοῦμεν καταθέσθαι αὐτὸν, πόθεν ταῦτα μεμάθηκε, καὶ δεῖξαι, εἰ ἀληθῆ ταῦτα τυγχάνει. Σέλευκος ἐπίσκοπος εἶπεν· εἰ μὲν ἔμελλε κανονικῶς νῦν ἐξέτασις γίνεσθαι, ἥρμοζε τῷ εὐλαβεστάτῳ διακόνῳ Κωνσταντίνῳ αἰτιᾶσθαι τὴν ἀπόφασιν, καὶ ἡμᾶς, καὶ τοὺς νοταρίους, καὶ περὶ ταύτης ἡμᾶς συνίστασθαι. ἐπειδὴ δὲ νῦν περὶ τοῦ παραποιῆσθαι τὰ ὑπομνήματα ἐκέλευσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς τὴν ἐξέτασιν γενέσθαι, νομίζω νῦν μὴ ἁρμόζειν τὸν περὶ τούτου λόγον. Κωνσταντῖνος διάκονος εἶπε· ταῦτα ἐν τοῖς ὑπομνήμασιν οὐ κεῖνται. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐπειδὴ ἀνέμνησέ με ὁ εὐλαβέστατος Κωνσταντῖνος τῆς φωνῆς, ἵνα μὴ ἀρνούμενος βλάψω τὴν ἐμὴν ψυχὴν, διὰ τοῦτο εἶπον ταῦτα. εἶπον δὲ ταῦτα διαλεγόμενος [ταῦτα] οὐκ ἀποφαινόμενος. ἀμέλει ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος, ὑπονοήσας, ὅτι τῷ ἀρχιμανδρίτῃ ὑποβάλλω, ἔδοξε τραχύνεσθαι εἰς ἐμέ. Αἴτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· ἀξιοῦμεν καὶ τὸν ἁγιώτατον ἐπίσκοπον Σέλευκον εἰπεῖν [b] εἴ γε ἄγε φησὶ τότε διαλελαληκέναι, τὸ ὅτι [c] δεῖν ἀναγνωσθῆναι ἐκθέσεις, ταῦτα ἐπὶ τῷ ἐνταχθῆναι τοῖς ὑπομνήμασιν ἐρρέθη. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· ἔλεγε γὰρ ὁ θεοφιλέστατος ἐπίσκοπος Σέλευκος, ἢ ἄλλος τις, ποῖα μὲν ἔδει γράφεσθαι, ποῖα δὲ μή. Αἴτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· ἐπειδὴ ἠκούσαμεν παρ' αὐτοῦ εἰρῆσθαι, καταξιώσατε...... οὐ λέγοντος, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· ὁ ἀρχιμανδρίτης ἤκουσε, καὶ ὑμεῖς οὐκ ἠκούσατε; Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· μέμνημαι εἰρηκὼς τοιαύτας φωνάς. συνέβη δὲ τοῦ θορύβου μεγαλυνθέντος, μὴ γραφῆναί μου πάντως τὴν φωνήν. Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπε· καὶ ἤδη εἶπεν, ὅτι ὁ κύριος ὁ ἀρχιεπίσκοπος ἡμῶν ἠρώτησε τὸν ἀρχιμανδρίτην. λέγεις δύο φύσεις μετὰ τὴν ἕνωσιν, καὶ ἀναθεματίζεις τοὺς μὴ λέγοντας δύο φύσεις; καὶ αὕτη ἡ λέξις οὐ κεῖται ἐν τοῖς ὑπομνήμασιν. ἐπὶ τούτοις γὰρ καθῃρέθη, διὰ τὸ μὴ ἀναθεματίσαι αὐτόν. ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· ἐπήκουσεν ἡ ἁγία σύνοδος τῶν εἰρημένων παρὰ Κωνσταντίνου τοῦ εὐλαβεστάτου διακόνου; καταξιούσθω οὖν

[a] *Forte*, θεότητα καὶ ἀνθρωπότητα;
[b] *Forte*, εἴ γε
[c] *Forte*, δεῖ

A *nes nostrum omnium, quas de fide fecimus, relegi; & dicere reverentissimum Eutychem, si consentit eis. His ita dictis, dixi sanctissimo archiepiscopo Flaviano, ut praeciperet fieri lectionem. Et interlocutus est relegi debere expositiones: & nihil ex his factum est; sed subito damnatio est relecta. Sciunt autem hoc & Deo amantissimi episcopi Seleucus & Basilius. Seleucus reverentissimus episcopus dixit: Memini me interlocutum. Basilius reverentissimus episcopus dixit: Sicut in veritate dico, ipsa verba, quae tunc interlocutus sum, rememorari non possum, quia & multum tempus transivit. Domno autem & concilio dicente: Dicis cognosci duas naturas in Domino, deitatem & humanitatem? Archimandrita autem dicente: Ex duabus quidem naturis dico Dominum* B *nostrum Jesum Christum ante adunationem, post unionem autem, unam dico naturam: scio & ego talem me quamdam sententiam protulisse: Si ex duabus naturis dicis ante unionem, post unionem autem unam dixeris absolute, confusionem putaberis inducere & commixtionem. Post hac autem scio quia conversus sum: & dicens in mente mea, qualem scit Christus; quippe & domnum archiepiscopum placans, & ipsum archimandritam trahens sensim, ut consentiret nobis, dixi: Si autem dixeris unam naturam Dei Verbi incarnatam & inhumanatam, eadem dicis nobis & Patribus. Manifestum est enim, quod aliud quiddam est deitas, quae ex Patre est; aliud vero quiddam caro, quae ex matre est, quae se incarnavit. Aetius* C *diaconus & notarius dixit: Multa saepius tamquam in collocutione communi, & in parte consilii, in conventu a praesentibus sanctissimis episcopis dicuntur, quae scribi non praecipiuntur. Longinus reverentissimus episcopus dixit: Et dictum est, & positum est, & lectum, & denuo relectum est. Constantinus religiosus diaconus dixit: Quia damnatio quae relecta est, non eadem hora dictata est: sed antequam veniret archimandrita in episcopium, dictata est. Aëtius diaconus & notarius dixit: Precamur confiteri eum, unde haec didicit, & ostendere si vera sunt quae dicit. Seleucus episcopus dixit: Si quidem nunc regulariter esset inquisitio facienda, aptum erat religiosissimo diacono Constantino accusare sententiam, & nos, & notarios; & debere nos de hac purificare. Quoniam vero nunc* D *jussit piissimus noster Imperator fieri inquisitionem, si falsata sunt gesta, nunc arbitror non convenire de hoc loqui. Constantinus reverendus diaconus dixit: Haec in gestis non jacent. Basilius reverentissimus episcopus dixit: Quoniam religiosus diaconus Constantinus commemoravit vocem meam, ne forte negans, noceam propriam animam; propterea haec dixi. Haec autem dixi tunc disputans, non definiens. Unde & reverentissimus episcopus Eusebius suspicans quod archimandritae suaderem, visus est exasperari contra me. Aetius diaconus & notarius dixit: Supplicamus etiam sanctissimum episcopum Seleucum dicere, si ea quae dixit se tunc interlocutum: (quia oportet legi professiones;) ista sic dicta sunt ut gestis insererentur. Magnificentissimus Patricius dixit: Quid* E *enim? dicebat religiosissimus episcopus Seleucus, vel alter aliquis, quae deberent scribi, quae autem non. Aetius religiosus diaconus & notarius dixit: Quoniam audivimus ab ipso fuisse dictum; dignemini...... Quo dicente Constantinus religiosus diaconus dixit: Archimandrita audivit, & vos non audistis? Seleucus reverentissimus episcopus dixit: In mente habeo tales me dixisse voces. Evenit tamen, excrescente tumultu, vocem meam omnino non scribi. Constantinus religiosus diaconus dixit: Etiam dixi, quia domnus archiepiscopus noster interrogavit archimandritam: Dicis duas naturas post adunationem, & anathematizas eos qui non dicunt duas naturas? Et hic sermo non est insertus in gestis. Pro his enim & damnatus est, quia eos qui post unitionem duas naturas negant, anathematizare noluit. Thalassius reverentissimus episcopus dixit: Audivit sancta synodus ea quae dicta sunt a Constantino reverendo diacono? Dignetur ergo*

sancta synodus, si scit hæc dixisse Dei amantissimum & sanctissimum archiepiscopum Flavianum, facere manifesta præsenti conventui. Basilius reverentissimus episcopus dixit: Quia Eusebius reverentissimus episcopus & semel & secundo accusavit eum, tamquam non dicentem duas naturas post adunationem, recolimus: & quoniam ipse dixit: Audis quid tibi dicit, & quid tibi proponis? quid dicis ad hæc? Reminiscimur. Constantinus religiosus diaconus dixit: Ipsos ergo sermones a domno nostro archiepiscopo non audisti? Basilius reverentissimus episcopus dixit: In principio quartæ examinationis etiam reverentissimus Eusebius episcopus dixit ad monachum: Dicis duas naturas post adunationem, & consubstantialem nobis Dominum nostrum Jesum Christum secundum carnem? & anathematizas eos qui non ita sapiunt? Et domnus archiepiscopus obtulit ei interrogationem, si dicit hæc, quæ proponit ei accusator. In postremis autem turba maxima facta, vere non recordor, si talem ei episcopus sanctissimus fecerit objectionem. Constantinus religiosus diaconus dixit: Hoc rogo sanctum conventum vestrum. Audistis a domno meo archiepiscopo dicente: Dicisne duas naturas? Quo dicente, Seleucus reverentissimus episcopus dixit: Quoniam quidem dictum est in interrogatione, sive a Dei amantissimo Eusebio, sive a Dei amantissimo & sanctissimo nostro archiepiscopo Flaviano dictum est. Quali autem tempore dictum est, de duabus naturis, non recordor. Magnificentissimus Patricius dixit: Recolo & ego, quia tunc dictum est hoc a sanctissimo archiepiscopo: Confiteris duas naturas & post adunationem? Et respondit ille, dicens: Quoniam codex est sancti Athanasii & aliorum episcoporum, qui non habet ita, piget me dicere. Aetius religiosus diaconus & notarius dixit: Talis interrogatio a Dei amantissimo episcopo Eusebio, dum gesta fierent, dicta est. Timotheus reverentissimus episcopus dixit: Ita audivi, quomodo reverentissimus episcopus Basilius dixit. Julianus reverentissimus episcopus dixit: Cum turba esset, non recolo a quo dicta est. Eudoxius reverentissimus episcopus dixit: Recordor quidem religiosissimum episcopum Eusebium dixisse, & sanctissimum archiepiscopum consentientem ei, & compellentem archimandritam consentire his quæ ab Eusebio dicebantur. Longinus reverentissimus episcopus dixit: Coram Deo dico, quia ista non possum rememorari: quia confusio jam orta erat: & quæ [a] ante agebantur, nos qui retro eramus, non cognovimus. Sabbas reverentissimus episcopus dixit: Recordor ego, quia dixi ad ipsum archimandritam, quia nisi confitearis ex duabus naturis unum Unigenitum, aut dispensationem negas, aut deitatem. Constantinus religiosus diaconus dixit: Eutyches, dum legeretur damnatio, appellavit sanctum concilium sanctissimi episcopi Romani, & Alexandrini, & Hierosolymitani, & Thessalonicensis: & hæc in gestis non sunt inserta. Magnificentissimus Patricius dixit: Turba facta, & dissoluto conventu, dixit ad me silenter, appellans Romanum, & Ægyptium, & Hierosolymitanum concilium. Et ego arbitratus indecens esse, latere hoc sanctissimum & reverentissimum archiepiscopum Flavianum, abscedens dixi ei. Basilius reverentissimus episcopus dixit: Jam in veritate dico; adhuc ipso conventu sedente, & proponente hoc sancta synodo, ut diceret iste duas naturas inseparabiles & inconfusas in uno Domino & post adunationem, scio quia dixit religiosus archimandrita Eutyches: Si præceperint mihi patres, Romanus & Alexandrinus, dico hoc ipsum. Hoc autem non quasi appellans dixit, sed dicens: Non sum ausus dicere propter patres. Sanctissimus archiepiscopus hujus gloriosæ civitatis dixit: Non audivi ego ab illo, sed a viro magnificentissimo & gloriosissimo Exconsule & Patricio, discedente me [b] in superius hospitium post solutam synodum. Magnificentissimus Patricius dixit: Si cognoverunt appellantem virum religiosum monachum ceteri sanctissimi episcopi, dicant. Julianus reverentissimus episcopus

Hæc habentur in 7. actione, supra pag. 182.

Supra pag. 167.

a al. inante

b al. in superiora domus

ἡ ἁγία σύνοδος, εἰ οἶδε ἐπίσταται ταῦτα εἰρηκέναι τὸν θεοφιλέστατον καὶ ἁγιώτατον Φλαβιανὸν, φανερὰ ποιῆσαι τῇ ἁγίᾳ συνόδῳ. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὅτι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ ἅπαξ καὶ δεύτερον ᾐτιάσατο αὐτὸν, μὴ λέγει δύο φύσεις μετὰ τὴν ἕνωσιν, μεμνήμεθα. καὶ ὅτι αὐτὸς εἶπεν· ἀκούεις τί σοι λέγει, καὶ τί σοι προτείνει; τί λέγεις πρὸς ταῦτα; μεμνήμεθα. Κωνσταντῖνος διάκονος εἶπεν· αὐτὰς οὖν τὰς λέξεις παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἀρχιεπισκόπου οὐκ ἤκουσας; Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐν τοῖς προοιμίοις τῆς τετάρτης ἐξετάσεως καὶ ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε πρὸς τὸν μονάζοντα· λέγεις δύο φύσεις μετὰ ἕνωσιν, καὶ ὁμοούσιον ἡμῖν τὸν κύριον Ἰησοῦν Χριστὸν τὸ κατὰ σάρκα; ἀναθεματίζεις τοὺς μὴ οὕτω φρονοῦντας; καὶ ὁ κύριος ὁ ἀρχιεπίσκοπος προσήγαγεν αὐτῷ πεῦσιν, εἰ λέγει ταῦτα, ἅπερ προτείνει αὐτῷ ὁ κατήγορος· πρὸς δὲ τοῖς τελευταίοις, θορύβου πολλοῦ γενομένου, ὄντως οὐ διαμέμνημαι, εἰ τοιαύτην ὁ θεοφιλέστατος ἐπίσκοπος ἐποιήσατο πρότασιν. Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπε· τοῦτο παρακαλῶ τὴν ἁγίαν σύνοδον ὑμῶν. ἠκούσατε παρὰ τοῦ δεσπότου μου τοῦ ἀρχιεπισκόπου λέγοντος· ὅτι λέγεις δύο φύσεις; οὐ λέγοντος, Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὅτι μὲν ἐῤῥέθη ἐν τῇ ἐξετάσει, εἴτε παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου, εἴτε παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ, ἐῤῥέθη· κατὰ ποῖον δὲ καιρὸν ἐῤῥέθη τὸ τῶν φύσεων, οὐκ ἐπιμέμνημαι. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· μέμνημαι κἀγὼ τότε ῥηθέντος τούτου παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου· ὅτι ὁμολογεῖς δύο φύσεις καὶ μετὰ τὴν ἕνωσιν; καὶ ἀπεκρίνατο ἐκεῖνος λέγων· ἐπειδὴ βιβλίον ἐστὶ τοῦ ἁγίου Ἀθανασίου, καὶ ἄλλων ἐπισκόπων, μὴ ἔχει οὕτως, ὀκνῶ εἰπεῖν· Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· ἡ τοιαύτη πεῦσις παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου, τῆς πράξεως γενομένης, κατετέθειται. Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὕτως ἤκουσα, ὡς καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· θορύβου ὄντος, οὐ μέμνημαι παρὰ τίνος ἐλέχθη. Εὐδόξιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· μέμνημαι τὸν εὐλαβέστατον ἐπίσκοπον Εὐσέβιον εἰρηκότα, τὸν δὲ ἁγιώτατον ἀρχιεπίσκοπον συναινοῦντα, καὶ ἀναγκάζοντα τὸν ἀρχιμανδρίτην συνθέσθαι τοῖς λεγομένοις παρὰ Εὐσεβίου. Λογγῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς ἐπὶ Θεοῦ λέγω, ὅτι τούτων οὐ δύναμαι μνημονεύειν, ἐπειδὴ σύγχυσις λοιπὸν ἐγένετο· καὶ τὰ πραττόμενα ἔμπροσθεν ἡμεῖς οἱ ὀπίσω ὄντες οὐκ ἐγινώσκομεν. Σάββας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· μέμνημαι ἐγὼ, ὅτι εἶπον πρὸς τὸν ἀρχιμανδρίτην· εἰ μὴ ὁμολογήσεις ἐκ δύο φύσεων ἕνα μονογενῆ, ἢ τὴν οἰκονομίαν ἀρνῇ, ἢ τὴν θεότητα. Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· ἀναγινωσκομένης τῆς καθαιρέσεως, ἐπεκαλέσατο τὴν ἁγίαν σύνοδον τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥώμης, καὶ Ἀλεξανδρείας, καὶ Ἱεροσολύμων, καὶ Θεσσαλονίκης· καὶ ταῦτα οὐ κεῖται ἐν τοῖς ὑπομνήμασιν. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· θορύβου γενομένου, καὶ διαλυθείσης τῆς συνόδου, εἶπε πρᾴως ἐμοὶ, ἐπικαλούμενος τὴν Ῥώμης, καὶ τὴν Αἰγύπτου, καὶ τὴν Ἱεροσολύμων σύνοδον. κἀγὼ νομίσας ἄπρεπον εἶναι λαθεῖν τοῦτο τὸν ἁγιώτατον καὶ θεοφιλέστατον Φλαβιανὸν, ἀπελθὼν εἶπον αὐτῷ. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς ἐπ' ἀληθείας λέγω, ὅτι τοῦ συνεδρίου συγκροτουμένου, καὶ προτεινομένου, τούτου παρὰ τῆς συνόδου, εἰπεῖν αὐτὸν ἀχωρίστους καὶ ἀσυγχύτους τὰς δύο φύσεις ἐπὶ τοῦ ἑνὸς κυρίου καὶ μετὰ τὴν ἕνωσιν, οἶδα ὅτι εἶπεν ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχής· ὅτι ἐὰν κελεύσωσί μοι οἱ πατέρες, ὁ, τε Ῥώμης, καὶ ὁ Ἀλεξανδρείας, λέγω τοῦτο αὐτό. τοῦτο δὲ οὐκ ἐπικαλούμενος εἶπεν, ἀλλὰ λέγων· οὐ τολμῶ εἰπεῖν διὰ τοὺς πατέρας. ὁ ἁγιώτατος ἐπίσκοπος ταύτης τῆς [a] ὀρθοδόξου πόλεως εἶπεν· ἐγὼ οὐκ ἤκουσα παρ' ἐκείνου, ἀλλὰ παρὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ πατρικίου, ἀπελθόντος μου εἰς τὸ ἀνώγεον [b] ἐκεῖσε μετὰ τὸ λυθῆναι τὴν σύνοδον. ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· εἰ ἔγνωσαν ἐπικαλούμενον τὸν εὐλαβέστατον ἄνδρα τὸν μοναχὸν, εἰ λοιποὶ ἁγιώτατοι ἐπίσκοποι εἴπωσι. Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὡς

[a] Forte, ἐνδόξου ex Latino.

[b] Forte, ἀνώγεων

εἶπεν· ὡς ἐπὶ Θεοῦ, οὐδέν τι παρὰ Εὐτυχοῦς τοῦ μοναχοῦ A ἤκουσα ἐν τῷ συνεδρίῳ. Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· τοῦ συνεδρίου ὄντος, καὶ τῆς ἐξετάσεως γινομένης, οὐδὲν τοιοῦτον ἔγνωμεν λελέχθαι παρὰ τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς περὶ ἐκκλήτου· παρὰ τῶν εὐλαβεστάτων ἐπισκόπων ἐρρέθη, καὶ ἡμεῖς τὰ αὐτὰ καταπιθέμεθα. ὡσαύτως δὲ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτωρος ἀνεγνώσθη.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· διὰ πάντων πεφώραται Εὐτυχὴς ὁ πάλαι πρεσβύτερος καὶ ἀρχιμανδρίτης, ἔκ τε τῶν ἤδη πεπραγμένων, καὶ τῶν οἰκείων αὐτοῦ νῦν καταθέσεων, τῇ Οὐαλεντίνου καὶ Ἀπολιναρίου κακοδοξίᾳ νοσῶν, καὶ ταῖς ἐκείνων δυσφημίαις ἀμεταθέτως ἀκολουθῶν· ὅς γε οὐδὲ τὴν ἡμετέραν αἰδεσθεὶς παραίνεσίν τε καὶ διδασκαλίαν συνθέσθαι τοῖς ὀρθοῖς δόγμασι κατεδέξατο. ὅθεν ἐπιδακρύσαντες καὶ στενάξαντες τῇ παντελεῖ ἀπωλείᾳ αὐτοῦ, ὡρίσαμεν διὰ τοῦ κυρίου B ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὑπ' αὐτοῦ βλασφημηθέντος, ἀλλότριον αὐτὸν εἶναι παντὸς ἱερατικοῦ τάγματος, καὶ τῆς πρὸς ἡμᾶς κοινωνίας, καὶ τῆς προστασίας τοῦ μοναστηρίου· εἰδότων ἐκείνων τῶν μετὰ ταῦτα διαλεγομένων ἢ συντυγχανόντων αὐτῷ, ὡς ὑποδύσονται ἔσονται καὶ αὐτοὶ τῷ τῆς ἀκοινωνησίας ἐπιτιμίῳ, ὡς μὴ ἀποφυγόντες τῆς πρὸς αὐτὸν ὁμιλίας.

Αἱ ὑπογραφαί.

Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, ὁρίσας ὑπέγραψα.

Καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν, καὶ ἀρχιμανδρῖται.

Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπε· σύμπαντα ἀνενεχθήσεται εἰς γνῶσιν τῆς βασιλικῆς φιλανθρωπίας. Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπε· μέχρι τοῦ παρόντος συνέστημεν ἑαυτοῖς, ἐφ' οἷς ἐδυνάμεθα, καὶ ὅτι ἀναγνώσεως πολλάκις γινομένης, οὐδεὶς ἡμῖν ἐμέμψατο. ἐπειδὴ δὲ πρὸ πολλοῦ χρόνου, τῶν χαρτῶν πρότερον παρ' ἡμῖν ὄντων, Ἀστέριος ὁ σὺν ἡμῖν πρεσβύτερος, καὶ νοτάριος συνὼν ἡμῖν, καὶ συμπράττων, κατελθὼν τοὺς χάρτας ἡμῶν ἅπαντας ἀφείλετο, τά τε σχεδάρια, τά τε αὐθεντικὰ, καί ἐστι διμηνιαῖος χρόνος, καὶ οὐδὲν τούτων ἔχομεν. τοῦ λοιποῦ εἰ κινεῖταί τι, ἢ προφέρεται, ἢ λέγεται περὶ τῆς παρούσης ὑποθέσεως, ἡμᾶς ἐλευθερωθῆναι. Φλαύιος Φλωρέντιος ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων πόλεως, καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ ἕκτον, καὶ ἀπὸ ὑπάτων, καὶ πατρίκιος εἶπε· καὶ τοῦτο τοῖς ὑπομνήμασι τοῖς παροῦσιν ἐμβληθῇ, ἵνα εἰς γνῶσιν τῆς βασιλικῆς αὐθεντίας ἔλθῃ.

Ἑτέρα πρᾶξις ἐν Κωνσταντινουπόλει.

.·. .·. .·. .·. .·. .·. .·. .·.

Φλαυΐου Πρωτογένους τοῦ λαμπροτάτου, καὶ τοῦ δηλωθησομένου ὑπάτου, πρὸ πέντε καλανδῶν Μαΐων, ἐν Κωνσταντινουπόλει, θείᾳ κελεύσει διαγινώσκοντος Μαρτιαλίου τοῦ μεγαλοπρεπεστάτου κόμητος καὶ μαγίστρου τῶν θείων ὀφφικίων, παρόντος Καρτερίου τοῦ περιβλέπτου κόμητος καὶ προξίμου τοῦ θείου σκρινίου τῶν λιβέλλων, καὶ τῶν θείων κογνιτιόνων, εἰσελθόντων Μακεδονίου τοῦ περιβλέπτου τριβούνου, νοταρίου καὶ ῥεφερενδαρίου, καὶ Μάγνου τοῦ καθωσιωμένου σιλεντιαρίου, μετὰ Κωνσταντίνου τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ διακόνου, Κωνσταντῖνος ὁ εὐλαβέστατος εἶπε· δεήσεις ἐπιδέδωκεν Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης τῷ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ, φανερὰ περιεχούσας· καὶ ταύτας ἡ εὐσέβεια [a] αὐτοῦ ὑπεσημειώσατο· ὑπεδέξατο δὲ αὐτὰς ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος. ἀξιῶ ὥστε ταῦτα αὐτὰ καταθέσθαι αὐτὸν, καὶ τὰς δεήσεις [b] ἀναγνωσθῆναι, καὶ τὰ δόξαντα τῇ εὐσεβείᾳ [c] αὐτοῦ δῆλα γενέσθαι. Φλαύιος Ἀριόβινδος Μαρτιάλιος ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· ἃ τινα ὥρισεν ἡ φιλανθρωπία ἡ βασιλικὴ διὰ τοῦ περιβλέπτου τριβούνου, καὶ νοταρίου, καὶ ῥεφερενδαρίου, ταῖς ὑμετέραις διανοίαις γνωρισθῶσιν. Μακεδόνιος τριβοῦνος, καὶ νοτάριος, ῥεφερενδάριος εἶπεν· Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης προσενεχθεισῶν δεήσεων τῷ βασιλικῷ θρόνῳ, φανερά τι ἐδίδαξε, καὶ κελεῦσαι κατηξίωσεν ἡ γαληνότης αὐτοῦ, ἐν τῷ δικαστηρίῳ τῆς ὑμετέρας μεγαλοπρεπείας τῶν δικαίων

[a] Forte, αὐτοῦ ex Latino.
[b] Forte, ἀναγνωσθῆναι, ex Latino.
[c] Forte, αὐτοῦ ex Latino.

dixit: Coram Deo dico: nihil tale ab Eutyche monacho audivi in consessu. Seleucus reverentissimus episcopus dixit: Dum esset concilium, & [a] interrogatio proveniret, nihil tale cognovimus dictum ab archimandrita Eutyche de appellatione: a reverentissimis episcopis dictum est, & nos eadem confitemur. Similiter & per eumdem devotissimum exceptorem relectum est:

[a] vel inquisitio fieret,

Sanctissimus archiepiscopus dixit: Per omnia apparet Eutyches quondam presbyter & archimandrita, tam ex his quæ ante acta sunt, & nunc propriis ejus confessionibus, Valentini & Apollinaris ægrotare perfidia, & eorum blasphemias [b] incommutabiliter sequi: qui nec nostram reverens persuasionem & doctrinam, rectis voluit consentire dogmatibus. Unde lacrymantes & gementes B propter perfectam ejus perditionem, decrevimus per Dominum nostrum Jesum Christum ab eo blasphematum, extraneum eum esse ab omni officio sacerdotali, & a nostra communione, & primatu monasterii: scientibus illud omnibus, qui postea cum eo colloquentur, & ad eum convenerint, quoniam rei erunt & ipsi pœna excommunicationis, ut qui non declinaverint confabulationes ejus.

Sup. pag. 167.

[b] vel pertinaciter

SUBSCRIPTIONES.

Flavianus episcopus Constantinopolitanæ Romæ, judicans subscripsi.

Et reliqui omnes episcopi subscripserunt, & archimandritæ.

Magnificentissimus Patricius dixit: Omnia referantur C ad cognitionem clementiæ Imperialis. Aëtius reverendus diaconus dixit: Usque ad præsens approbavimus nosmetipsos in quibus potuimus, & quia sæpe lectione facta nemo nos reprehendit: quoniam vero ante multum tempus, dum chartæ prius apud nos essent, Asterius, qui nobiscum est presbyter, & notarius nobiscum constitutus, & agens, descendit, & omnes chartas nostras abstulit, & schedas & authenticas; & est duorum aut trium mensium tempus, & nihil ex his habemus. Si ergo in posterum aliquid aut movetur, aut dicitur de præsenti negotio, nos liberos esse decet. Flavius Florentius magnificentissimus Expræfectus urbis, & Expræfectus prætoriorum sexies, & Exconsul & Patricius dixit: Et hoc præsentibus inseratur monimentis, ut ad Imperialem veniat notionem. D

Alia actio Constantinopoli, lecta Ephesi, & relecta Chalcedone.

Consulatu Flavii Protogenis viri clarissimi, & qui fuerit nuntiatus, sub die quinta Kalendas Maii, in Constantinopoli, ex sacra jussione cognoscente Martiali magnificentissimo Comite & magistro sacrorum officiorum, præsente Carterio viro spectabili Comite, & proximo sacrii scrinii [c] libellorum sacrarumque cognitionum, ingressis Macedonio viro spectabili tribuno, notario & referendario, & Magno viro devoto Silentiario, cum Constantino reverendo monacho & diacono: Constantinus reverendus diaconus dixit: Preces obtulit Eutyches E archimandrita piiss:mo domino nostro, certa continentes, [d] & has ejus pietas subnotavit. Suscepit vero eas vir spectabilis tribunus & referendarius. Supplico, ut hæc eadem ipse profiteatur, & preces relegantur, & quæ ejus pietati placuerunt, manifesta fiant. Flavius Ariovindus Martialis magnificentissimus Comes & magister sacrorum officiorum dixit: Quæ definivit Principalis clementia per virum spectabilem tribunum, notarium & referendarium, nostris [e] mentibus intimentur. Macedonius tribunus, notarius & referendarius dixit: Eutyches [f] vir religiosus archimandrita, oblatis precibus Principali serenitati, certa quædam edocuit: & dignata est præcipere ejus tranquillitas, in judicio vestra magnificentia rectis

Anno 449.

[c] libellensium, in mss.
[d] Adnotatio Rustici diaconi: In scriptis Eutychis Theodosius subscripsit.
[e] al. sensibus
[f] al. venerabilis

ACTIO PRIMA. Acta alia constant.

ANNO CHRISTI 451.

precibus, Magnum virum devotum Silentiarium profiteri quid in eo negotio subsecutum esse cognoscit. Magnificentissimus Comes & magister sacrorum officiorum dixit: Preces, quæ a reverentissimo Eutyche presbytero invictissimis Principibus porrectæ sunt, susceptæ, lectione pandantur. Et per Euethium virum devotum, exceptorem sacri scrinii libellorum, sacrarumque cognitionum, relectæ sunt.

Supplicatio Eutychis.

Piissimis & fidelissimis, ac Christi amatoribus Principibus nostris, Flavio Theodosio & Valentiniano, perpetuis Augustis, ab Eutyche archimandrita.

Vestra pietas superius & a principio non ignorans circa rectam fidem, religionem mundam & irreprehensibilem fidem meam, pro calumnia mihi composita, & meditatis insidiis ab Eusebio episcopo Dorylai, quasi recte non sapiam, sancire dignata est, ingrediente me in concilium, adesse mihi virum laudabilem Magnum Silentiarium custodiæ causa. Qui vadens ad episcopium, & præsentiam meam nuncians, quædam audivit a religiosissimo episcopo Flaviano de damnatione mea, & vidit. Precor igitur vestram tranquillitatem, dignetur sancire apud quem [a] *placuerit vestræ pietati, eumdem virum* [b] *mirandissimum Magnum Silentiarium cum veritate scriptis profiteri ea quæ audivit (ut superius dixi) & vidit: quo his impetratis, solitas orationes Deo semper pro vestra salute referam, piissimi & fidelissimi Imperatores.*

Magnificentissimus Comes & magister sacrorum officiorum dixit: Sacra subnotatio recitetur. Et per eumdem virum devotum exceptorem relecta est. Profiteatur vir devotus Magnus Silentiarius apud magnificentissimum magistrum sacrorum officiorum omnia quæ super hoc negotio subsecuta cognovit. Magnificentissimus Comes & magister sacrorum officiorum dixit: Necessarium est, quæ sanxit clementia Principalis, effectui mancipari. Unde vir devotissimus Magnus Silentiarius, si qua cognovit, secundum sacram præceptionem profiteatur. Magnus devotissimus Silentiarius dixit: Sæpe directus sum a sacratissimo & piissimo domino nostro ad archiepiscopum Flavianum, ut adesset magnificentissimus & gloriosissimus Exprafectus & Consul & Patricius Florentius synodo, quæ futura erat in episcopio hujus regiæ civitatis: & distulit archiepiscopus dicens, quia non oportet hic fatigari eumdem virum magnificentissimum [& gloriosissimum] Exprafectum & Consulem & Patricium Florentium: quia jam de hoc forma data est, & damnatus est Eutyches monachus, quoniam secundo vocatus non obedivit. Postmodum vero obtulerunt mihi chartam quamdam habentem damnationem ejus. Magnificentissimus Comes & magister sacrorum officiorum dixit: Prosecutio Magni viri devoti Silentiarii monimentis publicis inseratur. Constantinus diaconus & monachus dixit: Postulo & hoc, ut profiteatur dominus Magnus Silentiarius, quia ante synodum damnatio facta est. Magnificentissimus Comes & magister sacrorum officiorum dixit: Quæ cognoscit profiteatur. Magnus devotus Silentiarius dixit: Et prius dixi, quod ante synodum damnationem Eutychis mihi ostenderunt. Magnificentissimus Comes & magister sacrorum officiorum dixit: Et hæc professio gestis inseratur. Constantinus monachus & diaconus dixit: Precor & hoc, ut vir spectabilis tribunus & referendarius prosequatur ea quæ audivit ab Asterio reverendo presbytero & notario. Magnificentissimus Comes & magister sacrorum officiorum dixit: Quamvis in precibus hæc petitionis pars minime contineatur, attamen propria voluntate, si voluerit vir spectabilis tribunus, notarius & referendarius, quæ cognovit, profiteatur. Macedonius spectabilis tribunus, [c] *notarius & referendarius dixit: Ante hoc sacratis-*

[a] al. sederit

[b] vel illustrem seu laudabilem

[c] al. notariorum &

ἀναγνωσθεισῶν, Μάγνον τὸν καθωσιωμένον σιλεντιάριον καταθέσθαι τί, ἃ ἐν τῇ αὐτῇ δίκῃ παρηκολουθηκότα γινώσκει. ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· αἱ δεήσεις αἱ διὰ προσενεχθεῖσαι τοῖς ἀηττήτοις βασιλεῦσι παρὰ Εὐτυχοῦς τοῦ εὐλαβεστάτου πρεσβυτέρου, [a] ὑποδεχθεῖσαι ἀναγινωσκέσθωσαν. καὶ διὰ Εὐηθίου τοῦ καθωσιωμένου ἐξσκέπτορος τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων, ἀνεγνώσθησαν.

Δέησις Εὐτυχοῦς.

Τοῖς εὐσεβέσι, καὶ πιστοτάτοις, καὶ φιλοχρίστοις βασιλεῦσιν ἡμῶν, Φλαυΐῳ Θεοδοσίῳ, καὶ Οὐαλεντινιανῷ, τοῖς αἰωνίοις Αὐγούστοις, παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου.

Ἡ ὑμετέρα εὐσέβεια ἄνωθεν καὶ ἐξ ἀρχῆς οὐκ ἀγνοοῦσα τὴν περὶ τὴν ὀρθοδοξίαν καθαράν μου καὶ ἀνεπίληπτον πίστιν, συκοφαντίας μοι πλακείσης παρὰ Εὐσεβίου ἐπισκόπου Δορυλαίου, ὡς μὴ φρονοῦντι ὀρθὰ, καὶ ἐπιβουλῆς μελετωμένης, κατηξίωσε θεσπίσαι, εἰσιόντος μου εἰς τὸ συνέδριον, τὸν θαυμασιώτατον ὑμῶν σιλεντιάριον Μάγνον συνεῖναί μοι ἀσφαλείας ἕνεκα. ὃς ἀπελθὼν εἰς τὸ ἐπισκοπεῖον, καὶ μηνύσας τὴν παρουσίαν μου, φανερὰ ἀκήκοε παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Φλαβιανοῦ περὶ τῆς καθαιρέσεώς μου, καὶ εἶδε. δέομαι τοίνυν τῆς ὑμετέρας γαληνότητος, καταξιῶσαι θεσπίσαι, ἐφ' οὗ ἂν ἀρέσκειεν τῇ ὑμετέρᾳ εὐσεβείᾳ, τὸν αὐτὸν θαυμασιώτατον σιλεντιάριον Μάγνον καταθέσθαι ἐγγράφως μετὰ τῆς ἀληθείας, ἅπερ ἀκήκοεν, ὡς προεῖπον, καὶ εἶδε. καὶ τούτου τυχὼν, τὰς συνήθεις εὐχὰς ἀναπέμψω τῷ Θεῷ ὑπὲρ τῆς ὑμετέρας σωτηρίας διηνεκῶς, εὐσεβέστατοι καὶ φιλόχριστοι βασιλεῖς.

Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· ἡ θεία καὶ δὴ ὑποσημείωσις ἀναγινωσκέσθω. καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐξσκέπτορος ἀνεγνώσθη. καταθέσθω ὁ καθωσιωμένος Μάγνος σιλεντιάριος παρὰ τῷ μεγαλοπρεπεστάτῳ μαγίστρῳ τῶν θείων ὀφφικίων πάντα, ἃ ἐν τούτῳ τῷ πράγματι παρηκολουθηκότα ἔγνω. ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· ἀναγκαῖόν ἐστιν, ἅ τινα προσέταξεν ἡ φιλανθρωπία βασιλικὴ, πέρας νῦν παραδοθῆναι. ὅθεν ὁ καθωσιωμένος σιλεντιάριος Μάγνος, ἅ τινα ἔγνω, κατὰ τὴν θείαν κέλευσιν καταθέσθω. Μάγνος ὁ καθωσιωμένος σιλεντιάριος εἶπε· πολλάκις ἐπέμφθην παρὰ τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου πρὸς τὸν ἀρχιεπίσκοπον Φλαβιανὸν, περὶ τοῦ παραγενέσθαι τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων, καὶ ὑπάτων, καὶ πατρίκιον Φλωρέντιον ἐν τῇ μελλούσῃ γίνεσθαι συνόδῳ ἐν τῷ ἐπισκοπείῳ τῆσδε τῆς βασιλευούσης πόλεως· καὶ ἀνεβάλλετο ὁ ἀρχιεπίσκοπος, λέγων, οὐ χρείαν σκυλῆναι ἐνταῦθα τὸν αὐτὸν μεγαλοπρεπέστατον ἀπὸ ἐπάρχων καὶ πατρίκιον Φλωρέντιον· καὶ γὰρ ἤδη τύπος ἐδόθη περὶ τούτου, καὶ καθῃρέθη Εὐτυχὴς ὁ μονάζων, ἐπειδὴ δεύτερον ἐκλήθη, καὶ οὐχ ὑπήκουσε. τέλος οὖν προσήνεγκαν μοι χάρτην τινὰ περιέχοντα τὴν καθαίρεσιν αὐτοῦ. ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπε· Μάγνου τοῦ καθωσιωμένου σιλεντιαρίου ἡ κατάθεσις ἐγκείσθω τοῖς θείοις ὑπομνήμασι. Κωνσταντῖνος μονάζων καὶ διάκονος εἶπεν· ἀξιῶ καὶ τοῦτο, ὥστε καταθέσθαι τὸν κύριον τὸν σιλεντιάριον Μάγνον, ὅτι πρὸ τῆς συνόδου ἡ καθαίρεσις γέγονεν. ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· ἅ τινα ἐπίσταται, καταθέσθω. Μάγνος ὁ καθωσιωμένος σιλεντιάριος εἶπε· καὶ ἤδη εἶπον, ὅτι πρὸ τῆς συνόδου [b] ὑπέδειξέ μοι τὴν καθαίρεσιν Εὐτυχοῦς. ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπε· καὶ αὕτη ἡ κατάθεσις τοῖς ὑπομνήμασιν ἐμφερέσθω. Κωνσταντῖνος μονάζων καὶ διάκονος εἶπεν· ἀξιῶ καὶ τοῦτο, ὥστε τὸν περίβλεπτον τριβοῦνον καὶ ῥεφερενδάριον καταθέσθαι, ἅπερ ἤκουσε παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ νοταρίου Ἀστερίου. ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· εἰ καὶ τὰ μάλιστα οὐ περιέχεται ταῖς δεήσεσι τοῦτο τὸ μέρος τῆς αἰτήσεως, ὅμως ἰδίᾳ προαιρέσει, εἰ βουληθείη ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος, καταθέσθω ὅσα ἔγνω. Μακεδόνιος ὁ περίβλεπτος τριβοῦνος νοταρίων καὶ ῥεφερενδάριος εἶπε· πρώην ὁ θειότατος

[a] Forte, ὑποδεχθεῖσαι ex Latino.

[b] Forte, ἐπέδειξεν, ex Latino.

Anno Christi 451.

τις καὶ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἐκέλευσε συναχθῆναι τούς τε ἐπισκόπους, καὶ τὸν τὰ πάντα μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων, καὶ ὑπάτων, καὶ πατρίκιον Φλωρέντιον, δεήσεις ἐπιδεδωκότος τοῦ εὐλαβεστάτου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, καὶ αἰτιωμένου τὴν γεγενημένην πρᾶξιν, ἅτε δὴ ἐναλλαγεῖσαν παρὰ τῶν νοταρίων κατὰ κακουργίαν· καὶ φανερὰ παρηκολούθησεν ἐν τῇ γενομένῃ συνόδῳ. ἀναχωροῦντι δέ μοι [a] ἀπήντησεν Ἀστέριος ὁ πρεσβύτερος καὶ νοτάριος, ὁρκίζων με ἀκοῦσαι παρ' αὐτοῦ, ἅπερ ἤθελε λέγειν. ᾐτιᾶτο δὲ τὸν εὐλαβέστατον Ἀβραάμιον, καὶ τοὺς νοταρίους, ὡς ἐναλλάξαντας ἐν τοῖς ὑπομνήμασι κεφάλαια φανερά· καὶ ἐπεὶ αὐτὸς ἀνάγκην ἔχει, ὑφορώμενος τὴν τοιαύτην κακουργίαν, [b] ἐκείνους μὲν δεῖξαι τὰ τοιαῦτα [c] τετολμηκότας, παρὰ γνώμην δὲ αὐτοῦ. Φλάβιος Ἀριοβίνδας Μαρτιάλιος ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· αὕτη ὁμοίως ἡ κατάθεσις τοῖς ὑπομνήμασιν ἐμφερέσθω, ἐκδοθήτω. Φλάβιος Καρτέριος ὁ λαμπρότατος κόμης καὶ πρόξιμος τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων, τὰ ὑπομνήματα ἐκδοθῆναι [d] ἐκέλευσεν. Φλάβιος Εὐήθιος ὁ καθωσιωμένος ἐκσέπτωρ τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων, τὰ ὑπομνήματα ἐξέδωκα.

[a] Forte, ἀπήντα
[b] Forte, ἐκεῖνον
[c] Forte, τετολμηκότα,
[d] vel ἐκέλευσα, ex Latino.

Ἕως ὧδε τὰ ἐν Κωνσταντινουπόλει ἐπὶ Φλαβιανοῦ.

Ἐν Ἐφέσῳ ἐπὶ Διοσκόρου.

Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπε· συμφέρομαι τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ ἐκείνην πάλιν βεβαιωσάντων· καὶ τοὺς ἐναντία φρονοῦντας κατά τι ἢ τοῖς ἐν Νικαίᾳ ἢ ἐν Ἐφέσῳ τυπωθεῖσιν, ἀποστρέφομαι, ἀναθεματίζων τοὺς διαιροῦντας μετὰ τὴν ἕνωσιν εἰς δύο φύσεις, ἢ ὑποστάσεις, ἢ πρόσωπα, τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μεμφόμενος, καὶ ἐπιλαμβανόμενος τῆς φωνῆς τῆς ἐμαυτοῦ, ἣν περὶ τῶν δύο φύσεων κατεθέμην ἐν τοῖς πραχθεῖσιν ὑπομνήμασιν ἐν τῇ βασιλευούσῃ πόλει· καὶ προσκυνῶ τὴν μίαν φύσιν τῆς θεότητος τοῦ μονογενοῦς ἐνανθρωπήσαντος καὶ σεσαρκωμένου.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι ταῦτα, Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· οὐ κέχρημαι ἄλλοις μάρτυσιν· διὰ τοῦ μακαρίου Ἰωάννου τοῦ ἐπισκόπου παρεκάλεσα διορθώσασθαι τὴν διαλαλιάν μου, δεδοικώς σε τὸν εὐλαβέστατον Διόσκορον, καὶ φοβούμενος. πολλὴν γὰρ ἐπέστησας ἡμῖν τότε ἀνάγκην, τὴν μὲν ἔξωθεν, τὴν δὲ ἔνδοθεν, τὴν δὲ ἀπὸ τῆς γλώσσης σου. εἰσέτρεχον γὰρ εἰς τὴν ἐκκλησίαν στρατιῶται μετὰ ὅπλων, καὶ εἱστήκεισαν οἱ μονάζοντες μετὰ Βαρσουμᾶ, καὶ οἱ παραβαλανεῖς, καὶ πλῆθος ἄλλο πολύ. ὁρκωθῶσι πάντες· ὁρκωθῇ Αὐξόνιος ὁ ἐπίσκοπος ὁ Αἰγύπτιος· ὁρκωθῇ Ἀθανάσιος, εἰ μὴ ἔλεγον· μὴ κύρι, μὴ καθέλῃς τὴν ὑπόληψιν πάσης τῆς οἰκουμένης. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἐγώ σε ἠνάγκασα; Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· εἰς τοιαύτην μιαιφονίαν σὺ ἡμᾶς ἠνάγκασας ταῖς ἀπειλαῖς τοῦ πολλοῦ πλήθους μετὰ τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ. συλλάβεσθε ποίαν ἐπήγαγε βίαν τότε, τὴν ἐξουσίαν πάντων εἰληφὼς τῶν πραγμάτων, καὶ τῆς κρίσεως, ὁπότε νῦν πᾶσαν τὴν σύνοδον θορυβεῖ· [e] ἓξ αὐτοῦ εἰσι περιλελειμμένοι, καὶ θορυβεῖ πάντας ἡμᾶς. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· καὶ ὁ ἐμὸς νοτάριος Δημητριανὸς ἕτοιμός ἐστιν ἀποδεῖξαι, ὅτι παρεκλήθη παρὰ σοῦ λάθρα, ὥστε μετατυπώσασθαι τὴν φωνήν. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· ἀξιῶ τὴν μεγαλοπρέπειαν ὑμῶν, ἕκαστον τῶν μητροπολιτῶν ἐπισκόπων, καὶ τὸν Λυκαονίας, καὶ Φρυγίας, καὶ Πέργης, καὶ τοὺς ἄλλους, ἐλθεῖν ὧδε, καὶ ἐπὶ τῶν εὐαγγελίων εἰπεῖν, εἰ μὴ μετὰ τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ πάντων ἡμῶν κατηφῶν γενομένων, καὶ τῶν μὲν ὀκνούντων ῥῆξαι φωνήν, τῶν δὲ φευγόντων, ἀναστὰς αὐτὸς, καὶ στὰς ἐφ' ὑψηλοῦ, ἐσημείωσε, καὶ ἔλεγε· βλέπετε, εἴ τις οὐ θέλει ὑπογράψαι, πρὸς ἐμὲ ἔχει. ὁρκωθῇ ὁ κύριος Εὐσέβιος, εἰ μὴ ἐκινδύνευσε καθαιρεθῆναι, πρὸς ὀλίγον ἀναβαλλόμενος τὴν φωνήν. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· οὔπω τῶν κατὰ Φλα-

[e] Forte, ἓξ αὐτοὶ ex Latino.

Actio Prima. Acta alia Constant.

A *simus & piissimus noster Imperator precepit colligi tam episcopos quam magnificentissimum & gloriosissimum Exprafectum & Consulem & Patricium Florentium, precibus datis ab Eutyche reverentissimo archimandrita, & accusante gesta quae acta sunt, tamquam maligne a notariis immutata; & certa subsecuta sunt in facta synodo. Cum vero recederem, obvius mihi factus est Asterius presbyter & notarius, conjurans me audire ab ipso, quae volebat effari. Accusabat autem reverendum Abraamium & notarios, tamquam immutantes in gestis quaedam capitula: & quia necessarium habet ipse, metuens hujusmodi malignitatem, illos quidem ostendere talia, sed sine ejus scientia, commisisse. Flavius Ariovindus Martialis vir magnificus, Comes & magister sacrorum officiorum, dixit: Et hac similiter professio gestis inseratur; edantur. Flavius Carterius V. C. Comes, & proximus sacri scrinii libellorum, sacrarumque cognitionum, gesta edi precepi. Flavius Eusthius vir devotus, exceptor sacri scrinii libellorum, sacrarumque cognitionum gesta edidi.* B

Huc usque gesta Constantinopoli sub Flaviano.

Ephesi acta sub Dioscoro.

Basilius episcopus Seleucia Isauria dixit: Consentio fidei sanctorum patrum qui in Nicaea fuerunt, & qui in Epheso eamdem iterum confirmaverunt. Eos vero qui contraria sentiunt in aliquo, vel his quae in Epheso ordinata sunt, aversor: anathematizans dividentes post unionem in duas naturas, vel subsistentias, vel personas unum Dominum nostrum Jesum Christum: accusans & reprehendens propriam vocem, quam de duabus naturis professus sum in gestis habitis apud regiam civitatem; & adoro unam naturam deitatis Unigeniti [a] *inhumanati & incarnati.* C

[a] al. hominis facti

Chalced. Acta.

Et cum legerentur, Basilius reverentissimus episcopus Seleuciae Isauriae dixit: Non utor aliis testibus. Per beatum Joannem episcopum rogavi emendari interlocutionem meam, timens ac metuens te reverentissimum Dioscorum. Magnam enim nobis necessitatem imposuisti tunc, tam quidem ab his qui foris [b], quam ex lingua tua. Irruebant enim in ecclesiam milites cum armis, instabant monachi qui cum Barsuma, & [c] parabalani, & multitudo alia grandis. Conjurentur omnes; conjuretur Auxonius episcopus Aegyptius, conjuretur Athanasius, quia dicebam: Noli, domne, noli solvere totius orbis opinionem. Dioscorus reverentissimus episcopus Alexandriae dixit: Ego te coëgi? Basilius reverentissimus episcopus Seleuciae Isauriae dixit: In tale nos homicidium tu compulisti per minas multitudinis post damnationem beatissimi Flaviani. Conjicite, quantam tunc intulit violentiam, omnium rerum potestatem adeptus & judicii, cum etiam & nunc omne conturbet concilium. Sex illi tantum relicti sunt, & omnes nos conturbat. Dioscorus reverentissimus episcopus Alexandriae dixit: Et meus notarius Demetrianus paratus est approbare, quia clam ab ipso rogatus est vocem suam immutare. Basilius reverentissimus episcopus Seleuciae Isauriae dixit: Precor magnificentiam vestram, singulos metropolitanos episcopos, & Lycaoniae, & Phrygiae, & Pergensem, & ceteros venire huc: & praesentibus sacrosanctis Evangeliis dicere, si non post damnationem beati Flaviani omnibus nobis tristibus effectis, & aliquantis quidem nolentibus emittere vocem, aliquantis autem fugientibus, exsurgens ipse, & stans in alto, designabat & dicebat: Videte; qui non vult subscribere, ad me habet. Conjuretur domnus Eusebius, nisi periclitatus sit ipse damnari, quia parum distulit vocem. Dioscorus reverentissimus episcopus Alexandriae dixit: Necdum disceptatis his quae contra Fla- D E

[b] *Additur in Graeco*, & qui intus erant.
[c] al. qui parabalani nuncupantur.

ACTIO PRIMA.

ANNO CHRISTI 449.

vianum agebantur, vocem suam reprehendit, & rogavit auferri. Basilius reverentissimus episcopus Seleuciæ Isauriæ dixit: Quidquid professus est contra me, jubete manifestum mihi fieri, ut adversus eum [a] respondeam. Onesiphorus reverentissimus episcopus Iconii dixit: Postquam lecta sunt hæc omnia, quæ nunc relecta sunt, regula legebatur [b], in qua continebatur, nullum debere jam de fide quærere aliquid, neque episcopum, neque clericum; alioquin esse eum condemnatum; si autem laïcus est, ut excommunicatus exsisteret. Dico his qui juxta me considebant, episcopis: Regula ista propter nihil aliud legitur, nisi ut Flavianus episcopus damnetur. Erat autem mecum reverentissimus episcopus Synnadæ Marinianus, & Pergensis Domnus Epiphanius. Dicit mihi Pergensis: Absit; sed si aliqua forte indignatio procedat, contra Eusebium utique futura est. Nam contra Flavianum nemo erit insanus, ut frustra tale aliquid faciat. Post lectam hanc regulam, confestim dicit: Da hic notarios. Et allata & relecta est damnatio beati Flaviani. Tollens ergo ego alios episcopos, surrexi, & tenui genua ipsius, dicens: Noli, per vestigia reverentiæ vestræ; nihil dignum damnatione egit. Si autem & reprehensione dignus est, reprehendatur. Et exsurgens de throno, stans super scabellum suum dixit: Seditionem mihi movetis? Da comites. Et ita timentes subscripsimus. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Mentitur. Pœnas sustineat. Non dixi, Da comites. Da, qui dicant. Et exsurgente Mariniano reverentissimo episcopo Synnadensi, dixit ad eum Dioscorus reverentissimus episcopus: Interminatus dixi, Adduc comites huc? Marinianus reverentissimus episcopus Synnadensis dixit: Dum vellet proferre sententiam, surrexi ego & domnus Onesiphorus, & domnus Nunechius Laodicensis, & alii, & tenuimus pedes ejus, dicentes: Quia & tu presbyteros habes; non debet propter presbyterum damnari domnus episcopus. Deinde ipse dicit: Etiamsi lingua mihi præcidatur, aliam vocem non emitto. Sic irruit multitudo, & permanebamus nos, tenentes genua ejus, & rogantes eum; & tunc emisit hanc vocem: Ubi sunt comites? Amans veritatem dico. Ingressi sunt comites, & introduxerunt Proconsulem cum multitudine magna & catenis; post hoc unusquisque nostrum subscripsit. Dioscorus reverentissimus episcopus dixit: Non erant decem, aut viginti, aut triginta, aut centum soli; ex ipsis autem adduco testes, quia ex iis quæ dixit, nihil verum est. Quoniam vero laboravit magnificentia vestra, si placet, differatur: & iterum quidquid tractaveritis, facimus. Gloriosissimi judices & amplissimus Senatus dixerunt: Cetera relegantur.

[a] *al.* responsa præparem.

[b] *Græce, additur,* in Epheso.

A νιανὸν ἐξεταζομένων, ἐπελάβετο τῆς φωνῆς αὐτοῦ, καὶ ἠξίωσε περιαιρεθῆναι ταύτην. Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· εἴ τι κατέθετο κατ᾽ ἐμοῦ, κελεύσατε γενέσθαι μοι φανερὸν, ὥστε με πρὸς αὐτὸν τὰς ἀποκρίσεις ποιήσασθαι. Ὀνησιφόρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰκονίου εἶπε· μετὰ τὸ ἀναγνωσθῆναι ταῦτα πάντα τὰ νῦν ἀναγνωσθέντα, δῆλον ὅτι ὁ ἐν Ἐφέσῳ κανὼν ἀνεγινώσκετο, ἐν ᾧ περιείχετο, μηκέτι περὶ πίστεώς τινα μηδένα ζητεῖν, μήτε ἐπίσκοπον, μήτε κληρικὸν, ἐπεὶ εἶναι αὐτὸν καθῃρημένον. ἐὰν δὲ λαϊκὸς ἐστιν, ἀκοινώνητον αὐτὸν τυγχάνειν. λέγω τοῖς πλησίον μου καθεζομένοις ἐπισκόποις. οὗτος ὁ κανὼν δι᾽ οὐδὲν ἕτερον ἀναγινώσκεται, ἢ ἵνα ὁ ἐπίσκοπος Φλαβιανὸς καθαιρεθῇ. ἦν δὲ μετ᾽ ἐμοῦ ὁ ἐπίσκοπος Συνάδων Μαρινιανὸς ὁ εὐλαβέστατος, καὶ ὁ Πέργης ὁ κύριος Ἐπιφάνιος. λέγει μοι ὁ Πέργης· μὴ γένοιτο. ἀλλ᾽ εἰ ἄρα ἀγανάκτησις ἔχει γενέσθαι, γίνεται κατὰ Εὐσεβίου κατὰ γὰρ B Φλαβιανοῦ οὐδεὶς ἔχει μανῆναι, καὶ εἰκοδόν τι ποιῆσαι ἀμάτως. μετὰ τὸ ἀναγνωσθῆναι τὸν κανόνα τοῦτον, εὐθέως λέγει· δὸς ὧδε τοὺς νοταρίους. καὶ εἰσήχθη, καὶ ἀνεγινώσκετο τὸ καθαιρετικὸν τοῦ μακαρίου Φλαβιανοῦ. λαβὼν ἐγὼ ἄλλους ἐπισκόπους, ἀνέστην, καὶ κατεῖχον τὰ γόνατα αὐτοῦ, λέγων· μὴ, τῶν ποδῶν τῆς θεοσεβείας σου· οὐδὲν ἄξιον καθαιρέσεως ἔπραξεν. εἰ δὲ καταγνώσεώς ἐστιν ἄξιος, καταγνωσθῇ. καὶ ἀναστὰς ἀπὸ τοῦ θρόνου, καὶ στὰς εἰς τὸ ὑποπόδιον αὐτοῦ, λέγει· στάσιν μοι κινεῖτε; δὸς τοὺς κόμητας. καὶ οὕτω φοβηθέντες ὑπεγράψαμεν. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· ψεύδεται· δίκας ὑπεχέτω· δὸς τοὺς λέγοντας. καὶ ἀναστάντος Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συνάδων, Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε πρὸς αὐτόν· εἶπον ἀπειλήσας, φέρε τοὺς κόμητας ὧδε; Μαρινιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Συνάδων εἶπεν· ὡς ἔμελλεν ἀποφαίνεσθαι, ἀνέστην ἐγὼ, καὶ ὁ κύριος Ὀνησιφόρος, καὶ ὁ κύριος Νουνέχιος ὁ Λαοδικείας, καὶ ἄλλοι καὶ κατέχομεν C αὐτοῦ τοὺς πόδας, λέγοντες· ὅτι καὶ σὺ πρεσβυτέρους ἔχεις, καὶ οὐκ ὀφείλει διὰ πρεσβύτερον καθαιρεθῆναι ὁ κύριος ἐπίσκοπος. εἶτα αὐτὸς λέγει· ἐὰν γλωσσοτομηθῶμαι, ἄλλην φωνὴν οὐκ ἀφίημι. οὕτως συνέρρευσε πλῆθος· καὶ ἐπεμένομεν κρατοῦντες αὐτοῦ τὰ γόνατα, καὶ παρακαλοῦντες αὐτόν· καὶ ἀφῆκε τὴν φωνὴν ταύτην. ποῦ εἰσιν οἱ κόμητες; φίλω ἡ ἀλήθεια. εἰσῆλθον οἱ κόμητες, καὶ εἰσήγαγον τὸν ἀνθύπατον μετὰ κλοιῶν, καὶ μετὰ πλήθους πολλοῦ καὶ λοιπὸν ἕκαστος ἡμῶν ὑπέγραψεν. Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· οὐκ ἦσαν δέκα, ἢ εἴκοσι, ἢ τριάκοντα, ἢ ἑκατὸν μόνοι. ἐξ αὐτῶν δὲ ἐγὼ φέρω μάρτυρας, ὅτι οὐδὲν ὧν εἴρηκεν, ἀληθές ἐστιν. ἐπειδὴ δὲ ἔκαμεν ἡ μεγαλοπρέπεια ὑμῶν, εἰ δοκεῖ ὑπερτεθῆναι· καὶ πάλιν, ὃ δ᾽ ἂν σκοπηθείη, ποιοῦμεν. οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· ἀναγινωσκέσθω τὰ λοιπά.

Veronicianus vir devotissimus secretarius sacri consistorii ex eadem scheda recitavit.

EPHESI ACTA.

Seleucus episcopus dixit: Congruo & consentio iis quæ in Nicæa a sanctis patribus exposita sunt, & in Epheso confirmata: & reprehendo vocem meam, quam dixi in gloriosissima Constantinopoli, habentem, quia oportet in duabus naturis Dominum nostrum post adunationem prædicari, anathematizans eos, qui in duas naturas, vel in duas subsistentias, aut in duas personas post adunationem dividunt Dominum nostrum Jesum Christum, & alienos arbitror ab ecclesiastica communione. Eutyches archimandrita dixit: Pervidet & vestra reverentia, quia relectorum actio ostendit, gesta priora esse falsata. Habemus vero & nunc professionem viri laudabilis Magni Silentiarii, factam sub viro magnificentissimo magistro; & postulamus hanc relegi. Flavianus episcopus Constantinopolitanæ urbis dixit: Falsa est. Dioscorus episcopus Alexandriæ dixit: Si quid scit Dei amantissimus episcopus Flavianus sua opinioni congruum, in scriptis dicat. Flavianus episcopus Constantinopolitanæ urbis dixit: Occlusisti mihi omnem justam allegationem. Dioscorus epis-

D Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω.

Ἐν Ἐφέσῳ τὰ Διοσκόρου.

Σέλευκος ἐπίσκοπος εἶπε· συμφέρομαι, καὶ συντίθεμαι τοῖς ἐν Νικαίᾳ ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων, καὶ τοῖς ἐν Ἐφέσῳ βεβαιωθεῖσι· καὶ μέμφομαι τὴν φωνήν μου, ἣν εἶπον ἐν τῇ λαμπρᾷ Κωνσταντινουπόλει, ἔχουσαν, δεῖν ἐν δύο φύσεσι τὸν κύριον ἡμῶν δογματίζεσθαι μετὰ τὴν ἕνωσιν, ἀναθεματίζων τοὺς εἰς δύο φύσεις, ἢ δύο ὑποστάσεις, ἢ δύο πρόσωπα μετὰ τὴν ἕνωσιν διαιροῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ ἀλλοτρίους ἡγοῦμαι τῆς ἐκκλησιαστικῆς συναφείας. E Εὐτυχὲς ἀρχιμανδρίτης εἶπε· συνεῖδεν ἡ ὑμετέρα θεοσέβεια, ὅτι τῶν ἀναγνωσθέντων ἡ πρᾶξις ἔδειξε παραπεποιημένα τὰ πρότερα ὑπομνήματα. ἔχομεν δὲ καὶ νῦν τὴν κατάθεσιν τοῦ θαυμασιωτάτου σιλεντιαρίου Μάγνου, τὴν γενομένην ἐπὶ τοῦ μεγαλοπρεπεστάτου μαγίστρου καὶ ἀξιοῦμεν ταύτην ἀναγνωσθῆναι. Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε· ψευδής ἐστι. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· εἴ τι ἔγνωκεν ὁ θεοφιλέστατος ἐπίσκοπος Φλαβιανὸς συμβαλλόμενον αὐτοῦ τῇ ὑπολήψει, λεγέτω ἐγγράφως. Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἀπέκλεισάς μου πᾶσαν δικαιολογίαν. Διόσκορος ἐπι-

σκοπος Ἀλεξανδρείας εἶπεν· οἶδεν ἡ παροῦσα ἁγία σύνοδος, εἰ ἀπέκλεισά σου τι. εἰπὲ οὖν εἴ τι οἶδας συμβαλλόμενόν σοι, εἰπέ. Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· συνεχωρήθη μοι λαλῆσαι; Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· οὐδείς σε ἐκώλυσεν· οἶδεν ἡ ἁγία σύνοδος. Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἡ δευτέρα πρᾶξις οὐδὲν ἔχει πλαστὸν, οἶδε καὶ ὁ κύριος Θαλάσσιος, οἶδε καὶ ὁ κύριος Εὐσέβιος. Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· οὐδεὶς ἐκώλυσε τοῦ λαλῆσαι τὴν σὴν ὁσιότητα. εἴ τι τοίνυν ἔχεις συμβαλλόμενον, εἰπέ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· κύριε Εὐσέβιε εἰπέ· ἐκώλυσα αὐτὸν λαλῆσαι; Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· ὡς οἶδεν ὁ Θεὸς, ἀνεχόμεθά σε λαλοῦντα. Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ἔτι καὶ νῦν, εἴ τι θέλεις, εἰπέ. Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἐπὶ τοῦ κυρίου Θαλασσίου καὶ τοῦ κυρίου Εὐσεβίου, παρόντος καὶ τοῦ σιλεντιαρίου Μάγνου, ἐγένετο ἡ πρᾶξις, καὶ ἐξητάσθη, καὶ οὐδὲν τοιοῦτον ἀπεδείχθη. ἕκαστος τῶν τότε παρόντων ἐπισκόπων, ὡς ἐπὶ Θεοῦ, ἃ ἤκουσεν, εἰπέ. καὶ ἀψευδῶς εἰρέθη. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· κύριε Στέφανε ἐπίσκοπε, εἰπὲ, εἰ ἐκώλυσα αὐτόν. Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· ἰδοὺ, ποῦ ἐστιν; ἐὰν ἐκώλυσας αὐτὸν, εἰπάτω. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· εἴπατε πάντες, εἰ ἐκώλυσα αὐτόν. ἡ ἁγία σύνοδος εἶπεν· οὐκ ἐκωλύσαμεν αὐτόν. Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἐμοῦ τῶν πεπραγμένων οὐδὲν ἅπτεται ἀλλὰ τὸν Θεόν. οὐδὲν γὰρ ἑτέρως ἐδόξασα, ἢ ἐφρόνησα ποτὲ, ἢ φρονῶ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· δήλων ὄντων τῶν πραχθέντων, λεγέτω ἕκαστος τῶν παρόντων ἁγίων ἐπισκόπων, ὅπως οἶδε πιστεύοντα τὸν ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ τί περὶ αὐτοῦ ποιεῖ.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ἐν τῷ αὐτὸν συνεχῶς καταπεπεῖσθαι, ὡς ἀκολουθεῖ τῇ ἐκθέσει τῆς πίστεως τῆς ἐν Νικαίᾳ συνόδου, καὶ τοῖς ἐν Ἐφέσῳ πραχθεῖσι τῇ προτέρᾳ μεγάλῃ καὶ ἁγίᾳ συνόδῳ, ὀρθοδοξότατον ἐν οἷς ἀπεφθέγξατο καταλαμβάνω. κἀγὼ δὲ ψηφίζομαι, καὶ βούλομαι εἶναι αὐτὸν καὶ ἐν τῷ μοναστηρίῳ, καὶ ἐν τῷ οἰκείῳ βαθμῷ. ἡ ἁγία σύνοδος εἶπεν· αὕτη δικαία κρίσις.

tivitas carnis, manifestatio est humanæ naturæ: partus Virginis, divinæ est virtutis indicium: infantia parvuli ostenditur humilitate cunarum: magnitudo Altissimi declaratur vocibus angelorum. Similis est rudimentis hominum, quem Herodes impius molitur occidere: sed Dominus est omnium, quem magi gaudentes veniunt suppliciter adorare. Jam cum ad præcursoris sui Joannis baptismum venit, ne lateret, quod carnis velamine divinitas tegeretur, vox Patris de cælo intonans dixit: *Hic est Filius meus dilectus, in quo mihi complacui.* Quem itaque sicut hominem diabolica tentat astutia, eidem sicut Deo angelica famulantur officia. Esurire, sitire, lassescere, atque dormire, evidenter humanum est: sed quinque panibus quinque millia hominum satiare, & largiri Samaritanæ aquam vivam, cujus haustus bibenti præstet, ne ultra jam sitiat; supra dorsum maris plantis non subsidentibus ambulare, & elationes fluctuum increpata tempestate consternere, sine ambiguitate divinum est. Sicut ergo (ut multa prætereeam) non ejusdem naturæ est, flere miserationis affectu amicum mortuum, & eumdem remoto quatriduanæ aggere sepulturæ, ad vocis imperium excitare redivivum; aut in ligno pendere, & in noctem luce conversa, omnia elementa tremefacere; aut clavis transfixum esse, & paradisi portas fidei latronis aperire: ita non ejusdem est naturæ dicere: *Ego & Pater unum sumus:* & dicere, *Pater major me est.* Quamvis enim in Domino Jesu Christo, Dei & hominis una persona sit; aliud tamen est, unde in utroque communis est contumelia, aliud, unde communis est gloria. De nostro enim illi est minor Patre humanitas: de Patre illi est æqualis cum Patre divinitas.

S. Leonis papæ Epistola ad Flavianum Ep. Co. — Ibidem. — Galat. 4. — Matth. 3. — Joan. 10. — Joan. 14.

V. Propter hanc unitatem personæ, in utraque natura intelligendam, & filius hominis legitur descendisse de cælo, cum Filius Dei carnem de ea Virgine, de qua est natus, assumpserit. Et rursus, Filius Dei crucifixus dicitur ac sepultus, cum hæc non in divinitate, qua unigenitus consempiternus & consubstantialis est Patri, sed in naturæ humanæ sit infirmitate perpessus. Unde unigenitum Filium Dei crucifixum & sepultum, omnes etiam in symbolo confitemur, secundum illud Apostoli dictum: *Si enim cognovissent, nunquam Dominum majestatis crucifixissent.* Cum autem ipse Dominus noster atque Salvator fidem discipulorum suis interrogationibus erudiret: *Quem,* inquit, *dicunt homines esse filium hominis?* cumque illi diversas aliorum opiniones retexuissent: *Vos autem,* ait, *quem me esse dicitis?* Me utique, qui sum filius hominis, & quem in forma servi atque in veritate carnis aspicitis, quem me esse dicitis? Ubi beatus Petrus divinitus inspiratus & confessione sua omnibus gentibus profuturus: *Tu es,* inquit, *Christus Filius Dei vivi.* Nec immerito beatus est pronuntiatus a Domino, & a principali petra soliditatem & virtutis traxit & nominis, qui per revelationem Patris eumdem & Filium Dei est confessus & Christum; quia unum hominem sine alio receptum non proderat ad salutem: sed æqualis erat periculi, Dominum Jesum Christum aut Deum tantummodo sine homine, aut sine Deo solum hominem credidisse. Post resurrectionem vero Domini, quæ utique veri corporis fuit, quia non alter est resuscitatus, quam qui fuerat crucifixus & mortuus, quid aliud quadraginta dierum mora gestum est, quam ut fidei nostræ integritas ab omni caligine mundaretur? Colloquens enim cum discipulis suis, & cohabitans atque convescens, & pertractari se diligenti curiosoque contactu ab eis, quos dubietas perstringebat, admittens: ideo & clausis ad discipulos januis introibat, & flatu suo dabat Spiritum sanctum, & donato intelligentiæ lumine, sanctarum scripturarum

1. Cor. 2. — Matth. 16. — Matth. 16. — Act. 1. — Joan. 20.

A ἡ μὲν τῆς [a] σαρκώσεως γέννησις ἀνθρωπίνης ἐστὶ δήλωσις φύσεως, ὁ δὲ τοκετὸς τῆς παρθένου αἰνίγμα τῆς θείας ὑπάρχει δυνάμεως. καὶ ἡ μὲν νηπιότης τοῦ βρέφους διὰ τῆς τῶν σπαργάνων ἀπλείας ἐπιγινώσκεται· τὸ δὲ μέγεθος τῆς αὐτοῦ μεγαλωσύνης διὰ τῶν ἀγγελικῶν φωνῶν ἀποδείκνυται· καὶ ὁμοιοῦται μὲν τοῖς νεωστὶ τικτομένοις ἀνθρώποις οὗτος, ὃν Ἡρώδης ἀσεβὼς φονεῦσαι βούλεται· ἀλλὰ ἐστὶ δεσπότης τῶν ὅλων, ὃν μάγοι χαίροντες ἱκετικῶς προσκυνοῦσι. ὅτι δὲ πρὸς τὸ τοῦ προδρόμου αὐτοῦ Ἰωάννου ἔρχεται βάπτισμα, ὅπως ἂν μὴ λάθῃ, ὅπερ τῷ προκαλύμματι τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο, ἡ τοῦ πατρὸς φωνὴ ἐξ οὐρανοῦ ἐπιβοῶσα, φησίν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· τοιγαροῦν ὃν ὡς ἄνθρωπον ἡ τοῦ διαβόλου πειράζει πανουργία, τούτῳ, ἅτε δὴ Θεῷ, ἡ τῶν ἀγγέλων τάξις

B διακονεῖ. τὸ μὲν γὰρ πεινῆν, καὶ διψῆν, καὶ κοπιᾷν, καὶ ὑπνοῦν, ὁμολογουμένως ἐστὶν ἀνθρώπου. ἀλλὰ τὸ πέντε ἄρτοις πέντε χιλιάδας ἀνθρώπων χορτάσαι, καὶ χαρίσασθαι τῇ Σαμαρείτιδι ζῶν ὕδωρ, ὅθεν ἀρυσαμένη αὐτῇ ὑπῆρχε τὸ μηκέτι διψῆν· καὶ ἐπὶ μὲν νώτου θαλάσσης περιπατεῖν, τῶν ποδῶν οὐ βαπτιζομένων, τὰς δὲ τῶν κυμάτων οἰδήσεις, ἐπιτιμηθέντος τοῦ κλύδωνος, καταπαύειν, ἐστὶν ἀναμφιβόλως Θεοῦ. ὥσπερ οὖν, ἵνα τὰ πολλὰ παραλείψω, οὐ τῆς αὐτῆς ἐστι φύσεως τὸ κλαίειν ἐκ διαθέσεως οἴκτου τὸν τελευτήσαντα φίλον, καὶ τὸ τὸν αὐτὸν ἀναζῆν μέλλοντα, διασκεδασθείσης τῆς προσχώσεως, τῆς τεταρταίας ἤδη ταφῆς ἐξαναστῆσαι πρὸς τὸ κέλευσμα τῆς φωνῆς· ἢ τὸ ἐπὶ ξύλου κρεμασθῆναι, καὶ ἐξ ἡμέρας εἰς νύκτα μεταβληθείσης τὰ στοιχεῖα πάντα συσσεῖσαι· ἢ τὸ διαπεπάρθαι τοῖς ἥλοις, καὶ τὰς τοῦ παραδείσου πύλας ἀνοῖξαι τῇ πίστει τῇ τοῦ λῃστοῦ· οὕτως οὐ τῆς αὐτῆς ἐστι φύσεως τὸ λέ-

C γειν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ τὸ λέγειν· ὁ πατήρ μου μείζων μου ἐστίν. εἰ καὶ τὰ μάλιστα γὰρ ἐν τῷ δεσπότῃ Ἰησοῦ Χριστῷ τοῦ Θεοῦ, καὶ τοῦ ἀνθρώπου ἕν ἐστι τὸ πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο, ἐξ οὗ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως, καὶ ἕτερον ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν. ἐξ ἡμῶν μὲν γάρ ἐστιν αὐτῷ ἡ ἐλάσσων τοῦ πατρὸς ἀνθρωπότης, ἀπὸ δὲ τοῦ πατρὸς ἐστιν αὐτῷ ἡ μετὰ τοῦ πατρὸς ἴση θεότης.

Διὰ ταύτην τοίνυν τοῦ προσώπου τὴν ἕνωσιν, τὴν ἐν ἑκατέρᾳ φύσει νοεῖσθαι ὀφείλουσαν, καὶ υἱὸν ἀναγινώσκομεν ἀνθρώπου καταπεφοιτηκέναι ἐξ οὐρανοῦ ὅτε ὁ υἱὸς τοῦ Θεοῦ τὸ σῶμα ἐξ αὐτῆς τῆς παρθένου, ἐξ ἧς ἐτέχθη, προσείληφεν· καὶ πάλιν ὁ υἱὸς τοῦ Θεοῦ σταυρωθεὶς λέγεται, καὶ ταφείς· ὅτε ταῦτα οὐκ ἐν αὐτῇ θεότητι, ἐν ᾗ μονογενής, καὶ συναΐδιος, καὶ ὁμοούσιός ἐστι

D τῷ πατρί, ἀλλ' ἐν τῇ ἀσθενείᾳ τῆς ἀνθρωπίνης ὑπομεμένηκε φύσεως. ὅθεν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ σταυρωθέντα, καὶ ταφέντα, πάντες καὶ ἐν τῷ συμβόλῳ συνομολογοῦμεν, κατ' ἐκεῖνο τὸ ἀποστολικόν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ὅτε δὲ αὐτὸς ὁ κύριος ἡμῶν, καὶ σωτὴρ τὴν πίστιν τῶν μαθητῶν διὰ τῶν οἰκείων ἐξεπαίδευσεν ἐρωτήσεων. [b] τίνα, φησί, λέγουσιν οἱ ἄνθρωποι εἶναι υἱὸν τοῦ ἀνθρώπου; καὶ ἐκείνων ἀποκριναμένων, ἄλλας ἄλλων εἶναι δόξας· ὑμεῖς, φησί, τίνα με λέγετε εἶναι; ἐμὲ δηλαδὴ τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ ὃν ἐν μορφῇ δούλου, καὶ ἀληθείᾳ σώματος θεωρεῖτε, τίνα με λέγετε; ἔνθα ὁ μακάριος Πέτρος θεόθεν ἐμπνευσθείς, καὶ διὰ τῆς οἰκείας ὁμολογίας πᾶσι μέλλων γενέσθαι σωτηρία τοῖς ἔθνεσι, σὺ εἶ, φησίν, ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, τοῦ ζῶντος· καὶ ἀξίως μακάριος ἀπεφάνθη παρὰ τοῦ κυρίου, καὶ ἀπὸ τῆς πρωτοτύπου πέτρας τὸ [c] στερεὸν ἐπεσπάσατο τῆς τε ἀρετῆς, καὶ τῆς προσηγορίας· ὅς γε δι' ἀποκαλύψεως τοῦ πα-

E τρὸς τὸν αὐτὸν καὶ υἱὸν Θεοῦ ὡμολόγησε, καὶ Χριστόν· ἐπειδήπερ ἐν τούτων δίχα θατέρου λαμβανόμενον, οὐδὲν ὠφέλησεν εἰς σωτηρίαν· καὶ τοῦ αὐτοῦ ὑπῆρχε κινδύνου τὸ τὸν κύριον Ἰησοῦν Χριστὸν ἢ Θεὸν μόνον ἄνευ ἀνθρώπου, ἢ δίχα Θεοῦ πιστεύειν ἄνθρωπον μόνον. κατὰ δὲ τὴν ἀνάστασιν τοῦ κυρίου, ἥ τις δηλαδὴ τοῦ ἀληθοῦς αὐτοῦ σώματος γέγονεν, ἐπειδήπερ οὐκ ἄλλος ἀνέστη, εἰ μὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών, τί ἕτερον τῇ τῶν τεσσαράκοντα ἡμερῶν αὐτοῦ διατριβῇ γέγονεν, ἢ ἵνα ἐκ πάσης ἀχλύος τὰ τῆς πίστεως ἡμῶν καθαρθῇ; διαλεγόμενος γὰρ ἑαυτοῦ μαθηταῖς, καὶ συνδιατρίβων, καὶ [d] συναλιζόμενος, ἀκριβέστερόν τι, καὶ πολυπραγμονέστερον διὰ τῆς ἁφῆς ἑαυτὸν ψηλαφᾶσθαι παρὰ τούτων, οὓς ἔπληττε τὸ ἀμφίβολον, ἐνεδίδου· διὰ τοῦτο καὶ κεκλεισμένων τῶν θυρῶν εἰσῄει πρὸς τοὺς μαθητάς, καὶ τῷ φυσήματι τῷ ἑαυτοῦ παρεῖχεν ἅγιον πνεῦμα· καὶ χαριζόμενος τὸ φῶς τὸ τῆς γνώσεως, τῶν θείων γρα-

ANNO CHRISTI 451.

[a] Forte συγγένεσις ex Latino.

[b] Forte, τίνα με, φασί.

[c] Forte, στερρὸν

[d] Forte, συναυλιζόμενος.

φὰν ἀπεκάλυψε τὰ ἀπόῤῥητα· καὶ πάλιν ὁ αὐτὸς τὰ τραύματα τῆς πλευρᾶς, καὶ τὰς διατρήσεις τῶν ἥλων, καὶ πάντα τὰ τοῦ νεαροῦ πάθους ἐπεδείκνυ σημεῖα, λέγων· ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα· ὅπως ἂν μεμαθηκέναι ἐν αὐτῷ γνωσθῇ ἡ ἰδιότης τῆς τε θείας καὶ τῆς ἀνθρωπίνης φύσεως ἀδιαίρετος· οὕτω τε μάθωμεν τὸν λόγον, μὴ τοῦτο εἶναι, ὅπερ ἐστὶν ἡ σάρξ, ἀλλ' ἵνα υἱὸν τοῦ Θεοῦ καὶ τὸν λόγον ὁμολογήσωμεν, καὶ τὴν σάρκα. τῆς πρὸς πίστιν τοῦ μυστηρίου κενὸς ὢν Εὐτυχὴς οὗτος καὶ ἀμέτοχος ὀφείλει νομίζεσθαι· ὃς τὴν φύσιν τὴν ἡμετέραν ἐν τῷ μονογενεῖ υἱῷ τοῦ Θεοῦ οὔτε διὰ τῆς ταπεινότητος τῆς ἀνθρωπότητος, οὔτε διὰ τῆς δόξης ἔγνω τῆς ἀναστάσεως· οὔτε τὴν ἀπόφασιν ἐφρίξε τοῦ μακαρίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου τοῦ λέγοντος· ὅτι πᾶν πνεῦμα τὸ ὁμολογοῦν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, ἀπὸ Θεοῦ ἐστι, καὶ πᾶν πνεῦμα τὸ διαιροῦν Ἰησοῦν Χριστὸν, ἀπὸ Θεοῦ οὐκ ἔστι· καὶ οὗτός ἐστιν ὁ ἀντίχριστος· τί δέ ἐστι τὸ [a] διαιροῦν Ἰησοῦν, εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ φύσιν ἀποχωρίζειν, καὶ τὸ μυστήριον, δι' οὗ περ ἐσώθημεν μόνου, πειρᾶσθαι μάταιον διὰ πλασμάτων ἀναιδῶν ἀπεργάζεσθαι; ὁ δὲ τὴν ἀχλὺν ὑφιστάμενος περὶ τὴν φύσιν τοῦ Χριστοῦ, ἀναγκαίως καὶ περὶ τὸ πάθος αὐτοῦ τῇ παραπλησίᾳ τυφλώσει παραφρονεῖ· καὶ γὰρ εἰ τὸν σταυρὸν τοῦ δεσπότου ψευδῆ μὴ νομίζει, καὶ τὸ πάθος τὸ ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἀναδεχθὲν, ἀληθῶς γενόμενον οὐδαμῶς ἀμφιβάλλει· οὗ τινος οὖν ἐπιγινώσκει τὸν θάνατον, ἐπιγινωσκέτω τὴν σάρκα. καὶ μηδὲ τῆς ἡμετέρας αὐτὸν σαρκὸς ἄνθρωπον ἀπαρνείσθω, ὃν παθητὸν ἔγνω γενόμενον. ἐπειδήπερ ἡ ἄρνησις τοῦ ἀληθοῦς σώματος ἄρνησίς ἐστι καὶ τοῦ πάθους τοῦ σώματος. εἰ τοίνυν δέχεται πίστιν χριστιανῶν, καὶ ἀπὸ τοῦ κηρύγματος τοῦ εὐαγγελίου μὴ τὴν ἰδίαν ἀκοὴν ἀποστρέφει, σκοπείτω ποία φύσις διαπεπαρμένη τοῖς ἥλοις ἐν τῷ τοῦ σταυροῦ ξύλῳ ἐκρέματο, καὶ ἀνοιγείσης τῆς πλευρᾶς τοῦ ἐσταυρωμένου τῷ στιγμῇ διὰ τοῦ δόρατος τοῦ στρατιώτου, πόθεν τὸ αἷμα, καὶ τὸ ὕδωρ ἐῤῥύη, ἵνα τὴν ἐκκλησίαν τὴν τοῦ Θεοῦ τῷ τε λουτρῷ καταρδεύεσθαι, καὶ τῷ πόματι. ἀκουέτω δὲ καὶ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου κηρύττοντος· ὅτι ὁ καθαρισμὸς τοῦ πνεύματος διὰ τοῦ ῥαντισμοῦ γίνεται τοῦ αἵματος τοῦ Χριστοῦ· μηδὲ παροδικῶς ἀναγινωσκέτω τοῦ αὐτοῦ ἀποστόλου τὰ ῥήματα λέγοντος· εἰδότες, ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν πατροπαραδότου ἀναστροφῆς, ἀλλὰ τῷ τιμίῳ αἵματι, ὡσανεὶ ἀμνοῦ ἁγίου, καὶ ἀμώμου Χριστοῦ Ἰησοῦ. καὶ τοῦ μακαρίου δὲ Ἰωάννου τοῦ ἀποστόλου τῇ μαρτυρίᾳ μὴ ἀνθιστάσθω λέγοντος· καὶ τὸ αἷμα τοῦ Ἰησοῦ υἱοῦ τοῦ Θεοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας· καὶ πάλιν· αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν· καὶ τίς ἐστιν, ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ; οὗτος ὁ ἐρχόμενος δι' ὕδατος, καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν ὕδατι, καὶ αἵματι· καὶ τὸ πνεῦμά ἐστι τὸ μαρτυροῦν [b], ἐπειδὴ τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια. τρεῖς γάρ εἰσιν οἱ μαρτυροῦντες, τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς τὸ ἕν εἰσι, τὸ πνεῦμα δηλονότι τοῦ ἁγιασμοῦ, καὶ τὸ αἷμα τῆς λυτρώσεως, καὶ τὸ ὕδωρ τοῦ βαπτίσματος· ἅπερ τρία ἕν ἐστι, καὶ ἀμέριστα μένει· καὶ οὐδὲν αὐτῶν ἀπὸ τῆς αὐτῶν χωρίζεται συναφείας. ἐπειδήπερ ἡ καθολικὴ ἐκκλησία ἐν ταύτῃ ζῇ, καὶ προκόπτει τῇ πίστει, ἵνα [c] μήτε δίχα τῆς ἀληθοῦς θεότητος ἡ ἀνθρωπότης, μήτε δίχα τῆς ἀληθοῦς ἀνθρωπότητος ἡ θεότης πιστεύηται.

Πρὸς μέντοι γε τὴν διαλαλιὰν τῆς ὑμετέρας ἀκροάσεως ὁ Εὐτυχὴς ἀπεκρίνατο, λέγων· ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως· μετὰ μέντοι τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ· θαυμάζω τὴν οὕτως ἄλογον, καὶ οὕτω διεστραμμένην ὁμολογίαν, μηδεμιᾷ τῶν δικαζόντων ἐπιτιμήσει δεξαμένην ἐπιλήψιμον· καὶ τὸν οὕτως ἄφρονα λόγον ἐν παραδρομῇ γεγονότα, ὡς τῶν ἀκουσάντων οὐδενὶ προσκρουσάντων· ὅτε τὸν αὐτὸν τρόπον ἐστὶν ἀσεβὲς τὸ λέγειν, ὡς ἐκ δύο φύσεων πρὸ τῆς ἐνανθρωπήσεως ὁ μονογενὴς ἐστὶν υἱὸς τοῦ Θεοῦ, ὥσπερ ἐστὶν ἀθέμιτον τὸ διαβεβαιοῦσθαι, ὡς μετὰ τὸ τὸν λόγον σάρκα γενέσθαι, μία ἐν αὐτῷ φύσις ἐστίν· ὅπερ ὅπως ἂν μὴ Εὐτυχὴς ὀρθῶς, [d] ἤτ' οὖν ἀνεκτῶς ὑπολάβῃ ῥηθέν· ἐπειδήπερ ἐξ οὐδεμιᾶς ἡμῶν ἐπετιμήθη ψήφου, τὴν τῆς σῆς ἀγάπης ὑπομιμνήσκομεν ἀκρίβειαν, ἀδελφὲ τιμιώτατε, ἵνα εἰ διὰ

Anno Christi 451.

[a] Forte, διαιρεῖν, ex Latino.

[b] Forte, ὅτι Χριστός ἐστιν ἡ ἀλήθεια.

[c] Forte, ἐν Χριστῷ Ἰησοῦ ex Latino.

[d] Forte, εἴτ' οὖν.

occulta pandebat: & rursus vulnus lateris, fixuras clavorum, & omnia recentissimæ passionis signa monstrabat, dicens: (*Videte manus meas & pedes, quia ego sum:*) *palpate & videte, quia spiritus carnem & ossa non habet, sicut me videtis habere*: ut agnosceretur in eo proprietas divinæ humanæque naturæ individua permanere; & ita sciremus, Verbum non hoc esse quod carnem; & unum Dei Filium, & Verbum confiteremur & carnem. Quo fidei sacramento Eutyches iste nimium æstimandus est vacuus, qui naturam nostram in unigenito Dei, nec per humilitatem mortalitatis nec per gloriam resurrectionis agnovit; nec sententiam beati apostoli & evangelistæ Joannis expavit, dicentis; *Omnis spiritus qui confitetur Jesum Christum in carne venisse, ex Deo est: & omnis spiritus qui solvit Jesum, ex Deo non est: & hic est antichristus.* Quid autem est solvere Jesum, nisi humanam ab eo separare naturam & sacramentum fidei, per quod unum salvati sumus, impudentissimis evacuare figmentis? Caligans vero circa naturam corporis Christi, necesse est ut etiam in passione ejus eadem obcœcatione desipiat. Nam si crucem Domini non putat falsam, & susceptum pro mundi salute supplicium, verum fuisse non dubitat: cujus credit mortem, agnoscat & carnem. Nec diffiteatur nostri corporis hominem, quem cognoscit fuisse passibilem: quoniam negatio veræ carnis, negatio est etiam corporeæ passionis. Si ergo Christianam suscipit fidem, & a prædicatione Evangelii suum non avertit auditum; videat, quæ natura transfixa clavis pependerit in crucis ligno; & aperto per militis lanceam latere crucifixi intelligat unde sanguis & aqua effluxerint, ut ecclesia Dei & lavacro rigaretur & poculo. Audiat & beatum Petrum apostolum prædicantem, quod sanctificatio spiritus, per aspersionem fiat sanguinis Christi. Nec transitorie legat ejusdem apostoli verba dicentis: *Scientes, quod non corruptibilibus argento vel auro redempti estis de vana vestra conversatione paternæ traditionis; sed pretioso sanguine, quasi agni incontaminati & immaculati, Jesu Christi.* Beati quoque Joannis apostoli testimonio non resistat, dicentis: *Et sanguis Jesu Filii Dei emundat nos ab omni peccato*: & iterum: *Hæc est victoria, qua vincit mundum, fides nostra. Et quis est qui vincit mundum, nisi qui credit, quoniam Jesus est Filius Dei? Hic est qui venit per aquam & sanguinem, Jesus Christus: non in aqua solum, sed in aqua & sanguine. Et Spiritus est qui testificatur, quoniam Christus est veritas: quia tres sunt qui testimonium dant, Spiritus, aqua, & sanguis: & hi tres unum sunt*: Spiritus utique sanctificationis, & sanguis redemptionis, & aqua baptismatis: quæ tria unum sunt & individua manent, nihilque eorum a sui connexione sejungitur: quia catholica ecclesia hac fide vivit ac proficit, ut in Christo Jesu nec sine vera divinitate humanitas, nec sine vera credatur humanitate divinitas.

VI. Cum autem ad interlocutionem examinis vestri Eutyches responderit, dicens: Confiteor ex duabus naturis fuisse Dominum nostrum ante adunationem, post adunationem vero unam naturam confiteor: miror tam absurdam, tamque perversam ejus professionem, nulla judicantium increpatione reprehensam; & sermonem nimis insipientem, nimisque blasphemum, ita omissum, quasi nihil quod offenderet, esset auditum; cum tam impie duarum naturarum ante incarnationem unigenitus Dei Filius fuisse dicatur, quam nefarie postquam Verbum caro factum est, natura in eo singularis asseritur. Quod ne Eutyches ideo vel recte vel tolerabiliter æstimet dictum, quia nulla est vestra sententia confutatum; dilectionis tuæ diligentiam commonemus, frater carissime, ut si per

Anno Christi 451.

S. Leonis Papæ Epistola ad Flavianum Ep. Cp.

Luc. 24. Joan. 20. Luc. 24. 1. Joan. 4. 1. Petr. 1. Ibidem. 1. Joan. 1. 1. Joan. 5.

ACTIO SECUNDA. S. Leonis Papæ Epistola ad Flavianum Ep. Cp.

inspirationem misericordiæ Dei, ad satisfactionem causa perducitur, imprudentia hominis imperiti etiam ab hac sensus sui peste purgetur. Qui quidem (sicut gestorum ordo patefecit) bene cœperat a sua persuasione discedere, cum vestra sententia coartatus, profiteretur se dicere quod ante non dixerat; & ei fidei acquiescere, cujus prius fuisset alienus. Sed cum anathematizando impio dogmati noluisset præbere consensum, intellexit eum fraternitas vestra in sua manere perfidia, dignumque esse qui judicium condemnationis exciperet. De quo si fideliter atque utiliter dolet, & quam recte mota sit episcopalis auctoritas, vel sero cognoscit; vel si ad satisfactionis plenitudinem omnia quæ ab eo male sunt censa, viva voce & præsenti subscriptione damnaverit, non erit reprehensibilis erga correctum quantacumque miseratio: quia Dominus noster verus & bonus pastor qui animam suam posuit pro ovibus suis, & qui venit animas hominum salvare, non perdere, imitatores nos suæ vult esse pietatis; ut peccantes quidem justitia coërceat, conversos autem misericordia non repellat. Tunc enim demum fructuosissime fides vera defenditur, quando etiam a sectatoribus suis opinio falsa damnatur. Ad omnem vero causam pie ac fideliter exsequendam, fratres nostros [a] Julianum episcopum & Renatum presbyterum [b] sed & filium meum Hilarum diaconum vice nostra direximus. Quibus Dulcitium notarium nostrum, cujus fides nobis est sæpe probata, sociamus: confidentes adfuturum divinitatis auxilium, ut is qui erraverat, damnata sensus sui pravitate, salvetur. Deus te incolumem custodiat, frater carissime. Data Idibus Junii, Asterio & Protogene viris clarissimis Consulibus.

[a] MS. omnes Julium.

[b] Quidam hic addunt, tituli S. Clementis: sed has voces manuscripti libri non habent.

Anno Christi 451.

τῇ τοῦ Θεοῦ οἰκτιρμῶν εἰς [a] ἀπολογίας ἀφίκηται τὰ τοῦ πράγματος, ἡ ἄγνοια τοῦ ἀμαθοῦς ἀνθρώπου καὶ ἀπὸ ταύτης τῆς φθορᾶς κατὰ τὴν οἰκείαν [b] διάνοιαν καθαρθῇ. ὅς τις μέντοι, ὡς ἡ τάξις τῶν πεπραγμένων δηλοῖ, καλῶς ἀναχωρεῖν ἦν ἀρξάμενος ἀπὸ τῆς ἰδίας ὑπονοίας, ὁπηνίκα τῇ ὑμῶν ἀποφάσει συνεχόμενος, ὡμολόγει λέγειν ἑαυτὸν, ὃ πρότερον οὐκ εἰρήκει, καὶ ταύτῃ ἐφησυχάζειν τῇ πίστει, ἧς ἐτύγχανε πρότερον ἀλλότριος. ἀλλ' ὁπότε ἐν τῷ ἀναθεματισμῷ ἀσεβεῖ δόγματι συναινέσαι οὐκ ἠβούλετο, ἔγνω αὐτὸν ἡ ὑμῶν ἀδελφότης, ἐν τῇ οἰκείᾳ διαμένοντα κακοδοξίᾳ, καὶ ἄξιον εἶναι τοῦ δέχεσθαι τὴν κρίσιν τῆς καθαιρέσεως· ἐφ' ᾧπερ, εἰ πιστῶς καὶ συμφερόντως ἀλγεῖ, καὶ εἰ βραδέως γνῷ, ὅμως ἐπιγινώσκει, ὅπως εἰς δέον ἡ τῶν ἐπισκόπων ἐπ' αὐτοῦ αὐθεντία κεκίνηται· ἢ εἰ πρὸς τὸ πλεῖον τῆς ἀπολογίας ἴδοι, ὥστε πάντα τὰ παρ' αὐτοῦ κακῶς φρονηθέντα, ἐναργεῖ καὶ παρούσῃ τῇ φωνῇ, καὶ οἰκείᾳ δὲ καταδικασθῆναι ὑπογραφῇ, οὐκ ἔσται κατηγορίας ἄξιος ὁ περὶ τὸν διορθωθέντα ὁποσοῦν ἔλεος· ἐπειδήπερ ὁ κύριος ἡμῶν ὁ ἀληθινὸς καὶ ἀγαθὸς ποιμὴν, ὁ τὴν ψυχὴν θεὶς ὑπὲρ τῶν προβάτων τῶν ἑαυτοῦ, καὶ ὃς ἦλθε τὰς ψυχὰς τῶν ἀνθρώπων σῶσαι, οὐκ ἀπολέσαι, μιμητὰς ἡμᾶς τῆς οἰκείας ἀγαθότητος εἶναι βούλεται· ἵνα τοὺς μὲν ἁμαρτάνοντας σωφρονίσῃ τὸ δίκαιον, τοὺς ἐπιστρέψαντας δὲ ὁ τῆς συμπαθείας μηδαμῶς ἔλεος ἀπώσηται. τότε γὰρ ὄντως, τότε σὺν ἀγαθῷ τῷ καρπῷ τὸ τῆς πίστεως ἀληθὲς ἐκδικεῖται, ὅτε καὶ παρὰ τῶν τῆς αἱρέσεως [c] ἐξάρχων ἡ οἰκεία κακοδοξία καταδικάζεται. πρὸς δὲ τὸ πᾶσαν τὴν ὑπόθεσιν εὐσεβῶς καὶ πιστῶς ἐξανύσασθαι, τοὺς ἀδελφοὺς ἡμῶν Ἰουλιανὸν τὸν ἐπίσκοπον, καὶ Ῥενάτον τὸν πρεσβύτερον, ἔτι γε μὴν καὶ τὸν υἱόν μου Ἵλαρον τὸν διάκονον, εἰς τὸν ἡμῶν ἀπεστάλκαμεν τόπον. οἷς Δουλκίτιον τὸν νοτάριον τὸν ἡμέτερον, οὗ τὴν πίστιν ἐδοκιμάσαμεν, συνεζεύξαμεν, θαῤῥοῦντες, τὴν τοῦ Θεοῦ παρέσεσθαι τὴν βοήθειαν, ὥστε τὸν πλανηθέντα καταδικάσαντα τὴν σκαιότητα τοῦ φρονήματος τοῦ οἰκείου σωθῆναι. ὁ Θεός ἐῤῥωμένον σε διαφυλάξοι, ἀδελφὲ προσφιλέστατε. Ἐδόθη εἰδοῖς Ἰουνίαις, ὑπατείας Ἀστερίου καὶ Πρωτογένους τῶν λαμπροτάτων ὑπάτων.

ANNO CHRISTI 451.

[a] Forte, πληροφορίας

[b] Forte, διὰ σοῦ καθαρθῇ.

[c] Forte, ἀπερχομένων

Ex cod. Bob. Tiburtius notarius jussu domini mei venerabilis papæ Leonis edidi.

Similiter [c] testimonia sanctorum patrum & confessorum.

Ὁμοίως μαρτυρίαι ἁγίων πατέρων καὶ ὁμολογητῶν.

Pleraque hæc sanctorum patrum testimonia a sancto Leone adjuncta sunt epistolæ ipsius XCVII. ad Leonem Augustum, sed in aliquibus Græcis codicibus Concilii hujus inseruntur etiam hoc loco: sed male, ut sequentia admonent.

Sancti Hilarii episcopi & confessoris, in lib. IX. de fide.

[c] Lib. 9. de Trinit. fere in principio.

NEscit plane vitam suam, nescit, qui Christum Jesum, ut verum Deum, ita & verum hominem ignorat. Et ejusdem periculi res est, Christum Jesum vel spiritum Deum, vel carnem nostri corporis denegare. *Omnis ergo qui confitebitur me coram hominibus, confitebor & ego eum coram Patre meo, qui est in cælis. Qui autem negaverit me coram hominibus, negabo & ego eum coram Patre meo qui est in cælis.* Hæc Verbum caro factum loquebatur, & homo Jesus Christus Dominus majestatis docebat; mediator ipse in se ad salutem ecclesiæ constitutus; & in ipso illo inter Deum & homines mediatoris sacramento utrumque unus exsistens: dum ipse ex unitis in idipsum naturis, naturæ utriusque res eadem est, ita tamen, ut neutro careret in utroque; ne forte Deus esse, homo nascendo desineret; & homo rursus, Deus manendo, non esset. Hæc itaque humanæ beatitudinis fides vera est, Deum & hominem prædicare, Verbum & carnem confiteri: neque Deum nescire, quod & homo sit; neque carnem ignorare, quod Verbum sit.

Matth. 10.

Τοῦ ἁγίου Ἱλαρίου ἐπισκόπου καὶ ὁμολογητοῦ, ἐν τῷ περὶ πίστεως ἐνάτῳ λόγῳ.

ΟΥκ οἶδεν, οὐκ οἶδεν ὄντως τὴν ἑαυτοῦ ζωὴν, ὃς Ἰησοῦν τὸν Χριστὸν, ὡς ἀληθῆ Θεὸν, [d] ὄντως καὶ ἀληθῆ ἄνθρωπον οὐκ ἐπίσταται. τοῦ γὰρ αὐτοῦ κινδύνου τὸ πρᾶγμα τυγχάνει, ἐὰν Χριστὸν Ἰησοῦν ἢ πνεῦμα [e] Θεοῦ, ἢ σάρκα τοῦ ἡμετέρου ἀρνησώμεθα σώματος. ἅπας τοιγαροῦν, ὃς ἂν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· ὃς δ' ἂν ἀπαρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, κἀγὼ ἀρνήσομαι αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ταῦτα ὁ λόγος σὰρξ γενόμενος ἔλεγε, καὶ ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ κύριος τῆς δόξης ἐδίδασκε· πρὸς τὴν τῆς ἐκκλησίας σωτηρίαν μεσίτης αὐτὸς ὑπάρχων ἐν ἑαυτῷ· ἐν αὐτῷ τῷ μυστηρίῳ δι' οὗ τῷ Θεῷ καὶ ἀνθρώποις ἐμεσίτευσεν, εἷς τυγχάνων τὸ συναμφότερον ἐκ τῶν ἑνωθεισῶν εἰς τὸ αὐτὸ τοῦτο δὴ φύσεων, ἓν καὶ ταὐτὸ δι' ἑκατέρας φύσεως ὤν· πλὴν οὕτως ὡς ἐν ἑκατέρῳ μηδετέρου χρῄζειν· μήπως παύσηται Θεὸς εἶναι τικτόμενος ἄνθρωπος· ἢ πάλιν ἄνθρωπος [f] οὐκ ἐν τῷ διαμένειν Θεός. οὐκοῦν τοῦτο τῆς ἐν ἀνθρώποις ἀληθοῦς πίστεως τὸ μακάριον, τὸ τὸν μὲν Θεὸν καὶ ἄνθρωπον κηρύττειν, τὴν δὲ σάρκα καὶ λόγον ὁμολογεῖν, καὶ [g] ποτὲ Θεὸν εἰδέναι, ὅτι καὶ ἄνθρωπος ἐστι· καὶ τὴν σάρκα μὴ ἀγνοεῖν, ὅτι καὶ λόγος ἐστί.

[d] Forte, οὕτως ex Latino.

[e] Forte, Θεὸν,

[f] Forte, διὰ τὸ ὤν, ex Latino.

[g] Forte, τόν τε

Item ejusdem in eodem libro, inter cetera.

Ibidem paulo post.

Natus igitur unigenitus Deus ex Virgine homo, & secundum plenitudinem temporum in semetipso provecturus in Deum hominem, hunc per omnia evangelici sermonis modum tenuit, ut se Filium Dei credi doceret,

Τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ λόγῳ.

Ἐκ παρθένου τοίνυν τεχθεὶς ἄνθρωπος ὁ μονογενὴς Θεὸς, καὶ κατὰ τὴν συμπλήρωσιν τοῦ καιροῦ μέλλων ὁ αὐτὸς ἐν ἑαυτῷ τὴν τοῦ ἀνθρώπου προκοπὴν εἰς Θεὸν ἀπεργάζεσθαι, ταύτην τὴν τάξιν ἐν ἅπασι τοῖς εὐαγγελικοῖς λόγοις ἐφύλαξεν· ἵνα ἑαυτὸν καὶ υἱὸν εἶναι Θεοῦ διδάξῃ πιστεύ-

θῆναι, καὶ ἀνθρώπου υἱὸν ὑπομένει κηρύττεσθαι· τῷ μὲν ἄνθρωπος εἶναι, λαλῶν ἅπαντα, καὶ πράττων, ἅπερ ἐστὶ Θεοῦ· αὖθις δὲ καὶ [a] τὸ Θεὸς ὑπάρχειν λαλῶν ἅπαντα, καὶ πράττων, ἅπερ ἐστὶν ἀνθρώπου· οὕτω μέντοι, ὥς τι ταύτῃ τῇ καθ' ἑκάτερον γένος αὐτὸν ὁμιλίᾳ μηδὲ πώποτε λαλεῖν, εἰ μὴ κατὰ τὸ σημαίνειν Θεόν τε καὶ ἄνθρωπον.

Τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ λόγῳ.

Ἐπειδὴ τοιγαροῦν τὸ δελεάζειν τοὺς ἀπλουστέρους, καὶ τοὺς ἀγνοοῦντας, τοῖς αἱρετικοῖς γίνεται πρόφασις· ὥστε τὰ παρ' ἐκείνου κατὰ τὴν ἀνθρωπότητα λαληθέντα, ψευδομένους λέγειν, ὡς κατὰ ἀσθένειαν τῆς θείας εἴρηται φύσεως· καὶ ἐπειδήπερ εἷς καὶ ὁ αὐτός ἐστιν ὁ πάντα λαλῶν, ὅσαπερ καὶ ἐλάλει, φιλονεικοῦσιν αὐτοὺς περὶ ἑαυτοῦ πάντα αὐτὸν εἰρηκέναι. καὶ οὐδὲ ἡμεῖς μὲν ἀρνούμεθα, πάντας τοὺς ὄντας αὐτοῦ λόγους, τῆς ἰδίας αὐτοῦ φύσεως εἶναι· ἀλλ' εἴπερ Ἰησοῦς ὁ Χριστὸς ἄνθρωπος καὶ Θεός, καὶ οὔτε μὴν ὅτε ἄνθρωπος, τότε πρῶτον Θεός, οὔτε μὴν ὅτε ἄνθρωπος, τότε οὐκ ἦν καὶ Θεός· οὐδὲ μετὰ τὸν ἄνθρωπον ἐν τῷ κυρίῳ, οὐχὶ [b] ὁ λόγος ἄνθρωπος, καὶ [c] ὁ λόγος Θεός, ἐπειδὴ εἷς ἐστιν ἕν, καὶ τὸ αὐτὸ εἶναι μυστήριον τῶν αὐτοῦ λόγων, ὃ καὶ τῷ τόκου καθέστηκεν· καὶ ὅταν ἐν αὐτῷ κατὰ καιρὸν τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ διαιρῇς, τότε τότε τοῦ Θεοῦ, καὶ τοῦ ἀνθρώπου διαχώριζε ῥήματα. καὶ ὁπηνίκα Θεὸν καὶ ἄνθρωπον ὁμολογῇς, ἐν καιρῷ τὰ τοῦ Θεοῦ, καὶ ἀνθρώπου διάκρινε ῥήματα· ὅταν δὲ ἐκ Θεοῦ καὶ ἀνθρώπου, πάλιν ἀνθρώπου καθόλου, καὶ καθόλου Θεοῦ τὸν καιρὸν εἶναι νόησον, [d] ταῦτα λελάληται περὶ τὸ μηνῦσαι τὸ κατ' ἐκεῖνο καιροῦ, τῷ καιρῷ τὰ λεχθέντα προσαρμόσον· καὶ ἐπειδήπερ [e] ἄλλος ἐστὶ πρὸ τοῦ ἀνθρώπου Θεός, [f] ἄλλος δὲ πάλιν ἄνθρωπος καὶ Θεός, καὶ ἄλλο μετὰ τὸν ἄνθρωπον καὶ Θεόν, ὅλος ἄνθρωπος, καὶ ὅλος Θεός· μὴ σύγχεε τοῖς καιροῖς, καὶ τοῖς γένεσι τὸ τῆς οἰκονομίας μυστήριον· ἀνάγκη γὰρ κατὰ τὴν ποιότητα τῶν γενῶν καὶ τῶν φύσεων, ἄλλην μὲν αὐτοῦ γεγενῆσθαι τὴν ὁμιλίαν, μηδέπω κατὰ τὸ τοῦ ἀνθρώπου [g] τεχθέντα μυστήριον, ἄλλην δὲ ἔτι προσπλαιόντος τῷ θανάτῳ, καὶ ἄλλην [h] ἤδη τυγχάνοντος ἀιδίου. δι' ἡμᾶς τοίνυν ἅπαντα ταῦτα μένων Χριστὸς Ἰησοῦς, καὶ τεχθεὶς ἄνθρωπος σώματος ἡμετέρου, κατὰ τὴν συνήθειαν τῆς ἡμετέρας ἐλάλησε φύσεως, οὐ μὴν τῆς οἰκείας ἀποβαλὼν φύσεως τὸ εἶναι Θεός. εἰ γὰρ καὶ ἐν τῷ τόκῳ, καὶ τῷ πάθει, καὶ τῷ θανάτῳ τὰς τῆς ἡμετέρας φύσεως πράξεις διήνυσεν, ὅμως ἅπαντα ταῦτα τῇ δυνάμει τῆς ἑαυτοῦ διεπράξατο φύσεως.

Ὁμοίως τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ λόγῳ.

Ὁρᾷς ἄρα, οὕτω Θεὸν καὶ ἄνθρωπον ὁμολογεῖσθαι, ὥστε τὸν μὲν θάνατον τῷ ἀνθρώπῳ, τῷ δὲ Θεῷ τῆς σαρκὸς λογίζεσθαι τὴν ἀνάστασιν; ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

τὴν μὲν γὰρ τοῦ Θεοῦ φύσιν ἐν τῇ δυνάμει τῆς ἀναστάσεως νόει· τὴν δὲ κατ' ἄνθρωπον οἰκονομίαν ἐν τῷ θανάτῳ ἐπίγνωθι. καὶ ἐπειδήπερ ἑκάτερα ταῖς οἰκείαις γεγένηνται φύσεσιν, ἕνα μοι Χριστὸν Ἰησοῦν ἐκεῖνον εἶναι μνημόνευε, τὸν ὄντα ἀμφότερα.

Καὶ μετ' ὀλίγα.

Ταῦτα δὲ τούτου χάριν διὰ βραχέων ὑπέδειξα, ἵνα ἑκατέραν φύσιν ἐν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ ἱστᾶσθαι μνημονεύωμεν· ὁ γὰρ ὢν ἐν μορφῇ Θεοῦ, ἔλαβε δούλου μορφήν.

Τοῦ ἁγίου Γρηγορίου τοῦ Ναζιανζοῦ ἐν τῇ ὁμιλίᾳ τῇ περὶ τῶν [i] ἐπιφανείων.

Ἐπειδὴ τοίνυν προῆλθεν ἐκ τῆς παρθένου Θεὸς μετὰ τῆς προσλήψεως, [k] ἐκ δύο τῶν ἑαυτοῖς ἐναντίων, σαρκὸς καὶ πνεύματος· ὧν τὸ μὲν αὐτοῦ εἰς τὴν προσλήφθη, τὸ δὲ τὴν χάριν παρέχει τῆς θεότητος.

Ὁμοίως τοῦ αὐτοῦ μετ' ὀλίγα.

Ἀπεστάλη μὲν, ἀλλ' ὡς ἄνθρωπος· διπλῆ γὰρ ἦν ἡ φύσις ἐν τούτῳ. ἀμέλει τοι ὁπόθεν καὶ ἐκοπίασε, καὶ ἐπείνασε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσεν ἀνθρωπίνου σώματος νόμῳ.

Τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου καὶ ὁμολογητοῦ, ἐκ τῶν περὶ πίστεως λόγων, τῶν πρὸς Γρατιανὸν τὸν βασιλέα, λόγου δευτέρου.

Ὅθεν ἐκεῖνο τὸ ἀναγνωσθὲν, ὡς ὁ κύριος τῆς δόξης ἐσταύρωται, μὴ τῇ ἑαυτοῦ δόξῃ σταυρωθέντα νομίσωμεν· ἀλλ' ἐπεὶ ὁ αὐτὸς

[a] Forte, τῷ
[b] Forte, ὅλος ex Latino.
[c] Forte, ὅλος ex Latino.
[d] Forte, τὸν ἄλλο λελάληται ex Latino.
[e] Forte, ἄλλο ἐστὶ
[f] Forte, ἄλλο δὲ
[g] Forte, τεχθέντος
[h] Forte, ἐκ
[i] al. ἐπιφανίων
[k] Forte, ἐν ἐκ

A homiois filiom prædicari admoneret: loquens & gerens homo universa quæ Dei sunt, loquens deinde & gerens Deus universa quæ hominis sunt; ita tamen, ut ipso illo utriusque generis sermone nunquam nisi cum significatione & hominis & Dei locutus sit.

Item alio loco in eodem libro, inter cetera.

Hinc itaque fallendi simplices atque ignorantes hæreticis occasio est, ut quæ ab eo secundum hominem dicta sunt, dicta esse secundum naturæ divinæ infirmitatem mentiantur: & quia unus atque idem est loquens omnia, quæ loquitur, de semetipso omnia eum locutum esse contendant. Nec sane negamus, totum illud, qui ejus manet, naturæ suæ esse sermonem. Sed si Jesus Christus & homo & Deus est; & neque cum homo, tum primum Deus, neque cum homo, tum non etiam & Deus; neque post hominem in Deo non totus homo, totus Deus; unum atque idem necesse est dictorum ejus sacramentum esse, quod [a] generum. Et cum in eo secundum tempus discernis hominem a Deo, Dei tum atque hominis discerne B sermonem: & cum Deum atque hominem in tempore confiteris, Dei atque hominis in tempore dicta dijudica. Cum vero ex homine & Deo tursum totius hominis, totius etiam Dei tempus [b] intelligis. Si quid aliud ad demonstrationem ejus temporis dictum est, tempori coaptato quæ dicta sunt: ut cum aliud sit ante hominem Deus, aliud sit post hominem & Deum totus homo, & totus Deus, non confundas temporibus & generibus dispensationis sacramentum, cum pro qualitate generum ac naturarum, alium ei in sacramento hominis necesse est sermonem fuisse non nato, alium adhuc morituro, alium jam æterno. Nostri igitur causa hæc omnia Jesus Christus [c] manens, & corporis nostri homo natus, secundum consuetudinem naturæ nostræ locutus est; non tamen omittens naturæ suæ esse, quod Deus est. Nam tametsi in partu & passione ac morte, naturæ nostræ res peregerit, res tamen ipsas omnes virtute naturæ suæ gessit; *& reliqua.*

Ibid in paucis interjectis.

[a] *al.* generis.
[b] *al.* intellige.
[c] *al.* gerens,

Item alio loco in eodem libro, inter cetera.

C Vides ne ita Deum & hominem prædicari, ut mors homini, Deo vero carnis excitatio deputetur? Non [tamen ut alius sit qui mortuus est, & alius sit per quem mortuus resurgit. Spoliata enim carne, Christus est mortuus: & sursum Christum a mortuis excitans, idem Christus est, carne se spolians.] Naturam Dei in virtute resurrectionis intellige; dispensationem hominis in morte cognosce. Et cum sint utraque suis gesta naturis, unum tamen Christum Jesum eum memento esse, qui utrumque est.

Aliquanto post.

Item post pauca.

D Hæc igitur demonstranda a me paucis fuerunt, ut utriusque naturæ personam tractari in Domino Jesu Christo meminissemus: qui erat in forma Dei, formam servi accepit.

Philip. 2.

Sancti Gregorii episcopi Nazianzi, in homilia de Epiphania, inter cetera.

Cum ergo processisset ex Virgine Deus, in ea, quam assumpserat, humana natura, unum e duobus sibi invicem contrariis exsistens, carne & spiritu, horum aliud in Deum assumitur, aliud deitatis gratiam præstat.

Est in oratione de nativitate Christi, non longe a fine.

Item infra.

E Missus est quidem, sed ut homo. Duplex enim erat in eo natura. Inde denique & laboravit [ex itinere,] inde & esuriit, & sitivit, & contristatus est, & flevit, humani corporis lege.

Ibidem paulo post.

Item sancti Ambrosii episcopi & confessoris (Mediolanensis ecclesiæ,) ex libro secundo de fide ad Gratianum Imperatorem, inter cetera.

Unde illud quod lectum est, Dominum majestatis crucifixum esse, non quasi in majestate sua crucifixum pute-

Cap. 4. initio 1. Cor. 2.

ACTIO SECUNDA.

mus: sed quia idem Deus, idem homo; per divinitatem Deus, per susceptionem carnis homo Jesus Christus; Dominus majestatis dicitur crucifixus, quia consors utriusque naturæ, id est, humanæ atque divinæ, in natura hominis subiit passionem, ut indiscrete & Dominus majestatis dicatur esse qui passus est, & filius hominis, sicut scriptum est, *qui descendit de cælis.*

Joan. 3.

Item alio loco in eodem libro, inter cetera.

Eodem cap. ante med. — 1. Cor. 2.

Sileant igitur inanes de sermonibus quæstiones, quia *regnum Dei*, sicut scriptum est, *non in persuasione verbi est, sed in ostensione virtutis.* Servemus distinctionem divinitatis & carnis. Unus in utraque loquitur Dei Filius, quia in eodem utraque natura est. Etsi idem loquitur, non uno semper loquitur modo. Intende in eo nunc gloriam Dei, nunc hominis passiones. Quasi Deus loquitur quæ sunt divina, quia Verbum est: quasi homo dicit quæ sunt humana, quia in ea substantia loquebatur.

Item ejusdem in libro de incarnatione Domini contra Apollinaristas.

Cap. 6.

Sed dum hos redarguimus, emergunt alii, qui carnem Domini & divinitatem dicunt unius esse naturæ. Quæ tantum sacrilegium inferna vomuere? Jam tolerabiliores sunt Ariani, quorum per istos perfidiæ robur adolescit, ut majore contentione asserant, Patrem & Filium & Spiritum sanctum unius non esse substantiæ: quia isti divinitatem Domini & carnem, substantiæ unius dicere tentavere.

Eod. cap.

Item infra. Et hic mihi frequenter Nicæni concilii tractatum se tenere commemorat. Sed in illo tractatu patres nostri non carnem, sed Dei Verbum unius substantiæ cum Patre esse dixerunt. Et Verbum quidem ex paterna processisse substantia, carnem autem ex Virgine esse confessi sunt. Quomodo igitur Nicæni concilii nomen obtenditur, & nova inducuntur, quæ numquam nostri sensere majores? *& reliqua.*

Item sancti Joannis episcopi Constantinopolitani, in homilia de ascensione Domini.

Tom. 5. operum ejus.

a al. inter duos conserta pugna dissidentes, unus

Nam sicut [a] duobus jurgio separatis, unus in medio positus, altercantium litem discordiamque dissolvit, ita & Christus fecit. Deus nobis juste irascebatur: & nos contemnebamus iratum, & clementem Dominum declinabamus: & se medium Christus ingessit & sociavit utramque naturam: & quod a Patre nobis imminebat supplicium ipse sustinuit.

Item ejusdem episcopi in eadem homilia, inter cetera.

Christus igitur nostræ naturæ primitias obtulit Patri, & oblatum donum miratus est Pater, quod & tanta dignitas offerebat, & quia quod offerebatur, nulla macula fœdabatur. Nam & suis manibus suscepit oblatum, & suæ sedis fecit esse participem, & quod plus est, ad partem suæ dexteræ collocavit. Cognoscamus igitur quis ille est qui audivit: *Sede ad dexteram meam:* quæ natura est, cui dixit: Esto meæ particeps sedis. Illa natura est, quæ audivit: *Terra es, & in terram ibis. Et rursus in eadem homilia aliquanto post.* Quo sermone utar, quo verbo dicam, reperire non possum. Natura fragilis, natura contempta, & omnibus monstrata [b] deterior, omnia vicit, omnia superavit, & omnibus hodierna die meruit excelsior reperiri. Hodie angeli vota diu desiderata receperunt: hodie archangeli, quod multo tempore cupiebant, inspicere valuerunt; naturam nostram in sede Dominica, immortali fulgentem gloria perviderunt.

Psalm. 109. — Genes. 3.

b al. minor,

Item sancti Augustini episcopi Hipponensis in epistola ad Volusianum, inter cetera.

Epist. 3. circa med. tom. 2.

Nunc vero ita inter Deum & homines mediator apparuit, ut in unitate personæ copulans utramque naturam, & solita sublimaret insolitis, & insolita solitis temperaret.

Item ejusdem in expositione Evangelii secundum Joannem, inter cetera.

Tract. 78. post med. tom. 9.

Quid igitur, hæretice? Cum Christus sit Deus & ho-

ANNO CHRISTI 451.

A Θεός τε καὶ ἄνθρωπος· κατὰ μὲν τὴν θεότητα, Θεὸς, κατὰ δὲ τὴν πρόσληψιν τῆς σαρκὸς, ἄνθρωπος Ἰησοῦς Χριστὸς, ὁ κύριος τῆς δόξης ἐσταυρῶσθαι λέγεται· καὶ γὰρ ἑκατέρας μετέχει φύσεως, τουτέστιν ἀνθρωπίνης καὶ θείας· ἐν τῇ τοῦ ἀνθρώπου γὰρ φύσει τὸ πάθος ὑπέμεινεν· ἵνα ἀδιαιρέτως καὶ κύριος τῆς δόξης, καὶ υἱὸς ἀνθρώπου εἶναι λέγηται ὁ παθών· καθὼς γέγραπται· ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς.

Ὁμοίως τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ λόγῳ, ἐν ἄλλῳ τόπῳ.

Σιγάτωσαν τοίνυν αἱ περὶ τῶν λόγων μάταιαι ζητήσεις, ἡ γὰρ τοῦ Θεοῦ βασιλεία, καθὼς γέγραπται, οὐκ ἐν πειθοῖ λόγων ἐστὶν, ἀλλ' ἐν ἀποδείξει δυνάμεως. φυλάξωμεν τὴν διαφορὰν τῆς σαρκός τε καὶ τῆς θεότητος· εἷς γὰρ Θεοῦ υἱὸς ἐν ἑκατέρᾳ λαλεῖ, ἐπειδήπερ ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ. ἀλλ' εἰ καὶ ὁ αὐτὸς λαλεῖ, οὐχ ἑνὶ μέντοι γε πάντοτε τρόπῳ λαλεῖ· ὁρᾷς ἐν αὐτῷ νῦν μὲν δόξαν Θεοῦ, νῦν δὲ πάθη ἀνθρώπων· ὡς Θεὸς λαλεῖ τὰ ὄντα θεῖα, ἐπειδήπερ λόγος ἐστίν· ὡς ἄνθρωπος λαλεῖ τὰ ἀνθρώπινα, ἐπειδήπερ ἐν ταύτῃ ἐλάλει τῇ B φύσει.

Ὁμοίως τοῦ αὐτοῦ ἐν τῷ λόγῳ τῷ περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου, κατὰ Ἀπολλιναριστῶν.

Ἀλλ' ἐν ὅσῳ τούτους ἐλέγχομεν, ἀναφύονται ἕτεροι λέγοντες, τό, τε σῶμα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς φύσεως εἶναι· ποῖος ᾅδης τὴν τοιαύτην βλασφημίαν ἠρεύξατο; Ἀρειανοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτότεροι, ὧν ἡ ἀσέβεια διὰ τούτους κρατύνεται· ὥστε μείζονι φιλονεικίᾳ, πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μιᾶς οὐσίας μὴ λέγειν· ἐπειδήπερ οὗτοι τὴν θεότητα τοῦ κυρίου καὶ τὴν σάρκα μιᾶς φύσεως εἰπεῖν ἐπιχειροῦσιν.

Ὁμοίως τοῦ αὐτοῦ μετ' ὀλίγα. καὶ [a] οὗτος λέγει μοι συνεχῶς, τῆς ἐν Νικαίᾳ συνόδου ἑαυτὸν κατέχειν τὴν ἔκθεσιν· ἀλλ' ἐν ἐκείνῃ τῇ ἐκθέσει οἱ ἡμέτεροι πατέρες οὐχὶ τὴν σάρκα, τὸν δὲ τοῦ Θεοῦ λόγον, μιᾶς τῷ πατρὶ οὐσίας εἶναι εἰρήκασι· καὶ τὸν μὲν λόγον ἐκ τῆς τοῦ πατρὸς προεληλυθέναι οὐσίας, τὴν δὲ σάρκα ἐκ τῆς παρθένου τεχθῆναι ὡμολογήκασι. διὰ τί τοίνυν ἡμῖν τὸ μὲν τῆς ἐν Νικαίᾳ συνόδου προτείνεται ὄνομα, εἰσάγονται δὲ καινά, καὶ ἅπερ οὐκ ἐνεθυμήθησάν ποτε οἱ ἡμέτεροι πρόγονοι;

a Forte, οὕτως

C Ὁμοίως τοῦ ἁγιωτάτου Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως, ἐν τῇ ὁμιλίᾳ τῇ περὶ τῆς ἀναλήψεως τοῦ κυρίου.

Καθάπερ γὰρ δύο τινῶν ἀμφιμαχίᾳ διεστώτων, ἕτερός τις ἐν μέσῳ [b] παρεντεθεὶς, λύει τὴν τῶν ἐριζόντων μάχην τε, καὶ διχόνοιαν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ὠργίζετο μὲν ἡμῖν δικαίως ὁ Θεὸς, ἡμεῖς δὲ τῆς αὐτοῦ καταφρονοῦμεν ὀργῆς, τὸν φιλάνθρωπον δεσπότην ἀποστρεφόμενοι· καὶ μέσον ἑαυτὸν ἐμβαλὼν ὁ Χριστὸς, ἑκατέραν φύσιν εἰς φιλίαν συνήγαγεν· καὶ τὴν παρὰ τοῦ πατρὸς ἐπικειμένην ἡμῖν, αὐτὸς τιμωρίαν ὑπέμεινεν.

b Forte, παρενθεὶς

Ὁμοίως τοῦ αὐτοῦ Ἰωάννου, ἐν τῇ αὐτῇ ὁμιλίᾳ.

Προσήνεγκε τοίνυν τὰς ἀπαρχὰς τῆς ἡμετέρας φύσεως τῷ πατρὶ, καὶ τὸ δῶρον αὐτὸς ἐθαύμασεν ὁ πατὴρ, διά τε τὴν τοσαύτην ἀξίαν τοῦ D προσκομίσαντος, καὶ τοῦ προσενεχθέντος τὸ ἄμωμον. καὶ γὰρ οἰκείαις ἐδέξατο ταῖς χερσὶ, καὶ τοῦ θρόνου μέτοχον εἶναι τοῦ οἰκείου πεποίηκε· καὶ τὸ πλέον, ἐν τῷ τῆς ἑαυτοῦ δεξιᾶς [c] αὐτομερεῖ καθίδρυσεν· οὐκοῦν ἐπιγνῶμεν, τίς ἐκεῖνος ὁ ἀκούσας ἐστί· κάθου ἐκ δεξιῶν μου· τίς ἦν ἡ φύσις ἐκείνη, πρὸς ἣν εἶπεν· ἔσο τοῦ θρόνου μου κοινωνός· ἐκείνη ἦν ἡ φύσις, πρὸς ἣν εἶπε· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Καὶ πάλιν, τοῦ αὐτοῦ Ἰωάννου μετ' ὀλίγα· ποίῳ χρήσομαι λόγῳ, ποίοις φθέγξομαι ῥήμασι, ἀγνοῶ. ἡ φύσις ἡ σαθρὰ, ἡ φύσις ἡ εὐτελής, ἡ πάντων ἐλάττων ἀποδειχθεῖσα, πάντα νενίκηκεν, ὑπερέβαλεν ἅπαντα σήμερον, ἀνωτέρα γενέσθαι πάντων ἠξίωται· σήμερον ἀπέλαβον, [d] ὅπερ ἐπὶ χρόνον πολὺν ἐπεθύμουν ἄγγελοι· σήμερον ἀρχάγγελοι τὴν ἐπὶ πολὺ ποθουμένην θεωρίαν γενέσθαι δεδύνηνται· καὶ τὴν φύσιν τὴν ἡμῶν E ἐν τῷ θρόνῳ τοῦ βασιλέως τῇ δόξῃ τῆς ἀθανασίας ἐκλάμπουσαν κατιδόντες.

c Forte, αὐτῷ μέρει

d Forte, ὃ ἐπὶ, ex Latino.

Ὁμοίως, ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Βολουσιανὸν τοῦ ἁγιωτάτου ἐπισκόπου Αὐγουστίνου.

Νῦν δὲ [e] οὕτως μεταξὺ Θεοῦ, καὶ ἀνθρώπων ἀνεφάνη μεσίτης, ὥστε αὐτὸν ἐν τῇ τοῦ προσώπου ἑνότητι συνάπτειν ἑκατέραν τὴν φύσιν, καὶ τὰ ἐν ἔθει αὐξῆσαι τοῖς ἀήθεσι, καὶ τὰ ἀήθη συγκεράσαι τοῖς ἐξ ἔθους.

e Forte, οὕτως ex Latino.

Ὁμοίως τοῦ αὐτοῦ Αὐγουστίνου ἐν τῇ [f] ἐκθέσει τοῦ εὐαγγελίου τοῦ κατὰ τὸν ἅγιον Ἰωάννην.

f Forte, ἑρμηνείᾳ

Τί τοίνυν αἱρετικέ; ἐπειδὴ Χριστὸς ἐστὶ Θεὸς, καὶ ἄνθρωπος,

λαλεῖ

λαλεῖ μὲν ὡς ἄνθρωπος, συκοφαντεῖς δὲ Θεόν; ἐκεῖνος [a] ἐν αὐτῷ A τὴν ἀνθρωπίνην φύσιν ὑψοῖ, σὺ ἐν ἐκείνῳ τολμᾷς ἐξαφανίσαι τὴν θείαν;

[a] Forte, ἑαυτῷ, ex Latino.

Ὁμοίως τοῦ αὐτοῦ Αὐγουστίνου ἐν τῷ λόγῳ τῷ περὶ τῆς ἐκθέσεως τῆς πίστεως.

Καὶ γὰρ ἡμέτερόν ἐστι τὸ πιστεύειν, ἐκείνου δὲ τὸ εἰδέναι· καὶ οὕτως αὐτὸς ὁ Θεὸς λόγος τὸ πᾶν ὑποδεξάμενος, ὅπερ ἐστὶν ἀνθρώπου, ἄνθρωπός ἐστιν· καὶ ὁ προσληφθεὶς ἄνθρωπος, ὑποδεξάμενος ἅπαν, ὅπερ ἐστὶ Θεοῦ, ἄλλο τι μὴ ἔστω, πλὴν ὅπερ Θεός· οὐ μὴν ἐπειδὴ σεσαρκωμένος εἶναι λέγεται, καὶ μικτὸς, μεμειῶσθαι τὴν οὐσίαν τὴν αὐτοῦ νομιστέον· οἶδε μίγνυσθαι Θεὸς ἑαυτὸν δίχα τῆς οἰκείας φθορᾶς, καὶ μίγνυσθαι μέντοι γε κατ' ἀλήθειαν. οἶδεν οὕτως ἐν ἑαυτῷ ὑποδέξασθαι, ὥστε μηδὲν αὐτῷ προσθήκης αὐξάνεσθαι· καθὼς οἶδεν, B ἑαυτὸν ὅλον ἐνέχει· ὥστε μηδὲν αὐτῷ συμβῆναι μειώσεως. μὴ τοίνυν κατὰ τὴν τῆς ἡμετέρας ἀσθενείας ἔννοιαν, καὶ τὰ αἰσθητὰ τῆς πείρας διδάγματα στοχαζόμενοι, ἐκ τῶν ἴσων τῶν [b] ἐν αὐτοῖς μιγνυμένων κτισμάτων μεμῖχθαι νομίσωμεν Θεόν τε καὶ ἄνθρωπον· καὶ τῇ τοιαύτῃ συγχύσει τοῦ τε λόγου καὶ τῆς σαρκὸς, ὡσανεί τι σῶμα γενόμενον. ἀπείη οὕτω πιστεύειν· μήπως τῷ τρόπῳ τῶν συνερχομένων, δύο φύσεις εἰς μίαν ὑπόστασιν ἐληλυθέναι νομίσωμεν, ἡ γὰρ τοιαύτη μίξις ἐστὶν ἑκατέρου μέρους φθορά. ὁ δὲ Θεὸς ὁ χωρῶν, ἀλλ' οὐ χωρούμενος· ἐρευνῶν, ἀλλ' οὐκ ἐρευνώμενος· πληρῶν, ἀλλ' οὐ πληρούμενος· ὁ πανταχοῦ ὁμοῦ ὢν ὅλος, καὶ δι' ὅλων χωρῶν, διὰ τὸ ἐκχέαι τὴν ἑαυτοῦ δύναμιν, ὡς οἰκτίρμων, ἐμίγη τῇ φύσει τῇ ἀνθρωπίνῃ· οὐ μὴν ἡ ἀνθρώπου φύσις ἐμίγη τῇ θείᾳ.

[b] Forte, ἰσότητι

Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἀπὸ τῶν σχολίων περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς. C

Ἄνθρωπος ὠνόμασται, καίτοι κατὰ φύσιν ὑπάρχων Θεὸς, ὁ ἐκ Θεοῦ πατρὸς λόγος, ὡς μετεσχηκὼς αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν. ὤφθη γὰρ οὕτω τοῖς ἐπὶ γῆς, καὶ οὐ μεθεὶς ὅπερ ἦν, ἀλλ' ἐν προσλήψει γεγονὼς τῆς καθ' ἡμᾶς ἀνθρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον.

Τοῦ αὐτοῦ Κυρίλλου περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς.

Εἷς οὖν ἄρα ἐστὶν ὁ καὶ πρὸ τῆς ἐνανθρωπήσεως Θεὸς ἀληθὴς, καὶ ἐν ἀνθρωπότητι μεμενηκὼς, ὅπερ ἦν τε, καὶ ἔστι, καὶ ἔσται. οὐ διαιρετέον ἄρα τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς. ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν εἶναί φαμεν, τὴν τῶν φύσεων εἰδότες διαφορὰν, καὶ ἀσυγχύτους ἀλλήλαις τηροῦντες αὐτάς. D

Τοῦ αὐτοῦ Κυρίλλου μετὰ ἄλλα.

Νοεῖται γὰρ πάντως, ὡς ἕτερος ἐν ἑτέρῳ, τὸ κατοικοῦν, τουτέστιν, ἡ θεία φύσις ἐν ἀνθρωπότητι, καὶ οὐ παθοῦσα φυρμὸν, ἢ ἀνάχυσίν τινα, καὶ μετάστασιν, τὴν εἰς ὅπερ οὐκ ἦν. τὸ γὰρ ἐνοικεῖν ἑτέρῳ λεγόμενον, οὐκ αὐτὸ γέγονεν ὅπερ ἐστὶ τοῦτο ἐν ᾧ κατοικεῖ· νοεῖται δὲ μᾶλλον ἕτερον ἐν ἑτέρῳ· ἐν δέ γε τῇ φύσει τοῦ λόγου, καὶ τῆς ἀνθρωπότητος, μόνην ἡμῖν σημαίνει διαφορὰν τῶν φύσεων τὸ διάφορον· εἷς γὰρ ἐξ ἀμφοῖν νοεῖται Χριστός. οὐκοῦν τὸ ἀσύγχυτον εὖ μάλα τετηρηκὼς, φησὶν ἐν ἡμῖν ἐσκηνωκέναι τὸν λόγον. ἕνα γὰρ υἱὸν οἶδε μονογενῆ τὸν σάρκα γενόμενον, καὶ ἐνανθρωπήσαντα.

Καὶ μετὰ τὴν ἀνάγνωσιν τῆς προγεγραμμένης ἐπιστολῆς, οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· αὕτη ἡ πίστις τῶν πατέρων. αὕτη E ἡ πίστις τῶν ἀποστόλων· πάντες οὕτω πιστεύομεν· οἱ ὀρθόδοξοι οὕτω πιστεύουσιν. ἀνάθεμα τῷ μὴ οὕτω πιστεύοντι, Πέτρος διὰ Λέοντος ταῦτα ἐξεφώνησεν· οἱ ἀπόστολοι οὕτως ἐδίδαξαν· εὐσεβῶς καὶ ἀληθινῶς Λέων ἐδίδαξε. Κύριλλος οὕτως ἐδίδαξε. Κυρίλλου αἰωνία ἡ μνήμη. Λέων καὶ Κύριλλος ὁμοίως ἐδίδαξαν. Λέων καὶ Κύριλλος οὕτως ἐδίδαξαν. ἀνάθεμα τῷ μὴ οὕτω πιστεύοντι. αὕτη ἡ ἀληθινὴ πίστις. οἱ ὀρθόδοξοι οὕτω φρονοῦμεν. αὕτη ἡ πίστις τῶν πατέρων. ταῦτα ἐν Ἐφέσῳ διὰ τί οὐκ ἀνεγνώσθη; ταῦτα Διόσκορος ἔκρυψεν.

Ἡνίκα δὲ ἀνεγινώσκετο τὸ μέρος τῆς προγεγραμμένης ἐπιστολῆς, τὸ περιέχον· καὶ πρὸς τὸ τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως ἐκτισθῆναι, ἡ θεία φύσις ἡνώθη τῇ φύσει τῇ παθητῇ· ἵνα τοῦτο δὴ τὸ ταῖς ἡμετέραις ἰάσεσιν ὑπάρχον ἁρμόδιον, ὁ εἷς καὶ ὁ αὐτὸς ὢν μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Ἰησοῦς Χριστὸς, καὶ ἀποθνήσκειν ἐκ τοῦ ἑνὸς

A mo, loquitur ut homo; & calumniaris Deo? Ille in se naturam commendat humanam, tu in illo audes deformare divinam.

Item ejusdem Augustini, in sermone de expositione fidei.

Ex Græco translata.

Nostrum etenim est credere, illius vero scire: & ita ipse Deus Verbum cum totum susceperit quod est hominis, homo sit: & assumptus homo cum totum susceperit quod est Dei, non sit aliud quid nisi quod Deus: non tamen quia incarnatus esse dicitur & mixtus, imminutam fuisse ejus substantiam putandum est. Novit miscere seipsum Deus sine sui corruptione, & miscere quidem secundum veritatem; novit ita in se suscipere, ut nihil sibi ex accessione augeatur; quemadmodum novit, seipsum totum B infudit, ut nihil ipsi imminutionis accideret. Ne igitur secundum nostræ infirmitatis intelligentiam, & sensibilia experientiæ documenta æstimantes, ex æqualibus quæ inter se miscentur creaturis mixtum fuisse putemus Deum & hominem, & ejusmodi confusione Verbi & carnis quasi corpus quoddam factum fuisse; absit ut ita credamus, ne forte ex rerum congredientium modo, duas naturas in unam hypostasin convenisse putemus; nam ejusmodi mixtio est partis utriusque corruptio. Deus autem qui capit, non capitur; qui investigat, non investigatur; qui implet, non impletur; qui ubique simul totus est, & per omnia tendit, per id quod suam vim infudit, ut misericors, mixtus est humanæ naturæ; non tamen hominis natura mixta divinæ.

C *Cyrilli archiepiscopi Alexandrini, e scholiis de Incarnatione Unigeniti.*

Homo nominatus est, cum sit natura Deus, Dei Patris Verbum; quoniam similiter ut nos, sanguini communicavit & carni. Sic enim in terris apparuit, non amittens id quod erat, sed assumens humanitatis nostræ naturam in sua ratione perfectam.

Cap. 4. Hebr. 2.

Item ejusdem in eodem libro, de incarnatione Unigeniti.

Unus igitur est & ante incarnationem Deus verus, & qui in humanitate mansit id quod erat, & est, & erit. Non discernendum igitur unum Dominum Jesum Christum in hominem seorsum, [& seorsum in Deum;] sed unum eumdemque Jesum Christum esse dicimus: non D ignorantes differentiam naturarum, sed eas inconfusas inter se servantes.

Cap. 13. ante med.

Item ejusdem Cyrilli post alia.

[a] Dicitur namque tamquam aliud in alio inhabitare, id est, divina natura non perpessa commixtionem, aut confusionem, aut transmutationem, ut esset quod non erat. Quidquid enim in alio habitare dicitur, non ipsum fit tale quale est id, in quo inhabitat, sed aliud in alio magis intelligitur. At vero in Verbi [b] persona & humanitatis, solam nobis differentiam designat diversitas naturarum. Unus enim ex utraque intelligitur Christus. Ergo [c] inconfusione, ut ante dixi, servata inhabitasse ait Verbum in nobis. Scit enim, unum esse Filium unigenitum, carnem factum & hominem.

Eodem lib. cap. 15 post med.

[a] al. Intelligitur namque omnino tamquam

[b] al. natura

[c] al. in confusionem excluderet, vigilanter ait, inhabitasse Verbum in nobis.

E Post lectionem autem prædictæ epistolæ, reverentissimi episcopi clamaverunt: Hæc patrum fides, hæc apostolorum fides. Omnes ita credimus, orthodoxi ita credunt. Anathema ei qui ita non credit. Petrus per Leonem ita locutus est. Apostoli ita docuerunt. Pie & vere Leo docuit, Cyrillus ita docuit. Cyrilli æterna memoria. Leo & Cyrillus similiter docuerunt, anathema ei qui sic non credit. Hæc vera fides. Catholici ita sapimus. Hæc patrum fides. Hæc in Epheso cur lecta non sunt? Hæc Dioscorus occultavit.

Et cum legeretur pars prædictæ epistolæ, quæ continet: *Et ad persolvendum conditionis nostræ debitum, natura inviolabilis, naturæ est unita passibili; ut quod nostris remediis congruebat, unus atque idem mediator Dei & hominum, homo Christus Jesus, & mori posset ex*

Cap. 3. 1. Timoth. 2.

ACTIO SECUNDA.

ANNO CHRISTI 451.

uno, & mori non posset ex altero: dubitantibus Illyri- A cianis & Palæstinis reverentissimis episcopis, Aëtius reverentissimus diaconus sanctæ Constantinopolitanæ ecclesiæ legit Cyrilli sanctæ memoriæ Alexandrinæ magnæ civitatis quondam episcopi capitulum, ita continens: *Quoniam vero iterum proprium ejus corpus gratia Dei, sicut ait Paulus, pro omnibus gustavit mortem, ideo dicitur ipse passus propter nos mortem; non tamquam in experimentum veneris mortis, quod ad suam pertinebat naturam, (dementia est enim hoc dicere aut sapere:) sed quia, secundum quod nuper dixi, caro ejus gustavit mortem.*

In epist. ad Nestorium. Hebr. 2.

Similiter cum legeretur ex epistola pars, quæ continet: *Agit enim utraque forma cum alterius communione, quod proprium est: Verbo scilicet operante quod Verbi est, & carne exsequente quod carnis est. Unum* B *eorum coruscat miraculis, aliud succumbit injuriis.* Dubitantibus Illyricianis & Palæstinis reverentissimis episcopis, Aëtius archidiaconus sanctæ Constantinopolitanæ ecclesiæ legit sanctæ memoriæ Cyrilli capitulum, continens ita: *Quædam sunt voces quammaxime Deum decentes, quædam vero decentes humanitatem, quædam vero medium quemdam tenentes ordinem, insinuantes Filium Dei Deum esse & hominem simul.*

Cap. 4.

Similiter cum legeretur ex eadem epistola pars, quæ ita continet: *Quamvis in Domino Jesu Christo Dei & hominis una persona sit; aliud tamen est, unde in utroque communis est contumelia, aliud unde communis est gloria. De nostro enim illi est minor Patre humanitas: De Patre* C *illi est æqualis cum Patre divinitas:* Dubitantibus Illyricianis & Palæstinis reverentissimis episcopis, Theodoretus reverentissimus episcopus Cyri dixit: Est similiter exemplum beatissimi Cyrilli ita habens: *Et factum hominem, & non mutantem quod proprium est: permansit enim id quod erat; intelligitur vero omnino & aliud in alio quod habitat, id est, divina natura in humanitate.*

Eod. cap. in fine.

Magnificentissimi judices & amplissimus Senatus dixerunt: Post hæc omnia adhuc quis dubitat? Reverentissimi episcopi clamaverunt: Nemo dubitat. Atticus reverentissimus episcopus Nicopolitanæ civitatis dixit: Quoniam præstitit magnificentia vestra suarum aurium facilitatem cum patientia, precamur (si jube- D tis) inducias dari nobis, ut intra paucos dies tranquilla mente, & non turbato animo, quæ Deo placent, a sanctis patribus ordinentur. Quoniam vero nunc domini nostri & sanctissimi patris & archiepiscopi Leonis, adornantis Apostolicam sedem, lecta est epistola; oportet vero & beatæ memoriæ Cyrilli epistolam scriptam ad Nestorium, in qua jubet eum consentire duodecim capitulis, & hanc dari nobis, ut in tempore disceptationis parati inveniamur. Reverentissimi episcopi clamaverunt: Si jubetis dari nobis inducias, petimus patres simul perscrutari. Magnificentissimi & gloriosissimi judices & amplissimus senatus dixerunt: Differatur audientia usque ad quinque dies, ut inter hos conveniat vestra sanctitas ad sanctissimum E archiepiscopum Anatolium, & communiter de fide tractetis; ut qui dubitant, doceantur. Omnes reverentissimi episcopi clamaverunt: Nos ita credimus; sicut Leo, ita credimus; nostrum nullus dubitat; nos jam subscripsimus. Magnificentissimi & gloriosissimi judices & amplissimus senatus dixerunt: Non est necessarium omnes vos convenire. Sed quia conveniens est, omnibus dubitantibus persuadere, reverentissimus episcopus Anatolius eligat de his, qui subscripserunt, quos putaverit idoneos esse ad ea docenda de quibus dubitatur. Reverentissimi episcopi clamaverunt: Pro patribus petimus, patres synodo reddite. Consentaneos Leoni synodo, patres synodo. Has voces Imperatori, has preces catholico, has preces Au-

A δυναστῇ, καὶ τελευτῆν ἐκ τοῦ ἑτέρου μὴ δυναστῇ· ἀμφιβαλλόντων τῶν Ἰλλυρικῶν, καὶ Παλαιστινῶν εὐλαβεστάτων ἐπισκόπων, Ἀέτιος ἀρχιδιάκονος τῆς βασιλευούσης Κωνσταντινουπόλεως ἀνέγνω Κυρίλλου, τοῦ τῆς ὁσίας μνήμης γενομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων πόλεως, κεφάλαιον περιέχον οὕτως· ἐπειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα χάριτι Θεοῦ, καθά φησιν ὁ ἀπόστολος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον, οὐχ ὡς εἰς πεῖραν ἐλθὼν θανάτου τό γε ἧκον εἰς τὴν αὐτοῦ φύσιν. ἀποπληξία γὰρ τὸ λέγειν τοῦτο, ἢ φρονεῖν· ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου.

Ὁμοίως, ἡνίκα ἀνεγινώσκετο τὸ μέρος τὸ περιέχον· ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ', ὅπερ ἐστὶ τοῦ λό- B γου, τοῦ δὲ σώματος ἐκτελοῦντος, ἅπερ ἐστὶ τοῦ σώματος· καὶ τὸ μὲν αὐτοῦ διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν· ἀμφιβαλλόντων τῶν Ἰλλυρικῶν, καὶ Παλαιστινῶν εὐλαβεστάτων ἐπισκόπων, Ἀέτιος ἀρχιδιάκονος τῆς ἁγίας ἐκκλησίας Κωνσταντινουπόλεως ἀνέγνω τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου κεφάλαιον, περιέχον οὕτως· αἱ μὲν εἰσι τῶν φωνῶν ὅτι μάλιστα θεοπρεπεῖς, αἱ δὲ οὕτω πάλιν ἀνθρωποπρεπεῖς, αἱ δὲ μέσην τινὰ τάξιν ἔχουσιν, ἐμφανίζουσαι τὸν υἱὸν τοῦ Θεοῦ Θεὸν ὄντα, καὶ ἄνθρωπον ὁμοῦ ἐν ταὐτῷ.

Ὁμοίως, ἡνίκα ἀνεγινώσκετο ἐκ τῆς αὐτῆς ἐπιστολῆς τὸ μέρος, τὸ περιέχον οὕτως· εἰ καὶ τὰ μάλιστα ἐν τῷ δεσπότῃ Ἰησοῦ Χριστῷ τοῦ Θεοῦ, καὶ ἀνθρώπου ἓν ὑπάρχει τὸ πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο, ἐξ οὗ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως, καὶ ἕτερον, ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέ- C στηκεν. ἐξ ἡμῶν μὲν γάρ ἐστιν αὐτοῦ ἡ ἐλάσσων τοῦ πατρὸς ἀνθρωπότης· ἀπὸ δὲ τοῦ πατρὸς ἐστιν αὐτοῦ ἡ μετὰ τοῦ πατρὸς ἴση θεότης· ἀμφιβαλλόντων τῶν Ἰλλυρικῶν, καὶ Παλαιστινῶν εὐλαβεστάτων ἐπισκόπων, Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος Κύρου εἶπεν· ἔστιν ὅμοιον ὑπόδειγμα τοῦ μακαρίου Κυρίλλου, περιέχον οὕτως· καὶ γέγονεν ἄνθρωπος, καὶ οὐ μεθεῖται τὸ ἴδιον· μεμένηκε γάρ, ὅπερ ἦν. νοεῖται δὲ πάντως καὶ ἐνοικοῦν ἐν ἑτέρῳ τὸ κατοικοῦν. τουτέστιν ἡ θεία φύσις ἐν τῇ ἀνθρωπότητι.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· μετὰ ταῦτα πάντα, ἔτι τις ἀμφιβάλλει; οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν, οὐδεὶς ἀμφιβάλλει. Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως εἶπεν· ἐπειδὴ παρέσχε τὸ εὔηκοον τῆς ἀκοῆς ἡ μεγαλοπρέπεια ὑμῶν μετὰ τῆς D ἀνεξικακίας, κελεύσατε ἐνδοθῆναι ἡμῖν, ὥστε ἐντὸς ὀλίγων ἡμερῶν ἀκυμάντῳ διανοίᾳ καὶ ἀταράχῳ, τὰ τῷ Θεῷ δοκοῦντα, καὶ τοῖς ἁγίοις [a] πατράσι τυπωθῆναι. ἐπειδὴ [b] τοῦ ἀνεγνώσθη ἡ τοῦ δεσπότου ἡμῶν, καὶ ἁγίου πατρὸς καὶ ἀρχιεπισκόπου Λέοντος, τοῦ τὸν ἀποστολικὸν καθέδραν διακοσμοῦντος ἐπιστολή· χρὴ δὲ καὶ τὴν τοῦ μακαρίου Κυρίλλου ἐπιστολὴν τὴν πρὸς Νεστόριον γραφεῖσαν, ἐν ᾗ παρακελεύεται αὐτὸν συνθέσθαι τοῖς κεφαλαίοις τοῖς δώδεκα, καὶ ταύτην δοθῆναι ἡμῖν, ἵνα ἐν τῷ καιρῷ τῆς διασκέψεως ἕτοιμοι εὑρεθῶμεν. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· εἰ κελεύετε ἐνδοθῆναι ἡμῖν, παρακαλοῦμεν, τοὺς πατέρας συσκέψασθαι. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ὑπερτεθήσεται ἡ ἀκρόασις ἕως ἡμερῶν πέντε· ὥστε ἐν τῷ μεταξὺ συνελθεῖν τὴν ὑμετέραν ἁγιωσύνην εἰς τὰ τοῦ ἁ- E γιωτάτου Ἀνατολίου, καὶ κοινῇ περὶ τῆς πίστεως βουλεύσασθαι, ἵνα οἱ ἀμφιβάλλοντες διδαχθῶσιν. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ἡμεῖς οὕτω πιστεύομεν· ἡμῶν οὐδεὶς ἀμφιβάλλει· ἡμεῖς ἤδη ὑπεγράψαμεν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· οὐκ ἀναγκαῖον πάντας [c] ἡμᾶς συνελθεῖν· ἀλλ' ἐπειδὴ ἀκόλουθόν ἐστι πεισθῆναι πάντας τοὺς ἀμφιβάλλοντας, ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Ἀνατόλιος ἀπὸ τῶν ὑπογραψάντων ἐπισκόπων ἐπιλεξάσθω, οὓς ἂν νομίσῃ ἱκανοὺς εἶναι πρὸς διδασκαλίαν τῶν ἀμφιβαλλομένων. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· δεόμεθα περὶ τῶν πατέρων, τοὺς πατέρας τῇ συνόδῳ· .·. .·.

.·. .·. .·. .·. .·. .·. .·. τὰς φωνὰς τῷ βασιλεῖ, τὰς ἱκεσίας τῷ ὀρθοδόξῳ, τὰς ἱκεσίας τῇ Αὐγού-

[a] Forte, πατράσι, τυπωθῆναι.

[b] Forte, τὴν

[c] Forte, ὑμᾶς ex Latino.

γε· πάντες ἡμάρτομεν, πᾶσι συγχώρησον. οἱ κληρικοὶ Κωνσταντινουπόλεως ἐβόησαν· ὀλίγοι κράζουσιν· οὐ λέγει ἡ σύνοδος· ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι, ἐβόησαν· τὸν Αἰγύπτιον τῇ ἐξορίᾳ. οἱ Ἰλλυρικιανοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· πάντες ἡμάρτομεν· [a] πάντας ἐλέησον· ταῦ φωνὰς τῷ ὀρθοδόξῳ βασιλεῖ· αἱ ἐκκλησίαι σχίζονται. οἱ κληρικοὶ Κωνσταντινουπόλεως ἐβόησαν. Διόσκορον τῇ ἐξορίᾳ· Διόσκορον ὁ Θεὸς καθεῖλεν. οἱ Ἰλλυρικιανοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· πάντες ἡμάρτομεν· πᾶσι συγχωρηθῇ· Διόσκορον τῇ συνόδῳ· Διόσκορον ταῖς ἐκκλησίαις. ἐφ' ὑμῶν κακὸν μὴ γένηται. ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

οἱ κληρικοὶ Κωνσταντινουπόλεως ἐβόησαν· ὁ κοινωνῶν Διοσκόρῳ, Ἰουδαῖός ἐστιν. οἱ ἀνατολικοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τὸν Αἰγύπτιον τῇ ἐξορίᾳ· τὸν αἱρετικὸν τῇ ἐξορίᾳ. οἱ Ἰλλυρικιανοὶ, καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τοὺς πατέρας τῇ συνόδῳ. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· τὰ διαλαληθέντα ἔργῳ παραδοθήσεται.

A gustæ. Omnes peccavimus, omnibus indulgeatur. Clerici Constantinopolitani clamaverunt: Pauci clamant, non tota dicit synodus. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Ægyptium exsilio. Illyriciani & qui cum ipsis reverentissimi episcopi clamaverunt: Precamur, omnibus miseremini. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Ægyptium exsilio. Illyriciani & qui cum ipsis reverentissimi episcopi clamaverunt: Omnes peccavimus, omnium miseremini. Has voces catholico Imperatori. Ecclesiæ scinduntur. Clerici Constantinopolitani clamaverunt: Dioscorum exsilio; B hæreticum exsilio. Dioscorum Christus damnavit. Illyriciani & qui cum ipsis reverentissimi episcopi clamaverunt: Omnes peccavimus, omnibus [a] indulgete. Dioscorum synodo, Dioscorum ecclesiis. Sub vobis malum non fiat: sub imperio vestro malum non fiat: sub imperio vestro dissidium non fiat. Clerici Constantinopolitani clamaverunt: Qui communicat Dioscoro, Judæus est. Orientales & qui cum ipsis reverentissimi episcopi clamaverunt: Ægyptium exsilio; hæreticum exsilio. Illyriciani & qui cum ipsis reverentissimi episcopi clamaverunt: Patres synodo. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Quæ interlocuta sunt, effectui mancipentur.

[a] Forte, πᾶσι συγχώρησον. τὰς

[a] al. indulgeatur.

ΤΡΙ'ΤΗ ΠΡΑ'ΞΙΣ
τῆς ἐν Καλχηδόνι ἁγίας συνόδου.

Ὑπατείᾳ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως Μαρκιανοῦ τὸ πρῶτον, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ τριῶν εἰδῶν Ὀκτωβρίων, ἐν Καλχηδόνι τῇ πόλει τῆς Βιθυνῶν ἐπαρχίας, κατὰ χάριν Θεοῦ, καὶ ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων βασιλέων, συνόδου οἰκουμενικῆς συγκροτηθείσης, καὶ συνεδρευσάντων ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων·

Ἀέτιος ἀρχιδιάκονος τῆς βασιλευούσης Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ πριμικήριος νοταρίων, εἶπε. μέμνηται ἡ ἁγιότης ὑμῶν, ὅτι πρῴην ἀναγνωσθεισῶν τῶν ἐπιδοθεισῶν δεήσεων τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις βασιλεῦσιν ἡμῶν, παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου ἐπισκόπου τῆς Δορυλαιτῶν κατὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων Διοσκόρου, φανερὰ παρηκολούθησε πράξις ὑπομνημάτων· παρόντων τῷ ἁγιωτάτῳ τούτῳ συνεδρίῳ τῶν τε ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων ἀρχόντων, καὶ τῆς ἱερᾶς καὶ ἐνδόξου συγκλήτου, ἐξεταζομένου τοῦ μεταξὺ αὐτῶν πράγματος μέχρι βαθυτάτης ἑσπέρας. ἐπεὶ τοίνυν ὁ αὐτὸς θεοφιλέστατος Εὐσέβιος ἐπίσκοπος ἑτέρους λιβέλλους καὶ νῦν ἐπιδέδωκε τῇ ὑμετέρᾳ ὁσιότητι κατὰ τοῦ μνημονευθέντος ὁσιωτάτου ἐπισκόπου Διοσκόρου, μετὰ χεῖρας ἔχοντες τούτους, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον. Πασχασῖνος ἐπίσκοπος Λιλυβαίου ἐπαρχίας Σικελίας, ἐπέχων δὲ τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος, εἶπε Ῥωμαϊστί· καὶ ἑρμηνεύθησαν εἰς Ἑλληνικὸν οὕτως· ἔγνωσται πάντως τῇ θεοφιλεῖ ταύτῃ συνόδῳ, καὶ πρὸς τὸν μακάριον καὶ ἀποστολικὸν πάπαν Λέοντα θεῖα γράμματα ἀπεστάλθαι, ὥστε αὐτὸν τῇ ἁγίᾳ συνόδῳ παρεῖναι καταξιῶσαι. ἀλλ' ἐπειδήπερ οὔτε τὸ τῆς ἀρχαιότητος ἔθος ἔχειν τοῦτο, οὔτε τοῦ δημοσίου καιροῦ ἡ ἀνάγκη ἐπιτρέπειν ἐδόκει, τὴν ἡμετέραν βραχύτητα ἀνθ' ἑαυτοῦ [b] τὰ τῆς ἁγίας συνόδου [c] ἐπιτρέψαι. καὶ διὰ τοῦτο ἀναγκαῖον ἐστὶ ταῦτα, ἅπερ ἂν εἰς μέσον ἀχθῇ, δι' ἡμετέρας διαλαλιᾶς σκοπηθῆναι. δεχθεὶς τοίνυν ὁ λίβελλος, ὁ νῦν προκομισθεὶς παρὰ τοῦ θεοφιλεστάτου ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Εὐσεβίου, ὑποδεχθεὶς, παρὰ τοῦ θεοφιλεστάτου ἀρχιδιακόνου, καὶ πριμικηρίου νοταρίων Ἀετίου, ἀναγνωσθήτω. καὶ λαβὼν Ἀέτιος ἀρχιδιάκονος, καὶ πριμικήριος νοταρίων ἀνέγνω.

C [b] ACTIO TERTIA
Chalcedonensis Concilii.

Consulatu piissimi & Christianissimi Imperatoris nostri Marciani primo, & qui fuerit nuntiatus, sub die tertio Idus Octobris, in Chalcedonensi civitate Bithyniæ provinciæ, secundum Dei gratiam, & ex sanctione piissimorum & fidelissimorum Imperatorum, congregato universali Concilio, & considentibus in sancta basilica sanctæ & bonæ victricis martyris Euphemiæ omnibus sanctissimis & reverentissimis episcopis:

Aëtius archidiaconus regiæ Constantinopolis novæ urbis Romæ, & primicerius notariorum, dixit: Re-D tinet vestra sanctitas, quoniam pridem lectis precibus, quæ piissimis & Christianissimis Imperatoribus nostris a religiosissimo episcopo Dorylætanæ civitatis Eusebio, adversus religiosissimum episcopum Alexandriæ Dioscorum porrectæ sunt, certa gesta monimentorum subsecuta sunt; præsentibus huic sancto concilio & gloriosissimis & magnificentissimis judicibus, & amplissimo & gloriosissimo Senatu, cum examinaretur inter utrosque causa usque ad ultimam vesperam? Quoniam igitur idem religiosissimus episcopus Eusebius & nunc alios libellos vestræ sanctitati obtulit adversus eum quem jam sæpius memoravimus sanctissimum episcopum Dioscorum; hos præ manibus ha-E bentes, intimamus ad id faciendum, quod vobis placuerit. Paschasinus episcopus Lilybæi, provinciæ Siciliæ, agens vices sanctissimi episcopi Apostolicæ sedis senioris urbis Romæ Leonis, per interpretem sic dixit: Notum est nempe huic Deo amabili concilio, & ad beatum & apostolicum & catholicum papam Leonem sacras esse litteras destinatas, quatenus huic sancto concilio se præsentare dignaretur. Sed quoniam neque antiqua hoc tenuit consuetudo, neque generalis temporis necessitas permittere videbatur, nostram parvitatem huic sancto concilio pro se præsidere præcepit. Ideoque necessarium est, hæc quæ in medium proferuntur, per nostram interlocutionem disceptari. Propter hoc igitur porrectus libellus a religiosissimo fratre nostro & coëpiscopo Eusebio, susceptus a religiosissimo archidiacono & primicerio notariorum Aëtio recitetur. Et suscipiens Aëtius archidiaconus & primicerius notariorum recitavit:

[b] In ms. Paris. sive Jolyano, hæc cognitio sequitur primam, dicitur que secunda: in Bal... dicitur tertia.

Quidam hic apponunt nomina episcoporum, sed desunt ea in codicibus mss.

[b] Forte, ταύτῃ τῇ ἁγίᾳ συνόδῳ

[c] Post ἐπιτρέψαι, forte deest, προεδρεύειν, ut est supra in epist. Leonis ad synodum Chalc. & ita legitur in Latino.

ACTIO TERTIA.

ANNO CHRISTI 451.

A

Sanctæ & universali synodo, ex sanctione piissimorum Imperatorum nostrorum congregatæ in Chalcedonensium civitate provinciæ Bithyniæ, ab Eusebio Dorylatanæ civitatis episcopo, faciente verba tam pro se, quam etiam pro sancta memoriæ Flaviano quondam episcopo Constantinopolitanæ civitatis, & pro catholica fide.

Sciences vestræ sanctitatis mores Deo amabiles & contrarios malitiæ, & circa iniqua passos justam compassionem vestram, multa & dira contra omnem consequentiam perpessi a reverentissimo episcopo Alexandriæ magnæ civitatis Dioscoro, adimus vestram reverentiam, justitiam impetrare deprecantes: causam vero in his contentam. Pridem congregata vestra sancta synodus pariter cum gloriosissimis & excellentissimis judicibus & amplissimo Senatu in hac sancta ecclesia, audivit ex precibus nostris, quas obtulimus piissimis nostris Imperatoribus adversus Dioscorum reverentissimum Alexandriæ magnæ civitatis episcopum; & propositum vobis certamen discussit inter nos: & [a] arguit quæ audacter commissa sunt a Dioscoro adversus me, & sanctæ memoriæ Flavianum, & orthodoxam fidem. Accusavimus enim prædictum Dioscorum, tamquam consentaneum Eutychi hæretico & damnato & anathematizato: & quia volens perfidiam ejus confirmare in nuper facto in Ephesia metropoli concilio, multitudine seditiosæ turbæ collecta, potentiam sibimet acquirens per suas divitias, rectam fidem (quantum ad ipsum met pertinet) contaminavit, & fermentum hæreseos insolitæ in catholica ecclesia introduxit, & nos sacerdotali dignitate privavit. Quia ergo cognitione facta, sicut novit vestra reverentia, prædictus Dioscorus aliena sapere a catholica fide, a nobis demonstratus est; & me non permisit ingredi in concilium in Ephesia metropoli factum, & adesse meis allegationibus: insuper vero & Flavianum sanctæ memoriæ quondam Constantinopolitanæ urbis episcopum, pro quo & sermonem feci, pro tempore suis allegationibus uti non sivit: præterea vero voces, quæ a synodo tunc dictæ non sunt, monimentis indidit, & in puris chartis compulit eos subscribere: & omnem iniquitatem operatus est contra ipsam pietatem, & contra divinas regulas, & contra legum consequentiam: precor & supplico vestræ sanctitati, miseremini nostri, sancti patres: & dum adhuc in memoria retinetis, quæ antea inter nos & præfatum Dioscorum acta sunt, decernite, omnia quæ adversus nos gesta sunt, [b] viribus carere, & nihil nobis ea monimenta, quæ injuste contra nos facta sunt, nocere: habere vero nos & sacerdotalem dignitatem: anathematizare autem ejus sceleratum dogma, pietatis autem verbum corroborare: & illum, eorum quæ audacter commisit, luere pœnas: quatenus exemplum factus in reliqua vita, omnes corrigat similia actis ejus agere conantes. Quod impetrantes, incessanter gratias agemus vestræ sanctitati.

[a] al. agnovit.

[b] al. vacare seu vacuari.

Τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, τῇ ἐκ θεσπίσματος τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων συναχθείσῃ ἐν τῇ Καλχηδονέων πόλει τῆς Βιθυνίας, παρὰ Εὐσεβίου ἐπισκόπου τῆς Δορυλαϊτῶν, ποιουμένου τὸν λόγον ὑπέρ τε ἑαυτοῦ, καὶ ὑπὲρ τοῦ ἐν ἁγίοις Φλαβιανοῦ, τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως, καὶ τῆς ὀρθοδόξου πίστεως.

Τὸ φιλόθεον καὶ μισοπόνηρον ἦθος, καὶ τὸ περὶ τοὺς ἀδικουμένους συμπαθὲς τῆς ὑμετέρας ἁγιωσύνης ἐπιστάμενοι, πολλὰ καὶ δεινὰ, καὶ παρὰ πᾶσαν ἀκολουθίαν ὑπομείναντες παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων Διοσκόρου, προσῄειμεν τῇ ὑμετέρᾳ θεοφιλείᾳ, τῶν δικαίων τυχεῖν ἀξιοῦντες· τὰ δὲ τοῦ πράγματος ἐν τούτοις. πρῴην συναχθεῖσα ὑμῶν ἡ ἁγία σύνοδος ἅμα τοῖς ὑπερλαμπροτάτοις καὶ ἐξοχωτάτοις ἄρχουσι, καὶ τῇ ὑπερφυεῖ συγκλήτῳ, ἐν ταύτῃ ἁγίᾳ, καὶ μεγάλῃ ἐκκλησίᾳ, ἐπήκουσε τῶν δεήσεων ἡμῶν, τῶν ἐπιδοθεισῶν τοῖς εὐσεβεστάτοις ἡμῶν βασιλεῦσι κατὰ Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου καὶ προτεθέντα ὑμῖν τὸν ἀγῶνα, διήλεγξε τὰ μεταξὺ ἡμῶν καὶ ἔπειτα τοῖς τετολμημένοις Διοσκόρῳ κατ' ἐμοῦ, καὶ τοῦ ἐν ἁγίοις Φλαβιανοῦ, καὶ τῆς ὀρθοδόξου πίστεως. ἐνεστησάμεθα γὰρ τὸν προειρημένον Διόσκορον, ὡς ὁμόδοξον ὄντα Εὐτυχεῖ τῷ αἱρετικῷ, καὶ καθῃρημένῳ, καὶ ἀναθεματισμένῳ· καὶ ὅτι βουλόμενος τὴν ἐκείνου κακοδοξίαν βεβαιῶσαι ἐν τῇ ἔναγχος γενομένῃ συνόδῳ ἐν τῇ Ἐφεσίων μητροπόλει, πλῆθος ἀτάκτων ὄχλων συναγαγὼν, καὶ δυναστείαν αὐτῷ πορισάμενος διὰ τῆς περιούσης αὐτῷ ἀπειρίας, τήν τε ὀρθὴν πίστιν, τό γε ἧκον εἰς αὐτὸν, ἐλυμήνατο, καὶ ζύμην αἱρέσεως ἀήθους εἰσήνεγκεν εἰς τὴν καθολικὴν ἐκκλησίαν, καὶ ἡμᾶς τῆς ἀξίας τῆς ἱερωσύνης ἀφείλετο. ἐπεὶ οὖν τῆς διαγνώσεως γενομένης, ὡς ἐπίσταται ὑμῶν ἡ θεοφιλία, ἀπεδείχθη παρ' ἡμῶν ὁ προειρημένος Διόσκορος ἀλλότρια φρονῶν τῆς ὀρθῆς πίστεως, καὶ ἐμὲ μὴ συγχωρήσας συνελθεῖν ἐν τῷ συνεδρίῳ τῷ γενομένῳ ἐν τῇ Ἐφεσίων μητροπόλει, καὶ συστῆσαι ταῖς ἰδίαις δικαιολογίαις, ἔτι δὲ καὶ τὸν ἐν ἁγίοις Φλαβιανὸν τὸν γενόμενον ἐπίσκοπον Κωνσταντινουπόλεως, ὑπὲρ οὗ καὶ τὸν λόγον ἐποιησάμην, κατὰ καιρὸν ταῖς ἰδίαις δικαιολογίαις χρήσασθαι· πρὸς τούτοις δὲ καὶ φωνὰς, τὰς μὴ ῥηθείσας παρὰ τῆς τότε συνόδου, ἐνθεὶς τοῖς ὑπομνήμασι, καὶ εἰς ἀγράφους χάρτας παρασκευάσας αὐτοὺς ὑπογράψαι· καὶ πᾶσαν ἀδικίαν κατεργασάμενος εἴς τε τὴν εὐσέβειαν, καὶ εἰς τοὺς θείους κανόνας, καὶ εἰς τὴν τῶν νόμων ἀκολουθίαν· δέομαι, καὶ προσπίπτω τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, οἰκτειρήσατε ἡμᾶς, ἅγιοι πατέρες· καὶ ὡς ἔτι ἔχετε ἐν μνήμῃ τὰ πρώην πεπραγμένα μεταξὺ ἡμῶν καὶ τοῦ προειρημένου Διοσκόρου, ψηφίσασθε πάντα τὰ πραχθέντα καθ' ἡμῶν χωλάζειν καὶ μηδὲν ἡμᾶς ἀπὸ τῶν γεγενημένων ἀδίκως καθ' ἡμῶν ὑπομνημάτων παραβλάπτεσθαι· ἔχειν δὲ ἡμᾶς τὴν ἀξίαν τῆς ἱερωσύνης· ἀναθεματίσαι δὲ τὸ μιαρὸν αὐτοῦ δόγμα· κρατῦναι δὲ τὸν τῆς εὐσεβείας λόγον· κἀκεῖνον δὲ δίκας * ἀπαιτῆσαι τῶν τετολμημένων· ὥστε ὑπόδειγμα αὐτὸν γενόμενον τῷ λοιπῷ βίῳ, πάντας σωφρονίσαι τοὺς τὰ ὅμοια αὐτῷ πράττειν ἐπιχειροῦντας. τούτου γὰρ τυχόντες, ἀδιαλείπτως εὐχαριστήσομεν τῇ ὑμετέρᾳ ὁσιότητι.

* Forte, ἀπαιτῆσαι, ex Latino.

B C D

E

Eusebius episcopus Dorylætanæ civitatis, provinciæ Phrygiæ Salutariæ, hos libellos manu mea subscribens porrexi.

Et cum lecti fuissent, Eusebius episcopus dixit: Supplico adversarium meum ad conspectum meum evocari. Aëtius archidiaconus & primicerius notariorum dixit: Dudum, sicut jussistis, pergentibus hinc [c] Domnino & Cyriaco diaconibus, quemadmodum ad alios sanctissimos episcopos, & ad Dioscorum sanctissimum episcopum, priusquam consessus fieret, & hortantibus eum ut conveniret & ipse in hoc concilio, nunciavit, se quidem velle venire, non autem permitti a custodientibus se, sicut dicebat. Paschasinus episcopus dixit: Quoniam non videmus præsentem esse Dioscorum sanctissimum episcopum Alexandriæ, egredientes religiosi clerici inquirant eum, si præ fori-

[c] al. Domno

Εὐσέβιος ἐπίσκοπος Δορυλαίου ἐπαρχίας Φρυγίας Σαλουταρίας, ἐπιδέδωκα τοὺς δύο τοὺς λιβέλλους, ὑπογράψας χειρὶ ἐμῇ.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Εὐσέβιος ἐπίσκοπος εἶπεν· ἀξιῶ τὸν ἀντίδικόν μου κατὰ πρόσωπόν μου κληθῆναι. Ἀέτιος ἀρχιδιάκονος, καὶ πρώτης νοταρίων, εἶπεν· ἤδη, καθὼς ἐκελεύσατε, ὡς πρὸς τοὺς ἄλλους ὁσιωτάτους ἐπισκόπους, διὰ τῶν Δομνίνου, καὶ Κυριακοῦ, τῶν διακόνων, πρὸς τὸν Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον ἔνθεν, πρὸ τοῦ συνεδριάσαι, καὶ προτρεπομένων αὐτὸν ἐπὶ τὸ συνελθεῖν καὶ αὐτὸν ἐνταῦθα, ἐδήλωσεν, ἐθέλειν μὲν παραγενέσθαι, μὴ συγχωρεῖσθαι δὲ ὑπὸ τῶν φυλαττόντων αὐτὸν, ὡς ἔφασκε. Πασχασῖνος ὁ ἐπίσκοπος εἶπεν· ἐπειδὴ οὐχ ὁρῶμεν παρόντα Διόσκορον τὸν Ἀλεξανδρείας εὐλαβέστατον ἐπίσκοπον, ἐξελθόντες εὐλαβέστατοι κληρικοὶ, ἐπιζητησάτωσαν αὐτὸν, εἰ παρὰ τοῦ

συνεδρίου τυγχάνει. Ἀέτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων, εἶπε· καθὼς ἐκελεύσατε, Ἐπιφάνιος, καὶ Ἐλπίδιος, πρεσβύτεροι, περιελθόντες τὸ ἅγιον τοῦτο μαρτύριον, ἐζήτησαν τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἀλεξανδρέων Διόσκορον· καὶ εἰ παρίσταται, παραγγελλόμενοι ἐρωτηθῶσιν. Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, εἶπε· λεγέτωσαν οἱ εὐλαβέστατοι, Ἐπιφάνιος, καὶ Ἐλπίδιος, οἱ πρεσβύτεροι, εἴγε ἐπεζήτησαν τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον. Ἐπιφάνιος, καὶ Ἐλπίδιος, πρεσβύτεροι, εἶπον· περιελθόντες τὰς περιβόλους τοῦ ἁγίου τόπου τούτου, ἐζητήσαμεν, καὶ οὐχ εὕρομεν αὐτόν. Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, εἶπεν· εἰ παρίσταται τῇ ὑμετέρᾳ ἁγιωσύνῃ ἀποστεῖλαι πρὸς αὐτὸν τινὰς τῶν θεοφιλεστάτων ἀδελφῶν ἡμῶν καὶ συνεπισκόπων, εἰς τὸ καταγώγιον ἔνθα μένει, καὶ ὑπομνῆσαι αὐτὸν ἐπὶ τὸ παραγενέσθαι ἐν τῇ ἁγίᾳ ταύτῃ συνόδῳ. Μάξιμος ἐπίσκοπος τῆς μεγαλοπόλεως Ἀντιοχείας εἶπε· καλῶς ἔδοξε τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Ἀνατολίῳ, ὥστε πεμφθῆναι θεοφιλεστάτους ἐπισκόπους ἐπὶ τὸ μετακαλέσασθαι τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς μεγαλοπόλεως Ἀλεξανδρείας Διόσκορον καὶ δήλην αὐτῷ ποιῆσαι τὴν κατ' αὐτοῦ γεγενημένην αἰτίαν. ἡ ἁγία σύνοδος εἶπεν· ἀκόλουθόν ἐστι δηλωθῆναι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ τῆς μεγαλοπόλεως Ἀλεξανδρείας Διοσκόρῳ. ὅθεν ὁ θεοφιλέστατος ἐπίσκοπος Κωνστάντιος ὁ μητροπολίτης Βόστρων, καὶ Ἀκάκιος Ἀριαραθείας, καὶ Ἀττικὸς Ζήλων, διαβάντες, ὑπομνησάτωσαν τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον, παραγενέσθαι εἰς τὸ ἅγιον τοῦτο συνέδριον.

bus concilii invenitur. Aëtius archidiaconus & primicerius notariorum dixit: Quemadmodum jussistis, Epiphanius & Helpidius presbyteri circumeuntes sanctam hanc basilicam, quæsierunt religiosissimum episcopum Alexandriæ Dioscorum: & si placuerit, præsentati interrogentur. Anatolius episcopus Constantinopolitanæ civitatis dixit: Dicant reverentissimi Epiphanius & Helpidius presbyteri, si quæsierunt reverentissimum episcopum Dioscorum. Epiphanius & Helpidius dixerunt: Peragrantes atria sancti hujus loci, quæsivimus & non eum invenimus. Anatolius episcopus Constantinopolitanæ urbis novæ Romæ dixit: Si complacet vestræ sanctitati aliquos ex Dei amantissimis fratribus & coëpiscopis nostris destinare ad eum in domum in qua manet, & commonefacere eum ut in hoc sanctum concilium adveniat. Maximus episcopus magnæ Antiochiæ dixit: Bene placuit sanctissimo archiepiscopo Anatolio, dirigi Deo amicissimos episcopos ad accersendum rursus Dei amantissimum Dioscorum magnæ Alexandrinæ civitatis episcopum; & manifestum ei facere, quæ adversus eum facta est accusatio. Sancta synodus dixit: Consequens est, mandare Dei amantissimo episcopo Alexandrinæ civitatis Dioscoro. Unde Deo amicissimi episcopi Constantinus metropolitanus Bostrensis, & Acacius Ariarathiensis, & Atticus Zelensis pergentes commoneant Dei amantissimum episcopum Alexandriæ Dioscorum occurrere ad sanctum hoc concilium.

PRIMA VOCATIO.

Καὶ ἀπελθόντων τῶν εὐλαβεστάτων ἐπισκόπων, Κωνσταντίνου, καὶ Ἀκακίου, καὶ Ἀττικοῦ, μετὰ Ἱμερίου ἀναγνώστου καὶ νοταρίου, εἶτα ἐπανελθόντων, Ἀέτιος ἀρχιδιάκονος, καὶ πριμικήριος νοταρίων, εἶπεν· οἱ πρὸ βραχέος ἀποσταλέντες ὁσιώτατοι ἐπίσκοποι, Κωνσταντῖνος ὁ τῆς μητροπόλεως Βόστρων, καὶ Ἀκάκιος Ἀριαραθείας, καὶ Ἀττικὸς Ζήλων, πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἀλεξανδρέων Διόσκορον παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, παραγεγόνασι· καὶ τοῦτο αὐτὸ ὑποβάλλομεν πρὸς γνῶσιν τῆς ὑμετέρας ἁγιωσύνης.

Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, εἶπε· καταξιώσουσιν οἱ θεοφιλέστατοι ἐπίσκοποι διδάξαι τὴν ἁγίαν ταύτην σύνοδον, οἵαν ἀπόκρισιν ἐδέξαντο παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου. Κωνσταντῖνος ἐπίσκοπος Βόστρων εἶπε· κατὰ τὸ προσταχθὲν παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, ἀπελθόντες πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον τῆς Ἀλεξανδρέων, ἐγγράφως τὰ ἐντεταλθέντα ἡμῖν εἴπομεν αὐτῷ· καὶ ἠξιώσαμεν τὸν συνόντα ἡμῖν Ἱμέριον τὸν ἀναγνώστην καὶ νοτάριον, ἐξειληφότα εἰπεῖν, τίνα ἐστὶ καὶ τὰ παρ' ἡμῶν λεχθέντα, καὶ ποίαν ἀπόκρισιν ἡμῖν δέδωκε. Πασχασῖνος ἐπίσκοπος δι' ἑρμηνέως εἶπεν· ὁ παρὼν νοτάριος Ἱμέριος, κατὰ τὴν κατάθεσιν τοῦ θεοφιλεστάτου ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου, ταῦτα ἅπερ ἀπεκρίνατο Διόσκορος ὁ ἐπίσκοπος ἀναγινωσκέτω ἵνα δυνηθῇ ἡ μακαρία αὕτη σύνοδος, κοινοποιησαμένη τὴν συμβουλὴν, ἐμμελῶς διαγνῶναι, τὸ ὀφεῖλον πραχθῆναι. Ἱμέριος ἀναγνώστης καὶ νοτάριος, ἀνέγνω οὕτως.

Κωνσταντῖνος ἐπίσκοπος τῆς μητροπόλεως Βόστρων πρὸς τὸν ἐπίσκοπον Διόσκορον εἶπεν· ἡ ἁγία σύνοδος παρακαλεῖ σου τὴν ἁγιότητα ἀπαντῆσαι ἕως αὐτῆς, συνηθροισμένη ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας, καὶ καλλινίκου μάρτυρος Εὐφημίας. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· φυλάττομαι ἐγώ· εἰ δὲ συγχωροῦμαι κατελθεῖν, εἰπάτωσαν. * Ἀκάκιος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· ἡμεῖς πρὸς τοὺς καθωσιωμένους μαγιστριανοὺς οὐκ ἀπεστάλημεν, ἀλλὰ πρὸς τὴν σὴν ὁσιότητα, ὥστε σε καταξιῶσαι σκυλῆναι, καὶ καταλαβεῖν τὴν ἁγίαν σύνοδον συνηθροισμένην ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας μάρτυρος Εὐφημίας. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἕτοιμός εἰμι παραγενέσθαι εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον· ἀλλὰ κωλύομαι. Ἀττικὸς ἐπίσκοπος Ζήλων εἶπε· λίβελλοι ἐπεδόθησαν καὶ νῦν παρὰ Εὐσε-

* Forte, οἱ μαγιστριανοὶ, addenda vox ex Latino.

Et cum abiissent reverentissimi episcopi Constantinus & Acacius & Atticus cum Himerio lectore & notario, & reversi fuissent, Aëtius archidiaconus & primicerius notariorum dixit: Qui paulo ante destinati sunt sanctissimi episcopi Constantinus metropolitanus Bostrensis, & Acacius Ariarathiensis, & Atticus Zelensis, ad Dei amantissimum episcopum Alexandriæ Dioscorum a vestra sanctitate, advenerunt; & hoc ipsum suggerimus ad notitiam vestræ sanctitatis.

Anatolius episcopus Constantinopolitanæ civitatis novæ Romæ dixit: Dignentur Deo amicissimi episcopi docere hanc sanctam synodum, quale acceperunt responsum a Dei amantissimo Dioscoro episcopo. Constantinus episcopus metropolitanus Bostrensis dixit: Secundum præceptum vestræ sanctitatis pergentes ad reverentissimum episcopum Alexandriæ Dioscorum, in scriptis ei, quæ nobis mandata sunt, diximus: & postulamus ut Himerius lector & notarius, qui pariter nobiscum directus est, & excepit, dicat quæ sunt, quæ a nobis dicta sunt, & quale nobis dedit responsum. Paschasinus episcopus per interpretem dixit: Præsens Himerius notarius secundum prosecutionem Deo amicissimi fratris nostri & coëpiscopi, ea quæ respondit episcopus Dioscorus, recitet; ut possit hæc beatissima synodus communi concilio [a] tractare quid debeat agere. Himerius lector & notarius recitavit. Et lectum est ita:

[a] al. dignoscere convenientes quid.

Constantinus episcopus metropolis Bostrensis, ad episcopum Dioscorum dixit: Sancta synodus tuam obsecrat sanctitatem, usque ad ipsam occurrere, quæ congregata est in basilica sanctæ & bonæ victricis martyris Euphemiæ. Dioscorus reverentissimus episcopus Alexandriæ dixit: Custodior ego; si vero permittunt me [b] descendere, dicant magistriani. Acacius episcopus Ariarathiensis dixit: Nos ad devotissimos [c] magistrianos non sumus directi, sed ad tuam sanctitatem, quatenus digneris fatigare te, & pervenire ad sanctum concilium, congregatum in basilica sanctæ martyris Euphemiæ. Dioscorus episcopus Alexandriæ dixit: Paratus sum advenire ad sanctum & universale concilium; sed prohibeor. Atticus episcopus Zelensis dixit: Libelli porrecti sunt & nunc ab Euse-

[b] al. discedere

[c] al. agentes in rebus

bio Dei amantissimo episcopo, sancto & universali concilio adversus tuam sanctitatem; & per nos sancta & magna synodus tuæ sanctitati mandavit, quatenus pervenias & satisfacias super his, de quibus accusaris. Dioscorus episcopus Alexandriæ dixit: Semel dixi, quod ego paratus sum venire ad sanctum & universale concilium: sed, ut videt vestra religiositas, prohibeor a devotissimis [a] magistrianis & scholaribus. Et cum hæc lecta fuissent, Himerius lector & notarius dixit: Sed postquam descendi cum Dei amantissimis episcopis, occurrit Eleusinius vir laudabilis adjutor magnificentissimi & gloriosissimi magistri sacrorum officiorum; & reversi iterum Deo amicissimi episcopi ad eumdem Dei amantissimum episcopum Dioscorum, & ascendentes, rursus commonuerunt eum occurrere, & cetra locuti sunt, quæ in exceptis habeo: & si placet vestræ sanctitati & hæc recenseo. Sancta synodus dixit: Relege. Himerius lector & notarius legit: Dioscorus Alexandriæ episcopus dixit: Tractans apud memetipsum, & cognoscens quid expedit mihi, hæc respondeo. Quoniam ante hæc in congregatione sedentes magnificentissimi judices certa definierunt post multam uniuscujusque interlocutionem, nunc vero in prædictorum infirmationem secunda me evocat congregatio; obsecro ut qui pridem ad hoc sanctum concilium gloriosissimi judices & amplissimus Senatus convenerunt, & nunc sint præsentes, ut iterum sub eorum præsentia hæc eadem examinentur. Acacius episcopus Ariarathiensis dixit: Non ita sancta & magna synodus vestram sanctitatem evocavit, ad subvertendum ea quæ sub magnificentissimorum & gloriosissimorum judicum & sacri Senatus præsentia acta sunt: sed mandata destinavit, quatenus ad concilium pervenias, & non absit ab eo tua sanctitas.

Dioscorus episcopus dixit: Dixistis mihi nunc, quod libellos porrexit Eusebius adversus meam [b] religiositatem; postulo iterum præsentibus judicibus & glorioso Senatu approbari quæ ab ipso dicuntur. Atticus episcopus Zelensis dixit: Nos ad tuam directi sumus sanctitatem ad cohortandum. Et interrumpens eum Dioscorus episcopus, dixit: Respondi jam, quia sub præsentia magnificentissimorum judicum & sacri Senatus iterum, quæ de me sunt, volo discuti. Constantinus episcopus metropolitanus Bostrensis dixit: Statim ut venimus, respondit nobis tua sanctitas: Quoniam si permissus fuero a me custodientibus, pervenio ad sanctum concilium. Quoniam igitur adveniente viro clarissimo adjutore gloriosissimi magistri officiorum permissus es, si volueris, ad sanctam synodum pervenire; de hoc, si placet, da nobis responsum. Dioscorus episcopus dixit: Nunc didici, quia non sunt præsentes magnificentissimi & gloriosissimi judices & sanctus Senatus, & ideo nunc ita respondi.

Et cum lectum fuisset, Eusebius episcopus Dorylænæ civitatis dixit: Precor sanctitatem vestram, quæ nunc a destinato notario cum Dei amantissimis episcopis ad reverentissimum episcopum Dioscorum lecta sunt, jubete indi præsentibus monimentis. Maximus episcopus magnæ Antiochenæ civitatis dixit: Ea quidem, quæ nunc ab Himerio notario lecta sunt, actis inserantur monimentorum. Consequens tamen est, secundum regulas sanctorum patrum & rursus dirigi ad Dei amantissimum episcopum Dioscorum reverentissimos episcopos, ad vocandum eum secundo: ut adveniat in hoc universale sanctumque concilium. Eusebius episcopus Dorylænæ civitatis dixit: Dei amantissimus episcopus Dioscorus dissimulationes & occasiones [c] emittit, ne ad hanc sanctam perveniat synodum. Super certis enim capitulis jam convictus est, tam sub vestræ sanctitatis, quam sub magnificentissimorum judicum & sacri Senatus præsentia; & sunt alia capitula, quæ debent coram vestra sanctitate

[a] al. agentibus in rebus & scholariis.

[b] al. reverentiam

[c] al. immittit seu intromittit,

βίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ κατὰ τῆς σῆς ὁσιότητος· καὶ δι' ἡμῶν ἡ ἁγία καὶ μεγάλη σύνοδος ἐδήλωσε τῇ σῇ ἁγιωσύνῃ· ὥστε σε παραγενέσθαι, καὶ ἀπολογήσασθαι ἐφ' οἷς ἐγκαλῇ. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· ἅπαξ εἶπον, ὅτι προθύμως κἀγώ εἰμι τοῦ ἐλθεῖν εἰς τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον· ἀλλ' ὡς ὁρᾷ ἡ ὑμετέρα θεοφίλεια, κωλύομαι ὑπὸ τῶν καθωσιωμένων μαγιστριανῶν, καὶ σχολαρίων. καὶ μετὰ τὸ ἀναγνωσθῆναι ταῦτα, Ἱμέριος ἀναγνώστης εἶπεν· ἐπειδὴ μετὰ τὸ κατελθεῖν με ἅμα τοῖς θεοφιλεστάτοις ἐπισκόποις, ἀπήντησεν Ἐλευσίνιος ὁ θαυμασιώτατος βοηθὸς τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων, καὶ ὑποστρέψαν οἱ θεοφιλέστατοι ἐπίσκοποι πάλιν πρὸς τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον, καὶ ἀνελθόντες πάλιν ὑπέμνησαν αὐτόν, καὶ φανερὰ διελέχθησαν, ἅ τινα ἐν ἐκλήψει ἔχω· καὶ εἰ παρίσταται τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, ταῦτα ἀναγνώσομαι. ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος εἶπεν· ἀνάγνωθι. Ἱμέριος ἀναγνώστης ἀνέγνω οὕτως. Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· συναγαγὼν ἐμαυτόν, καὶ γνοὺς τὸ συμφέρον, τάδε ἀποκρίνομαι· ἐπειδὴ ἐν τῇ πρὸ ταύτης συνόδῳ καθεζόμενοι οἱ μεγαλοπρεπέστατοι ἄρχοντες, [a] ὥρισαν φανερὰ μετὰ πολλὴν ἑκάστου διαλαλιάν, νῦν δὲ δευτέρα με καλεῖ σύνοδος εἰς τὴν τῶν προειρημένων ἀνατροπήν, παρακαλῶ, τοὺς καὶ πρώην ἐν τῇ συνόδῳ παραγενομένους μεγάλους ἄρχοντας, καὶ τὴν ἱερὰν σύγκλητον καὶ νῦν παρεῖναι· ἵνα πάλιν ἐπ' αὐτοῖς τὰ αὐτὰ γυμνασθῇ. Ἀκάκιος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· οὐχ οὕτως ἐκάλεσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος τὴν σὴν ἁγιωσύνην, ὥστε ἀνασκευάσασθαι τὰ ἐπὶ τῶν μεγάλων καὶ ἐνδόξων ἀρχόντων, καὶ ἐπὶ τῆς ἱερᾶς συγκλήτου πραχθέντα, ἀλλὰ δηλώσασα ἀπέστειλεν, ὥστε καταλαβεῖν τὸ συνέδριον, καὶ μὴ ἀπολειφθῆναι αὐτοῦ τὴν σὴν ὁσιότητα.

Διόσκορος ἐπίσκοπος εἶπεν· εἰρήκατέ μοι νῦν, ὅτι λιβέλλους ἐπιδέδωκεν Εὐσέβιος κατὰ τῆς ἐμοῦ θεοσεβείας· παρακαλῶ πάλιν παρόντων τῶν ἀρχόντων, καὶ τῆς ἱερᾶς συγκλήτου, δοκιμασθῆναι τὰ κατ' αὐτόν. Ἀττικὸς ἐπίσκοπος Ζήλων εἶπεν· ἡμεῖς ἀπεστάλημεν πρὸς τὴν σὴν ὁσιότητα ἐπὶ τῷ προτρέψασθαι. καὶ ὑπέκοψεν αὐτὸν Διόσκορος ὁ ἐπίσκοπος, εἰπών· ἀπεκρινάμην ἤδη, ὅτι ἐπὶ παρουσίᾳ τῶν μεγάλων ἀρχόντων καὶ τῆς ὑπερφυοῦς συγκλήτου, πάλιν τὰ κατ' ἐμὲ ἐξετασθῆναι βούλομαι. Κωνσταντῖνος ἐπίσκοπος μητροπόλεως Βόστρων εἶπεν· εὐθὺς ἐλθοῦσιν ἡμῖν ἀπεκρίνατο ἡ σὴ ὁσιότης· ὅτι ἐὰν συγχωρηθῶ ὑπὸ τῶν φυλαττόντων με, καταλαμβάνω τὴν ἁγίαν σύνοδον. ἐπεὶ τοίνυν παραγενομένου τοῦ μεγαλοπρεπεστάτου βοηθοῦ τοῦ ἐνδοξοτάτου μαγίστρου, ἐπετράπης, εἰ βούλει, ἐλθεῖν εἰς τὴν ἁγίαν σύνοδον, περὶ τούτου, εἰ δοκεῖ, ἀπόκρισιν ἡμῖν δός. Διόσκορος ἐπίσκοπος εἶπεν· νῦν μεμάθηκα, ὅτι οὐ πάρεισιν οἱ μεγαλοπρεπέστατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος. καὶ διὰ τοῦτο νῦν, οὕτως ἀπεκρινάμην.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· δέομαι τῆς ὑμετέρας ἁγιωσύνης, τὰ ἀναγνωσθέντα ἄρτι παρὰ τοῦ νοταρίου, τοῦ ἀποσταλέντος μετὰ τῶν εὐλαβεστάτων ἐπισκόπων Διόσκορον, κελεύσατε ἐμφέρεσθαι τῇ πράξει τῶν ὑπομνημάτων. Μάξιμος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· τὰ μὲν νῦν ἀναγνωσθέντα παρὰ Ἱμερίου τοῦ ἀναγνώστου, ἐμφερέσθω τῇ πράξει τῶν ὑπομνημάτων· ἀκόλουθον δὲ κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων, καὶ αὖθις ἀποσταλῆναι πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Διόσκορον τοὺς [b] καλοῦντας αὐτὸν ἐκ δευτέρου ἐπὶ τὸ παραγενέσθαι ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ. Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· ὁ θεοφιλέστατος ἐπίσκοπος Διόσκορος σκήψεις καὶ προφάσεις προβάλλεται, τοῦ μὴ καταλαβεῖν τὴν ἁγίαν ταύτην σύνοδον· φανερὰ γὰρ κεφάλαια ἤδη [c] ἐλέγχθη καὶ ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης, καὶ ἐπὶ τῆς λαμπρᾶς, καὶ ἐνδόξου συγκλήτου. καὶ ἔστιν ἕτερα κεφάλαια, τὰ ὀφείλοντα ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης

[a] Forte, ζη[illegible], καὶ φανερῶς ὥρισαν μετὰ

[b] Forte, καλέσοντας

[c] ἠλέγχθη in Latino.

ANNO CHRISTI 451.

γυμνασθῆναι, καὶ [a] ἀποδεχθῆναι· καὶ κελεύσατε αὐτὸν παρεῖναι· οὐδὲ γὰρ ἀνασκευάζομέν τι τῶν ἤδη πεπραγμένων. Αἔτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπε· τί δοκεῖ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ περὶ τῆς διαλαληθείσης δευτέρας κλήσεως; ἡ ἁγία σύνοδος εἶπεν· ἀκόλουθόν ἐστι καὶ κανονικὸν, καὶ δεύτερον αὐτὸν κληθῆναι. ἀπῆλθον τοίνυν πρὸς Διόσκορον τὸν θεοφιλέστατον ἐπίσκοπον οἱ [b] εὐλαβέστατοι ἐπίσκοποι, Περγάμιος, Κεκρόπιος, καὶ Ρουφῖνος, προτρεπόμενοι αὐτὸν, ὥστε παραγενέσθαι πρὸς ἡμᾶς. Αἔτιος ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπε· παρίσταται οὖν τῇ ἁγιωσύνῃ ὑμῶν [c] ἀποστεῖλαι πρὸς αὐτὸν ἐκ προσώπου τῆς ἁγίας συνόδου; Ἀμφιλόχιος ἐπίσκοπος Σίδης εἶπε· ὑπερτεθῇ μίαν, ἢ δύο ἡμέρας τὸ πρᾶγμα. Μενεκράτης ἐπίσκοπος Κερασουντῶν ἐπαρχίας Λυδίας εἶπεν· εἷς ἄνθρωπος τὴν οἰκουμένην ἠρήμωσε, καὶ παρακαθήμεθα αὐτῷ τρεῖς μῆνας. καὶ [d] ἀπεστάλη τὸ δεύτερον οὕτως.

ventilari, & [a] approbari; & jubete eum adesse. Neque enim subvertimus aliquid eorum quæ dudum acta sunt. Aëtius archidiaconus & primicerius notariorum dixit: Quid videtur vestræ sanctitati de interlocutione secundæ vocationis? Sancta synodus dixit: Consequens & regulare est, & secundo eum evocare. Eant igitur ad Dioscorum religiosissimum Alexandrinorum episcopum Dei amicissimi episcopi Pergamius & Cecropius & Rufinus ad cohortandum eum, ut ad nos veniat. Aëtius archidiaconus & primicerius notariorum dixit: Placet ergo sanctitati vestræ, [b] ipsos ad eum ex persona totius sancti concilii destinare? Amphilochius episcopus metropolitanus Sidensis dixit: Uno aut duobus diebus causa differatur. Menecrates episcopus [c] Cerasuntis provinciæ Lydiæ, dixit: Unus homo universum orbem desolavit & perturbavit, & tres menses assidemus ei. Et destinatum est secundo ita.

[a] Forte, ἀποδεχθῆναι
[b] Forte, θεοφιλέστατοι
[c] Forte, ἐπιστεῖλαι
[d] Forte, ἐπεστάλη

ACTIO TERTIA.
[a] Forte probari
[b] al. scriptis
[c] Diu. Cerasunsis.

ΔΕΥΤΈΡΑ ΚΛΗ͂ΣΙΣ ΔΙΟΣΚΌΡΟΥ.

Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ τῆς Ἀλεξανδρέων Διοσκόρῳ.

Πρώην ἔδοξε τοῖς κρατοῦσι τῶν ὅλων, ἐπί τε τῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων, καὶ τῆς ἱερᾶς καὶ ἐνδόξου συγκλήτου, τὰ μεταξὺ τῆς σῆς θεοσεβείας καὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Εὐσεβίου, καὶ ἐφ' ἡμῶν γυμνάζεσθαι. καὶ νῦν ἔδοξεν, ὥστε τὴν ἁγίαν ταύτην συνεδρευούσης μεγάλην σύνοδον, ἔχουσαν τὴν κανονικὴν αὐθεντίαν, μὴ ἀνασκευαζομένων τῶν πρότερον ἐπὶ σοὶ πεπραγμένων ἐν ἐκείνῳ τῷ θείῳ συνεδρίῳ, περὶ ἑτέρων τινῶν, ὧν ἐπάγει ταννῦ ὁ αὐτὸς θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος, διὰ λιβέλλων αἰτιασάμενος, τὴν ἐξέτασιν ποιήσασθαι. ἀπροφασίστως τοίνυν ἡ σὴ θεοσέβεια παραγενέσθω πρὸς ἡμᾶς, ἀπολογησομένη, καθὼς ἡ τῶν κανόνων ἀπαιτεῖ τάξις. ἰδοὺ γὰρ καὶ δευτέραν κανονικὴν κλῆσιν πρὸς τὴν σὴν θεοσέβειαν πεποιήμεθα. ἀποστείλαντες Περγάμιον, Κεκρόπιον, καὶ Ρουφῖνον, τοὺς θεοφιλεστάτους ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν, ὀφείλοντας ὑπομνῆσαι τὴν σὴν θεοσέβειαν, ὥστε ἀνενδοιάστως πρὸς ἡμᾶς παραγενέσθαι, καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις.

SECUNDA VOCATIO.

Sancta & universalis synodus Dei amantissimo episcopo Alexandrinorum Dioscoro.

Prius placuit [sacratissimis] dominis orbis terræ, tam sub magnificentissimis & gloriosissimis judicibus, quam etiam sub sacro & amplissimo Senatu, inter tuam religiositatem atque reverentissimum episcopum Eusebium, & a nobis causam examinari: & nunc placuit, considente sancta & magna synodo, habente regularem auctoritatem, nihil de prioribus, quæ de te, seu contra te, acta sunt in illo sacro concilio, retractari; sed de aliis quibusdam, de quibus nunc idem Dei amantissimus episcopus Eusebius, per libellos accusans tuam religiositatem, a nobis petit fieri examinationem. Sine ulla igitur excusatione tua religiositas perveniat ad nos, satisfactura, sicut ordo expetit regularum. Ecce enim & secundam regularem vocationem ad tuam fecimus religiositatem, dirigentes Pergamium & Cecropium & Rufinum, Dei amantissimos fratres & coëpiscopos nostros; debentes commonefacere tuam religiositatem, quatenus ipse ad nos indubitanter pervenias, & satisfacias de his quæ tibi ingeruntur.

Καὶ ἐπανελθόντων αὐτῶν, Ἀρχιδιάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· οἱ τῇ δευτέρᾳ κλήσει διακονησάμενοι ἐπίσκοποι, Περγάμιος, Κεκρόπιος, καὶ Ρουφῖνος, παραγεγόνασι, καὶ τοῦτο αὐτὸ ἀναφέρομεν. Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπε· λεγέτωσαν οἱ θεοφιλέστατοι, εἴ τι δ' ἂν ἤκουσαν παρὰ Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων· καὶ ἀναγγειλάτωσαν τῇ ἁγίᾳ συνόδῳ ἅπερ ἤκουσαν, μετὰ ἀληθείας. Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπεν. ἀκολούθως τοῖς προσταχθεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, ἐπὶ τῇ δευτέρᾳ κανονικῇ κλήσει ὑπόμνησιν πεποιήμεθα πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἀλεξανδρέων Διόσκορον· καὶ ἐπὶ τοῖς δηλωθεῖσιν αὐτῷ ἐγγράφως, ἀπόκρισιν φανερὰν πεποίηται· ἥν τις, εἰ παρίσταται τῇ ὑμετέρᾳ ὁσιότητι, ὑπαναγνωσθήσεται παρὰ τοῦ ἐξειληφότος, καὶ σὺν ἡμῖν παραγενομένου ἀναγνώστου, καὶ νοταρίου Ὑπατίου. Διογένης ἐπίσκοπος Κυζίκου εἶπεν· ὁ ἀναγνώστης Ὑπάτιος ἀναγνωσθήτω ἅπερ ἐξείληφε παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου, ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ. Ὑπάτιος ἀναγνώστης, καὶ νοτάριος ἀνέγνω οὕτως.

Et his remeantibus, Aëtius archidiaconus & primicerius notariorum dixit: Qui secundæ ministraverunt vocationi, sanctissimi episcopi Pergamius & Cecropius & Rufinus advenerunt; & hoc ipsum suggerimus. Stephanus episcopus Ephesi dixit: Dicant Deo amicissimi episcopi, si quid a beatissimo episcopo Alexandrinæ magnæ civitatis Dioscoro audierunt; & sanctæ synodo, quæ audierunt cum veritate denuntient. Pergamius episcopus metropolitanus Antiochiæ Pisidiæ dixit: Consequenter his quæ præcepta sunt a vestra sanctitate, de secunda regulari vocatione commonefecimus Dei amantissimum episcopum Alexandrinorum Dioscorum: & super hæc, quæ ei in scriptis mandata sunt, certum fecit responsum; quod, si placuerit vestræ sanctitati, a lectore & notario Hypatio, qui nobiscum directus fuerat, & exceperat, recitetur. Diogenes episcopus metropolitanus Cyzici dixit: Lector Hypatius, quæ a Dei amantissimo episcopo Dioscoro excepit, huic sanctæ & magnæ & universali recenseat synodo. Hypatius lector & notarius relegit ita.

Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπεν· ἡ συναθροισθεῖσα ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας μάρτυρος Εὐφημίας οἰκουμενική, ἁγία, καὶ καθολικὴ σύνοδος, δευτέραν κλῆσιν ποιουμένη πρὸς τὴν σὴν ὁσιότητα ἐξαπέστειλε τὴν ἡμετέραν βραχύτητα, τὴν ὑπόμνησιν ποιουμένην ἐγγράφως, μηνύσοντα ἅπερ νῦν τῇ σῇ ὁσιότητι ὑπαναγνωσόμεθα. καὶ μετὰ τὸ ἀναγνωσθῆναι τῷ ἐπισκόπῳ Διοσκόρῳ τὰ παρὰ τῆς ἁγίας ὑμῶν καὶ οἰκουμενικῆς συνόδου δηλωθέντα αὐτῷ διὰ τῶν θεοφιλεστάτων ἐπισκόπων, Διόσκορος ἐπί-

Pergamius episcopus metropolitanus Antiochiæ Pisidiæ dixit: Congregata in basilica sanctæ martyris Euphemiæ universalis sancta & catholica synodus, secundam vocationem faciens ad tuam sanctitatem, parvitatem nostram direxit, facientem commonitionem in scriptis, denuncians quæ nunc tuæ sanctitati relegentur. Et cum episcopo Dioscoro, quæ a sancta vestra & universali synodo per Dei amantissimos episcopos ei mandata sunt, lecta fuissent, Dioscorus epis-

ACTIO TERTIA.

copus dixit: Jam dudum præveniens [a] demandavi vestræ religiositati, quia & infirmitate detineor, & postulo magnificentissimos judices & sacrum Senatum esse præsentem in eorum, quæ nunc examinanda sunt, audientia. Quoniam vero amplius mihi ægritudo invaluit, hujus gratia feci dilationem. Cecropius episcopus Sebastopolitanus dixit: Paulo ante tua sanctitas non se asserebat infirmari, sed postulavit sacratissimum Senatum & magnificentissimos judices esse præsentes: nunc vero hoc addidit. Dignare ergo, sicut te decet, agere; & regulis satisfaciens, obedire sanctæ & universali synodo; quatenus quæ negotio competunt, consequenter & secundum regulas proveniant. Dioscorus episcopus dixit: Semel dixi, quia postulavi gloriosissimos & magnificentissimos judices & sacratissimum Senatum adesse his quæ nunc debent examinari. Rufinus Samosatenus episcopus dixit: Canonica sunt quæ moventur: & potest & nunc tua perveniens sanctitas, quæ vult, postulare a sancto concilio. Dioscorus episcopus dixit: Venerunt religiosissimi episcopi ad concilium Juvenalis & Thalassius, Eusebius, Basilius, & Eustathius? Pergamius episcopus dixit: De hac interrogatione a tua reverentia facta, responsum nunc facere non præcepit nobis sancta & universalis synodus: ut vero satisfaciat regulari secundæ vocationi, sufficienter commonefecimus. Tuæ igitur sanctitatis est, & sanctissimam & universalem synodum, prout decet, per obedientiam honorare; & tuæ reverentiæ cognitas regulares formas similiter in honore habere, consequenter illis obtemperando. Dioscorus episcopus dixit: Et nunc eadem dico: Petii piissimum & Christianissimum nostrum Imperatorem, quatenus & nunc, ante hoc constituti in sancta synodo magnificentissimi & gloriosissimi judices una cum sacro Senatu, præsentes sint his quæ examinanda sunt, præsentibus etiam & religiosissimis episcopis, qui simul mecum feruntur in accusatione, quæ nobis ingeritur ab Eusebio. Cecropius episcopus dixit: Tuam tantummodo religiosissimus Eusebius sanctitatem accusat, & hæc societas necessaria non est: sed ut consequenter & regulariter impleatur obedientia, & quæ canonica sunt ventilentur. Quando enim quædam regularia examinantur, neque judices, neque aliquos laïcos interesse oportet, nisi tantummodo tuam sanctitatem, quæ in propria accusatur persona. Non est igitur opus ista tarditate aut dilatione, siquidem volueris & Deo & canonibus obedire, & non per dilationes confirmare ea quæ ab accusatore dicuntur. Dioscorus episcopus dixit: Semel precatus sum piissimum & amicum Christi nostrum Imperatorem, quatenus & alii episcopi una mecum intersint. Neque enim adversus me specialiter causam habet Eusebius, sed potius de quibus omnes pariter egimus. Pergamius episcopus dixit: Secundum quod Dei amantissimus coëpiscopus Cecropius tuam commonuit reverentiam, religiosissimi Eusebii episcopi accusatio, sicut adversus tuam reverentiam facta, tuam quærit personam: ideoque tuam sanctitatem consequenter & regulariter vocavit & vocat sanctissima & [b] catholica synodus. Dioscorus episcopus dixit: Semel dixi, quæ dixi, & ultra hæc compendiosius quod dicam non habeo.

[a] al. renuntiavi

[b] al. universalis

Et cum prædicta relecta fuissent, Eusebius episcopus Dorylætanæ civitatis dixit: Et per preces, quas victoribus & triumphatoribus dominis nostris obtuli, adversus solum religiosissimum Dioscorum accusationem institui, tamquam ab eo passus iniqua, una cum sanctæ memoriæ patre nostro & quondam archiepiscopo Flaviano: & nunc sub fide monimentorum profiteor, quoniam adversus nullum alterum facio accusationem, nisi tantummodo adversus Dioscorum magnæ Alexandrinæ civitatis episcopum. Non ergo fingat occasiones Dioscorus, neque compellat me aliis quibus nolo, accusationem ingerere: quippe etsi ab aliis læsus essem, licebat mihi adversus unum, quem

ANNO CHRISTI 451.

A σκοπος Ἀλεξανδρείας εἶπεν· ἤδη φθάσας δεδήλωκα τῇ ὑμετέρᾳ θεοφιλείᾳ, ὡς ὅτι καὶ ἀῤῥωστίᾳ συνέχομαι, καὶ ἐξῄτησα, ὥστε τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας, καὶ τὴν ἱερὰν σύγκλητον, καὶ νῦν παρεῖναι τῇ τῶν ἐξεταζομένων ἀκροάσει. ἐπειδὴ δέ μοι τὰ τῆς ἀῤῥωστίας ἐπετάθη, τούτου χάριν τὴν ὑπέρθεσιν πεποίημαι. Κεκρόπιος ἐπίσκοπος Σεβαστουπόλεως εἶπεν· πρὸ βραχέος ἡ σὴ ὁσιότης οὐχ ὡμολόγει ἀῤῥωστίαν, ἀλλ' ἐπεζήτησε παρεῖναι τὴν ἱερὰν σύγκλητον, καὶ τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας· νῦν δὲ τοῦτο προσέθηκε. καταξίωσον οὖν, ὡς πρέπον σεαυτῷ πρᾶγμα ποιεῖν, καὶ τοῖς κανόσι τὸ εἰκὸς ἐκπληρῶν, ὑπακοῦσαι τῇ ἁγίᾳ καὶ καθολικῇ συνόδῳ, ὥστε τὰ τῷ πράγματι ἀκολούθως καὶ κατὰ κανόνας προβληθῆναι. Διόσκορος ἐπίσκοπος εἶπεν· ἅπαξ εἶπον, ὅτι [a] ἐξέτησα τοὺς μεγαλοπρεπεστάτους καὶ ἐνδοξοτάτους B ἄρχοντας, καὶ τὴν ἱερὰν σύγκλητον παρεῖναι τοῖς ὀφείλουσι καὶ νῦν ἐξετάζεσθαι. Ῥουφῖνος ἐπίσκοπος Σαμοσάτων εἶπε· κανονικά ἐστι τὰ νῦν κινούμενα, καὶ δύναται καὶ νῦν ἡ σὴ ὁσιότης παραγενομένη, ἃ βούλεται, [b] ἐξετάσαι παρὰ τῆς ἁγίας συνόδου. Διόσκορος ἐπίσκοπος εἶπε· παρεγένοντο οἱ θεοφιλέστατοι ἐπίσκοποι ἐν τῇ συνόδῳ, Ἰουβενάλιος, Θαλάσσιος, Εὐσέβιος, Βασίλειος, καὶ Εὐστάθιος; Περγάμιος ἐπίσκοπος εἶπε· περὶ τῆς ἐρωτήσεως τῆς γενομένης παρὰ τῆς σῆς ἁγιωσύνης, ἀποκρίνασθαι ἡμᾶς τανῦν, οὐ προσέταξεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος· ὥστε δὲ τὸ ἱκανὸν τῇ κανονικῇ δευτέρᾳ κλήσει γενέσθαι, αὐτάρκως τὴν ὑπόμνησιν [c] πεποιήμεθα. τῆς σῆς τοίνυν ἐστὶν ὁσιότητος, καὶ τὴν ἁγιωτάτην καὶ καθολικὴν σύνοδον προσηκόντως τιμῆσαι τῇ εὐπειθείᾳ, καὶ τοὺς ἐγνωσμένους τύπους κανονικοὺς τῇ σῇ θεοσεβείᾳ, ὡσαύτως ἐν τιμῇ πεπεῖσθαι [d] τὸ ἀκολούθως C αὐτοῖς εἶξαι. Διόσκορος ἐπίσκοπος εἶπε· καὶ νῦν τὰ αὐτὰ λέγω· παρεκάλεσα τὸν εὐσεβέστατον καὶ φιλόχριστον ἡμῶν βασιλέα, ὥστε καὶ νῦν τοὺς πρότερον ὄντας ἐν τῇ ἁγίᾳ συνόδῳ μεγαλοπρεπεστάτους ἄρχοντας, καὶ τὴν ἱερὰν σύγκλητον, παρεῖναι τοῖς ἐξεταζομένοις· συμπαρόντων καὶ τῶν θεοσεβεστάτων ἐπισκόπων, τῶν μετ' ἐμοῦ ἅμα ἐμοὶ ἐμφερομένων εἰς τὴν ἀπαγγελίαν, ἣν ἐπιφέρει ἡμῖν Εὐσέβιος. Κεκρόπιος ἐπίσκοπος εἶπε· τῆς σῆς μόνης θεοσεβείας ὁ ἐπίσκοπος Εὐσέβιος κατηγορεῖ· καὶ τῆς κοινωνίας ταύτης χρεία οὐκ ἔστιν· ἀλλὰ ἀκολούθως καὶ κανονικῶς τὴν ὑπακοὴν πληρωθῆναι, καὶ τὰ κανονικὰ ἐξετασθῆναι· κανονικῶν γὰρ ἐξεταζομένων, οὔτε ἄρχοντας, οὔτε ἑτέρους τινὰς λαϊκοὺς παρεῖναι χρὴ, εἰ μὴ μόνον τὴν σὴν ὁσιότητα, τὴν εἰς πρόσωπον κατηγορουμένην οἰκεῖον. οὔτε οὖν χρεία τῆς μελλήσεως, ἢ τῆς ὑπερθέσεως ταύτης, εἴπερ βούλει καὶ τῷ Θεῷ, καὶ τοῖς κανόσι D γενέσθαι εὐπειθὴς, καὶ μὴ βεβαιοῦσθαι τὰ παρὰ τοῦ κατηγόρου λεγόμενα, διὰ τῆς ὑπερθέσεως. Διόσκορος ἐπίσκοπος εἶπεν· ἅπαξ ἐδεήθην τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως, ὥστε καὶ τοὺς ἄλλους ἐπισκόπους ἅμα ἐμοὶ παρεῖναι. οὐδὲ γὰρ ἰδικῶς ἴδιον πρᾶγμα πρὸς ἐμὲ ἔχει Εὐσέβιος, ἀλλ' ἢ ἄρα κοινῇ περὶ ὧν πάντες ἐπράξαμεν. Περγάμιος ἐπίσκοπος εἶπε· καθὰ ὁ θεοφιλέστατος συνεπίσκοπος Κεκρόπιος ὑπόμνησιν προσήγαγε τῇ σῇ θεοφιλείᾳ, ἡ κατηγορία ἡ παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου, οἷα κατὰ τῆς σῆς γενομένη θεοσεβείας, τὸ σὸν ἐπιζητεῖ πρόσωπον. διὸ καὶ τὴν σὴν θεοσέβειαν ἀκολούθως καὶ κανονικῶς ἐκαλέσατό τε, καὶ καλεῖ ἡ ἁγία καὶ καθολικὴ σύνοδος. Διόσκορος ἐπίσκοπος εἶπεν· ἅπαξ εἶπον· καὶ περαιτέρω τούτων εἰπεῖν οὐκ ἔχω συντόμως.

E Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὰ εἰρημένα, Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπε· διὰ τῶν δεήσεων τῶν ἐπιδοθεισῶν τοῖς καλλινίκοις καὶ τροπαιούχοις ἡμῶν δεσπόταις, τὴν κατηγορίαν κατὰ μόνου τοῦ θεοφιλεστάτου Διοσκόρου συνεστησάμην, ὡς παρ' αὐτοῦ ἀδικηθεὶς, ἅμα τῷ ἐν ἁγίοις πατρὶ ἡμῶν Φλαβιανῷ· καὶ νῦν καθίσταμαι ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων, ὅτι κατ' οὐδενὸς ἑτέρου ποιοῦμαι τὸν λόγον τῆς ἐπαγωγῆς, εἰ μὴ κατὰ μόνου Διοσκόρου τοῦ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. μὴ προφασιζέσθω τοίνυν Διόσκορος, μηδὲ ἀνάγκην μοι ἐπαγέτω ἄλλων κατηγορεῖν, ὧν οὐ βούλομαι. εἰ γὰρ καὶ ἤμην ἠδικημένος παρὰ ἄλλων, ἐξῆν μοι καθ' ἑνὸς, οὗ ἂν βούλομαι.

[a] Forte, ἐξῄτησα.

[b] Forte, ἐξετάσαι ex Latino.

[c] Forte, πεποιήμεθα.

[d] Forte, τοὺς, ex Latino.

βούλομαι, τὴν ἐπαγγελίαν ἀποθέσθαι, ὁπότε δὲ οὐχ ὁμολογῶ, οὐδὲ ἠδίκημαί τι παρὰ ἄλλου, ἀξιῶ τὴν ὑμετέραν ἁγιωσύνην, καὶ τρίτῃ κλήσει αὐτὸν καλέσαι εἰς τὸ ἅγιον ὑμῶν συνέδριον, ἐπὶ * τὸ παραγενέσθαι, καὶ δέξασθαι τὰς παρ' ἐμοῦ εἰς αὐτὸν γενομένας ἀναγωγάς.

* Forte, τῷ

Καὶ ὡς ἔλεγεν, Ἀέτιος ἀρχιδιάκονος, καὶ πριμικήριος νοταρίων, εἶπε· πρὸ τούτου τινὲς λέγοντες ἑαυτοὺς κληρικούς, μετὰ καὶ ἑτέρων λαϊκῶν ἀπὸ τῆς Ἀλεξανδρέων ὁρμώμενοι, λιβέλλους ἐπιδεδώκασι κατὰ τοῦ ὁσιωτάτου Διοσκόρου. οὗτοι πρὸ τοῦ ἁγίου τούτου συνεδρίου τυγχάνουσι, καὶ ἐκβοῶσι κεκραγότες καὶ ἀξιοῦσιν ἐνορκίζοντες ὑμᾶς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, καὶ σωτηρίαν καὶ νίκην τῶν φιλοχρίστων ἡμῶν βασιλέων, εἰσόδου τυχεῖν, καὶ τοῦτο αὐτὸ ὑποβαλλόμεθα πρὸς τὸ παριστάμενον. ἡ ἁγία σύνοδος εἶπεν· εἰσίτωσαν οἱ τοὺς λιβέλλους ἐπιδεδωκότες. καὶ μετὰ τὸ εἰσελθεῖν, Ἀθανάσιος λέγων ἑαυτὸν εἶναι πρεσβύτερον τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, εἶπε· πολλά, καὶ δεινά, καὶ παγχάλεπα, καὶ πάσης ἀσεβείας ἀνάμεστα, καὶ πλεονεξίας, ὑπομεμενηκὼς παρὰ τοῦ εὐλαβεστάτου καὶ θεοσεβεστάτου ἐπισκόπου Διοσκόρου, δεήσεις ἐπιδέδωκα τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις ἡμῶν δεσπόταις, διδάσκων τὰ κατ' ἐμαυτόν, καὶ ἃς ὑπομεμένηκα συσκευάς, καὶ ἐπιβουλὰς παρ' αὐτοῦ· ἐπί τε τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ τὰς αὐτὰς δεήσεις ἐπιδέδωκα· καὶ δέομαι τῶν ἁγίων καὶ θεοφιλεστάτων ἐπισκόπων καὶ πατέρων ἡμῶν, ὥστε κἀμὲ κατελεῆσαι, καὶ δέξασθαι μετ' εὐμενείας, διδάσκοντα τὰ κατ' ἐμαυτόν. καὶ μετ' αὐτὸν Ἰσχυρίων, λέγων ἑαυτὸν εἶναι διάκονον τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, εἶπεν· ὥστε μὴ νομίζειν τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον, μόνον τὸν θεοσεβέστατον ἐπίσκοπον Εὐσέβιον κατηγορίαν ἐνστήσασθαι κατ' αὐτοῦ, ἀλλὰ γνῶναι καὶ τοὺς ἄλλους, καὶ τίνες εἰσὶν οἱ κατηγοροῦντες αὐτοῦ, καὶ τίνα τὰ ἐπαγόμενα αὐτῷ, παρακαλοῦμεν ἀναγνωσθῆναι τοὺς λιβέλλους. Λουκήνσιος ἐπίσκοπος εἶπεν· οἱ λίβελλοι, οἱ κατὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Διοσκόρου παρὰ διαφόρων ἡμῖν προσκομισθέντες, παρὰ τοῦ ἀρχιδιακόνου καὶ πριμικηρίου Ἀετίου, ἀναγινωσκέσθωσαν· ὥστε πᾶσαν ταύτην τὴν ἁγίαν σύνοδον γνῶναι, τί περιέχουσι. καὶ λαβὼν Ἀέτιος ἀρχιδιάκονος, καὶ πριμικήριος νοταρίων, ἀνέγνω λίβελλον Θεοδώρου. Καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Πασχασῖνος ἐπίσκοπος εἶπε· τί πρὸς ταῦτα λέγει ὁ παρὼν κατήγορος Θεόδωρος; εἰ θαρρεῖ ὑποδεῖξαι τὰ ἐπαγόμενα παρ' αὐτοῦ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Διοσκόρῳ, διὰ τοῦ οἰκείου στόματος ὁμολογείτω, εἴ γε μὴ βούλεται καθ' ἑαυτοῦ στρέφεσθαι τὴν τῶν κανόνων ἀπόφασιν. Θεόδωρος εἶπεν· ἀξιῶ τὸν ἐπιδοθέντα λίβελλον ἐμφέρεσθαι τοῖς ὑπομνήμασιν· ἕτοιμος γάρ εἰμι συστῆναι ἐμαυτῷ. Πασχασῖνος ἐπίσκοπος εἶπεν· ὁ ἀναγνωσθεὶς λίβελλος τοῖς ἐκκλησιαστικοῖς ὑπομνήμασιν ἐντεθείσθω· τὰ δὲ λοιπὰ λεγέτω Θεόδωρος, παραγενομένου τοῦ ἀντιδίκου αὐτοῦ, τὰ αὐτῷ προσαρμόζοντα.

A vellem, accusationem deponere. Cum vero profiteor, quia neque ab altero læsus sum, supplico vestræ sanctitati, & tertia eum accersitum vocatione, adesse vestro sancto concilio, & meas contra eum factas conventiones suscipere.

Et cum diceret, Aëtius archidiaconus & primicerius notariorum dixit: Ante hoc aliqui dicentes se esse clericos, una cum aliis laïcis ab Alexandria orti, adversus Dioscorum sanctissimum episcopum libellos porrexerunt. Hi ante sanctum concilium vestrum constituti clamoribus usi sunt, & obsecrant, conjurantes vos per sanctam & consubstantialem Trinitatem, & salutem & victoriam piissimorum & Christianissimorum nostrorum Imperatorum, introitum impetrare. Et hoc ipsum ad id quod placuerit, suggerimus. Sancta synodus dixit: Ingrediantur, qui libellos porre- B xerunt. Et cum ingressi fuissent, Athanasius dicens se esse presbyterum magnæ Alexandrinæ civitatis, dixit: Multa & dira & omnino sævissima, & omni plena impietate & avaritia perpessus a reverentissimo episcopo Dioscoro, preces obtuli piissimis & Christianissimis nostris Imperatoribus, docens quas ab eo sustinui circumventiones pariter & insidias, nec non & huic sancto & universali concilio easdem preces obtuli. Et precor sanctissimos & Dei amantissimos episcopos & patres nostros, quatenus & mei misereamini, & clementer me suscipiatis, [a] docentem quæ ad meipsum pertinent. Et post ipsum Ischyrion, dicens se esse magnæ Alexandrinæ civitatis diaconum, dixit: Ut non putet reverentissimus episcopus Dioscorus, solum reverentissimum episcopum Eusebium accusationem adversus eum instituisse: sed ut sciat & alios, & qui C sint qui accusant, & quæ sunt quæ ei ingeruntur, obsecramus libellos recitari. Lucentius episcopus dixit: Libelli, qui adversus reverentissimum episcopum Dioscorum a diversis nobis oblati sunt, suscepti ab Aëtio archidiacono & primicerio notariorum recenseantur, quatenus hæc omnis sancta synodus scire possit quid continent. Et suscipiens Aëtius archidiaconus & primicerius notariorum libellum Theodori legit. Et cum lectum fuisset, Paschasinus reverentissimus episcopus dixit: Quid ad hæc dicit præsens accusator Theodorus? Si confidit [b] approbare ea quæ ingerit adversus reverentissimum episcopum Dioscorum, proprio ore confiteatur, si non vult adversus se regularem converti sententiam. Theodorus diaconus dixit: Supplico porrectum libellum monimentis inseri: paratus enim sum mihi ipsi adesse. Paschasinus episcopus dixit: Perlectus libellus monimentis ecclesiasticis societur: reliqua vero dicat Theodorus, adveniente ejus adversario, quæ ei competunt.

[a] al. ut doceam quæ ego ipse sustinui.

[b] al. probare.

Λίβελλος Θεοδώρου διακόνου Ἀλεξανδρείας, ἐπιδοθεὶς κατὰ Διοσκόρου.

Τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ οἰκουμενικῷ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ τῆς μεγάλης Ῥώμης Λέοντι, καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ τῇ ἐν Καλχηδόνι κατὰ βούλησιν Θεοῦ καὶ θέσπισμα θεῖον συναθροισθείσῃ, παρὰ Θεοδώρου διακόνου Ἀλεξανδρείας.

Τὰ παρὰ τοῦ εὐλαβεστάτου Διοσκόρου τοῦ γενομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως τολμηθέντα, E γλώττης μὲν δέονται ἀρχαίας, τῆς δυναμένης διδάξαι ἕκαστον τῶν παρ' αὐτοῦ τολμηθέντων εἴς τε τὸ θεῖον, καὶ τοὺς ἁγίους τῶν πατέρων κανόνας, οὐ μὴν ἀλλὰ καὶ εἰς διαφόρους, καὶ πλείστους ἐκείνης τῆς χώρας. τὰ γὰρ εἰς αὐτὴν τὴν καθοσίωσιν παρ' αὐτοῦ κατασκευασθέντα, τὰ πεπραγμένα ἐπὶ διαφόρων ἀρχόντων διδάξει τὴν ὑμετέραν ὁσιότητα· ὅμως, ἵνα ταῦτα συνελὼν εἴπω τὰ παρ' αὐτοῦ εἰς τὴν ἡμετέραν μικρότητα γεγενημένα, προσ-

D *Libellus Theodori diaconi Alexandrini, contra Dioscorum exhibitus.*

Sanctissimo ac Dei amantissimo & universali archiepiscopo & patriarchæ magnæ Romæ Leoni, & sanctæ & universali Chalcedonensi synodo, quæ voluntate Dei & sacra præceptione congregata est, a Theodoro ecclesiæ Alexandrinæ diacono.

QUæ a reverentissimo Dioscoro Alexandriæ magnæ civitatis episcopo per audaciam commissa sunt, lingua quidem egent antiqua, quæ possit docere singula, quæ ab ipso perpetrata sunt, & adversus divinitatem ipsam, & in sanctorum patrum regulas, nec non etiam & in diversos & plurimos illius provinciæ. [c] Quæ enim in ipsam devotionem ab eo confecta sunt gesta, sub diversis judicibus habita, vestram sanctitatem docebunt. Tamen ut omnia compendiose dicam, quæ ab eo in nostram pusillitatem perpetrata sunt, ad-

[c] al. Quæ enim crimina læsæ majestatis admisit.

ACTIO TERTIA.

sum vestram deprecans sanctitatem. Viginti & duos A plus minus annos in schola devotissimorum [a] magistrianorum militans conversatus sum; nullam adversus memetipsum dans aliquando reprehensionem aut querelam, sperans magnæ illius scholæ mereri privilegia. Sed sanctæ & beatæ memoriæ Cyrillus, qui nominatissimæ Alexandrinæ civitatis triginta & duos annos fuit archiepiscopus, rectæ & immaculatæ fidei advocatus, deputatum me habuit, & maxime in tempore, quo facta est sub eo in Epheso synodus; & sine ulla querela ministrans sancto illi & per Deum facto concilio, ita ut pro sinceritate & studio meo, magnæ Alexandrinæ civitatis clericatum ab ipso mererer. Si- B quidem videbar fructu multorum annorum fraudari militiæ meæ; majorem tamen honorem existimans divini & venerabilis mysterii ministerium, quindecim annos in eodem clero permansi, sperans & majorem honorem mereri. Sed inter hæc sancto & beatæ memoriæ Cyrillo de hac humana vita migrante, succedens ei (quod utinam numquam contigisset) memoratus reverentissimus episcopus Dioscorus, nulla adversus me accusatione per scripturam vel sine scriptura facta, sed neque simplici querela, in principio episcopatus sui (quem nescio quo ordine sortitus est) statim me clericatu privavit, comminans & magna illa C civitate fugare, propter nihil aliud, nisi ob id quod familiaritatem & benevolentiam sanctæ memoriæ Cyrilli merebar. Intentio enim ejus talis est, non solum parentes ejus ex illa civitate exagitare, seu vita privare, verum etiam & familiares ipsius; exercens inimicitias adversus ejus rectam fidem, hæreticus constitutus, & semper quæ Origenis sunt sapiens: & hæc homo neque sanctæ Trinitatis blasphemiis abstinens, neque homicidii expers, neque alienas parcens excidere arbores, neque incendia facere, neque domos destruere, sed enim & turpiter semper vivens: quod sum paratus ostendere. Quoniam igitur vestra Deoamabilitas pervidet, quia non levem iniquitatem sustinuir, militiam tantorum annorum contemnens, majorem D sacerdotalem ordinem arbitrans; supplico permittere mihi in sancto vestro concilio adesse, & meis allegationibus uti, ne ex utraque parte videar cadere, qui & in militia, sicut dixi, irreprehensibiliter conversatus sum; & in venerabili clero, quantum ad me pertinuit, cum modestia memoratis temporibus ministravi. Ostendam enim, cum omnia quæ dicta sunt, perpetrasse; nec non etiam & contra gestum in metropoli Nicæa concilium, temerarium exstitisse. Hic namque sanctissimus, magis autem circa omnia ferocissimus, in consuetudine habens leges prævaricari, nihil arbitrans, quod ab ipso in sanctæ & sacræ memoriæ Flavianum commissum est, insuper ad mala majora se ver- E tit. Excommunicationem namque faciens contra sanctissimum & beatissimum Apostolicæ sedis magnæ Romæ episcopum, suasit subscribere eis, qui cum ipso de Ægypto exierunt sanctissimis episcopis plus minus numero decem, (neque enim ampliores ausi sunt exire cum ipso, propter ea quæ ab ipso in Epheso contra leges peracta sunt) aliquoties comminans, aliquoties nolentes decipiens; unde lacrymantes atque gementes, nefandæ illi chartæ subscripserunt. Considerate igitur, sanctissimi & reverentissimi patres, quam neque Deo placita sint, quæ ab eo per audaciam commissa sunt, neque hominibus toleranda. Et obsecro vestram sanctitatem præcipere, si placet, eos qui subter designati sunt, sub custodia fieri, quatenus quæ veritatis sunt, ostendantur. Sunt autem, Agorastus, Dorotheus, Eusebius, Joannes notarius. Tempore namque opportuno vocante, offero vestro angelico choro sanctissimos viros & reverentia & rectitudine adornatos, qui super singulis capitulis possint testimonium perhibere. Et ipse ego hanc accusationem propria subscripsi manu. Theodorus diaconus sanctæ & catholicæ ecclesiæ magnæ Alexandrinæ civitatis, suprascriptus, sancto & universali concilio hos libellos obtuli.

A ειμι δεόμενος τῆς ὑμετέρας ἁγιωσύνης. ἐπὶ δύο, καὶ εἴκοσι ἔτη, πλέον ἢ ἔλαττον, ἐστρατευσάμην ἐν τῇ τῶν καθωσιωμένων μαγιστριανῶν σχολῇ, οὐδεμίαν κατ' ἐμαυτοῦ [a] βλάβην ἢ μέμψιν διδοὺς, προσδοκήσας τῶν προνομίων τῆς μεγάλης ἐκείνης σχολῆς ἀξιωθῆναι. ἀλλ' ὁ τῆς ὁσίας καὶ ἁγίας μνήμης Κύριλλος, ὁ τῆς περιωνύμου Ἀλεξανδρείας γεγονὼς ἀρχιεπίσκοπος, ὁ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως συνήγορος, ἐκπέμπει με ἔσχε, καὶ μάλιστα ἐν τῷ καιρῷ τῆς κατὰ τὴν Ἔφεσον γενομένης ἐπ' αὐτοῦ συνόδου. καὶ δὴ καὶ ἀμέμπτως ἐξυπηρετησάμενος τῇ ὁσίᾳ ἐκείνῃ καὶ κατὰ Θεὸν γεγενημένῃ συνόδῳ, [b] οὕτως ὡς διὰ τὸ γνήσιον, καὶ σπουδαῖον, ἠξίωσε με τοῦ κλήρου τῆς μεγαλοπόλεως Ἀλεξαν-B δρείας. ὡς δὲ ἐδόκουν τῶν [c] κατὰ τῆς πολυχρονίου στρατείας ἀποστερεῖσθαι, μείζονα ἡγησάμενος τὴν τιμὴν τὴν τῶν θείων καὶ σεπτῶν μυστηρίων ὑπηρεσίας, παρέμεινα τῷ αὐτῷ κλήρῳ ἐπὶ δέκα καὶ πέντε ἔτη, ἐλπίσας καὶ μείζονος ἀξιωθῆναι τιμῆς. ἀλλ' ἐν τοσούτῳ τοῦ τῆς ὁσίας καὶ ἁγίας μνήμης Κυρίλλου τὸν ἀνθρώπινον ὑπεξελθόντος βίον, διαδεξαμένου τε αὐτὸν, ὡς εἴθε μήποτε, τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου, οὐδεμιᾶς κατ' ἐμοῦ αἰτιάσεως ἐγγράφου ἢ ἀγράφου γεγενημένης, ἀλλ' οὐδὲ ψιλῆς μέμψεως, ἐκτὸς με τοῦ κλήρου πεποίηκεν ἐν προοιμίοις [d] τῆς ἣν οὐκ οἶδ' ὅπως ἔλαχεν ἐπισκοπῆς, ἀπειλήσας καὶ τῆς μεγάλης ἐκείνης διώκειν πόλεως, δι' οὐδὲν ἕτερον, εἰ μὴ διὰ τὸ τῆς οἰκειότητος καὶ εὐμενείας τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου ἠξιῶσθαί με. σκοπὸς γὰρ αὐτῷ, οὐ μόνον τοὺς ἀπὸ γένους αὐτοῦ C ἐλάσαι ἐκείνης τῆς πόλεως, ἤγουν ἀφελέσθαι τοῦ ζῆν, ἀλλὰ γὰρ καὶ τοὺς προσῳκειωθέντας αὐτῷ ἀπεχθανόμενος πρὸς τὴν ὀρθὴν ἐκείνου πίστιν· αἱρετικὸς γὰρ ὑπάρχει, καὶ ἀεὶ τὰ Ὠριγένους [e] φρονῶν· καὶ ταῦτα ἄνθρωπος, οὐ δυσφημιῶν τῶν περὶ τὴν ἁγίαν τριάδα φεισάμενος, οὐ φόνων ἀμοιρήσας, οὐ δενδροκοπιῶν, οὐ πυρκαϊῶν, οὐ καθαιρέσεως οἰκιῶν· ἀλλὰ γὰρ καὶ αἰσχρῶς ἀεὶ ζήσας· ὅπερ ἕτοιμος ἔχω δεῖξαι. ἐπεὶ τοίνυν συνορᾷ ἡ ὑμετέρα θεοφίλεια, ὡς οὐ τὴν τυχοῦσαν ἀδικίαν ὑπομεμένηκα, στρατείας τοσούτου χρόνου καταφρονήσας, μείζονα τὴν τῆς ἱερωσύνης τάξιν ἡγησάμενος, παρακαλῶ ἐπιτραπῆναί με ἐν τῇ ἁγίᾳ ὑμῶν συνόδῳ γενέσθαι, καὶ τοῖς προσοῦσί μοι χρήσασθαι δικαίοις· ὥστε με μὴ κατὰ δύο ἐπιμερῶν ἐκπεσεῖν, τὸ ἐν τῇ στρατείᾳ, ὡς ἔφην, ἀμέμπτως διάξαντα, καὶ ἐν τῷ ἁγιωτάτῳ κλήρῳ, τὸ ὅσον ἐπ' ἐμοὶ, μετ' ἐπιεικείας ἐν τοῖς μνημονευθεῖσι D χρόνοις ἐξυπηρετησάμενον. δείξω γὰρ αὐτὸν πάντα τὰ εἰρημένα πλημμελήσαντα, οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ τὴν Νίκαιαν μητρόπολιν παρ' αὐτοῦ τολμηθέν. οὗτος ὁ ἁγιώτατος, μᾶλλον δὲ εἰπεῖν, ἀγριώτατος, περὶ πάντα ἐν ἔθει γενόμενος τοῦ παρανομεῖν, οὐδὲν ἡγησάμενος τὸ παρ' αὐτοῦ κατὰ τοῦ τῆς ὁσίας καὶ ἁγίας μνήμης Φλαβιανοῦ τολμηθὲν, ἐπὶ μεῖζον τὸ κακὸν τρέπεται. ἀκοινωνησίαν κατὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀποστολικοῦ θρόνου τῆς μεγάλης Ῥώμης παρασκευάζει τοὺς ἅμα αὐτῷ ἐξελθόντας ἐξ Αἰγύπτου ἁγιωτάτους ἐπισκόπους τὸν ἀριθμὸν, πλέον ἢ ἔλαττον δέκα, οὐδὲ γὰρ πλείους τετολμήκασιν ἐξελθεῖν ἅμα αὐτῷ, διὰ τὰ παρ' αὐτοῦ κατὰ τὴν Ἔφεσον παρανομηθέντα, καθυπογράψαι ταύτῃ, τῇ μὲν ἀπειλῶν, τῇ δὲ ἀπατῶν· οὐ βουλομένους ἀμέλει δακρύοντας καὶ στένοντας ὑπογράψαι τῷ ἀθεμίτῳ ἐκείνῳ E χάρτῃ· συνορᾶτε τοιγαροῦν, θεοφιλέστατοι πατέρες, ὡς οὔτε Θεῷ θεμιτὰ τὰ παρ' αὐτοῦ τολμηθέντα, οὔτε ἀνθρώποις φορητά. καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα, κελεῦσαι, εἴγε παρίσταται, τοὺς ὑποτεταγμένους ἐν ἀσφαλεῖ γενέσθαι, ὥστε δειχθῆναι τὰ τῆς ἀληθείας· εἰσὶ δὲ, Ἀγόραστος, Δωρόθεος, Εὐσέβιος, Ἰωάννης νοτάριος. καιροῦ γὰρ καλοῦντος, ἐκδώσω τῷ ὑμῶν ἀγγελικῷ χορῷ ἁγίους ἄνδρας, ἐπὶ ὀρθότητι καὶ εὐσεβείᾳ κεκοσμημένους, τοὺς ἐφ' ἑκάστῳ κεφαλαίῳ μαρτυρεῖν δυναμένους.

Θεόδωρος διάκονος τῆς ἁγίας καθολικῆς ἐκκλησίας τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, ὁ προγεγραμμένος, ἐπιδέδωκα τοὺς λιβέλλους τῇ ἁγίᾳ, καὶ οἰκουμενικῇ συνόδῳ.

ANNO CHRISTI 451.

[a] Al. agentium in rebus.

[a] Forte. βλάβην, ex Latino.

[b] Forte, οὕτως, ex Latino.

[c] Forte, καρπῶν, ex Latino.

[d] Forte, ἣν

[e] Forte, Φρονῶν.

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὸν λίβελλον, ὁ αὐτὸς Θεόδωρος εἶπεν· ἕτοιμός εἰμι παραγενομένου τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον, συστῆναι τοῖς παρ᾽ ἐμοῦ κατηγορηθεῖσιν. Βονιφάτιος πρεσβύτερος τῆς ἐκκλησίας Ῥώμης εἶπε· καὶ τοῦ καταβοῶντος Ἰσχυρίωνος τοῦ παρόντος, τοὺς λιβέλλους ὑπαναγνωσθῆναι δίκαιον. Ῥωμανὸς ἐπίσκοπος Μύρων εἶπε· κατὰ τὰ διαλαληθέντα παρὰ τοῦ θεοφιλεστάτου πρεσβυτέρου Βονιφατίου, οἱ προσδοθέντες παρὰ Ἰσχυρίωνος λίβελλοι ἀναγνωσθήτωσαν. καὶ λαβὼν Ἀσκληπιάδης διάκονος καὶ νοτάριος ἀνέγνω.

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

Λίβελλος Ἰσχυρίωνος διακόνου Ἀλεξανδρείας, ἐπιδοθεὶς κατὰ Διοσκόρου τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ τῆς μεγάλης Ῥώμης Λέοντι, καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ τῇ ἐν Καλχηδόνι βουλήσει Θεοῦ καὶ θείῳ θεσπίσματι συναθροισθείσῃ, παρὰ Ἰσχυρίωνος διακόνου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας.

Νῦν ὅτε φωνῆς ἐλευθέρας τετύχηκεν ἕκαστος τῶν πεπονθότων κακῶς, καὶ προστάται δίκαιοι τῷ ἀνθρωπίνῳ γένει ἐπιπεφοιτήκασιν, καὶ οἴχεται λοιπὸν πᾶσα συσκευὴ, καὶ πλεονεξία, καὶ τὰ ὡς ἐν τυραννίδι δεινὰ, τότε κἀγὼ τεθαῤῥηκὼς, τόδε τὸ βιβλίον προσάξαι τῇ ὑμετέρᾳ ὁσιότητι, καὶ διδάξαι, οἷα κατ᾽ ἐμοῦ, καὶ καθ᾽ ἑτέρων τινῶν πεπόνηται, εἴγε μοι γλῶττα ἦν δυναμένη καὶ ὑπὲρ ἐκείνων λέγειν, παρὰ τοῦ εὐλαβεστάτου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας ἐπισκόπου Διοσκόρου. οὐδὲ γὰρ ἠμοίρησέ τις ἐκείνου τῆς ὠμότητος, καὶ ἀπανθρωπίας· τινῶν μὲν γὰρ ἐξεκόπησαν χωρία, δενδροκοπίας κατ᾽ αὐτῶν τολμηθείσης· ἑτέρων δὲ καὶ οἰκήματα κατηνέχθησαν· ἄλλοι καὶ προσωρίσθησαν· ἕτεροι δὲ καὶ προστίμοις ὑπεβλήθησαν· τινὲς δὲ καὶ τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, ὡσπερεὶ ἰδίου κτήματος αὐτοῦ οὔσης, ἀπηλάθησαν. ὅτι γὰρ καὶ εἰς αὐτὴν τὴν καθοσίωσιν ἁμαρτῆσαι τὰ μέγιστα οὐ παρῃτήσατο, τοῦτο μεγάλοι τε καὶ περιφανεῖς ἄνδρες ἴσασιν· οὐ μὴν δὲ, ἀλλὰ καὶ πᾶσα ἐκείνη ἡ μεγάλη πόλις Ἀλεξάνδρεια, ὡς καὶ τὰ πεπραγμένα ἐπὶ διαφόρων ἀρχόντων δείκνυσι. τὰ γὰρ εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα παρ᾽ αὐτοῦ πολλάκις ἐμπαροινηθέντα, ἅπας μὲν ὁ τῆς φερωνύμου πόλεως ἐκείνης λαὸς, οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ εὐλαβὴς κλῆρος, καὶ εὐλαβέστατοι μονάζοντες, ἐπίστανται· τοσοῦτον δὲ πρὸς πάντας, οὐχ ὡς ἔπρεπεν ἐπισκόπῳ, καὶ μάλιστα τηλικαύτης πόλεως, καὶ τοῦ εὐαγγελικοῦ ἐκείνου θρόνου τυχόντι, τετόλμηκεν, ὥστε καὶ τὸν παρεχόμενον παρὰ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων σῖτον ταῖς ἐκκλησίαις τῆς Λιβύης, διὰ τὸ τὴν χώραν ξηροτάτην εἶναι, καὶ μηδὲ ὅλως σῖτον ἐν αὐτῇ γεωργεῖσθαι, πρὸς τὸ ἐν πρώτοις μὲν τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι, οὐ μὴν δὲ ἀλλὰ καὶ τοὺς παρεπιδημοῦντας, ἔτι δὲ καὶ ἐγχωρίους πένητας παραμυθεῖσθαι, μὴ συγχωρεῖν δέχεσθαι τοὺς ἁγίους ἐπισκόπους ἐκείνης τῆς χώρας, ἀλλ᾽ ἐξαργυρίζειν τὸν μνημονευθέντα σῖτον δαψιλέσι χρήμασιν, αὐτὸν δὲ καὶ ὠνεῖν ἐν καιρῷ σπανίας * διαπεπραγμένον βαρυτάτοις τιμήμασιν· ὡς ἀπὸ τούτου μήτε φρικτὴν καὶ ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι, μήτε μὴν, ὡς ἔφην, τοὺς ξένους, ἢ καὶ τοὺς ἐντοπίους ταύτης ἀπολαύειν τῆς παραμυθίας. τὸ γὰρ κατὰ τὴν τῆς λαμπρᾶς μνήμης Περιστερίαν πρᾶγμα οὐδεὶς ἠγνόησε, καὶ μάλιστα τῶν οἰκούντων ταύτην τὴν βασιλίδα νέαν Ῥώμην. ἐκείνης

* Forte, διαπιπράσκειν

A Similiter & reliqui accusatores suas accusationes singuli per singula se probare spoponderunt, & singulos accusationis libellos propria manu subscripserunt.

Et post lectionem libelli hoc idem ipse Theodorus dixit: Paratus sum adveniente reverentissimo episcopo Dioscoro in hoc sanctum vestrum concilium, meis adesse accusationibus. [a] Bonifacius presbyter Romanæ ecclesiæ, vicarius & ipse beatissimi papæ Leonis dixit: Et proclamantis præsentis Ischyrionis justum est recitari libellos. Romanus episcopus metropolitanus Myrensis provinciæ Lyciæ dixit: Secundum interlocutionem religiosissimi presbyteri Bonifacii, oblati libelli ab Ischyrione recenseantur. Et suscipiens Asclepiades diaconus & notarius legit.

[a] In mss. Bonifatius.

B Et postquam lectum est, Petrus episcopus metropolitanus Corinthi dixit: Et ab Ischyrione reverentissimo porrectus libellus, ex lectione notus factus sancto huic & universali concilio præsentibus inseratur monimentis.

Libellus Ischyrionis diaconi Alexandriæ, sanctæ & œcumenicæ synodo exhibitus adversus Dioscorum.

Sanctissimo & beatissimo universali archiepiscopo & patriarchæ magnæ Romæ Leoni, & sanctæ universali Chalcedonensi synodo, voluntate Dei & divina præceptione congregatæ, libellus ab Ischyrione magnæ Alexandrinæ civitatis diacono. C

Nunc, quando liberam vocem unusquisque, qui male passus est, recepit; & justi patroni humano generi præsunt; & periit de cetero omnis circumventio & avaritia, & dira quæ erant quasi in tyrannide; tunc & ego ausus sum hunc libellum vestræ sanctitati offerre, & docere quanta adversus me & adversus quosdam alios commissa sunt a reverentissimo magnæ Alexandrinorum civitatis episcopo Dioscoro, si mihi lingua dicere & pro illis sufficeret. Neque enim quisquam fuit expers illius crudelitatis & inhumanitatis. Aliquorum enim vastata sunt prædia, ex- D cisione arborum perpetrata: aliorum vero domus destructæ sunt, alii in exsilium pulsi sunt, alii vero multatione vexati sunt, quidam vero & ab Alexandrina magna civitate, sicut de propria ejus possessione, exclusi sunt. Quoniam quidem in ipsam devotionem non intermisit maxima peccare, hoc magni & clari viri sciunt, nec non etiam & omnis illa magna civitas Alexandrina, sicut & acta habita sub diversis judicibus manifestant. Quæ enim contra sanctam & consubstantialem Trinitatem ab ipso sæpe contumeliose dicta sunt, omni nominatissimæ illius civitatis populo, nec non etiam venerabili clero, reverentissimis quoque monachis nota sunt. Tanta autem contra omnes (non sicut decebat episcopum, & maxime tantæ E civitatis, & evangelicæ illius sedis præsulem constitutum) perpetrare ausus est: ut etiam & frumentum, quod a piissimis nostris Imperatoribus ecclesiis Libyæ, propter ariditatem illius provinciæ, & quia ibi omnino triticum non nascitur, præstitutum est; in primis quidem ut incruenta ex ipso hostia offeratur, deinde ut & peregrini, nec non etiam & provinciales pauperes aliquod mereantur solatium; non permitteret suscipere sanctissimos episcopos illius provinciæ: sed adæraret, & coëmeret memoratum frumentum largissimis pecuniis, ipsum vero in tempore famis gravissimis æstimationibus venumdaret. Et ex hoc neque terribile & incruentum sacrificium celebratum est: neque (sicut dixi) peregrini, aut provinciales hoc solatio fruiti sunt. Ceterum clarissimæ memoriæ Peristeriæ negotium nullus ignoravit, maxime eorum qui in hac regia urbe nova Roma habitare noscuntur. Illa

ACTIO TERTIA.

namque pro suæ animæ salute testamentum condens, A jussit multam quantitatem pecuniarum præstari monasteriis, nec non etiam xenodochiis & ptochiis, & aliis pauperibus Ægyptiacæ provinciæ. Quod moleste ferens idem reverentissimus vir, ob id quod in persona ejus hæc minime sunt dimissa, fecit easdem pecunias pro eleemosyna scortis & aliis theatricis dispertiri personis; ut neque incensum ex oblatione illius clarissimæ memoriæ Peristeriæ, quantum ad eum pertinuit, Deo offerretur. Sed illius quidem feminæ manifestum propositum demonstratum est: lascivia vero prædicti reverendi viri & luxuria omni illi provinciæ non ignorata est: (impudicis mulieribus frequenter in episcopio, & in balneo ejus aperte deliciantibus, præcipue famosissima Pansophia, quæ cognominatur Orine, de qua & numerosus Alexandriæ populus frequentissimas voces emisit tam ipsius, quam amatoris ejus faciens mentionem:) vestro autem angelico choro manifestabitur. Non solum vero hæc, sed etiam homicidia per occasionem istius admirabilis doctoris perpetrata sunt. Quoniam vero & quæ in me miserabili ab ipso commissa sunt, tolerabilia non sunt, supplex accedo, & precor vestram sanctitatem misereri mei, hominis, qui multis temporibus in sancta illa magnæ civitatis ecclesia laboravi, & hac de causa clericatum ejus merui, sæpius destinatus in peregrinationes sub sanctæ memoriæ Cyrillo, qui ipsam evangelicam sedem ornavit; & maxime ad regiam novam Romam, C aliquando quidem in hiemis tempore cum jumentis iter omne perficiens; aliquando vero & pro commissis mihi a sanctæ memoriæ Cyrillo necessariis causis, per mare omne [a] navigio transmeans, aliquando per Lyciam, aliquando per Pamphyliam; ita ut debile mihi corpus laborum faceret magnitudo, sicut & ipsis aspectibus intuetur vestra beatitudo. Obtinui enim dignus fieri & familiaritate & gratia sanctæ memoriæ archiepiscopi Cyrilli; quod reverentissimum episcopum Dioscorum contristabat. Quippe mox ut migravit sanctæ & beatæ memoriæ Cyrillus in cælos, iste (quod utinam numquam contigisset) successit, qui prohibuit me in sanctissimis & venerabilibus mysteriis obsequium facere. Nihilo minus etiam adver- D sus nostras vilissimas possessiones, monachos & aliquos alios destinavit, & tradidit eas incendio, ita ut & ipsa in eisdem possessionibus ædificia, ex quibus nutrimenti mei haberem solatium, pauper constitutus & solutus corpore, penitus ignis consumeret: diversæ quoque arbores ibi succiderentur, atque ipsa vastaretur terra, & mihi ultra inutilis fieret; ut in reliquum mendicans, nec victus necessarios haberem. Sed neque his contentus, submittit adversus miserabilem me ecclesiasticorum catervam (ut verius autem dicam, latronum) pariter cum Petro & Harpocratione diaconibus, & Mena presbytero, ut me de humanis rebus auferrent, mandans corpus meum mortuum sibi E deportari. Quod nisi per misericordiam Dei ante punctum temporis mihi innotuisset, & fugissem, jam pridem, sicut dixi, ab humanis rebus effectus essem alienus. Postquam vero salvari per misericordiam Dei potui, ex insensibilitate autem mea non discessi ex maxima urbe Alexandrina, & propter infirmitatem corporis mei, & quia multum meorum obsequio indigebam; præcipue vero quia & ex ea essem civitate ego & mei majores, & quia domum in ea haberem; iratus super his, quasi nihil factum esset, in ipsis paschalibus diebus iterum me jubet per Harpocrationem diaconum rapi, (semper enim ejus ministravit furori pariter cum prædicto Petro diacono, sicut demonstrant quæ apud Ephesum gesta sunt adversus sanctæ memoriæ Flavianum quondam archiepiscopum novæ Romæ, & contra multos alios, insuper etiam & contra reverentissimum nunc quidem episcopum, tunc vero presbyterum & œconomum constitutum magnæ Ale-

[a] al. navigium

A γὰρ ὑπὲρ τῆς ἑαυτῆς ψυχῆς ἐν τῷ διατίθεσθαι παρακελευσαμένης, πλεῖστον ποσὸν χρυσίου παρασχεθῆναι τοῖς μοναστηρίοις, οὐ μὴν ἀλλὰ καὶ τοῖς ξενεῶσι, καὶ πτωχείοις, καὶ ἑτέροις πένησι τῆς Αἰγυπτιακῆς χώρας, ἀχθεσθεὶς ὁ εὐλαβέστατος ἀνὴρ, ἐφ' οἷς ἐν εἰς πρόσωπον [a] αὐτοῦ κατέλειψεν, παρασκευάζει ἐκεῖνα τὰ χρήματα αὐτοῦ παρασχεθῆναι, καὶ ἀντὶ ἐλεημοσύνης θυμέλαις, καὶ διανεμοῖς ἑτέροις προσώποις· ὥστε μηδὲ τὴν εὐωδίαν τὴν ἀπὸ τῆς θυσίας τῆς λαμπρᾶς τὴν μνήμην Περιστερίας ἀναχθῆναι πρὸς τὸν Θεὸν, τὸ ὅσον ἐπ' αὐτῷ. ἀλλὰ φανερὰ ἡ πρόθεσις ἐκείνης ἀπεδείχθη, ὁ δὲ [b] κῶμος τοῦ προλεχθέντος εὐλαβοῦς ἀνδρὸς, καὶ ἡ ἀκολασία, πάσῃ ἐκείνῃ τῇ χώρᾳ οὐκ ἠγνόηται· ἀπὸ τοῦ φανερῶς ἀσήμους γυναῖκας συνεχῶς ἐντρυφᾷν τῷ ἐπισκοπείῳ, καὶ τῷ λουτροῦ τύπου, καὶ B μάλιστα ἡ περιβόητος Πανσοφία, ἡ καλουμένη Ορεινή, περὶ ἧς καὶ ὁ πολυάνθρωπος τῆς Ἀλεξανδρέων δῆμος ἀφῆκε φωνὴν, αὐτῆς τε, καὶ τοῦ ἐραστοῦ μεμνημένος· φανερωθήσεται δὲ τῷ ὑμετέρῳ ἀγγελικῷ χορῷ. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ φόνοι παρὰ τὴν αἰτίαν τοῦ θαυμαστοῦ ὑποφήτου γεγένηνται. ἐπειδὴ δὲ καὶ τὰ εἰς ἐμὲ τὸν ἐλεεινὸν παρ' αὐτοῦ πλημμεληθέντα ἀφόρητα τυγχάνει, προσέρχομαι, καὶ δέομαι τῆς ὑμετέρας ὁσιότητος, κατελεῆσαί με, ἄνθρωπον ἐν πολλοῖς χρόνοις κεκμηκότα τῇ ἁγίᾳ ἐκκλησίᾳ ἐκείνης τῆς μεγίστης πόλεως, καὶ διὰ ταύτην τὴν αἰτίαν τοῦ κλήρου αὐτῆς ἀξιωθέντα, καὶ πολλάκις σταλέντα ἀποδημίας, καὶ ἐπὶ τοῦ τῆς ὁσίας μνήμης, καὶ ἁγιωτάτου Κυρίλλου, τοῦ τὸν εὐαγγελικὸν θρόνον διακοσμήσαντος, καὶ μάλιστα ἐπὶ τῆς βασιλευούσης νέας Ῥώμης, ποτὲ μὲν ἐν ὥρᾳ χειμῶνος διὰ ζώων ἅπασαν τὴν ὁδὸν διανύσαντα, ποτὲ δὲ C καὶ διὰ ἐγχειρισθείσας μοι παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου ἀναγκαίας χρείας διὰ θαλάσσης τὸν πάντα πλοῦν διαπεραιωθέντα, ἄλλοτε διὰ Λυκίας, ἑτέρωθι διὰ Παμφυλίας· ὥστε ἐπιστῆ με τὸ σῶμα ἀπὸ τῶν ὑπερβαλλόντων καμάτων γενέσθαι, ὡς καὶ αὐταῖς ὄψεσιν ὁρᾷ ἡ ὑμετέρα μακαριότης. ἐπέτυχον γὰρ ἀξιωθεὶς καὶ τῆς οἰκειότητος, καὶ εὐμενείας τοῦ ἐν ἁγίοις τῇ μνήμῃ ἀρχιεπισκόπου Κυρίλλου. ὅπερ τὸν εὐλαβέστατον Διόσκορον ἐλύπει. ἀμέλει γοῦν παραυτὰ τοῦ μεταφοιτῆσαι ἐν οὐρανοῖς τὸν τῆς ὁσίας μνήμης Κύριλλον, αὐτόν τε καταστῆναι, ὡς εἴθε μὴ ἦν ποτε, κωλύει με τὴν τῶν ἀχράντων, καὶ σεπτῶν μυστηρίων ὑπηρεσίαν ποιήσασθαι· οὐδὲν δὲ ἧττον ἐκπέμπει κατὰ τῶν ἡμετέρων ἀπεριλαῶν κτημάτων, μονάζοντάς τε, καὶ ἑτέρους τινάς· καὶ ἐμπρησμῷ ταῦτα καταβάλλει, ὥστε ἐν αὐτοῖς τοῖς κτημασίοις οἰκοδομήματα, ἀφ' D ὧν τὰς διατροφὰς εἶχον, πένης τυγχάνων, καὶ συντετριμμένος τὸ σῶμα, ἄρδην πυρὶ καταναλωθῆναι, ἐκκοπῆναι δὲ καὶ πάντα τὰ ἐν αὐτοῖς διάφορα καρποφόρα δένδρα, διακοπῆναι δὲ καὶ αὐτὴν τὴν γῆν, καὶ ἀνόνητά μοι ταῦτα γενέσθαι· ὡς λοιπὸν προσαιτίζεσθαι, καὶ μηδὲ τὰς ἀναγκαίας ἔχειν τροφάς. ἀλλὰ μηδὲ τούτοις ἀρκεσθεὶς, ἐπιπέμπει κατ' ἐμοῦ τοῦ ἐλεεινοῦ φάλαγγα ἐκκλησιαστικὴν, ἀληθὲς δὲ εἰπεῖν, λῃστρικὴν, ἅμα Πέτρῳ διακόνῳ, καὶ Ἁρποκρατίωνι, καὶ Μηνᾷ πρεσβυτέρῳ, ὥστε με τῶν ἀνθρωπίνων ἐκτὸς ποιήσασθαι, ἐντειλάμενος τὸ σῶμά μου νεκρὸν αὐτῷ ἀπενεχθῆναι. ὅπερ εἰ μὴ ἐκ φιλανθρωπίας τοῦ Θεοῦ πρὸ βραχείας ὥρας μοι ἐγνώσθη, καὶ ἔφυγον, πάλαι ἂν, ὡς ἔφην, καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐκτὸς E γενόμενος ἐτύγχανον. ὡς δὲ διασωθῆναι τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ δεδύνημαι, ἐξ ἀναισθησίας δὲ οὐ πέφευγα τὴν μεγίστην Ἀλεξάνδρειαν, διά τε τὴν ἀσθένειαν τοῦ ἡμετέρου σώματος, καὶ διὰ τὸ πλείστης θεραπείας παρὰ τῶν ἰδίων δεῖσθαι, ἄλλως τε τῷ ἐξ αὐτῆς εἶναι ἐμέ τε, καὶ τοὺς ἡμετέρους προγόνους, καὶ τὸ ἐφέστιον ἐν αὐτῇ ἔχειν. ὀργισθεὶς ἐπὶ τούτοις, ὡς οὐδενὸς γεγονότος, ἐν αὐταῖς ταῖς πασχαλίαις ἡμέραις πάλιν με κελεύει ἐξανάρπαστον γενέσθαι δι' Ἁρποκρατίωνος· ἀεὶ γὰρ αὐτοῦ τῇ μανίᾳ ὑπηρέτησεν, ἅμα Πέτρῳ τῷ προλεχθέντι διακόνῳ. ὡς καὶ τὰ ἐν Ἐφέσῳ κατὰ τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως ἀπέδειξαν, καὶ ἑτέρων πολλῶν, ἔτι τε καὶ τοῦ εὐλαβεστάτου, νῦν μὲν ἐπισκόπου, τηνικαῦτα δὲ πρεσβυτέρου καὶ οἰκονόμου τυγχάνοντος τῆς ἐκκλησίας τῆς μεγα-

ANNO CHRISTI 451.

[a] Forte, τὸ ex Latino.

[b] Forte, κῶμος

ANNO CHRISTI 451.

ACTIO TERTIA.

λοπόλεως Ἀλεξανδρείας, Προτερίου· καὶ ἐγκλείομαι ἐν ἑνὶ ξενῶνι τῶν λελωβημένων, κατ' οὐδένα τρόπον ὑπεύθυνός τινι τυγχάνων· ἀλλ' οὐδὲ, ὡς ἐδίδαξα, αἰτιάσεώς ποτε γεγενημένης κατ' ἐμοῦ· ἐπιπέμπει δὲ καὶ ἐν αὐτῷ τῷ ξενῶνί τινας πάλιν, ὥστε με ἀποκτεῖναι· ὡς καὶ τοῖς ἐν αὐτῷ τῷ ξενῶνι πᾶσι πεφανέρωται· ἀμέλει γοῦν ἐκ μεταποιήσεως βοηθῆσαί μοι κατηξιώθησαν. διὸ καὶ ζῶ μέχρι νῦν. καὶ οὐ πρότερον ἀφῆκαν ἐκείνων τῶν παρανομωτάτων δεσμῶν, εἰ μὴ καὶ τῆς μεγάλης Ἀλεξανδρείας συνθέμενον ἐν τοιαύτῃ καταστάσει σώματος ἐκτὸς γενέσθαι, καὶ ἕτερά τινα καταθύμια αὐτοῦ πρᾶξαι. ἐπεὶ οὖν συνορᾶτε, ἁγιώτατοι, καὶ ὁσιώτατοι πατέρες, ὡς πάντα τὰ παρ' αὐτοῦ γεγενημένα, οὔτε Θεῷ θεμιτὰ, οὔτε νόμοις ἀνεκτὰ, ἀλλ' οὐδὲ παντὶ ἀνθρώπῳ· δέομαι τῆς ὑμετέρας ἀγγελικῆς στρατιᾶς κατελεῆσαί με, καὶ κελεῦσαι εἰσελθόντα ἐν τῇ ἁγιωτάτῃ καὶ οἰκουμενικῇ συνόδῳ, στῆναι πᾶσι τούτοις· ὥστε μοι καὶ τὸ ἀδικηθέντα, ἐφ' οἷς ἠδίκημαι, γενέσθαι, καὶ τὸν βαθμὸν, εἴγε ὑμῶν τῇ ὁσιότητι παρέσχειν, ἀποκατασταθῆναι, ἀνθρώπῳ ἐν πολλῷ χρόνῳ γνησίως ἐξυπηρετησαμένῳ τῆς ἁγίας μνήμης καὶ ὀρθοδόξου πίστεως συνηγόρῳ Κυρίλλῳ ἐπισκόπῳ γενομένῳ, καὶ μὴ ἔχοντι ἀλλαχόθεν τὰς ἀναγκαίας τοῦ ζῆν τροφάς· ἐφ' ᾧ τι με τούτων τῶν δικαίων τυχόντα, τὰς συνήθεις εὐχὰς, καὶ εὐχαριστίας ἀναπέμψαι τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ ὑπὲρ τοῦ ὑμετέρου ἀγγελικοῦ χοροῦ. καὶ παρακαλῶ πρὸς ἀπόδειξιν τῶν παρ' ἐμοῦ εἰρημένων ἐν ἀσφαλεῖ γενέσθαι Ἀγόραστον, Δωρόθεον, Εὐσέβιον, Διδίωνα, Ἁρποκρατίωνα, Πέτρον, [a] Γαϊανὸν, περιχύτην τοῦ ἐπισκοπικοῦ λουτροῦ, συνεκδημήσαντα αὐτῷ, ἰδιώτην ὄντα, καὶ δυνάμενον πάντα ἀκριβῶς εἰπεῖν. ἕτοιμος γὰρ ἔχω καιρῷ τῆς διακρίσεως καὶ ἁγιωτάτους ἄνδρας βίῳ καὶ πίστει μαρτυρουμένους παραγαγεῖν ἐκ κελεύσεως τῆς ὑμετέρας ὁσιότητος, τοὺς δυναμένους ἐπὶ πᾶσι τούτοις μαρτυρῆσαι. Ἰσχυρίων διάκονος ἐπιδέδωκα τούσδε τοὺς λιβέλλους, γενομένους κατὰ βούλησιν ἐμὴν, καὶ ὑπαγορευθέντας, καὶ ὑπογεγραμμένους.

xandrinæ civitatis ecclesiæ Proterium:) & recludor in uno xenodochio tabidorum, nullo modo alicui obnoxius constitutus; neque sicut docui, accusatione aliquando adversus me facta; immittit autem iterum & in eodem xenodochio aliquos, qui me occiderent, sicut & omnibus qui in ipso xenodochio sunt, manifestum est; in tantum, ut horrentes maliriam, juvare me dignarentur: propter quod & vivo hactenus. Nec prius me ab illis iniquissimis absolvit vinculis, nisi & a magna Alexandria alienum me fieri promitterem in tali corporis statu, & aliqua alia quæ illi erant desiderabilia agere. Quoniam igitur consideratis, sanctissimi & beatissimi patres, quia omnia quæ ab eo commissa sunt, neque Deo placita, neque legibus tolcranda sunt, sed neque ulli homini: peto & deprecor vestigia angelicæ vestræ militiæ, misereri mei, & præcipere, me sanctum & universale vestrum intrare concilium, hæc omnia probaturum: quatenus & ex omni iniquitate in me illæsus effectus, proprio gradui, si vestræ placuerit sanctitati, restituar, homo qui multis temporibus sincere jussionibus sanctæ memoriæ & catholicæ fidei advocati Cyrilli ministravi, & debilis factus, & non habens aliunde necessaria vitæ nutrimenta; quatenus hæc juste promeritus, solitas orationes & gratias referam omnium nostrum Salvatori Christo pro vestro angelico choro. Et supplico, pro documento eorum quæ a me dicta sunt, in tuto collocari Agorastum, Dorotheum, Eusebium, Didionem, Harpocrationem, Petrum, [a] Gaianum mediastinum episcopalis balnei, nunc cum comitantem, qui est imperitus, & qui potest omnia subtiliter dicere. Paratus enim sum, tempore cognitionis & sanctissimos viros, vita & fide probabiles, producere ex jussione vestræ sanctitatis, qui de his omnibus, testificari valeant. Ischytion diaconus hos libellos obtuli, factos secundum meam voluntatem & dictatos, & manu mea subscriptos.

[a] Forte, Γαΐον.

[a] al. Gaium.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι αὐτὸν, Πασχασῖνος ἐπίσκοπος εἶπε· καὶ ὁ λίβελλος τοῦ παρόντος Ἀθανασίου, ὁ προσκομισθεὶς ἡμῖν, ἀναγινωσκέσθω. καὶ λαβὼν Προκόπιος διάκονος, καὶ νοτάριος, ἀνέγνω. καὶ μετὰ τὸ ἀναγνωσθῆναι αὐτὸν, Λουκήνσιος ἐπίσκοπος εἶπεν· ἅπερ ἐν τῷ λιβέλλῳ διδάσκεις κατὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου, ταῦτα σκόπει· καὶ εἰ θαρρεῖς, γνώρισον [b] αὐτὰ, καὶ τῷ οἰκείῳ σου δήλωσον στόματι. Ἀθανάσιος εἶπεν· ἕτοιμός εἰμι, καὶ θαρρῶ ἐμαυτῷ, παραγενόμενον αὐτὸν ἐπὶ τῆς ἁγιωτάτης ὑμῶν συνόδου διελέγξαι εἰς πάντα, ἅπερ αὐτοῦ κατηγόρησα. καὶ μετ' αὐτὸν, Ἰσχυρίων εἶπεν· εἰ παρενεχθείη ἐν ταύτῃ τῇ ἁγιωτάτῃ καὶ οἰκουμενικῇ συνόδῳ Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας, ἕτοιμος ἔχω κἀγὼ δι' ἐναργῶν ἀποδείξεων ταῦτα πάντα, ἅπερ ἐδίδαξα τὸν ὑμέτερον ἀγγελικὸν χορόν· οὐδὲν δὲ ἧττον καὶ τῶν ὀνομασθέντων παρ' ἐμοῦ μαρτύρων, συγκέλλων αὐτοῦ ὄντων, καὶ μετ' αὐτοῦ μέχρι καὶ νῦν ὄντων, καὶ περιφερομένων ὥστε καὶ ἐκ τῶν οἰκείων αὐτοῦ ταῦτα δεῖξαι ἀληθῆ· μετὰ τὰς εὐχὰς ὑμῶν. τινὲς δὲ τιμῆς ἠξιώθησαν, ἐπειδὴ ὑπούργησαν τοῖς φόνοις ἐκείνοις, τοῖς ἐν Ἐφέσῳ γενομένοις, καὶ ἐνταῦθά εἰσι. καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Μαρινιανὸς ἐπίσκοπος Συννάδων εἶπεν· ὁ ἐπιδοθεὶς λίβελλος κατὰ Διοσκόρου τοῦ θεοφιλεστάτου ἐπισκόπου παρὰ Ἀθανασίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου Ἀλεξανδρείας, ἐμφερέσθω τῇ πίστει τῶν ὑπομνημάτων. Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπε· τὸν ἀναγνωσθέντα λίβελλον, ὃν ἐπιδέδωκεν Ἀθανάσιος ὁ εὐλαβέστατος, ἐν ᾧ κατῃτιάσατο Διόσκορον τὸν ἐπίσκοπον, ἁρμόδιον τοῖς νῦν πραττομένοις ἐντεθῆναι ὑπομνήμασι. λεγέτω δὲ ὁ αὐτὸς Ἀθανάσιος τῇ οἰκείᾳ αὐτοῦ φωνῇ, εἴγε ταῖς κατηγορίαις ἑαυτοῦ συνίσταται.

[b] Forte, αὐτῷ.

Et cum recitatus fuisset libellus, Paschasinus episcopus dixit: Et libellus præsentis Athanasii, qui nobis oblatus est, recenseatur. Et suscipiens eum Procopius diaconus & notarius, legit. Et cum lectus esset, Lucentius episcopus dixit: Quæ per libellum docuisti adversus Dei amantissimum Dioscorum episcopum, hæc considera: & si confidis, per te notum [b] nobis facito, & proprio ore manifesta. Athanasius dixit: Paratus sum, & mihi confido advenientem eum in vestro sancto concilio, in omnibus de quibus eum accusavi, convincere. Et post ipsum Ischyrion dixit: Si deductus fuerit in hac sancta & universali synodo Dioscorus reverentissimus Alexandriæ episcopus, paratus sum per evidentissimas probationes demonstrare hæc omnia, quæ vestrum angelicum chorum docui, nihilominus & per nominatos a me testes, syncellos ejus constitutos, qui hactenus cum ipso degere & manere videntur, cum producti fuerint, quatenus & ex domesticis ejus veritas ostendatur. Per orationes enim vestras, quidam in honore promoti sunt, pro eo quod illis homicidiis, quæ in Epheso facta sunt, ministrassent, & hic cum ipso sunt. Et cum lecti fuissent libelli, Marinianus episcopus metropolitanus Synnadæ dixit: Oblatus libellus adversus reverentissimum Dioscorum episcopum ab Athanasio viro religioso, fidei monimentorum cum aliis inseratur. Pergamius episcopus metropolitanus Antiochiæ Pisidiæ dixit: Lectum libellum, quem obtulit reverendus Athanasius, in quo reverentissimum Dioscorum Alexandriæ civitatis episcopum accusavit, oportet monimentis quæ nunc aguntur, inseri. Dicat vero idem Athanasius propria voce, si suis accusationibus aderit.

[b] al. ipsi

Libellus Athanasii presbyteri Alexandriæ, prolatus adversus Dioscorum sanctæ synodo.

Sanctissimo & beatissimo universali patriarchæ magnæ Romæ Leoni, & sancto & universali concilio secundum Dei voluntatem & divinum nutum congregato in Chalcedonensi civitate, a miserabili Athanasio quondam presbytero magnæ Alexandrinæ civitatis, & filio sororis sanctæ & beatæ memoriæ episcopi Cyrilli.

SAnctæ & beatæ memoriæ Cyrillus, magnæ Alexandrinæ civitatis quondam triginta & duobus annis archiepiscopus, irreprehensibiliter & cum recta fide vivens, mihi quidem Athanasio, & clarissimæ memoriæ Paulo fratri meo avunculus fuerat; meæ vero matris Isidoræ germanus. Hic moriturus testamentum condens, honoravit eum, quicumque ille post eum fuisset ordinatus archiepiscopus, plurimis & magnis legatis de propria sua substantia, conjurans eum in scriptis per venerabilia & terribilia mysteria, ut ipsius foveret genus, & in nullo eis laborem incuteret. Sed reverentissimus episcopus Dioscorus, qui malo non solum nostro, sed etiam totius illius diœceseos, succedens in throno, inimicitias exercens contra ejus rectam fidem, hæreticus constitutus, non solum non fovet, sed pro nihilo ducens ejus terribiles adjurationes, contraria in nos operatus est, omnes adversus nos exquirens insidias. Et in principio quidem episcopatus, quem nescio qua ratione sortitus est, mihi & fratri meo adhuc tunc superstiti, mortem minitans, a nominatissima Alexandria quadam nos intentione exclusit, ita ut persecutionem passi, exinde ad felicissimam Constantinopolitanam urbem perveniremus, sperantes mereri auxilium. Sed intentio præfati reverentissimi viri talis erat, quatenus hic teneremur & affligeremur, tam ab iniquæ memoriæ Chrysaphio, quam etiam & a magnificentissimo & gloriosissimo Nomo, tunc res totius orbis habente præ manibus. Huic enim mandavit per litteras, quasi magnum aliquid providens memoratis, ut nos quidem ab eis consumeremur, ipsi vero nostræ captionis gratiam se debere confiterentur. Quippe illico cum in regiam urbem pervenissemus, sperantes mereri auxilium, sub custodia habiti, diversis sumus pœnis subjecti, quousque omnia quæ in mobilibus habebamus, daremus: ita ut cum tormentis non sufficeremus, quasi pro remedio cogeremur gravissimis usuris multos feneratores inquirere; ita ut noster quidem frater clarissimæ memoriæ Paulus, non sustinens cruciatus & injurias, humanis rebus excederet. Ego autem Athanasius, & nostræ materteræ, & uxor & filii fratris mei, malo nostro in humanis rebus permansimus, nihil aliud quam feneratores habentes sub gravissimis, sicut dixi, usuris; ut de cetero nec procedendi haberemus licentiam, pro frequentissima feneratorum contra nos interpellatione, cum non haberemus unde absolveremus debitum. Infinitam namque & excedentem non solum nostram virtutem, sed etiam divitum insignium, pecuniam exacti sumus, ita ut nihil nobis relinqueretur. Super hæc autem, ut neque habitationem aliquam haberemus, nostras domos [a] præparavit ecclesias fieri, & meam Athanasii quarto tecto superjacentem, & quæ pro sui positione fieri non posset ecclesia, complectitur cum prædictis domibus, alias etiam vicinas validas domos & aditus tenens. Sed neque his contentus, me presbyterio privavit, & alienum ab ecclesiastico fecit collegio, nulla adversus me facta accusatione. Et agimus annum jam septimum errantes de loco in locum, partim quidem ut diximus,

[a] al. jussit

Λίβελλος Ἀθανασίου πρεσβυτέρου Ἀλεξανδρείας, προκομισθεὶς κατὰ Διοσκόρου τῇ ἁγίᾳ συνόδῳ.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ πατριάρχῃ τῆς μεγάλης Ῥώμης Λέοντι, καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, κατὰ βούλησιν Θεοῦ καὶ θεῖον νεῦμα συναχθείσῃ ἐν τῇ Καλχηδονίων πόλει, παρὰ τοῦ ἐλεεινοῦ Ἀθανασίου γενομένου πρεσβυτέρου τῆς μεγάλης Ἀλεξανδρείας, υἱοῦ ἀδελφῆς τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου Κυρίλλου.

Ο Τῆς ἁγίας καὶ μακαρίας μνήμης Κύριλλος, ὁ τῆς μεγάλης Ἀλεξανδρείας γεγονὼς ἀρχιεπίσκοπος ἐπὶ τριάκοντα δύο ἔτη, ἀμέμπτως μετὰ τῆς ὀρθῆς πίστεως ζήσας, ἐμοῦ μὲν τοῦ Ἀθανασίου γεγένηται θεῖος πρὸς μητρός, καὶ τοῦ τῆς λαμπρᾶς μνήμης ἀδελφοῦ μου Παύλου, [a] ἐμοῦ δὲ τῆς Ἰσιδώρας ἀδελφός. οὗτος μέλλων τελευτᾷν, διαθήκας θέμενος, ἐτίμησε τὸν μετ' αὐτὸν γενόμενον ἐπίσκοπον, ὅστις ἐὰν ᾖ, πλείστοις καὶ μεγάλοις λεγάτοις ἐκ τῆς ἰδίας ἑαυτοῦ ὑποστάσεως, ὁρκώσας ἐγγράφως κατὰ τῶν σεπτῶν καὶ φρικτῶν μυστηρίων, ὥστε θάλψαι τὸ αὐτοῦ γένος, καὶ ἐν μηδενὶ κάματον αὐτῷ παρασχεῖν. ἀλλ' ὁ εὐλαβέστατος ἐπίσκοπος Διόσκορος, ἐπὶ κακῷ οὐ μόνον ἡμῶν, ἀλλὰ καὶ πάσης ἐκείνης τῆς διοικήσεως, διαδεξάμενος τὸν θρόνον, ἀπεχθανόμενος πρὸς τὴν ὀρθὴν ἐκείνου πίστιν, αἱρετικὸς τυγχάνων, οὐ μόνον οὐ θάλπει, ἀλλὰ καὶ παρ' οὐδὲν θέμενος τοὺς φρικτοὺς ὅρκους, τὰ ἐναντία εἰς ἡμᾶς διεπράξατο, πᾶσαν ἐπινοῶν καθ' ἡμῶν ἐπιβουλήν· καὶ διώκει μὲν ἐν προοιμίοις τῆς, ἧς οὐκ οἶδ' ὅπως ἔλαχεν, ἐπισκοπῆς, ἀπειλῶν θάνατον, ἐμέ τε, καὶ τὸν ἡμέτερον ἀδελφὸν ἔτι περιόντα, τῆς περιωνύμου Ἀλεξανδρείας, σκοπῷ τινι, ὥστε ἡμᾶς διωκομένους καταλαβεῖν τὴν παιδευδαίμονα Κωνσταντινούπολιν, [b] ἐλπίσαντες βοηθείας ἀξιωθῆναι. ὁ δὲ σκοπὸς τοῦ προειρημένου εὐλαβεστάτου ἀνδρὸς οὗτος ἦν· ὥστε ἡμᾶς [c] ἀπολειφθῆναι ἐνταῦθα, καὶ περιπεμφθῆναι τῷ τῆς ἀλιτηρίου μνήμης Χρυσαφίῳ, οὐ μὴν ἀλλὰ καὶ τῷ μεγαλοπρεπεστάτῳ καὶ ἐνδοξοτάτῳ [d] Νόμῳ, τότε τὰ τῆς οἰκουμένης ἐν χερσὶν ἔχοντι πράγματα. [e] τούτῳ γὰρ ἦν διὰ γραμμάτων μηνύσας, ὡς μέγα τι προξενῶν τοῖς μνημονευθεῖσι, τὸ ἡμᾶς μὲν παρ' αὐτῶν ἀναλωθῆναι, αὐτοὺς δὲ χάριν τῆς θήρας ὁμολογῆσαι. ἀμέλει γοῦν παρ' αὐτὰ τοῦ γενέσθαι ἡμᾶς ἐπὶ τῆς βασιλευούσης πόλεως, ἐλπίσαντες βοηθείας ἀξιωθῆναι, ἐν ἀσφαλείᾳ γινόμεθα· καὶ αἰκισμοῖς διαφόροις ὑποβαλλόμεθα, ἄχρις οὗ πάντα, ἃ εἴχομεν ἐν κινητοῖς, παρεσχήκαμεν· ἔτι δὲ οὐκ ἀρκουμένους πρὸς τὴν μεθοδείαν τῶν βασάνων ἐκείνων, ἀναγκασθῆναι ἡμᾶς καὶ δανεισταῖς πλείστοις ἐπὶ βαρυτάτοις τόκοις κοινωνῆσαι· ὡς τὸν μὲν ἡμέτερον ἀδελφὸν τὸν τῆς λαμπρᾶς μνήμης Παῦλον, οὐκ ἐνεγκόντα τὰς αἰκίας, καὶ τὰς ὕβρεις, τὸν ἀνθρώπινον ὑπεξελθεῖν βίον· ἐμὲ δὲ τὸν Ἀθανάσιον, καὶ τὰς ἡμετέρας θείας, καὶ τὴν γαμετὴν, καὶ τὰ παιδία τοῦ ἡμετέρου ἀδελφοῦ, τῷ κακῷ ἡμῶν, ἐν τοῖς ἀνθρωπίνοις εἶναι πράγμασι, οὐδὲν ἕτερον ἔχοντας, [f] ἢ μόνον δανειστὰς, ἐπὶ βαρυτάτοις ἡμῖν, ὡς ἔφημεν, τόκοις ἐκδανείσαντας· καὶ λοιπὸν μηδὲ τοῦ προελθεῖν ἐξουσίαν ἔχειν, διαφόρων ἐντυχιῶν παρ' αὐτῶν τῶν δανειστῶν καθ' ἡμῶν γινομένων, καὶ οὐκ ἐχόντων πόθεν τὸ ὄφλημα αὐτοῖς ποιησόμεθα. ἄπειρα γὰρ, καὶ ὑπερβαίνοντα οὐ μόνον τὴν ἡμετέραν δύναμιν, ἀλλὰ γὰρ καὶ τῶν ἐν ἀξίᾳ ἐπισήμων, ἀπῃτήμεθα. πρὸς δὲ τούτοις, ὥστε ἡμᾶς μηδὲ τὴν οἴκησιν ἔχειν, παρασκευάζει καὶ τὰς ἡμῶν οἰκίας ἐκκλησίας γενέσθαι· καὶ τῆς ἐμῆς τοῦ Ἀθανασίου τετάρτῃ στέγῃ ἐπικειμένης, καὶ τῆς θέσεως οὐκ ἐπιδεχομένης εἶναι ἐκκλησίας, συμπεριλαμβάνει ταῖς προειρημέναις οἰκίαις καὶ τὰ παρακείμενα στερρὰ οἰκοδομήματα, καὶ προσόδους. ἀλλ' οὐδὲ τούτοις ἀρκεσθεὶς, καθαιρεῖ με τοῦ πρεσβυτερίου, καὶ ἐκτὸς τοῦ ἐκκλησιαστικοῦ καταλόγου ποιεῖται, μηδεμιᾶς κατ' ἐμοῦ [g] αἰτίας γεγενημένης. καὶ λοιπὸν ἕβδομον χρόνον διαπλούμεν, [h] πλανώμενοι ἀπὸ τόπου εἰς τόπον, τῇ μὲν, ὡς ἔφημεν,

[a] Lege, μητρὸς δὲ τῆς ἐμῆς Ἰσιδώρας

[b] Forte, ἐλπίσαντας

[c] Forte, ἀπολειφθῆναι

[d] Forte, Νόμῳ.

[e] Forte, τούτῳ

[f] Forte, εἰ μὴ δανειστὰς

[g] Forte, αἰτίας

[h] Forte, περιπλανώμενοι: vel, περιπλανώμενοι.

μῶν, ὑπὸ δανειστῶν διωκόμενοι, τῇ δὲ ϗ παρ' αὐτοῦ, μηδὲ ἐν ἐκκλησίαις, ἢ μοναστηρίοις οἰκεῖν συγχωρούμενοι. οὕτως οὖν καταλαβομένου ἐμοῦ τοῦ Ἀθανασίου τὴν Μετάνοιαν, προάστειον δὲ τοῦτο τῆς μεγίστης Ἀλεξανδρείας, ὅ ποτε Κάνωπος καλούμενον ἐκ προαστείου ἀνωθεν, ϗ ἐκ παλαιᾶς συνηθείας, ἐπὶ χάριν πρὸς ἀνάπαυσιν τῶν καταφυγόντων ὅλον γὰρ δοκεῖ ὑπὸ τὴν φυλακὴν τοῦ ἁγίου μοναστηρίου τῶν Ταβεννησιωτῶν, οὐ μὴν δὲ ἀλλὰ ϗ ὑπὸ τοὺς περιβόλους τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ὃ ϗ δημόσιον ἔχει λουτρὸν πρὸς τὸ θεραπείας τυχεῖν τὸ ἡμέτερον ἄθλιον σῶμα, ϗ τὸ ἀσφαλὲς ἔχει ἀπὸ τῶν ἐπιβουλευόντων ποιεῖν. πρὸς ἀσέβειαν ὁ μνημονευθεὶς εὐλαβέστατος ἐπίσκοπος ὀργῇ, ὡς ἐλεεινοτέρους πάσης ἐλεεινότητος ἡμᾶς γενομένους, μὴ οἰκτειρῆσαι, μηδὲ μὴν τι συνιέναι τῶν ἐντολῶν τοῦ Χριστοῦ. ἀλλὰ γὰρ κελεύει, μήτε τὸ δημόσιον λουτρὸν λούειν, μήτε ἄρτον πιπράσκεσθαι, ἢ ἕτερόν τι ὅλον ἐκεῖσε διαπιπράσκεσθαι, πρὸς ἓν ὁρῶν, ὥστε ἡμᾶς ἀπὸ τῆς στενοχωρίας καὶ τοῦ λιμοῦ ἀπολέσθαι. ϗ γοῦν ὑπὸ τῆς πολλῆς στενώσεως, ϗ ἐνδείας, μικροῦ καὶ τῶν ἀνθρωπίνων ἐκτὸς γεγένημαι· ὅπερ μὲν ἀξιῶ περὶ, ἀπαλλαγῆν τῶν κακῶν, οὐ συνέβη δέ μοι διὰ τὴν Θεοῦ φιλανθρωπίαν. τὰ μὲν οὖν χρήματα, ἅπερ ἀπῃτήθημεν, τὰ μὲν ἐξ ἰδίας ὑποστάσεως, τὰ δὲ δανεισάμενοι βαρυτάτοις, ὡς ἔφημεν, τόκοις, συντείνουσιν εἰς χρυσίου λίτρας χιλίας τετρακοσίας, πλέον ἢ ἔλαττον· ἅπερ ἐκομίσατο παρ' ἡμῶν ὁ μεγαλοπρεπέστατος, καὶ ἐνδοξότατος [a] Νόμος, διὰ τοῦ καθωσιωμένου μαγιστριανοῦ Σεβήρου, τοῦ γενομένου σουβαδιούβα τῆς σχολῆς τῶν καθωσιωμένων μαγιστριανῶν. οὐδὲ γὰρ τὸ πρόσωπον τοῦ βαρβάρου Χρυσαφίου ἐθεασάμεθα. τὰς δὲ τοιαύτας ἡμῶν ϗ τηλικαύτας συμφορὰς οὐδὲν ἡγησάμενος, ὁ κατηχῶν ϗ τῶν ὑπολειφθέντων ἐμοὶ τῷ Ἀθανασίῳ πραγμάτων γίνεται· ὥστε παντάπασί μοι τὰ τῆς ἀναγκαίας τροφῆς ἐπιλεῖψαι, καὶ λοιπὸν ἐρανίζεσθαι παρὰ τῶν ἀγαθῶν εἰωθότων τὰ διαφέροντα ἐμοί, ϗ τῶν ὑπολειπόντων μοι δύο ἢ τριῶν ἀνδραπόδων. μετὰ ταῦτα δὲ μετὰ ταῦτα πάντα χρήματα τὰς ἡμετέρας θείας, ἀδελφὰς δὲ τοῦ τῆς ὁσίας ϗ μακαρίας μνήμης Κυρίλλου, στενοχωρήσας εἰς αὐτὴν τὴν ψυχήν, ϗ πολιορκήσας, ἀπῄτησας ϗ τὸν κατ' αὐτοῦ θάνατον, χρυσίου λίτρας ὀγδοήκοντα πέντε· οὐδὲν ἧττον καὶ τὰ παιδία τοῦ τῆς λαμπρᾶς μνήμης μου ἀδελφοῦ, ϗ τὴν τούτου γαμετήν, τὰ μὲν ὀρφανίαν δυστυχοῦντα, τὴν δὲ ἀπουσίαν ἀνδρὸς ὀδυρομένην, χρυσίου λίτρας τεσσαράκοντα. συνιδεῖν τοίνυν πάντα, θεοφιλέστατοι, ὡς οὐδὲ βάρβαροί ποτε τοιαῦτα τετολμήκασι κατὰ τῶν ὑπηκόων, οἷα ὁ θαυμάσιος ὑφηγητής, ὁ τοῖς λαοῖς μὲν ὀφείλων κηρύττειν ἀμνησικακίαν. ταῦτα δὲ αὐτὸς οὐ μόνον καθ' ἡμῶν, ἀλλὰ ϗ καθ' ἑτέρων πολλῶν ἐτόλμησε. καὶ δεόμεθα τῆς ὑμετέρας ὁσιότητος, ὥστε ἡμᾶς τῆς γοῦν βοηθείας ἀξιωθῆναι, ϗ διαγνῶναι ἡμῖν προστεθεῖσαν, ἐφ' ᾧ τι ἡμᾶς ϗ ἅπερ κακῶς ἀπῃτήθημεν παρὰ τοῦ μεγαλοπρεπεστάτου ϗ ἐνδοξοτάτου [b] Νόμου, ἀπολαβεῖν, ϗ ἐπὶ τοὺς δανειστὰς καταβαλεῖν. ἑτοίμως γὰρ ἔχομεν δεῖξαι αὐτὸν τὸν μεγαλοπρεπέστατον ἄνδρα ταύτην τὴν ποσότητα τοῦ χρυσοῦ ἀπαιτήσαντα ἡμᾶς, ϗ τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον τετολμηκότα ϗ εἰς αὐτὸν τὸν Χριστὸν [c] ἐμπαροινήσαντα, ϗ ἕτερα πολλὰ πλημμελήσαντα, ἃ μὴ τοῖς νόμοις μόνοις ἀπηγόρευται, ἀλλὰ ϗ τοῖς ἀγριωτάτοις καὶ ὠμοτάτοις τῶν βαρβάρων. τὰ γὰρ τούτου πλημμελήματα ἐκείνων τὴν ὠμότητα, ϗ τὴν εἰς Θεὸν ἀσέβειαν ὑπερνικήκασι. ϗ δεόμεθα τυχεῖν, ὡς ϗ προπαρακεκλήκαμεν, τῆς ὑμῶν βοηθείας· ὥστε ἡμᾶς εὐχαριστοῦντας τῷ Θεῷ, καὶ τῇ ὑμῶν θεοσεβείᾳ, τὰς συνήθεις [d] εὐχαριστίας ἀναπέμψαι ὑπὲρ τῆς ὑμῶν ὁσιότητος τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ. παρακαλοῦμεν δὲ μηδὲ μάρτυρας ἀπολιμπάνεσθαι, τοὺς δυναμένους καιρῷ διαγνώσεως περὶ πάντων τῶν παρ' ἡμῶν εἰρημένων μαρτυρῆσαι.

Ὁ ἐλεεινὸς Ἀθανάσιος πρεσβύτερος τῆς περιωνύμου πόλεως Ἀλεξανδρείας τοὺς λιβέλλους ἐπιδέδωκα τῷ ἁγιωτάτῳ ϗ οἰκουμενικῷ πατριάρχῃ, ϗ ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ῥώμης Λέοντι, καὶ τῇ ἁγιωτάτῃ καὶ οἰκουμενικῇ συνόδῳ τῶν ἁγίων ἐπισκόπων ϗ πατέρων.

[a] Forte, Νόμος,

[b] Forte, Νόμου.

[c] Forte, ἐμπαροινήσαντα,

[d] Forte, εὐχαριστίας ex Latino.

∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ παρόντων δὲ καὶ τῆς ἐνδόξου συγκλήτου, τουτέστι τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων, καὶ ὑπάτων καὶ πατρικίου Φλωρεντίου· καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων καὶ πατρικίου Σενάτορος· καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ μαγίστρων καὶ ὑπάτων καὶ πατρικίου Νόννου· καὶ τῶν λοιπῶν·

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ ∴ ∴ ∴ ∴

∴ ∴ συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θεῖον θέσπισμα ἐν τῇ Καλχηδονέων πόλει συναθροισθείσης· τουτέστι

ACTIO QUARTA
Chalcedonensis Concilii.

Consulatu domini nostri Flavii Marciani perpetui Augusti, & qui fuerit nuntiatus, decimosexto Kalendas Novembris, Chalcedone secundum jussionem sacratissimi & piissimi domini nostri Marciani perpetui Augusti, congregatis in sanctissima Dei ecclesia sanctæ martyris Euphemiæ gloriosissimis judicibus, hoc est, magnificentissimo & gloriosissimo magistro militum & exconsule & patricio Anatolio, & magnificentissimo & gloriosissimo præfecto sacrorum prætoriorum Palladio, & magnificentissimo & gloriosissimo præfecto urbis Tatiano, [& magnificentissimo & gloriosissimo magistro sacrorum officiorum Vincomalo, & magnificentissimo & gloriosissimo exmagistro Martiali, & magnificentissimo comite devotissimorum domesticorum Sporatio: & magnificentissimo comite [b] sacrorum privatorum Genethlio:] ad hæc & gloriosissimo Senatu, hoc est, magnificentissimo & gloriosissimo expræfecto & exconsule ac patricio Florentio, & magnificentissimo & gloriosissimo exconsule ac patricio Senatore, & magnificentissimo & gloriosissimo exmagistro & exconsule & patricio [c] Nomo, [& magnificentissimo & gloriosissimo expræfecto & exconsule & patricio Protogene, & magnificentissimo & gloriosissimo expræfecto urbis Zoilo, & magnificentissimo & gloriosissimo expræfecto urbis Theodoro, & magnificentissimo & gloriosissimo expræfecto urbis Apollonio, & magnificentissimo & gloriosissimo expræposito sacri cubiculi Romano, & magnificentissimo & gloriosissimo expræfecto Illyrici Theodoro, & magnificentissimo & gloriosissimo expræfecto prætoriorum Constantino, & magnificentissimo & gloriosissimo expræposito sacri cubiculi [d] Artaxerxe: congregato autem & sancto universalique concilio, quod secundum divinam sanctionem in Chalcedonensium civitate collectum est, hoc est,

[b] al. sacrarum privatarum — [c] al. Nonno — [d] al. Attax.

Paschasino & Lucentio reverentissimis episcopis, & Bonifacio reverentissimo presbytero, habentibus locum sanctissimi & Deo dilectissimi episcopi senioris Romæ Leonis, &

Anatolio magni nominis Constantinopolis novæ Romæ episcopi, & reliquis sanctissimis & reverentissimis episcopis, id est,

Maximo Antiochiæ Syriæ,

Quintillo Heracleæ Macedoniæ, habente locum [a] Anastasii episcopi Thessalonicensis,

Stephano episcopo Ephesi,

Luciano Byziæ, habente locum Cyriaci episcopi Heracleæ Thraciæ,

Diogene Cyzici,

Petro Corinthi, Florentio Sardium, Eunomio Nicomediæ, Eusebio & Constantino presbyteris, habentibus locum Anastasii episcopi Nicææ, Eleutherio Chalcedonensi, Meletio Larissæ, habente locum Domni episcopi Apameæ Syriæ secundæ, Amphilochio Sidæ, Juliano Coënsis civitatis, habente locum & ipso sedis Apostolicæ Romæ, Theodoro Tarsi, Cyro Anazarbi, Constantino Bostrorum, Photio Tyri, Theodoro Damasci, Nonno Edessæ, Simeone Amidæ, Joanne Sebastiæ, Seleuco Amasiæ, & reliqua sancta synodo. Et residentibus omnibus ante altaris sanctissimi cancellos, propositis in medio sacrosanctis evangeliis, gloriosissimi judices & amplissimus Senatus dixerunt: Ut sciamus quæ gerenda sint, relegantur ea quæ in præcedentibus sunt audientiis constituta [b] .... Constantinus vir devotus magistrianus & secretarius, ex scheda gestorum sub consulatu domini nostri Marciani perpetui Augusti, & qui fuerit nuntiatus, octavo Idus Octobris Chalcedone, inter alia legit: Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: De orthodoxa quidem & catholica fide integrius & subtilius in concilio post hunc diem inquisitionem fieri oportere perpendimus. Quoniam autem Flavianus reverendæ memoriæ & Eusebius reverentissimi episcopi, ex gestorum & cognitionum perscrutatione, & ipsa voce aliquorum, qui priores fuerant in illo concilio, & se errasse dicentium confessione, & quod vane fuerint condemnati, qui nihil in fide peccaverant, probantur injuste damnati; videtur nobis (secundum hoc quod Deo est placitum) justum esse, si visum fuerit sacratissimo & piissimo domino nostro, increpationi simili subjacere Dioscorum Alexandriæ, Juvenalem reverentissimum episcopum Hierosolymorum, & Thalassium reverentissimum episcopum Cæsareæ Cappadociæ, & Eusebium reverentissimum episcopum Ancyræ, & Eustathium reverentissimum episcopum Beryti, & Basilium reverentissimum episcopum Seleuciæ Isauriæ, qui potestatem habuerunt, & principes tunc fuere concilii, & cadere de sancta synodo, ut secundum canones alieni a dignitate episcopatus existant, omnibus quæ subsecuta sunt, a sacro vertice cognoscendis Post aliqua, magnificentissimi & gloriosissimi judices & amplissimus senatus dixerunt: Unusquisque reverentissimorum episcoporum hujus præsentis sancti concilii, quomodo credit, per scripturam sine aliquo metu, solius Dei timorem præ oculis habens, festinet exponere: sciens quia sacratissimus & piissimus dominus noster Imperator secundum Nicænam expositionem sanctorum patrum trecentorum decem & octo, & secundum expositionem sanctorum patrum centum quinquaginta, qui post hæc collecti sunt, & secundum canonicas epistolas & expositiones sanctorum patrum, Gregorii, Basilii, Hilarii, Athanasii, Ambrosii, & Cyrilli canonicas duas epistolas, quæ sunt in primo Ephesino publicatæ concilio atque firmatæ, credit, nullo modo ab eorum fide recedens. Nam & reverentissimus archiepiscopus senioris Romæ Leo pro contentione, quæ ab

[a] Annotatio Rufini. Hic Anastasius, in priore Græca actione, Euxitheus.

[b] In Græco adduntur, Latine legi, legimus, lege. Sup. Act. 1. in fin.

A Πασχασίου καὶ Λουκηνσίου, τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου, καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος· καὶ

Ἀνατολίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης· καὶ τῶν λοιπῶν ὁσιωτάτων καὶ εὐλαβεστάτων ἐπισκόπων· τουτέστι,

Μαξίμου Ἀντιοχείας Συρίας·

Κυιντίλλου Ἡρακλείας Μακεδονίας, ἐπέχοντος τὸν τόπον Ἀναστασίου ἐπισκόπου Θεσσαλονίκης·

Στεφάνου Ἐφέσου·

Λουκιανοῦ Βύζης, ἐπέχοντος τὸν τόπον Κυριακοῦ ἐπισκόπου Ἡρακλείας Θρᾴκης·

B Διογένους Κυζίκου· καὶ τῶν λοιπῶν·

.·. .·. .·. .·. .·. .·. .·.

καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου θυσιαστηρίου, προκειμένου ἐν τῷ μέσῳ τοῦ ἁγίου καὶ ἀχράντου εὐαγγελίου, οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ὥστε ἡμᾶς συνιδεῖν τὸ πρακτέον, ἀναγινωσκέσθωσαν οἱ C διατυπωθέντες τύποι ἐν ταῖς προλαβούσαις ἀκροάσεσι. Ῥωμαϊστὶ ἀνέγνων, ἀνέγνωμεν, ἀνάγνωθι. Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος ἀπὸ σχεδαρίου πραχθέντος ἐν ὑπατείᾳ τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ ὀκτὼ εἰδῶν ὀκτωμβρίων ἐν Καλχηδόνι, μεταξὺ τῶν λοιπῶν ἀνέγνω· οἱ μεγαλοπρεπέστατοι, καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· περὶ τῆς ὀρθοδόξου καὶ καθολικῆς πίστεως πληρέστερον συνόδου γενομένης μετὰ μίαν ἀκριβεστέραν ἐξέτασιν δεῖν γενέσθαι συνεωράκαμεν. Ἐπειδὴ δὲ Φλαβιανὸς ὁ τῆς εὐλαβοῦς μνήμης, καὶ Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐκ τῆς τῶν πεπραγμένων καὶ διαγνωσθέντων ἐρεύνης, καὶ αὐτῆς τῆς φωνῆς τινῶν τῶν ἐξάρχων γενομένων τῆς τότε συνόδου, ὁμολογησάντων ἐσφάλθαι, καὶ μάτην αὐτοὺς καθῃρηκέναι, οὐδὲν περὶ τὴν πίστιν σφαλέντας, δείκνυνται ἀδίκως καθαιρεθέντες, φαίνεται ἡμῖν κατὰ τὸ τῷ D Θεῷ ἀρέσκον, δίκαιον εἶναι, εἰ παρασταίη τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ, τῷ αὐτῷ ὑποπεσεῖν ἐπιτιμίῳ Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀλεξανδρείας, καὶ Ἰουβενάλιον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἱεροσολύμων, καὶ Θαλάσσιον τὸν εὐλαβέστατον ἐπίσκοπον Καισαρείας Καππαδοκίας, καὶ Εὐσέβιον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀγκύρας, καὶ Εὐστάθιον τὸν εὐλαβέστατον ἐπίσκοπον Βηρυτοῦ, καὶ Βασίλειον τὸν εὐλαβέστατον ἐπίσκοπον Σελευκείας Ἰσαυρίας, τοὺς ἐξουσίαν * ἐσχηκότας, καὶ ἐξάρχοντας τῆς τότε συνόδου, κατὰ τοὺς κανόνας τοῦ ἐπισκοπικοῦ ἀξιώματος ἀλλοτρίους γενομένους πάντων τῶν παρακολουθησάντων τῇ θείᾳ κορυφῇ γνωριζομένων. μετὰ τὰ λοιπά· οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς E σύγκλητος, εἶπον· ἕκαστος τῶν εὐλαβεστάτων ἐπισκόπων τῆς παρούσης ἁγίας συνόδου, ὅπως πιστεύει, ἐγγράφως σπευδέτω προσθεῖναι, τὸν τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν ἔχων φόβον, ἐκθέσθαι σπουδασάτω, γινώσκων, ὡς ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης κατὰ τὴν ἔκθεσιν τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων τριακοσίων δέκα καὶ ὀκτὼ, καὶ κατὰ τὴν ἔκθεσιν τῶν ἑκατὸν πεντήκοντα, τῶν μετὰ ταῦτα, καὶ κατὰ τὰς κανονικὰς ἐπιστολὰς καὶ ἐκθέσεις τῶν ἁγιωτάτων πατέρων, Γρηγορίου, Βασιλείου, Ἱλαρίου, Ἀθανασίου, Ἀμβροσίου, καὶ τὰς Κυρίλλου δύο κανονικὰς ἐπιστολὰς, τὰς ἐν τῇ κατ' Ἔφεσον πρώτῃ συνόδῳ δημοσιευθείσας καὶ βεβαιωθείσας, πιστεύει, κατ' οὐδένα τρόπον τῆς αὐτῶν πίστεως ἀναχωρῶν. καὶ γὰρ καὶ ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς πρεσβυτέρας Ῥώμης Λέων περὶ τὴν παρὰ

Εὐτυχοῦς

* Forte, κληρικὸς.

ANNO CHRISTI 451.

Εὐτυχοῦς ἀπίστως, καὶ ὑπεναντίον τῆς καθολικῆς θρησκείας ἀνακύψασαν ἀμφιβολίαν, φαίνεται πρὸς τὸν τῆς ὁσίας μνήμης Φλαβιανὸν τὴν ἐπιστολὴν ἐκπέμψας.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος ἀπὸ ἑτέρου χαρτίου πραχθέντος ἐν ὑπατείᾳ τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ, τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ ᵃ μιᾶς εἰδῶν ὀκτωβρίων ἐν Καλχηδόνι, μετὰ τὰ λοιπὰ ἀνέγνω· οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ὑπερτεθήσεται ἡ ἀκρόασις ἕως ἡμερῶν πέντε, ὥστε ἐν τῷ μεταξὺ συνελθεῖν τὴν ὑμετέραν ἁγιωσύνην εἰς τὸ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου, καὶ κοινῶς περὶ τῆς πίστεως βουλεύσασθαι· ἵνα οἱ ἀμφιβάλλοντες διδαχθῶσι. μετὰ τὰ λοιπὰ οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· οὐκ ἀναγκαῖον πάντας ὑμᾶς συνελθεῖν. ἀλλ' ἐπειδὴ ἀκόλουθόν ἐστι πεισθῆναι τοὺς ἀμφιβάλλοντας, ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Ἀνατόλιος ἀπὸ τῶν ὑπογραψάντων ἐπισκόπων ἐπιλέξηται, οὓς ἂν νομίσῃ ἱκανοὺς εἶναι πρὸς ᵇ διδασκάλους τῶν ἀμφιβαλλόντων. μετὰ τὰ λοιπά, οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· τὰ διαλαληθέντα ἔργῳ παραδοθήσεται.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· δήλων γενομένων τῶν ἤδη πρότερον τυπωθέντων, τί ἔδοξε περὶ τῆς ἁγίας πίστεως τῇ εὐλαβεστάτῃ συνόδῳ, ᶜ αὐτὴ διδασκέτω. ᵈ Πασχασῖνος καὶ Λουκήνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι, καὶ Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος, τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου, διὰ Πασχασίνου τοῦ εὐλαβεστάτου εἶπον· ἡ ἁγία καὶ οἰκουμενικὴ καὶ μακαρία σύνοδος τῶν τριακοσίων δεκαοκτὼ τῆς πίστεως τὸν κανόνα, τὸν ἐν τῇ Νικαίᾳ παρ' αὐτῶν ἐκτεθέντα, καὶ τοὺς ὅρους κρατεῖ, καὶ μεταδιώκει. οὐ μὴν ἀλλὰ καὶ ἡ τῶν ἑκατὸν πεντήκοντα συναχθεῖσα σύνοδος ἐν τῇ Κωνσταντινουπόλει ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Θεοδοσίου τοῦ μεγάλου, τὴν αὐτὴν πίστιν ἐβεβαίωσεν· οὗ τινος συμβόλου τὴν ἔκθεσιν ἡ ἐπὶ τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ Κυρίλλου σύνοδος ἐν τῇ Ἐφέσῳ ᵉ ἐξηνεχθεῖσα, ἐν ᾗ Νεστόριος κατεδικάσθη, ὁμοίως ἀσπάζεται. τρίτη δὲ τοῦ μακαριωτάτου ἀνδρός, πάντων τῶν ἐκκλησιῶν ἀρχιεπισκόπου Λέοντος, τοῦ Νεστορίου, καὶ Εὐτυχοῦς αἵρεσιν καταδικάσαντος τὰ ἀποσταλέντα γράμματα φανεροῦσι, τίς τῆς ἀληθείας ἡ πίστις. ὁμοίως δὲ καὶ ἡ ἁγία σύνοδος ταύτην τὴν πίστιν κατέχει, ταύτην μεταδιώκει· καὶ οὐδὲν περαιτέρω οὔτε προσθεῖναι, οὔτε μειῶσαι ἀνέχεται· ἧς τινος καταθέσεως ἑρμηνευθείσης Ἑλληνιστὶ διὰ Βερονικιανοῦ τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστωρίου, οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· οὕτως πάντες πιστεύομεν, οὕτως ἐβαπτίσθημεν, οὕτως βαπτίζομεν, οὕτως ἐπιστεύσαμεν, οὕτως πιστεύομεν. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἐπειδὴ τὰ θεῖα εὐαγγέλια παρὰ τῆς ὑμετέρας εὐλαβείας προτεθέντα ὁρῶμεν, ἕκαστος τῶν συνελθόντων ἐπισκόπων διδαξάτω, εἰ ἡ ἔκθεσις τῶν τριακοσίων δεκαοκτὼ πατέρων ἐν Νικαίᾳ συνελθόντων, καὶ τῶν μετὰ ταῦτα ἑκατὸν πεντήκοντα, ἐν τῇ βασιλευούσῃ πόλει συναθροισθέντων, συμφωνεῖ τῇ ἐπιστολῇ τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Λέοντος.ᶠ

Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος τῆς βασιλευούσης Κωνσταντινουπόλεως εἶπε· συνᾴδει ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου, καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος τῷ συμβόλῳ τῶν ἐν Νικαίᾳ τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων ἡμῶν, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινουπόλει μετὰ ταῦτα συναχθέντων, τῶν τὴν αὐτὴν πίστιν βεβαιωσάντων, καὶ τοῖς ἐν Ἐφέσῳ πραχθεῖσιν ἐπὶ τοῦ μακαριωτάτου καὶ ἐν ἁγίοις Κυρίλλου παρὰ τῆς οἰκουμενικῆς καὶ ἁγίας συνόδου, ὅτε τὸν δύσφημον Νεστόριον καθεῖλε. διὸ καὶ συνῄνεσα, καὶ ἀσμένως ὑπέγραψα.

Πασχασῖνος καὶ Λουκήνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι, καὶ Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος, τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου, διὰ Πασχασίνου τοῦ εὐλαβεστάτου εἶπον· σαφές ἐστι, καὶ οὐ δύναται ἀμφισβητηθῆναι, μίαν εἶναι πίστιν τοῦ μακαριωτάτου πάπα τῆς ἀποστολικῆς καθέδρας ἀρχιεπισκόπου Λέοντος συνᾴδουσαν τῇ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων πίστει

ᵃ Forte, ἕξ, sexto, in Latino.
ᵇ Forte, διδασκαλίαν.
ᶜ Forte, αὐτὴ ex Latino.
ᵈ In margine, Ρωμαῖοι, ἀνέγνων, ἀνεγνώκαμεν, ἀνέγνω.
ᵉ Forte, συναχθεῖσα,
ᶠ In margine, Ρωμαῖοι, ἀνέγνων, ἀνέγνωμεν, ἀνέγνω.

ACTIO QUARTA.

A Eutyche infideliter & contra catholicam religionem facta est, videtur ad reverendæ memoriæ Flavianum epistolam direxisse.

Veronicianus vir devotus secretarius, ex alia scheda gestorum quæ acta sunt Consulatu domini nostri Marciani perpetui Augusti, & ejus qui fuerit nuntiatus, sexto Idus Octobris, Chalcedone, post alia legit: Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Differatur ᵃ auditio usque ad dies quinque, ut inter hæc vestra sanctitas congregetur ad sanctissimum archiepiscopum Anatolium, & de fide communiter cogitetis; ut ii qui dubitant, doceantur. Et post reliqua: Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Necessarium non est omnes vos convenire. Sed quoniam B consequens est credere dubitantes, reverentissimus episcopus Anatolius eligat ex iis qui subscripserunt, quos putaverit esse dignos, ut doceant dubitantes. Post reliqua: Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Interlocutio quæ præcessit, tradatur effectui.

Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Manifestatis iis quæ jam pridem constituta sunt, quod placuit reverendo concilio de sancta fide, ipsum nos doceat. Paschasinus & Lucentius reverentissimi episcopi, & Bonifacius reverentissimus presbyter, vicarii sedis Apostolicæ, per virum reverentissimum episcopum Paschasinum dixerunt: Sancta & beatissima synodus fidei regulam, quæ apud C Nicæam a patribus est constituta, sequitur & tenet: sed etiam & centum quinquaginta apud Constantinopolim sub sanctæ recordationis Theodosio majore congregata synodus, ipsam fidem confirmavit; cujus symboli expositionem a beatæ recordationis viro Cyrillo apud Ephesum expositam (quando Nestorius est pro sui calliditate damnatus) similiter amplectitur: tertio vero beatissimi atque apostolici viri universalis ecclesiæ Papæ Leonis, Nestorii & Eutychetis hæresin damnantis, directa scripta, qui dvera fides habeat exposuerunt. Similiter vero & sancta synodus hanc fidem tenet, hanc sequitur: nihil amplius nec addere potest, nec minuere. Qua expositione interpretata Græce per Veronicianum virum devotum secretarium di- D vini consistorii, reverentissimi episcopi clamaverunt: Omnes sic credimus, sic baptizati sumus, sic baptizamus: sic credidimus, sic credimus. Gloriosissimi judices & amplissimus senatus dixerunt: Quoniam sacra evangelia posita a reverentia vestra perspicimus, singuli reverentissimi episcopi qui convenerunt, doceant, si expositio trecentorum decem & octo sanctorum patrum qui olim in Nicæa collecti sunt, & post hæc centum quinquaginta, qui in regia congregati sunt civitate, consonat epistolæ reverentissimi Papæ Leonis.

Anatolius reverentissimus episcopus regiæ Constantinopolis dixit: Epistola sanctissimi & Deo amicissimi archiepiscopi Leonis consonat symbolo trecentorum decem & octo sanctorum patrum qui apud Nicæam, E & centum quinquaginta qui apud Constantinopolim postea sunt collecti, qui eamdem fidem confirmaverunt: sed & iis quæ in Epheso sub beatissimo & sanctissimo Cyrillo gesta sunt ab universali & sancto concilio, quando maledictum Nestorium condemnavit. Quapropter consensi, & eidem epistolæ libenter subscripsi.

Paschasinus & Lucentius reverentissimi episcopi, & Bonifacius presbyter, vicarii sedis Apostolicæ per virum reverentissimum Paschasinum dixerunt: Manifestum est, nec poterit dubitari, unam fidem beatissimi Papæ sedis Apostolicæ rectoris Leonis cum trecentorum decem & octo apud Nicæam patrum concor-

Supra, pag. 374. initio secundæ Actionis.

ᵃ al. audientia

dare, atque detineri: centum quoque quinquaginta apud Constantinopolim congregatorum sacerdotum, qui eamdem fidem firmaverunt; sed & Cyrilli sanctæ recordationis viri apud Ephesum (quod Nestorius pro suo errore damnatus est) statuta in nullo penitus discordare. Ideoque etiam beatissimi Papæ Leonis epistola, quæ illam fidem exposuisse, causa erroris Eutychis, est visa, uno sensu, uno quoque spiritu videtur illi fidei esse conjuncta.

Maximus reverentissimus episcopus Antiochiæ Syriæ dixit: Concordat epistola sanctissimi archiepiscopi regiæ Romæ Leonis, expositionibus trecentorum decem & octo apud Nicæam sanctorum patrum, & centum quinquaginta apud Constantinopolim novam Romam, & in Epheso a sanctissimo episcopo Cyrillo expositæ fidei: & subscripsi.

Stephanus reverentissimus episcopus Ephesi dixit: Concordat epistola, & subscripsi ei, cum recte habeat.

Diogenes reverentissimus episcopus Cyzici dixit: Concordat epistola, & subscripsi ei, cum recte habeat.

Cyrus episcopus Anazarbi dixit similiter: Consonat, & subscripsi ei.

Constantius reverentissimus episcopus Bostrorum Arabiæ dixit: Consonat, & subscripsi ei.

Joannes reverentissimus episcopus Sebastiæ Armeniæ primæ dixit: Secundum intellectum meum, intentio epistolæ sanctissimi archiepiscopi Romæ Leonis consonat fidei trecentorum decem & octo, & centum quinquaginta qui post hæc apud Constantinopolim congregati sunt, & expositioni quæ in Epheso in damnatione impii Nestorii facta est, cui beatissimus Cyrillus præsidebat: & in ea epistola subscripsi.

Constantinus reverentissimus episcopus Melitenæ Armeniæ secundæ dixit: Certo scio epistolam beatissimi & sanctissimi Papæ Leonis episcopi Romani, cui etiam subscripsi, consonam esse expositioni sanctorum patrum trecentorum decem & octo qui in Nicæa convenerunt, & centum quinquaginta qui Constantinopoli sub divæ memoriæ Theodosio, & eorum qui in Epheso sub beatissimo Alexandrinorum episcopo Cyrillo.

Seleucus reverentissimus episcopus Amasiæ dixit: Consonas expositæ fidei trecentorum decem & octo sanctorum patrum invenimus synodicas epistolas sanctissimi patris nostri Cyrilli. Similiter etiam epistolam sanctissimi archiepiscopi nostri Leonis invenimus consentire trecentis decem & octo; & iis quæ a sanctissimo Cyrillo sunt exposita.

Patricius reverentissimus episcopus Tyanorum dixit: Epistolam sanctissimi Leonis archiepiscopi Romæ, consonam invenimus trecentis decem & octo qui in Nicæa, & centum quinquaginta sanctis patribus qui postea in regia urbe convenerunt: & subscripsi.

Theodorus reverentissimus episcopus Damasci dixit: Non est ambigendum, quin epistola beatissimi & sanctissimi patris nostri archiepiscopi Leonis consonet expositioni sanctorum patrum qui in Nicæa convenerunt; similiter etiam epistolæ beatissimi Cyrilli eidem expositioni consonent: & subscripsi ei.

Photius reverentissimus episcopus Tyri dixit: Expositæ fidei a sanctis trecentis decem & octo patribus qui in Nicæa, consonantiam invenimus, & apud sanctos patres centum quinquaginta qui Constantinopoli convenerunt, & apud eos qui postea Ephesi sub beatissimo Cyrillo, & cum epistola sanctissimi & beatissimi patris nostri archiepiscopi Romanorum ecclesiæ Leonis: & subscripsi manu mea.

Simeon reverentissimus episcopus Amidæ Mesopotamiæ dixit: Concordat epistola Romanorum archiepiscopi Leonis, expositæ fidei & in Nicæa, & a cen-

τῶν συνελθόντων κατὰ Νίκαιαν, καὶ κρατεῖν ϗ τὴν τῶν ρν'. τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων, οὐ μὴν ἀλλὰ καὶ τὰ ἐπὶ τοῦ τῆς ἁγίας μνήμης Κυρίλλου κατὰ τὴν Ἔφεσον ὁρισθέντα, ἡνίκα Νεστόριος διὰ τὴν ἰδίαν πλάνην καθῃρέθη, καὶ οὐδαμῶς τὸ σύνολον διαφωνεῖ. καὶ τούτου χάριν ϗ ἡ ἐπιστολὴ τοῦ μακαριωτάτου πάπα, ἥ τις ἐκείνην τὴν πίστιν ἀνανέωσεν, αἰτίᾳ τῆς πλάνης Εὐτυχοῦς, ἀποδέδεκται, [a] ὡς ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ πνεύματι συνᾴδει τῇ αὐτῇ [b] ἐπιστολῇ.

Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Συρίας εἶπε· συνᾴδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς βασιλευούσης Ῥώμης Λέοντος τοῖς ἐκτεθεῖσι παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἐν Νικαίᾳ ἁγίων πατέρων, καὶ τῶν ρν'. τῶν ἐν Κωνσταντινουπόλει τῇ νέᾳ Ῥώμῃ, καὶ τῇ ἐν Ἐφέσῳ παρὰ τοῦ ἁγιωτάτου ἐπισκόπου Κυρίλλου ἐκτεθείσῃ πίστει· ϗ ὑπεσημειωσάμην.

Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπε· συνᾴδει ἡ ἐπιστολὴ, ϗ ὑπεσημειωσάμην αὐτῇ, ὀρθῶς ἐχούσῃ.

Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπε· συνᾴδει, ϗ ὑπέγραψα αὐτῇ.

Κῦρος ἐπίσκοπος Ἀναζάρβου εἶπεν ὁμοίως· συνᾴδει, καὶ ὑπέγραψα αὐτῇ.

Κωνστάντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βόστρων Ἀραβίας εἶπε· συνᾴδει, ϗ ὑπέγραψα αὐτῇ.

Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστείας πρώτης [c] Συρίας εἶπε· κατὰ τὴν ἐμὴν κατάληψιν ὁ σκοπὸς τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων Λέοντος συνᾴδει τῇ πίστει τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῶν μετὰ ταῦτα ρν'. ἐν Κωνσταντινουπόλει συναχθέντων, καὶ τῇ ἐκθέσει τῇ γενομένῃ ἐν Ἐφέσῳ ἐπὶ τῇ καθαιρέσει τοῦ δυσσεβοῦς Νεστορίου, ἧς ἡγεῖτο ὁ μακαριώτατος Κύριλλος· ϗ ὑπεσημηνάμην τῇ αὐτῇ ἐπιστολῇ.

Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀρμενίας δευτέρας Μελιτηνῆς εἶπε· πεπληροφόρημαι, ὡς ἡ ἐπιστολὴ τοῦ μακαριωτάτου καὶ ὁσιωτάτου πάπα Λέοντος τοῦ τῆς Ῥωμαίων, ἐν ᾗ καὶ ὑπέγραψα, σύμφωνός ἐστι τῇ ἐκθέσει τῶν ἁγίων πατέρων, τῶν ἐν Νικαίᾳ συνειλεγμένων τριακοσίων δεκαοκτὼ, καὶ τῶν ἐν Κωνσταντινουπόλει ρν'. ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου, καὶ τῶν ἐν Ἐφέσῳ ἐπὶ τοῦ μακαριωτάτου τῆς Ἀλεξανδρέων ἐπισκόπου Κυρίλλου.

Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀμασίας εἶπε· συμφώνους τῇ ἐκτεθείσῃ πίστει τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τὰς συνοδικὰς ἐπιστολὰς τοῦ ὁσιωτάτου πατρὸς ἡμῶν Κυρίλλου εὑρήκαμεν. ὁμοίως δὲ καὶ τοῖς τε τριακοσίοις δεκαοκτὼ συνᾴδουσαν, καὶ τοῖς παρὰ τοῦ ἁγιωτάτου Κυρίλλου, τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Λέοντος εὑρήκαμεν.

Πατρίκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τυάνων εἶπε· τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου Λέοντος τοῦ ἀρχιεπισκόπου Ῥώμης, σύμφωνον εὑρήκαμεν τῶν τριακοσίων δεκαοκτὼ τῶν ἐν Νικαίᾳ, ϗ τῶν ρν'. τῶν μετὰ ταῦτα ἐν τῇ βασιλευούσῃ συνελθόντων ἁγίων πατέρων, ϗ ὑπέγραψα.

Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Δαμασκοῦ εἶπεν· οὐδὲ ἀμφιβάλλειν δεῖ, ὅτι γε συνᾴδει τῇ ἐκθέσει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ἡ ἐπιστολὴ τοῦ μακαριωτάτου ϗ ἁγιωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου Λέοντος· ὁμοίως δὲ καὶ αἱ ἐπιστολαὶ τοῦ μακαριωτάτου Κυρίλλου τῇ αὐτῇ ἐκθέσει συνᾴδουσι· ϗ ὑπέγραψα αὐτῇ.

Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπε· τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἐν Νικαίᾳ τριακοσίων δεκαοκτὼ τὴν συμφωνίαν εὑρήκαμεν παρά τε τοῖς ρν'. ἁγίοις πατράσι, τοῖς συνελθοῦσιν ἐν τῇ Κωνσταντινουπόλει, καὶ τοῖς μετὰ ταῦτα συνελθοῦσιν ἐν τῇ Ἐφεσίων ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου, ϗ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ϗ μακαριωτάτου πατρὸς ἡμῶν ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος· ϗ ὑπέγραψα χειρὶ ἐμῇ.

Συμεὼν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀμίδης Μεσοποταμίας εἶπε· συμφωνεῖ ἡ ἐπιστολὴ τοῦ ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῇ τε ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει, ϗ τῇ τῶν ρν'. ϗ

[a] Forte, ὡς τῷ

[b] Forte, πίστει.

[c] Ἀρμενίας in Latino.

τῇ ἐν Ἐφέσῳ ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου· καὶ ὑποσημηνάμην αὐτῇ.

Περγάμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας εἶπε· συνᾴδουσαν καὶ συμφωνοῦσαν τὴν ἐπιστολὴν γνωρίζω τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῇ καθολικῇ πίστει τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῶν ρν'. ἁγίων πατέρων, ἔτι μὴν καὶ τῶν μετὰ ταῦτα συνελθόντων ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου ἐν τῇ Ἐφεσίων πόλει· καὶ ὑποσημηνάμην αὐτῇ.

Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ταρσοῦ εἶπε· συμβαίνουσαν γνωρίζομεν τῇ ἐκθέσει τῆς πίστεως τῶν ἐν Νικαίᾳ τριακοσίων δεκαοκτὼ ἁγιωτάτων ἐπισκόπων, καὶ τῇ τῶν ρν'. ὁμοίως ἁγίων πατέρων τῶν συνελθόντων ἐν Κωνσταντινουπόλει, καὶ τῇ ἐν Ἐφέσῳ μετὰ ταῦτα ἐπὶ τοῦ μακαριωτάτου Κυρίλλου, τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος· καὶ ὑπέγραψα ἐν αὐτῇ.

Φραγκίων ὁ εὐλαβέστατος ἐπίσκοπος Φιλιππουπόλεως τῆς Θρᾴκης εἶπε· συνᾴδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος τῇ ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει ὑπὸ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ τῇ ἐν τῇ βασιλευούσῃ Κωνσταντινουπόλει γενομένῃ συνόδῳ τῶν ρν'. καὶ τῇ ἐν Ἐφέσῳ συνόδῳ, ἧς ἡγεῖτο ὁ μακάριος Κύριλλος. καὶ ὑπέγραψα ἐν αὐτῇ.

Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπε· σύμφωνον ἔκρινα εἶναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος τῇ ἐκθέσει τῶν ἐν Νικαίᾳ συναχθέντων πατέρων, τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῇ συνόδῳ τῶν ρν'. τῶν συναχθέντων ἐν τῇ μεγαλοπόλει Κωνσταντινουπόλει, καὶ τῇ συνόδῳ τῇ γενομένῃ ἐν Ἐφέσῳ ἐπὶ τοῦ μακαρίου Κυρίλλου· καὶ ὑπέγραψα ἐν αὐτῇ.

Φλωρέντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σάρδεων Λυδίας εἶπεν· ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα Λέοντος συνᾴδει τῇ πίστει τῆς τε ἐν Νικαίᾳ ἁγίας συνόδου συναχθείσης, καὶ τῆς ἐν Κωνσταντινουπόλει τῶν ρν'. συναγηγερμένης, καὶ τῆς ἐν Ἐφέσῳ κατὰ Νεστορίου βουλήσει Θεοῦ συνελθούσης, ἧς ἡγεῖτο ὁ μακάριος Κύριλλος· καὶ ὑπέγραψα ἐν αὐτῇ.

Ἀμφιλόχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σίδης Παμφυλίας εἶπε· τῆς εἰλικρινοῦς καὶ ἀληθοῦς πίστεως ἐκτεθείσης παρὰ τῶν ἐν Νικαίᾳ συλλεγέντων ἁγίων πατέρων, συμβαίνοντα, καὶ οἱ κατὰ τὴν μεγάλην Κωνσταντινούπολιν, νέαν Ῥώμην, ρν'. ἅγιοι πατέρες συνέγραψαν, καὶ οἱ τῆς κατ' Ἔφεσον ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου ἁγίας συνόδου· ᾗ ἔτι καὶ ὁ νοῦς, ὁ κατ' εὐσέβειαν ὑπαγορευθεὶς, τῆς ἐπιστολῆς τοῦ πάντα ἐκπλεστάτου τῆς Ῥωμαίων ἀρχιεπισκόπου Λέοντος· καὶ ὑποσημηνάμην.

Μαριανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Συννάδων εἶπε· Συνᾴδειν ἔγνων τὴν ἐπιστολὴν τοῦ πάντα ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῇ μόνῃ καὶ μακαρίᾳ καὶ θεοφιλεῖ ἐκθέσει τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῶν ρν'. τῶν ἐν βασιλίδι Κωνσταντινουπόλει συναχθέντων· οὐ μόνον δὲ τούτων, ἀλλὰ καὶ τῇ συνόδῳ τῇ γενομένῃ κατὰ Νεστορίου ἐν Ἐφέσῳ ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου· διὸ καὶ ὑπέγραψα ἐν αὐτῇ.

Ἐπιφάνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πέργης εἶπεν· ὡς συνιδεῖν ἠδυνήθην ἐκ τῆς ἀναγνώσεως τῆς ἐπιστολῆς τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, συμφωνεῖ κατὰ διάνοιαν τῇ ἐκθέσει τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τῶν μετ' αὐτὴν κατὰ τὴν βασιλεύουσαν πόλιν συναθροισθέντων ρν'. καὶ τῇ ἐν Ἐφέσῳ δὲ κατὰ Νεστορίου τοῦ ἀσεβοῦς γενομένῃ, ἧς ἡγεῖτο ὁ μακάριος Κύριλλος· καὶ ταύτην ἔχων τὴν γνώμην, ὑπέγραψα τῇ αὐτῇ ἐπιστολῇ.

Ὀνησίφορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰκονίου εἶπε· κατ' οὐδὲν ἀπᾴδουσαν συνιδὼν τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῆς ἐκτεθείσης πίστεως παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναχθέντων, καὶ τῶν ρν'. τῶν ἐν τῇ μεγαλωνύμῳ Κωνσταντινουπόλει συνελθόντων, καὶ τῶν ἐν Ἐφέσῳ συναχθέντων ἐπὶ τῇ καθαιρέσει τοῦ δυσσεβοῦς Νεστορίου παρὰ τοῦ τῆς μακαρίας μνήμης πατρὸς ἡ-

tum quinquaginta, & in Ephefo fub beatæ memoriæ Cyrillo: & fubfcripfi ei.

Pergamius reverentiffimus epifcopus Antiochiæ Pifidiæ dixit: Confentire & concordare fcio epiftolam fanctiffimi archiepifcopi Romanorum Leonis cum catholica fide trecentorum decem & octo, & centum quinquaginta fanctorum patrum, quin etiam eorum qui poftea in Ephefiorum urbe convenerunt fub beatiffimo Cyrillo: & fubfcripfi ei.

Theodorus reverentiffimus epifcopus Tarfi dixit: Epiftolam fanctiffimi archiepifcopi Romanorum Leonis convenire fcimus cum expofitione fidei trecentorum decem & octo fanctiffimorum epifcoporum qui in Nicæa, & centum quinquaginta fimiliter fanctorum patrum qui Conftantinopoli convenerunt, & qui poftea Ephefi fub beatiffimo Cyrillo: & fubfcripfi ei.

Francion reverentiffimus epifcopus Philippopolis Thraciæ dixit: Confonat epiftola fanctiffimi archiepifcopi Leonis expofitæ fidei in Nicæa a trecentis decem & octo fanctis patribus, & fynodo centum quinquaginta in regia urbe congregatæ, & fynodo Ephefinæ, cui præfuit beatus Cyrillus: & fubfcripfi ei.

Eufebius reverentiffimus epifcopus Dorylæi dixit: Confonam effe cenfeo epiftolam fanctiffimi archiepifcopi veteris Romæ Leonis expofitioni trecentorum decem & octo patrum in Nicæa congregatorum, & fynodo centum quinquaginta in magna urbe Conftantinopoli, & fynodo Ephefi habitæ fub beato Cyrillo: & fubfcripfi ei.

Florentius reverentiffimus epifcopus Sardium Lydiæ dixit: Epiftola fanctiffimi & beatiffimi Papæ Leonis congruit cum fide fanctæ fynodi in Nicæa congregatæ, & centum quinquaginta Conftantinopoli collectæ, & ejus quæ Ephefi adverfus Neftorium Dei voluntate convenit, cui præfuit beatus Cyrillus: & fubfcripfi ei.

Amphilochius reverentiffimus epifcopus Sidæ Pamphyliæ dixit: Sinceræ & veræ fidei expofitæ a fanctis patribus in Nicæa collectis, congruentia tum fancti patres confcripferunt, qui in magna Conftantinopoli nova Roma, tum qui Ephefi in fancta fynodo fub beatæ memoriæ Cyrillo convenerunt: cum qua etiam congruit fenfus fecundum pietatem dictatus epiftolæ per omnia perfectiffimi Romanorum archiepifcopi Leonis: & fubfcripfi.

Marinianus reverentiffimus epifcopus Synnadorum dixit: Confentire novi epiftolam in omnibus fanctiffimi Romanorum archiepifcopi Leonis foli & beatæ ac religiofæ expofitioni trecentorum decem & octo patrum, & centum quinquaginta in regia Conftantinopoli congregatorum: neque horum folummodo, verum etiam fynodo adverfus Neftorium Ephefi habitæ fub Cyrillo beatæ memoriæ: ideo etiam fubfcripfi ei.

Epiphanius reverentiffimus epifcopus Pergæ dixit: Quantum perfpicere potui ex lectione epiftolæ religiofiffimi archiepifcopi Romanorum Leonis, confonat ejus fenfus expofitioni fanctorum trecentorum decem & octo patrum in Nicæa, & centum quinquaginta in regia urbe poftea congregatorum, & fynodo Ephefi adverfus impium Neftorium habitæ, cui præerat beatus Cyrillus: & ita fentiens, fubfcripfi eidem epiftolæ.

Onefiphorus reverentiffimus epifcopus Iconii dixit: Cum epiftolam fanctiffimi archiepifcopi Romanorum Leonis nulla in re diffentire videam ab expofita fide fanctorum patrum qui in Nicæa congregati funt, & centum quinquaginta qui apud magni nominis Conftantinopolim convenerunt, & ab iis quæ Ephefi in damnatione impii Neftorii a beatæ memoriæ patre no-

stro Cyrillo gesta sunt, subscripsi eidem epistolæ Papæ Leonis.

Petrus reverentissimus episcopus Gangrorum dixit: Fidei quam sancti patres trecenti decem & octo in Nicæa confirmaverunt nobis, & centum quinquaginta in regia Constantinopoli congregati, & qui postea Ephesi, præsidente sanctæ illi synodo beato Cyrillo, cum consona esset etiam epistola sanctissimi archiepiscopi Leonis, & eumdem haberet scopum, eam amplexi sumus, eique subscripsimus.

a Corb. & Div. Theodorus.

[a] Theodosius reverentissimus episcopus Canothæ dixit: Immobilis est fides sanctorum trecentorum decem & octo. Si quis conatus fuerit immota movere, ipse fluctuabit. Hanc igitur sequimur, & credimus: expositionem quoque editam a sanctis centum quinquaginta patribus qui Constantinopoli convenerunt, & Ephesi adversus impium Nestorium factam sub beatæ memoriæ Cyrillo: & consentit epistola sanctissimi archiepiscopi & patris nostri Leonis: & subscripsi ei.

Sabas reverentissimus episcopus Palti Syriæ dixit: Trecenti decem & octo sancti patres voluntate Dei in Nicæa congregati, & edocti a Spiritu sancto, rectam fidem nostram exposuerunt, & centum quinquaginta Constantinopoli collecti eam secuti sunt: similiter etiam huic congruentia beatus Cyrillus Ephesi docuit; consona quoque sanctissimus archiepiscopus Romanorum Leo per suam epistolam docuit, & universus orbis terrarum sic institutus est & edoctus, & nos eamdem retinemus & docemus: & subscripsi ei, atque anathematizo eos qui aliquid vel addunt vel detrahunt.

Epiphanius reverentissimus presbyter, tenens locum religiosissimi Ætherici episcopi Pompeiopolis, provinciæ Paphlagoniæ, dixit: Misericordia Domini nostri Christi confirmatus sum in fide trecentorum decem & octo sanctorum patrum qui in Nicæa, & quam postea confirmaverunt centum quinquaginta congregati in sancta synodo Constantinopoli habita, & post hanc qui similiter Ephesi convenerunt, præsidente sanctæ memoriæ Cyrillo: certus etiam de epistola sanctissimi archiepiscopi Romanorum Leonis, quod consonet prædictis expositionibus: præterea cum ipse religiosissimus episcopus Æthericus eidem epistolæ subscripserit, ego quoque prædictam sanctam fidem sequor.

Philotimus reverentissimus presbyter, tenens locum religiosissimi Themistii episcopi Amastridis, provinciæ Paphlagoniæ, dixit: Iisdem consentio.

Abraamius reverentissimus episcopus Castricircensis, Osroënæ provinciæ, dixit: Audita depositione prædictorum reverentissimorum episcoporum, similiter & ego depono: & subscripsi epistolæ sanctissimi Romanæ urbis archiepiscopi Leonis.

Eudoxius reverentissimus episcopus Etennorum Pamphyliæ dixit: Fides fundata est, quam trecenti decem & octo sancti patres Nicææ firmaverunt, & centum quinquaginta Constantinopoli congregati, & Ephesi habita sancta synodus, præsidente sanctissimo episcopo Cyrillo; cui consonat etiam epistola sanctissimi archiepiscopi Romanorum Leonis: & ei subscripsi.

Eugenius reverentissimus episcopus Cotenorum Pamphyliæ dixit: Et ego iisdem consentio, & subscripsi epistolæ sanctissimi archiepiscopi Romanorum Leonis.

Obrimus reverentissimus episcopus Coracesii dixit: Iisdem & ego consentio: & subscripsi epistolæ sanctissimi archiepiscopi Romanorum Leonis.

b MS. Lilyi.

Neon reverentissimus episcopus civitatis [b] Psyllii Pamphyliæ dixit: Epistola scripta a religiosissimo & sanctissimo Romanorum archiepiscopo Leone, quod attinet ad sensum, consonat cum fide exposita a san-

Ἅμα Κυρίλλου, ὑπέγραψα τῇ αὐτῇ ἐπιστολῇ τοῦ πάπα Λέοντος.

Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Γαγγρῶν εἶπε· ἣν ἐκράτυναν ἐφ' ἡμῖν πίστιν οἱ ἅγιοι πατέρες οἱ τριακόσιοι δεκαοκτὼ οἱ ἐν Νικαίᾳ, καὶ οἱ ρν'. οἱ ἐν τῇ βασιλευούσῃ Κωνσταντινουπόλει συναχθέντες, μετὰ δὲ ταῦτα καὶ οἱ ἐν Ἐφέσῳ, προηγουμένου τοῦ μακαρίου Κυρίλλου τῆς ἁγίας ἐκείνης συνόδου, σύμφωνον οὖσαν καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, καὶ τὸν αὐτὸν ἔχουσαν σκοπὸν, κατεδεξάμεθα· καὶ ὑπέγραψα ἐν αὐτῇ.

Θεοδόσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κανώθας εἶπεν· ἀσάλευτος ἡ πίστις τῶν τριακοσίων δεκαοκτώ. ἐάν τις ἐπιχειρήσῃ σαλεῦσαι τὰ ἀσάλευτα, σαλευθήσεται. ταύτῃ γοῦν ἀκολουθοῦμεν, καὶ πιστεύομεν, καὶ τῇ ἐκθέσει τῇ ἐκτεθείσῃ παρὰ τῶν ρν'. ἁγίων πατέρων τῶν συνελθόντων ἐν Κωνσταντινουπόλει, καὶ τῇ ἐν Ἐφέσῳ κατὰ δυσσεβοῦς Νεστορίου γενομένῃ ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου· καὶ συνᾴδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ πατρὸς ἡμῶν Λέοντος· καὶ ὑπέγραψα ἐν αὐτῇ.

Σάββας ὁ εὐλαβέστατος ἐπίσκοπος Πάλτου Συρίας εἶπεν· οἱ τριακόσιοι δεκαοκτὼ ἅγιοι πατέρες συναχθέντες κατὰ γνώμην Θεοῦ τῆς Νικαίας, καὶ διδαχθέντες ἀπὸ πνεύματος ἁγίου, τὴν ὀρθὴν πίστιν ἡμῶν ἐξέθεντο, καὶ οἱ ρν'. συναχθέντες ἐν Κωνσταντινουπόλει, ταύτῃ ἠκολούθησαν· ὁμοίως δὲ σύμφωνα ταύτῃ καὶ ὁ μακάριος Κύριλλος ἐν Ἐφέσῳ ἐδίδαξε. σύμφωνα δὲ καὶ ὁ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ῥωμαίων Λέων διὰ τῆς ἰδίας ἐπιστολῆς ἐδίδαξε· καὶ πᾶσα ἡ οἰκουμένη, οὕτω κατηχήθη καὶ ἐδιδάχθη, καὶ ἡμεῖς ταύτην κατέχομεν, καὶ διδάσκομεν· καὶ ὑπέγραψα ἐν αὐτῇ· καὶ ἀναθεματίζω τοὺς ἢ προστιθέντας τι, ἢ ὑφαιροῦντας.

Ἐπιφάνιος ὁ εὐλαβέστατος πρεσβύτερος, ἐπέχων τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Αἰθερίου Πομπηϊουπόλεως ἐπαρχίας Παφλαγονίας, εἶπεν· ἐλέει τοῦ δεσπότου Χριστοῦ ἐξεβεβαιώθην εἰς τὴν πίστιν τῶν τιη'. ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, ἣν μετὰ ταῦτα ἐβεβαίωσαν οἱ ρν'. οἱ συναχθέντες ἐν τῇ ἐν Κωνσταντινουπόλει ἁγίᾳ συνόδῳ, καὶ μετὰ ταύτην οἱ ἐν Ἐφέσῳ ὁμοίως συναχθέντες, ἡγουμένου τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου· πληροφορηθεὶς δὲ καὶ ἐπὶ τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος· ὡς συμφωνοῦσι ταῖς προειρημέναις ἐκθέσεσι, ὑπογράψαντος καὶ τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου Αἰθερίου τῇ αὐτῇ ἐπιστολῇ, ἀκολουθῶ τῇ προλεχθείσῃ ἁγίᾳ πίστει.

Φιλότιμος ὁ εὐλαβέστατος πρεσβύτερος, ἐπέχων τὸν τόπον τοῦ θεοφιλεστάτου ἐπισκόπου Θεμιστίου Ἀμάστριδος ἐπαρχίας Παφλαγονίας, εἶπε· συνᾴδω τοῖς αὐτοῖς.

Ἀβραάμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κάστρου Κιρκησίου * εἶπεν· ἐπακούσας τῆς καταθέσεως τῶν προειλημμένων εὐλαβεστάτων ἐπισκόπων, κατὰ τὰ αὐτὰ κατατίθημι, καὶ ὑπέγραψα τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων πόλεως Λέοντος.

* Forte, Orghwvds

Εὐδόξιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐτεννῶν Παμφυλίας εἶπεν· ἡ πίστις τεθεμελίωται, ἣν γὰρ οἱ τριακόσιοι δεκαοκτὼ ἐν τῇ Νικαίᾳ ἐστήριξαν ἅγιοι πατέρες, καὶ οἱ ἑκατὸν πεντήκοντα συναχθέντες ἐν Κωνσταντινουπόλει, καὶ ἡ ἐν Ἐφέσῳ γενομένη ἁγία σύνοδος, ἡγουμένου τοῦ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου· ᾗ γὰρ συνᾴδει καὶ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος· ἐν ᾗ καὶ ὑπέγραψα.

Εὐγένιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κοτεννῶν Παμφυλίας εἶπε· κἀγὼ τοῖς αὐτοῖς συντίθημι, καὶ ὑπέγραψα τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος.

Ὄβριμος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορακησίου εἶπε· κἀγὼ τοῖς αὐτοῖς συντίθημι, καὶ ὑπέγραψα τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος.

Νέων ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Σιλλαίου Παμφυλίας εἶπεν· ἡ γραφεῖσα ἐπιστολὴ παρὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος, συνᾴδει, ὅσον κατὰ διάνοιαν, τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πα-

ANNO CHRISTI 451.

πέρων τῶν τριακοσίων δεκαοκτὼ τῶν ἐν Νικαίᾳ, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν τῇ βασιλευούσῃ Κωνσταντινουπόλει, καὶ τῶν ἐν Ἐφέσῳ συνδραμόντων. Νεστορίου τοῦ ἀσεβοῦς ἕνεκεν· ἧς ὁ τῆς μακαρίας μνήμης Κύριλλος, καὶ ταύτην ἔχων τὴν γνώμην, ἤδη πάλαι ὑπέγραψα τῇ αὐτῇ ἐπιστολῇ.

Θεόφιλος ὁ εὐλαβέστατος ἐπίσκοπος πόλεως Ἀριασσοῦ Παμφυλίας εἶπεν· ὡς καταλαβεῖν ἠδυνήθην, συμφωνεῖ, ὅσον κατὰ ἔννοιαν, ἡ ἐπιστολὴ ἡ γραφεῖσα παρὰ τοῦ θεοφιλεστάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος, τῇ ἐκτεθείσῃ πίστει παρά τε τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, καὶ τῶν μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει ρν'. καὶ τῶν Νεστορίου τοῦ ἀσεβοῦς χάριν συνελθόντων ἐν τῇ Ἐφεσίων· ἧς τὸ κεφάλαιον ὑπῆρχεν ὁ μακάριος Κύριλλος. καὶ ταύτην ἔχων τὴν γνώμην, φαίνομαι τῇ ἐπιστολῇ τοῦ αὐτοῦ πάπα καθυπογράψας.

Βῆρος ὁ εὐλαβέστατος πρεσβύτερος, ἐπέχων τὸν τόπον Μάρα θεοφιλεστάτου ἐπισκόπου τῆς Κορδαλισσέων Παμφυλίας, εἶπε· καθίστημι ὑπὲρ τοῦ μνημονευθέντος εὐλαβεστάτου ἀνδρὸς, ἐπειδὴ δι' ἀρρωστίαν ἀπὸ τῆς Νικαέων πόλεως οὐ παραγέγονεν, ἡ ἐπιστολὴ ἡ γραφεῖσα παρὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν τῆς Ῥωμαίων Λέοντος οὐκ ἀπᾴδει, ὅσον πρὸς ἔννοιαν, τῇ ἐκτεθείσῃ πίστει παρά τε τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων, καὶ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἐν Κωνσταντινουπόλει συνδραμόντων, ἔτι μὴν καὶ τῶν ἐν Ἐφέσῳ.

Σεβαστιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βεῤῥοίας εἶπε· κατὰ πάντα συνᾴδει ἡ ἐπιστολὴ τοῦ κυρίου Λέοντος τοῦ ἀρχιεπισκόπου τῇ [a] ἐκθέσει τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, καὶ πραχθεῖσιν ἐν Ἐφέσῳ τὸ πρότερον παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου· καὶ [b] ἀρεσθεὶς, ταύτῃ ὑπέγραψα.

Ἀριστόμαχος ὁ εὐλαβέστατος ἐπίσκοπος Κολωνείας δευτέρας Καππαδοκίας εἶπε· συνᾴδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος κατὰ πάντα τῇ ἐκθέσει τῶν τριακοσίων δεκαοκτὼ τῶν ἐν Νικαίᾳ, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινουπόλει ἁγίων πατέρων, καὶ τοῖς παρὰ τοῦ ἁγιωτάτου Κυρίλλου ἐν Ἐφέσῳ ἐν τῇ προτέρᾳ συνόδῳ πραχθεῖσι· καὶ ἤδη ὑπέγραψα.

Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κῶ εἶπεν· ἀστράπτει τῇ συμφωνίᾳ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ τῶν ρν'. τῶν ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ τῆς θείας λήξεως Θεοδοσίου συναχθέντων, καὶ τοῖς πραχθεῖσιν ἐν Ἐφέσῳ παρὰ τοῦ μακαριωτάτου Κυρίλλου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων, ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Λέοντος· καὶ τούτοις ἐμμένων, ὑπέγραψα.

Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος Κύρου εἶπε· συνᾴδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τοῦ κυρίου Λέοντος τῇ ἐν Νικαίᾳ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων, καὶ τῷ ἐν Κωνσταντινουπόλει ὑπαγορευθέντι παρὰ τῶν ρν'. συμβόλῳ τῆς πίστεως, καὶ ταῖς ἐπιστολαῖς τοῦ μακαρίου Κυρίλλου· καὶ ἀποδεξάμενος τὴν προῤῥηθεῖσαν ἐπιστολὴν, ὑπέγραψα.

Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως Ἀρμενίας εἶπε· συνᾴδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος [c] τῇ ἐκτεθείσῃ παρὰ τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῇ ἐκθέσει τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, καὶ τῇ συνέσει τοῦ ἁγίου καὶ τρισμακαρίου Κυρίλλου· καὶ ἀποδεξάμενος τὴν προῤῥηθεῖσαν ἐπιστολὴν, ὑπέγραψα.

Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπε· σύμφωνός ἐστιν ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος τῇ ἐκθέσει τῶν τριακοσίων τῶν ἐν Νικαίᾳ, καὶ τῶν ἐν Κωνσταντινουπόλει συναχθέντων, καὶ τοῖς ἐπὶ τοῦ ἁγιωτάτου Κυρίλλου πραχθεῖσιν ἐν Ἐφέσῳ τὸ πρότερον, καὶ βεβαιωθεῖσι· καὶ συνεθέμην, καὶ ὑπέγραψα.

Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ζήλων ἐπαρχίας Ἑλενοπόντου εἶπε· συνᾴδει ἐπιστολὴ τοῦ ἁγιωτάτου πάπα Λέοντος τῇ ἐκθέσει τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, τῶν ἐν Νικαίᾳ, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινουπόλει συναχθέντων, καὶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου πάπα Κυ-

[a] Forte, ἐκθέσει

[b] Forte, ἀρεσθεὶς,

[c] Forte, τῇ ἐκτεθείσῃ

ACTIO QUARTA.

A ctis trecentis decem & octo patribus qui Nicææ, & a centum quinquaginta qui in regia urbe Constantinopoli, & qui Ephesi propter impium Nestorium convenerunt; cui synodo præerat beatæ memoriæ Cyrillus: & hanc sequens sententiam, eidem epistolæ jam pridem subscripsi.

Theophilus reverentissimus episcopus [a] Orei Pamphyliæ dixit: Quantum assequi potui, epistola scripta a sanctissimo & religiosissimo archiepiscopo veteris Romæ Leone consonat in sensu cum exposita fide a sanctis trecentis decem & octo patribus qui Nicææ convenerunt, & a centum quinquaginta qui postea Constantinopoli, & ab iis qui Ephesi propter impium Nestorium convenerunt; cujus synodi caput erat beatus B Cyrillus; & hanc sententiam sequentem, epistolæ ejusdem Papæ me subscripsisse liquet.

[a] mss. Ariassensi.

Verus religiosissimus presbyter, obtinens locum Maræ reverentissimi episcopi Cordilusorum Pamphyliæ, dixit: Depono pro memorato reverentissimo viro, eo quod propter infirmitatem a Nicæna civitate non advenit, epistolam scriptam a religiosissimo & sanctissimo archiepiscopo nostro urbis Romæ Leone non dissentire, quod ad sententiam attinet, ab exposita fide a trecentis decem & octo sanctis patribus qui Nicææ, & a centum quinquaginta qui Constantinopoli, & ab iis etiam qui Ephesi convenerunt.

Sebastianus reverentissimus episcopus Berrhoeæ dixit: Epistola domini Leonis archiepiscopi per omnia C consentit cum expositione trecentorum decem & octo, & centum quinquaginta sanctorum patrum, & cum gestis Ephesi prius a sanctæ memoriæ Cyrillo: & huic consentiens subscripsi.

Aristomachus reverentissimus episcopus Coloniæ Cappadociæ secundæ dixit: Sanctissimi archiepiscopi Leonis epistola per omnia consentit cum expositione sanctorum patrum trecentorum decem & octo in Nicæa, & centum quinquaginta Constantinopoli congregatorum, & cum iis quæ a sanctissimo Cyrillo in prima Ephesina synodo acta sunt: & jam subscripsi.

Julianus reverentissimus episcopus Coënsis dixit: Epistola sanctissimi archiepiscopi nostri Leonis fulget ex concordia trecentorum decem & octo patrum, & D centum quinquaginta qui Constantinopoli sub divæ memoriæ Theodosio congregati sunt: & congruit cum iis quæ Ephesi gesta sunt a beatissimo Cyrillo Alexandrinorum episcopo: & in iis permanens, subscripsi.

Theodoretus reverentissimus episcopus Cyri dixit: Sanctissimi archiepiscopi domini Leonis epistola consentit cum exposita apud Nicæam fide a sanctis & beatis patribus, & cum symbolo fidei apud Constantinopolim a centum quinquaginta episcopis dictato, & cum epistolis beati Cyrilli: & amplexus prædictam epistolam, subscripsi.

Cecropius reverentissimus episcopus Sebastopolis Armeniæ dixit: Epistola sanctissimi archiepiscopi Romæ Leonis consentit cum expositione trecentorum de- E cem & octo, & centum quinquaginta sanctorum patrum, & cum sententia sancti ac beatissimi Cyrilli: & amplectens prædictam epistolam, subscripsi.

Acacius reverentissimus episcopus Ariarathiæ dixit: Consona est epistola sanctissimi archiepiscopi Romæ Leonis expositioni trecentorum decem & octo Nicææ, & centum quinquaginta Constantinopoli congregatorum, & iis quæ sub sanctissimo Cyrillo prius Ephesi gesta sunt & confirmata: & consensi, ac subscripsi.

Atticus reverentissimus episcopus Zelorum provinciæ Helenoponti, dixit: Epistola sanctissimi Papæ Leonis consentit cum expositione trecentorum decem & octo sanctorum patrum Nicææ, & centum quinquaginta Constantinopoli congregatorum, & cum episto-

Actio quarta.

Anno Christi 451.

la sanctissimi Papæ Cyrilli olim Ephesi gestis recensita: iisque consensimus, & subscripsimus.

Heraclius reverentissimus episcopus Comanorum provinciæ Armeniæ secundæ, dixit: Hoc dicimus; epistolam sanctissimi Leonis per omnia convenire cum sanctis patribus nostris, trecentis, inquam, decem & octo, & centum quinquaginta, & cum iis quæ a beatissimo Cyrillo Ephesi prius gesta sunt & confirmata: eique tomo consensi, & subscripsi.

Meletius reverentissimus episcopus Larissæ, provinciæ Syriæ secundæ, locum tenens Domni sanctissimi episcopi Apameæ, dixit: Consonat epistola sanctissimi archiepiscopi Romanæ ecclesiæ Leonis cum trecentis decem & octo sanctis patribus, & centum quinquaginta qui Constantinopoli convenerunt, adhuc etiam & cum gestis & confirmatis a beatissimo Cyrillo in priore synodo Ephesina: & consentiens subscripsi eidem epistolæ.

Olympius reverentissimus episcopus Paneadis, provinciæ Phœniciæ primæ, dixit: Epistola sanctissimi & religiosissimi archiepiscopi Leonis continet consona expositioni trecentorum decem & octo, & centum quinquaginta sanctorum patrum, adhuc autem & gestis in priore synodo Ephesina sub beatæ memoriæ Cyrillo; & consentiens subscripsi eidem epistolæ.

Timotheus reverentissimus episcopus Balanæorum Syriæ secundæ, dixit: Cum sensu fidei exposito a trecentis decem & octo sanctis patribus in Nicæa congregatis, & a centum quinquaginta qui Constantinopoli eo tempore convenerunt, consentit epistola scripta a sanctissimo archiepiscopo & patre nostro Leone ad beatæ memoriæ Flavianum; consona est etiam iis quæ in prima Ephesina synodo a beato Cyrillo gesta sunt & confirmata: & consentiens, ei tomo subscripsi.

Julianus reverentissimus episcopus Rhosi Ciliciæ secundæ, dixit: Congrua epistola sanctissimi archiepiscopi Leonis expositioni fidei sanctorum patrum trecentorum decem & octo, & centum quinquaginta, & iis quæ in prima Ephesina synodo sub beatissimo Cyrillo gesta sunt & confirmata: & consentiens, subscripsi ei tomo.

Paulus reverentissimus episcopus Mariamnæ Syriæ secundæ dixit: Sanctissimi & religiosissimi archiepiscopi urbis Romæ Leonis epistola consona est expositæ fidei a sanctis patribus in Nicæa, & post hæc a centum quinquaginta Constantinopoli, & iis quæ a beato Cyrillo Ephesi prius scripta sunt: & huic consentiens subscripsi.

Atarbius reverentissimus episcopus Trapezuntis, civitatis Ponti Polemoniaci, dixit: Per fidem consubstantialis Trinitatis, & sapientiam divinitus vobis subministratam, vestra etiam gloria videt, epistolam sanctissimi Leonis consonam esse expositioni fidei trecentorum decem & octo sanctissimorum patrum qui Nicææ, & centum quinquaginta qui postea in regia urbe convenerunt, & iis qui Ephesi sub sanctæ memoriæ Cyrillo prius gesta sunt & confirmata: ac propterea & nos, & religiosissimus Dorotheus Neocæsareæ metropolis nostræ episcopus, ita sentientes, subsignavimus.

Act. 1. Act. 5. Act. 6. & Act. 16. dicitur Photinus Archidiaconus Theoktisti Ep. Pessinuntis: Atarbius autem vices gessisse Dorothei Ep. Neocæsareæ.

Photinus diaconus, vicarius Dorothei reverentissimi episcopi Neocæsareæ Ponti Polemoniaci, dixit: Ego quoque hæc depono.

Joannes reverentissimus episcopus Polemonii, civitatis Ponti Polemoniaci, dixit: Epistola sanctissimi Papæ Leonis consona est expositioni trecentorum decem & octo sanctorum patrum qui Nicææ, & centum quinquaginta qui Constantinopoli convenerunt, & priori synodo Ephesinæ sub beatissimo Cyrillo: & ipsam subsignavi.

Gratidianus reverentissimus episcopus Cerasuntis

ρίλλου τῷ ἐν Ἐφέσῳ πάλαι πραχθεῖσι· καὶ τούτοις συνεθέμεθα, καὶ ὑπεγράψαμεν.

Ἡράκλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Κομάνων ἐπαρχίας δευτέρας Ἀρμενίας, εἶπε· τοῦτο φαμὲν, ὅτι ἡ συνᾴδει ἐν ἅπασι τοῖς ἁγίοις πατράσιν ἡμῶν, λέγω δὴ τοῖς τριακοσίοις δεκαοκτὼ, καὶ τοῖς ρν΄. καὶ τοῖς τοῦ μακαριωτάτου Κυρίλλου, τοῖς ἐν Ἐφέσῳ τὸ πρότερον πραχθεῖσι καὶ βεβαιωθεῖσιν, ἡ τοῦ ἁγιωτάτου Λέοντος ἐπιστολή· καὶ συνεθέμην τῷ τόμῳ, καὶ ὑπέγραψα.

Μελέτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λαρίσσης ἐπαρχίας δευτέρας Συρίας, ποιτηρητὴς τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀπαμείας Δόμνου, εἶπε· συνᾴδει ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος τοῦ τῆς Ῥωμαίων ἐκκλησίας, τοῖς τε τριακοσίοις δεκαοκτὼ ἁγίοις πατράσι, καὶ τοῖς ρν΄. ἐν Κωνσταντινουπόλει, ἔτι μὴν καὶ τοῖς τοῦ μακαριωτάτου Κυρίλλου, τοῖς ἐν Ἐφέσῳ ἐν τῇ προτέρᾳ συνόδῳ πραχθεῖσι, καὶ βεβαιωθεῖσι· καὶ συνθέμενος ὑπέγραψα τῇ αὐτῇ ἐπιστολῇ.

Ὀλύμπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πανεάδος ἐπαρχίας πρώτης Φοινίκης εἶπε· συνᾳδὰ ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος περιέχει τῇ ἐκθέσει τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῶν ρν΄. ἁγίων πατέρων, ἔτι δὲ καὶ τοῖς ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου ἐν Ἐφέσῳ τὸ πρότερον πραχθεῖσι· καὶ συνθέμενος ὑπέγραψα τῇ αὐτῇ ἐπιστολῇ.

Strategius reverentissimus episcopus [*] Polybotis urbis dixit: Epistolam beatissimi archiepiscopi Leonis inveni non dissidere ab expositione sanctorum trecentorum decem & octo qui Nicææ, & centum quinquaginta qui in regia urbe convenerunt, & ab epistola sanctæ memoriæ Cyrilli: expositioni vero trecentorum decem & octo, & postea centum quinquaginta sanctorum patrum, & ego consentio; & ita credens subscripsi.

[*] al. Polybotu

Epiphanius episcopus Midæi similiter.

Critonianus reverentissimus episcopus Aphrodisiadis Cariæ dixit: Cum invenerim epistolam Papæ Leonis consonare expositioni sanctorum trecentorum decem & octo patrum qui Nicææ, quam etiam confirmarunt centum quinquaginta qui in regia urbe congregati sunt, & quam Cyrillus sanctæ memoriæ apud Ephesum consentienter est interpretatus, per omnia consentiens subsignavi.

Joannes episcopus Amazonis similiter.

Dionysius episcopus Antiochiæ similiter.

Papas reverentissimus episcopus Erizæ dixit: Consentientem expositioni sanctorum patrum trecentorum decem & octo qui Nicææ, & centum quinquaginta qui postea in regia urbe congregati sunt, epistolam quoque sanctæ memoriæ Cyrilli reperi, & epistolam sanctissimi archiepiscopi Leonis; & eam sequens approbo.

Eupithius reverentissimus episcopus Stratoniciæ dixit: Ego etiam juxta expositionem trecentorum decem & octo sanctorum patrum qui in Nicæna urbe conve-

nerunt, & centum quinquaginta qui postea in regia A urbe congregati sunt, & epistolam sanctæ memoriæ Cyrilli, inveni consona dicere etiam epistolam beatissimi archiepiscopi Leonis, & approbo omnia, & subscripsi.

Theodoretus reverentissimus episcopus Alabandorum Cariæ dixit: Et ego consentio epistolæ sanctissimi archiepiscopi Leonis, consonanti cum expositione trecentorum decem & octo sanctorum patrum, & centum quinquaginta qui postea Constantinopoli convenerunt, & cum epistola sanctæ memoriæ Cyrilli: & subscripsi.

Menander reverentissimus episcopus Heracleæ Salbaces Cariæ dixit: Cum expositione trecentorum decem & octo Nicææ, & centum quinquaginta Constantinopoli congregatorum, & cum epistola sanctæ B memoriæ Cyrilli deprehendi etiam epistolam sanctissimi archiepiscopi Leonis concordare; eique consentiens subscripsi.

Joannes reverentissimus episcopus Gnidi dixit: Ita credo, ut exposuerunt sancti patres trecenti decem & octo, & centum quinquaginta Constantinopoli, ut etiam beatus Cyrillus credidit: & amplector epistolam beatissimi Papæ Leonis iis consentientem; eique approbans subscripsi.

Tynchanius reverentissimus episcopus Apolloniadis dixit: Cum expositione trecentorum decem & octo, & centum quinquaginta sanctorum patrum in regia urbe congregatorum, & cum epistola beatissimi Cyrilli, deprehendi etiam epistolam sanctissimi archiepiscopi Leo- C nis consonare; & ita sentiens subscripsi.

Dionysius reverentissimus episcopus Lagmi Cariæ dixit: Juxta expositionem trecentorum decem & octo sanctorum patrum in urbe Nicæa congregatorum, & juxta confirmationem centum quinquaginta qui in Constantinopoli celeberrima urbe convenerunt, & juxta doctrinam beatissimi Cyrilli, & juxta epistolam lectam sanctissimi archiepiscopi Leonis, quæ ab ipsorum fide non dissentit, & ego credo, & subscripsi.

Gemellus reverentissimus episcopus Stratoniciæ dixit: Cum expositione trecentorum decem & octo sanctorum patrum Nicææ, & centum quinquaginta Constantinopoli congregatorum, epistolam quoque beatissimi & sanctissimi Leonis concordare deprehendi; & D ita credens subscripsi.

Leucius reverentissimus episcopus Apollinis fani, provinciæ Lydiæ, dixit: Expositionem trecentorum decem & octo sanctorum patrum, & centum quinquaginta, & epistolam sanctæ memoriæ Cyrilli, epistolam quoque modo lectam sanctissimi archiepiscopi Leonis inveni concordare: & ita credens ei epistolæ subscripsi.

Polycarpus reverentissimus episcopus Gabalorum, provinciæ Syriæ dixit: Cum expositione trecentorum decem & octo sanctorum patrum qui Nicææ, & centum quinquaginta qui in Constantinopoli celeberrima urbe congregati sunt, etiam epistolam sanctissimi archiepiscopi Leonis [a] conversam; & ita credens & con- E sentiens subscripsi.

Joannes reverentissimus episcopus Alindorum, provinciæ Cæsareæ [b], dixit: Epistola sanctissimi Papæ Leonis concordat cum fide trecentorum decem & octo sanctorum patrum, & centum quinquaginta in Constantinopoli celeberrima urbe congregatorum, & cum epistola beatæ memoriæ Cyrilli: & ita consentiens subscripsi.

Julianus reverentissimus presbyter Halicarnassi, continens locum Calandionis ejusdem urbis episcopi dixit: Congruentem expositioni trecentorum decem & octo, & centum quinquaginta, & epistolæ sanctæ

[a] Forte, concordare reperi; &

[b] Forte, Cariæ.

A ἑκατὸν πεντήκοντα τῶν ἐν τῇ βασιλευούσῃ πόλει συναθροισθέντων, καὶ τὴν ἐπιστολὴν τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου, εὗρον συνῳδὰ λέγουσαν καὶ τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Λέοντος· καὶ συναινῶ πᾶσι, καὶ ὑπέγραψα.

Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλαβανδῶν Καρίας εἶπε· κἀγὼ συναινῶ τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, συναδούσῃ τῇ ἐκθέσει τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ τῶν μετὰ ταῦτα ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα, καὶ τῇ ἐπιστολῇ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου· καὶ ὑπέγραψα.

Μένανδρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἡρακλείας Σαλβάκης Καρίας εἶπε· κατὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ B τῶν ἐν Νικαίᾳ, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινουπόλει, καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ ὁσίου τὴν μνήμην Κυρίλλου, εὗρον καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος συνᾴδουσαν· καὶ ταύτῃ συναινῶν ὑπέγραψα.

Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Κνίδου εἶπε· πιστεύω, καθὼς ἐξέθεντο οἱ ἅγιοι πατέρες οἱ τριακόσιοι δεκαοκτὼ, καὶ οἱ ἑκατὸν πεντήκοντα ἐν Κωνσταντινουπόλει. καθὼς καὶ ὁ μακάριος Κύριλλος ἐπίστευσε· καὶ καταδέχομαι τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου πάπα Λέοντος, συνᾴδουσαν τούτοις· καὶ ταύτῃ συναινῶν ὑπέγραψα.

Τυγχάνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀπολλωνιάδος εἶπε· κατὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν τῇ βασιλευούσῃ πόλει συναχθέντων ἁγίων C πατέρων, καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ μακαρίου Κυρίλλου εὗρον καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος συνᾴδουσαν· καὶ οὕτω φρονῶν ὑπέγραψα.

Διονύσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Λάγμου Καρίας εἶπε· κατὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν ἐν τῇ Νικαίων συναχθέντων, καὶ κατὰ τὴν βεβαίωσιν τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν τῇ μεγαλωνύμῳ Κωνσταντινουπόλει συναχθέντων ἁγίων πατέρων, καὶ κατὰ τὴν διδαχὴν τοῦ μακαριωτάτου Κυρίλλου, καὶ κατὰ τὴν ἐπιστολὴν τὴν ἀναγνωσθεῖσαν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, τὰ συνᾴδουσαν τῆς αὐτῶν πίστεως, κἀγὼ πιστεύω, καὶ ὑπέγραψα.

Γέμελλος ὁ εὐλαβέστατος ἐπίσκοπος Στρατονικείας εἶπε· κατὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων, καὶ τὴν ἐπιστολὴν τοῦ μακαριω- D τάτου καὶ ὁσιωτάτου Λέοντος συνᾴδουσαν εὗρον· καὶ οὕτω πιστεύων, ὑπέγραψα.

Λεύκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀπόλλωνος ἱεροῦ ἐπαρχίας Λυδίας εἶπε· τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ τῶν ἑκατὸν πεντήκοντα, καὶ τὴν ἐπιστολὴν τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου, καὶ τὴν νῦν ἀναγνωσθεῖσαν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος εὗρον συνᾴδουσαν· καὶ οὕτως πιστεύων, ὑπέγραψα τῇ ἐπιστολῇ.

Πολύκαρπος ὁ εὐλαβέστατος ἐπίσκοπος Γαβάλων ἐπαρχίας Συρίας εἶπε· κατὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν συναχθέντων ἐν τῇ Νικαίων, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν τῇ μεγαλωνύμῳ Κωνσταντινουπόλει, καὶ τὴν ἐπιστολὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου E Λέοντος [a] ἑρμηνευθεῖσαν, καὶ οὕτω πιστεύων καὶ συναινῶν, ὑπέγραψα.

Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλινδῶν ἐπαρχίας [b] Καισαρείας εἶπεν· ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου πάπα Λέοντος συνᾴδει τῇ πίστει τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν τῇ μεγαλωνύμῳ Κωνσταντινουπόλει συναχθέντων, καὶ τῇ ἐπιστολῇ τοῦ τῆς μακαρίας μνήμης Κυρίλλου· καὶ οὕτω συναινῶν, ὑπέγραψα.

Ἰουλιανὸς ὁ εὐλαβέστατος πρεσβύτερος Ἀλικαρνασσοῦ, ἐπέχων τὸν τόπον Καλανδίωνος τοῦ ἐπισκόπου τῆς αὐτῆς πόλεως, εἶπε· κατὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ, καὶ τῶν ἑκατὸν πεντήκοντα, καὶ κατὰ τὴν ἐπιστολὴν τοῦ τῆς

[a] Forte, ἑρμηνευθεῖσαν, οὕτω πιστεύω συνᾴδουσαν εὗρον,

[b] Forte, Καρίας

ANNO CHRISTI 451.

ὁσίας μνήμης Κυρίλλου, εὗρον καὶ τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος γραφεῖσαν· καὶ ταύτῃ συμφωνήσας ὑπέγραψα.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· εἰ καὶ οἱ λοιποὶ πάντες, οἱ μὴ ἰδικῶς καταθέμενοι εὐλαβέστατοι ἐπίσκοποι συντίθενται τοῖς εἰρημένοις παρὰ τῶν καταθεμένων ὁσιωτάτων πατέρων, οἰκείᾳ φωνῇ διδασκέτωσαν. Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· πάντες συντιθέμεθα· πάντες συναινοῦμεν· πάντες ὁμοίως πιστεύομεν· πάντες τὰ αὐτὰ φρονοῦμεν· οὕτω φρονοῦμεν· οὕτω πιστεύομεν· τοὺς πατέρας τῇ συνόδῳ· τοὺς ὁμοδόξους τῇ συνόδῳ· τοὺς ὑπογράψαντας τῇ συνόδῳ. πολλὰ τὰ ἔτη τῶν βασιλέων· πολλὰ τὰ ἔτη τῆς Αὐγούστης. τοὺς πατέρας τῇ συνόδῳ· τοὺς ὁμοπίστους τῇ συνόδῳ. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. τοὺς ὁμόφρονας τῇ συνόδῳ. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. καὶ οἱ πέντε τῇ πίστει ὑπέγραψαν. ὡς Λέων, οὕτω φρονοῦσι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον. ἀνηνέγκαμεν τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ περὶ αὐτῶν καὶ ἀναμένομεν τὴν ἀπόκρισιν τῆς αὐτοῦ εὐσεβείας. ἡ δὲ εὐλάβεια ἡ ὑμετέρα καὶ περὶ Διοσκόρου τοῦ παρ' ὑμῶν καθαιρεθέντος, ἀγνοούσης καὶ τῆς θειοτάτης κορυφῆς, καὶ ἡμῶν, καὶ περὶ αὐτῶν τῶν πέντε, ὑπὲρ ὧν τὴν παράκλησιν ποιεῖσθε, καὶ πάντων τῶν πεπραγμένων ἐν τῇ ἁγίᾳ συνόδῳ, δώσει λόγον τῷ Θεῷ. [a] πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Διόσκορον ὁ Θεὸς καθεῖλε· Διόσκορος δικαίως καθῃρέθη· Διόσκορον ὁ Χριστὸς καθεῖλε.

Καὶ ὀλίγων ὡρῶν διαγενομένων ἐν τῷ περιμένειν τὴν παρὰ τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἀπόκρισιν, οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς μαθὼν τὰς ὑμῶν αἰτήσεις, τῇ ὑμετέρᾳ γνώμῃ δίδωσι βουλεύσασθαι περὶ Ἰουβεναλίου, καὶ Θαλασσίου, καὶ Εὐσεβίου, καὶ Βασιλείου, καὶ Εὐσταθίου, τῶν εὐλαβεστάτων ἐπισκόπων, τὰ ὑμῖν παριστάμενα. τῆς θεοσεβείας τοίνυν ἐπὶ τῆς ὑμετέρας γινωσκούσης, ὅτι τῷ Θεῷ τῶν γινομένων δώσει λόγον, τὸ παριστάμενον περὶ αὐτῶν διαλογίσασθαι. Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπε· δεόμεθα αὐτοὺς εἰσελθεῖν. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· παρακαλοῦμεν αὐτοὺς εἰσελθεῖν. τοὺς ὁμοδόξους τῇ συνόδῳ· τοὺς ὑπογράψαντας τῇ ἐπιστολῇ Λέοντος, τῇ συνόδῳ. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· εἰσίτωσαν. [b] καὶ εἰσελθόντων τῶν προγεγραμμένων εὐλαβεστάτων ἐπισκόπων, καὶ καθεσθέντων, πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· εἷς Θεὸς ὁ τοῦτο ποιήσας. πολλὰ τὰ ἔτη τῶν βασιλέων· τῶν [c] μεγαλωνύμων βασιλέων πολλὰ τὰ ἔτη. πολλὰ τὰ ἔτη τῆς συγκλήτου· πολλὰ τὰ ἔτη τῶν ἀρχόντων· τῶν ὀρθοδόξων πολλὰ τὰ ἔτη. αὕτη τελεία ἕνωσις· αὕτη ἡ εἰρήνη τῶν ἐκκλησιῶν.

[a] Additur in mſ. Ρωμαῖοι, ἀνίγνωι, ἀνίγνωμεν, ἄνιγνοι.

[b] Additur in mſ. Ρωμαῖοι, ἀνίγνωι, ἀνίγνωμεν, ἄνιγνοι.

[c] Forte, μεγάλων

memoriæ Cyrilli, deprehendi etiam epiſtolam a ſanctiſſimo archiepiſcopo Leone ſcriptam, & ei conſentiens ſubſcripſi.

ACTIO QUARTA.

Magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt: Et ſi reliqui omnes reverentiſſimi epiſcopi, qui non ſpecialiter ſunt confeſſi, conſentiunt dictis eorum qui jam confeſſi ſunt, ſanctiſſimorum patrum, propria voce doceant. Omnes reverentiſſimi epiſcopi clamaverunt: Omnes acquieſcimus, omnes conſentimus, omnes ſimiliter credimus, omnes eadem ſapimus. Sic ſapimus, ſic credimus. Patres ad ſynodum, concredentes ad ſynodum: qui ſubſcripſerunt, ad ſynodum. Multi anni Imperatoribus: multi anni Auguſtæ. Patres ad ſynodum, concredentes ad ſynodum. Multi anni Imperatoribus. Conſapientes ad ſynodum. Multi anni Imperatoribus. Ipſi quinque qui infra appellantur epiſcopi fidei ſubſcripſerunt; ſicut Leo, ſic ſapiunt. Multi anni Imperatoris. Magnificentiſſimi & glorioſiſſimi judices * dixerunt: Suggeſſimus divino & piiſſimo domno noſtro Imperatori propter ipſos: & exſpectamus pietatis ejus mandata. Veſtra autem reverentia & de Dioſcoro qui a vobis damnatus eſt, ignorante divino vertice & nobis, & de ipſis quinque, pro quibus petitionem facitis, & de omnibus actis in ſancta ſynodo dabit rationem Deo. Omnes reverentiſſimi epiſcopi clamaverunt: Dioſcorum Deus depoſuit, Dioſcorus juſte damnatus eſt, Dioſcorum Chriſtus depoſuit.

* Addunt libri veteres, & ampliſſimus Senatus.

Et paucis horis tranſactis, dum exſpectabatur divi & piiſſimi domni noſtri Imperatoris mandatum, magnificentiſſimi & glorioſiſſimi judices, & ampliſſimus Senatus dixerunt: Piiſſimus noſter Imperator addiſcens veſtras preces, ſententiæ veſtræ permiſit de Juvenale deliberare, & de Thalaſſio, & de Euſebio, & de Euſtathio, reverentiſſimis epiſcopis, quæ vobis placuerint. Ergo veſtra religioſitas cognoſcens quia Deo de his quæ fiunt, dabit rationem, quid fieri de ipſis debeat, cogitate. Anatolius reverentiſſimus archiepiſcopus Conſtantinopolis dixit: Petimus eos intrare. Omnes reverentiſſimi epiſcopi clamaverunt: Rogamus eos intrare. Qui ſimiliter credunt, ad ſynodum: qui eadem ſapiunt, ſynodo: qui ſubſcripſerunt epiſtolæ Leonis, ad ſynodum. Magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt: Intrent. Et poſtquam intraverunt præfati reverentiſſimi epiſcopi, & conſederunt, omnes reverentiſſimi epiſcopi iterum clamaverunt: Unus Deus, qui hoc fecit: Multi anni Imperatorum: magnorum Imperatorum multi anni: multi anni Senatus, multi anni judicum. Orthodoxorum multi anni. Hæc integra adunatio, hæc pax eccleſiarum.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τῇ προτεραίᾳ φανεροὶ ἐπίσκοποι τῆς Αἰγυπτιακῆς διοικήσεως, δεήσεις δεδώκασι τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ, τὴν οἰκείαν πίστιν ἐκτιθέντες· καὶ ἤρεσε τῇ αὐτοῦ εὐσεβείᾳ, ταύτας ἐπὶ τῆς ἁγίας ὑμῶν ἀναγνωσθῆναι συνόδου. εἴκοντες τοίνυν τοῖς προσταχθεῖσι παρὰ τῆς θείας καὶ καλλινίκου κορυφῆς, εἰσελθεῖν τε αὐτοὺς ἐπιτρέπομεν, καὶ τὰς δεήσεις, παρόντων αὐτῶν, ἀναγνωσθῆναι, καὶ τὸ παριστάμενον περὶ αὐτῶν τὴν ὑμετέραν εὐλάβειαν διδάξαι. καὶ εἰσελθόντων Ἱερακίου, Σαβίνου, Ἀπολλωνίου, Πασμείου, Ἰανουαρίου, Εὐλογίου, Ἰωάννου, Ἰσαὰκ, Ἥρωνος, Στεφάνου, Θεοφίλου, ἑτέρου Θεοφίλου, Ἰσιδώρου, τῶν εὐλαβεστάτων Αἰγυπτίων ἐπισκόπων, καὶ κατὰ κέλευσιν πάντων καθεσθέντων, οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ὑμεῖς δεήσεις ἐπιδεδώκατε; οἱ εὐλαβέστατοι τῆς Αἰγυπτίων ἐπίσκοποι εἶπον· ναὶ τῶν ποδῶν ὑμῶν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· καὶ ταύταις καθυπεγράψατε; καὶ ἰδόντες οἱ εὐλαβέστατοι ἐπίσκοποι τὰς ὑπογραφὰς τῆς δεήσεως, εἶπον· ναὶ τῶν ποδῶν ὑμῶν, γνωρίζομεν τὰς ὑπογρα-

Magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt: Pridie certi epiſcopi Ægyptiacæ regionis petitiones porrexerunt diviniſſimo & piiſſimo Imperatori domino noſtro, propriam fidem exponentes; & placuit pietati ejus ante veſtram ſanctam ſynodum eas recitari. Ergo obedientes decretis divi & victoris [a] apicis, & intrare eos præcipimus, & petitiones ipſis præſentibus recitari, & veſtram reverentiam docere, quod de eis placuerit. Ut intraverunt [b] Hieracus, Sabinus, Apollonius, Paſmeius, Januarius, Eulogius, Joannes, Iſaac, Heron, Stephanus, Theophilus, alter Theophilus, Iſidorus, reverentiſſimi Ægyptiorum epiſcopi, & ex juſſione omnium conſederunt, magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt: Vos petitiones porrexiſtis? Reverentiſſimi Ægyptiorum epiſcopi dixerunt: Etiam, per veſtigia veſtra. Magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt: Et ſubſcripſiſtis eis? Et conſpexerunt iidem reverentiſſimi Ægyptiorum epiſcopi ſubſcriptionem petitionum, & dixerunt: Etiam, per veſtigia veſtra, cognoſcimus ſubſcri-

[a] al. principis.

[b] al. Hieracis.

ACTIO QUARTA.

ptiones. Nos subscripsimus, nostræ sunt litteræ. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Recitentur petitiones. Constantinus devotissimus secretarius sacri consistorii recitavit:

Piissimis & Christi amatoribus nostris Imperatoribus, Flavio Valentiniano, & Flavio Marciano, victoribus ac triumphatoribus, semper Augustis, ab omnibus episcopis Ægyptiacæ vestræ regionis.

QUæ a principio tradita est nobis a sanctissimis & spiritalibus patribus nostris orthodoxa fides, & a sancto evangelista Marco, & ubique audito episcopo & martyre Petro, & sanctissimis patribus nostris Athanasio & Theophilo, & sanctissimæ memoriæ Cyrillo, & nos servamus, & confessionis eorum discipuli, eam colimus, & secundum eam sapimus; sicuti & trecenti decem & octo qui in Nicæa, & beatissimus Athanasius, & qui sanctis connumeratur beatissimus Cyrillus, exposuerunt; anathematizantes omnes hæreses, & Arii, & Eunomii, & Manichæi, & Nestorii, & illos qui dicunt e cælo carnem Domini nostri fuisse, & non ex sancta Dei genitrice Virgine Maria, ad similitudinem nostram sine peccato: super hæc & omnes hæreses, quæ extra ecclesiam catholicam sapiunt & docent.

Et subscriptiones:

[a] Hieraces episcopus Aphnaitarum porrexi.
Sabinus episcopus Coptitarum porrexi.
Apollonius episcopus Tanecorum porrexi.
[b] Pasmeius episcopus Paralœtorum porrexi.
Januarius episcopus Leontorum porrexi.
Eulogius episcopus Athribitarum porrexi.
Joannes episcopus Psynchi porrexi.
Isaac episcopus Gadæorum porrexi.
Heron episcopus [c] Thenissæ porrexi.
Stephanus episcopus Geritarum porrexi.
Theophilus episcopus Erythræ porrexi.
Theophilus episcopus Cleopatridis porrexi.
Isidorus episcopus Sethrœtarum porrexi.

Omnes reverentissimi episcopi clamaverunt: Dogma Eutychis quare non anathematizaverunt? Cum imposturа petitiones porrexerunt. Epistolæ Leonis subscribant, anathematizantes Eutychem & dogmata ejus. Consentiant epistolæ Leonis. Eludere nos volunt, & discedere. Diogenes reverentissimus episcopus Cyzici dixit: Synodus propter Eutychem facta est, non propter aliud aliquid. Romanus episcopus propter ipsum scripsit. Omnes consensimus epistolæ consequenter habenti expositioni sanctorum patrum. Consentiant & isti epistolæ sanctissimi Leonis. Paschasinus & Lucentius reverentissimi episcopi, & Bonifacius presbyter, vicarii sedis Apostolicæ, per Paschasinum episcopum dixerunt: Dicant si consentiunt epistolæ Apostolicæ sedis, & si anathema dicunt Eutycheti. Acacius reverentissimus episcopus Ariarathiæ dixit: Suggerimus anathematizare eos Eutychem aperte, qui dixit ante incarnationem duas naturas Salvatoris nostri, & post incarnationem, unam. Cecropius reverentissimus episcopus Sebastopolis dixit: Subscribant epistolæ beatissimi Papæ Leonis, & Eutychem anathematizent, & dogma ejus. Hieracus reverentissimus episcopus Ægypti, & ceteri reverentissimi episcopi Ægyptii, per eumdem Hieracum dixerunt: Si quis præter ista, quæ a nobis in petitionibus porrecta sunt, sapit, sive Eutyches, sive alter aliquis, anathema sit. De epistola autem sanctissimi & Deo amicissimi archiepiscopi Romani Leonis, sciunt omnes sanctissimi patres nostri, quia in omnibus exspectamus sententiam beati nostri archiepiscopi; & petimus vestram clementiam exspe-

σαν· ἡμεῖς ὑπεγράψαμεν· ἡμέτερά εἰσι τὰ γράμματα. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἀναγινωσκέσθωσαν αἱ δεήσεις. [a] Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κοινσιστωρίου ἀνέγνω.

ANNO CHRISTI 451.

[a] Ad litur in mss. Reg. ... , ἀνέγνω, ἀνεγνώσθη, ἀνέγνω.

Τοῖς εὐλαβεστάτοις καὶ φιλοχρίστοις ἡμῶν βασιλεῦσι, Φλαυίῳ Οὐαλεντινιανῷ, καὶ Φλαυίῳ Μαρκιανῷ, νικηταῖς, τροπαιούχοις, ἀεὶ Αὐγούστοις, παρὰ πάντων τῶν τῆς ὑμετέρας Αἰγυπτιακῆς διοικήσεως ἐπισκόπων.

ΤΗν ἐξ ἀρχῆς παραδοθεῖσαν ἡμῖν ἐκ τῶν ἁγίων καὶ πνευματοφόρων ἡμῶν πατέρων ὀρθόδοξον πίστιν, ἀπό τε τοῦ εὐαγγελιστοῦ τοῦ ἁγίου Μάρκου, καὶ τοῦ ἀοιδίμου ἐπισκόπου καὶ μάρτυρος Πέτρου, καὶ τῶν ἁγίων ἡμῶν πατέρων, Ἀθανασίου, Θεοφίλου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ ἡμεῖς φυλάττοντες, καὶ τῆς ἐκείνων ὁμολογίας ὑπάρχοντες μαθηταί, ταύτην πρεσβεύομεν, καὶ κατὰ ταύτην φρονοῦμεν, καθὼς καὶ οἱ ἐν Νικαίᾳ τιη΄ ἐξέθεντο, καὶ ὁ μακαριώτατος Ἀθανάσιος, καὶ ὁ ἐν ἁγίοις Κύριλλος· ἀναθεματίζοντες πᾶσαν αἵρεσιν, τήν τε Ἀρείου, καὶ Εὐνομίου, καὶ Μανιχαίου, καὶ Νεστορίου, καὶ τῶν λεγόντων ἐξ οὐρανοῦ τὴν σάρκα τοῦ κυρίου ἡμῶν ὑπάρχειν, καὶ μὴ ἐκ τῆς ἁγίας θεοτόκου Μαρίας τῆς παρθένου, καθ᾽ ὁμοιότητα πάντων ἡμῶν, χωρὶς ἁμαρτίας· πρὸς δὲ τούτοις καὶ πᾶσαν αἵρεσιν, ἐκτὸς τῆς καθολικῆς ἐκκλησίας φρονοῦσάν τε καὶ διδάσκουσαν.

Καὶ αἱ ὑπογραφαί.

Ἱέρακις ἐπίσκοπος Ἀφναιτῶν ἐπιδέδωκα.
Σαβῖνος ἐπίσκοπος Κοπτιτῶν ἐπιδέδωκα.
Ἀπολλώνιος ἐπίσκοπος Τανέως ἐπιδέδωκα.
Πασμείας ἐπίσκοπος Παραλιωτῶν ἐπιδέδωκα.
Ἰανουάριος ἐπίσκοπος Λεόντων ἐπιδέδωκα.
Εὐλόγιος ἐπίσκοπος [b] Ἀθλιβιτῶν ἐπιδέδωκα.
Ἰωάννης ἐπίσκοπος Ψύγχεως ἐπιδέδωκα.
Ἰσαὰκ ἐπίσκοπος Ταυαιωτῶν ἐπιδέδωκα.
Ἥρων ἐπίσκοπος Θεννήσου ἐπιδέδωκα.
Στέφανος ἐπίσκοπος Γερρῶν ἐπιδέδωκα.
Θεόφιλος ἐπίσκοπος Ἐρυθροῦ ἐπιδέδωκα.
Θεόφιλος ἐπίσκοπος Κλεοπατρίδος ἐπιδέδωκα.
Ἰσίδωρος ἐπίσκοπος Σεθρωιτῶν ἐπιδέδωκα.

[b] Forte, Ἀθριβιτῶν

Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τὸ δόγμα τοῦ Εὐτυχοῦς διὰ τί οὐκ ἀνεθεμάτισαν; μετὰ ἐπιθέσεως τὰς δεήσεις ἐπιδεδώκασι. τῇ ἐπιστολῇ Λέοντος ὑπογράψωσιν, ἀναθεματίζοντες Εὐτυχέα καὶ τὸ δόγμα αὐτοῦ. συνθέσθωσαν τῇ ἐπιστολῇ Λέοντος. χλευάσαι ἡμᾶς θέλουσι, καὶ ἀπελθεῖν. Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· ἡ σύνοδος διὰ Εὐτυχέα ἐγένετο. μὴ γὰρ δι᾽ ἄλλο τί ποτε; ὁ Ῥώμης ἀρχιεπίσκοπος δι᾽ αὐτὸν ἔγραψε. συνεθέμεθα πάντες τῇ ἐπιστολῇ ἀκολουθούσῃ τῇ ἐκθέσει τῶν ἁγίων πατέρων. συνθέσθωσαν καὶ αὐτοὶ τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου Λέοντος. Πασχασῖνος καὶ Λουκήνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι, καὶ Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος, τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου, διὰ Πασχασίνου τοῦ ἐπισκόπου εἶπον· εἰπάτωσαν, εἰ συντίθενται τῇ ἐπιστολῇ τοῦ ἀποστολικοῦ θρόνου, καὶ εἰ ἀναθεματίζουσιν Εὐτυχέα. Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· ἀξιοῦμεν αὐτοὺς φανερῶς ἀναθεματίσαι Εὐτυχέα τὸν εἰπόντα πρὸ τῆς ἐνανθρωπήσεως δύο φύσεις τοῦ σωτῆρος ἡμῶν, καὶ μετὰ τὴν ἐνανθρώπησιν, μίαν. Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστοπόλεως εἶπεν· ὑπογραψάτωσαν τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου πάπα Λέοντος, καὶ Εὐτυχέα ἀναθεματισάτωσαν, καὶ τὸ δόγμα αὐτοῦ. Ἱεράκις ὁ εὐλαβέστατος ἐπίσκοπος Αἰγύπτου εἶπε, καὶ οἱ λοιποὶ ἐπίσκοποι Αἰγύπτιοι δι᾽ αὐτοῦ τοῦ Ἱερακίου· εἴ τις παρὰ ταῦτα τὰ παρ᾽ ἡμῶν ἐν ταῖς δεήσεσιν ἐπιδοθέντα φρονεῖ, εἴτε Εὐτυχής, εἴτε ἕτερός τις, ἀνάθεμα ἔστω. περὶ δὲ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος, ἴσασι πάντες οἱ ἁγιώτατοι ἡμῶν πατέρες, ὅτι ἐν ἅπασιν ἀναμένομεν τὴν γνώμην τοῦ παρ᾽ ἡμῖν ὁσιωτάτου ἀρχιεπισκόπου· καὶ παρακαλοῦμεν τὴν ὑμετέραν φιλανθρωπίαν, ἀναμεῖναι

[a] al. Hieracis

[b] al. Pasmius, seu Pasimus.

[c] al. Tanis.

ἀναμεῖναι τὴν τοῦ ἡμετέρου προέδρου γνώμην· αὐτῷ γὰρ ἐν A ἅπασιν ἀκολουθήσομεν. τοῦτο γὰρ καὶ οἱ ἐπὶ τῆς Νικαίας ἅγιοι πατέρες συναγηγερμένοι ἐκανόνισαν τιή. ὥστε ἀκολουθεῖν πᾶσαν τὴν Αἰγυπτιακὴν διοίκησιν τῷ ἀρχιεπισκόπῳ τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, καὶ μηδὲν δίχα αὐτοῦ πράττεσθαι παρά τινος τῶν ὑπ' αὐτὸν ἐπισκόπων. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπε· ψεύδονται. Φλωρέντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σάρδεων εἶπε· δειξάτωσαν ὃ λέγουσιν. πάντες ἐβόησαν· φανερῶς ἀναθεματίσατε τὸ δόγμα Εὐτυχοῦς. ὁ μὴ ὑπογράφων τῇ ἐπιστολῇ, ᾗ συνήνεσεν ἡ ἁγία σύνοδος, αἱρετικός ἐστιν. ἀνάθεμα Διοσκόρῳ, καὶ τοῖς φιλοῦσιν [a] αὐτόν. ἐὰν μὴ ὀρθοδόξως φρονῶσι, πῶς ἔχουσι ψηφίσασθαι ἐπίσκοπον; οἱ Αἰγύπτιοι ἐπίσκοποι ἐβόησαν· περὶ πίστεώς ἐστιν ὁ ἀγών. Κικρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως B εἶπεν· οὐκ ἴσασιν οὗτοι, πῶς πιστεύουσι, καὶ [b] νῦν μαθεῖν βούλονται. Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπε· συνετίθεσθε τῇ ἐπιστολῇ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Ῥώμης Λέοντος, καθὼς καὶ ἡ οἰκουμενικὴ σύνοδος συνέθετο, καὶ ὑπέγραψεν, ἢ οὔ; Πασχασῖνος καὶ Λουκήνσιος καὶ Βονιφάτιος, οἱ εὐλαβέστατοι τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου, διὰ Πασχασίνου εἶπον· τοσούτων ἐτῶν ἐπίσκοποι ἐν ταῖς ἐκκλησίαις γηράσαντες, ἕως τοῦ καιροῦ τούτου τὴν πίστιν τὴν ὀρθόδοξον καὶ καθολικὴν ἀγνοοῦντες, ἔτι ἐκδέχονται ἀλλοτρίας γνώμης ὁρμᾶσθαι; καὶ ἑρμηνευθείσης ἑλληνιστὶ τῆς προγεγραμμένης καταθέσεως, πάντες οἱ ἐπίσκοποι ἐβόησαν· ὁ μὴ συντιθέμενος τῇ ἐπιστολῇ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, αἱρετικός ἐστι. Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· ὁ ἀκμὴν μὴ εἰδὼς, τί πιστεύει, οὗτος ἔχει χειροτονῆσαι ἐπί- C σκοπον; οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ὁ μὴ ἀναθεματίζων Εὐτυχέα, αἱρετικός ἐστιν. οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτου ἐβόησαν· ἀνάθεμα Εὐτυχεῖ καὶ τοῖς πιστεύουσιν αὐτῷ. οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον. ὑπογράψωσι τὴν ἐπιστολὴν Λέοντος. ὁ μὴ ὑπογράφων τῇ ἐπιστολῇ, αἱρετικός ἐστιν. οἱ τῆς Αἰγύπτου εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· παρὰ γνώμην ἀρχιεπισκόπου οὐ δυνάμεθα ὑπογράψαι. Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· ἄτοπόν ἐστι, τὴν οἰκουμενικὴν ὑπερίδεῖν σύνοδον, καὶ εἰς ἓν πρόσωπον βλέπειν, τὸ μέλλον τὴν ἐπισκοπὴν διανύειν τῆς Ἀλεξανδρέων πόλεως. ὁ σκοπὸς γὰρ αὐτοῖς ἐστιν, ὥσπερ ἐν Ἐφέσῳ τὰ πάντα συνέχεαν, καὶ σκανδάλων ἐπλήρωσαν τὴν οἰκουμένην, καὶ νῦν ταράξαι τὴν ἁγίαν ταύτην καὶ μεγάλην σύνοδον. διό- D μεθα οὖν, μὴ παραχωρηθῆναι αὐτοῖς, ἀλλ' ἢ συνθέσθαι αὐτοὺς τῇ ἐπιστολῇ, ἢ δέξασθαι τὸ ἐκ τῶν κανόνων ἐπιτίμιον, καὶ εἰδέναι, ὅτι ἀκοινώνητοί εἰσι. Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπε· πῶς τὴν χειροτονίαν ἐπιχειροῦσι ποιῆσαι, ἕτερα φρονοῦντες τῇ οἰκουμενικῇ ταύτῃ συνόδῳ; εἰ τοίνυν φρονοῦσιν ὀρθῶς, δειξάτωσαν τὸν ἑαυτῶν σκοπὸν τὸν περὶ τὴν πίστιν, καὶ δεξάσθωσαν τὴν ἐπιστολὴν τοῦ ἀρχιεπισκόπου Λέοντος· εἰ δὲ μὴ βούλονται, ἀκοινώνητοί εἰσιν· οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν. τοῦτο πάντες λέγομεν· πάντες οὕτω φρονοῦμεν. οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγύπτου εἶπον· ἤδη διὰ δεήσεως τὴν ἑαυτῶν πίστιν φανερὰν ἐπεδείξαμεν, καὶ ὡς ἔξω τῆς καθολικῆς πίστεως εὑρήμεθα πιστεύοντες. ἐπειδὴ δὲ οἱ τῆς διοικήσεως ἡμῶν θεοσεβέστατοι ἐπίσκοποι τυγχάνουσι E παμπολλοι, οὐχ οἷοί τε δὲ ἡμεῖς ἐσμεν ὀλιγάριθμοι ὄντες τὸ ἐκείνων ἀναδέχεσθαι πρόσωπον, ἀξιοῦμεν τὴν ὑμετέραν ὑπεροχὴν, καὶ τὴν ἁγίαν καὶ μεγάλην ταύτην σύνοδον, ὥστε κατελεῆσαι ἡμᾶς, καὶ ἀναμεῖναι τὸν ἡμέτερον ἀρχιεπίσκοπον, ἵνα κατὰ τὰ ἀρχαῖα ἔθη τῇ γνώμῃ ἐκείνου ἐξακολουθήσωμεν. ἐὰν γὰρ παρὰ τὴν τοῦ ἡγεμονεύοντος γνώμην ποιήσωμέν τι, ὡς ἀκανονίστως ἐπέρχονται ἡμῖν οἱ ἀπὸ πάσης τῆς Αἰγυπτιακῆς διοικήσεως, καὶ ὡς ἀθετήσασι, καὶ μὴ φυλάξασι τὰ ἀρχαῖα ἔθη κατὰ τοὺς κανόνας. ἐλεήσατε τὸ γῆρας ἡμῶν, ἐλεήσατε· καὶ μὴ παρίδετε ἡμᾶς ἐν ἀλλοδαπῇ τὸν βίον ἡμῶν καταλῦσαι. καὶ ἔρριψαν ἑαυτοὺς εἰς τὸ ἔδαφος οἱ αὐτοὶ εὐλα-

A ctare præsidis nostri sententiam, quia cum in omnibus sequemur. Nam & sanctissimi patres qui in Nicæa congregati sunt, trecenti decem & octo, hanc regulam dederunt, ut sequatur omnis Ægyptiaca regio archiepiscopum magni nominis civitatis Alexandrinæ, & nihil absque ipso agatur ab aliquo ei subjacente episcopo. Eusebius reverentissimus episcopus Dorylæi dixit: Mentiuntur. Florentius reverentissimus episcopus Sardium dixit: Ostendant quod dicunt. Omnes reverentissimi episcopi clamaverunt: Manifeste anathematizate dogma Eutychis. Qui non subscribit epistolæ, cui omnis sancta synodus consensit, hæreticus est. Anathema Dioscoro, & amantibus eum. Si non recte sa- B piunt, [a] quomodo possunt [b] eligere episcopum? Reverentiss.mi episcopi Ægyptii clamaverunt: De fide est certamen. Cecropius reverentissimus episcopus Sebastopolis dixit: Non noverunt isti quomodo credunt, & [c] nunc volunt discere. Photius reverentissimus episcopus Tyri dixit: Consentitis epistolæ beatissimi & sanctissimi archiepiscopi Romæ Leonis, sicut & universalis synodus consensit & subscripsit, aut non? Paschasinus & Lucentius reverentissimi episcopi, & Bonifacius presbyter, vicarii sedis Apostolicæ, per Paschasinum reverentissimum episcopum dixerunt: Tot annorum episcopi in ecclesia senescentes, usque ad hoc tempus fidem rectam catholicam ignorant, & exspe- C ctant adhuc alienam sententiam? Et interpretata in Græcam linguam prædicta interlocutione, omnes reverentissimi episcopi clamaverunt: Qui non consentit epistolæ sanctissimi archiepiscopi Leonis, hæreticus est. Diogenes reverentissimus episcopus Cyzici dixit: Qui necdum cognoscunt quod credunt, isti ordinare habent episcopum? Omnes reverentissimi episcopi clamaverunt: Qui non anathematizat Eutychem, hæreticus est. Reverentissimi episcopi Ægyptii clamaverunt: Anathema Eutychi & credentibus ei. Reverentissimi episcopi clamaverunt & dixerunt: Subscribant epistolæ Leonis. Qui non ei subscribit, hæreticus est. Reverentissimi episcopi Ægyptii clamaverunt: Extra voluntatem archiepiscopi nostri non possumus subscri- D bere. Acacius reverentissimus episcopus Ariarathiæ dixit: Incongruum est, universalem synodum prætermittere, & in unam personam attendere, quæ susceptura est episcopatum Alexandriæ magnæ civitatis. Intentio enim his est, sicut in Epheso perturbaverunt omnia, & scandalis compleverunt universum mundum, & nunc istam sanctam & magnam synodum perturbare [d]. Petimus, ut non eis concedatur: sed aut consentiant epistolæ, aut regularem damnationem suscipiant, & cognoscant quia excommunicati sunt. Photius reverentissimus episcopus Tyri dixit: Quomodo conantur [e] ordinem facere, non eadem sapientes huic sanctæ & universali synodo? Si enim recta sapiunt, ostendant E propriam intentionem, qualis est circa fidem, & suscipiant epistolam sanctissimi archiepiscopi Leonis. Si autem nolunt, excommunicati sunt. Omnes reverentissimi episcopi clamaverunt: Hæc omnes dicimus, omnes sic sapimus. Reverentissimi episcopi Ægyptiorum per unum ipsorum, Hieracum scilicet, dixerunt: Jam per petitiones nostram fidem manifestam fecimus, & non extra catholicam fidem credentes apparuimus. Quia vero episcopi nostræ regionis nimis multi sunt, nos pauci, non possumus pauci numero illorum personas suscipere. Petimus autem vestram sublimitatem, & hanc sanctam & magnam synodum, ut misereamini nobis, & exspectetis nostrum archiepiscopum, ut secundum antiquam consuetudinem illius sequamur sententiam. Quia si extra voluntatem præsidis nostri aliquid faciamus, sicut præsumptores & non servantes secundum canones antiquam consuetudinem, omnes Ægyptiacæ regiones [f] insurgent in nos. Ergo miseremini nostræ senectutis: miseremini, & non nos faciatis in peregrinatione nostram vitam consumere. Et iidem reverentissimi episcopi jactaverunt se in ter-

[a] Forte, αὐτόν.

[b] Forte, μή.

Can. 6.

[a] al. habent de episcopo decernere?

[b] al. ordinare

[c] al. non

[d] al. festinant.

[e] al. ordinationem

[f] al. aggredientur nos.

ACTIO QUARTA.

ANNO CHRISTI 451.

ram, & dixerunt: Clementes estis, miseremini nostri. Cecropius reverentissimus episcopus Sebastopolis dixit: Universalis hæc synodus, [a] Ægyptiaca regione major est, ac fide dignior: & non est justum [b] decem hæreticos audiri, & prætermitti mille ducentos episcopos. Non enim nunc nos exigimus, ut pro aliis suam fidem ostendant; sed dicimus, ut ipsi pro sua persona rectæ fidei consentiant. Reverentissimi episcopi Ægyptiorum clamaverunt: Jam non possumus habitare in provincia: miseremini nostri. Eusebius reverentissimus episcopus Dorylæi dixit: Procuratores sunt isti omnium Ægyptiorum, & debent universalem synodum sequi. Lucentius reverentissimus episcopus, vicarius sedis Apostolicæ dixit: Si errant, doceantur per vestram magnificentiam: quia non possunt decem homines præjudicium facere synodo sexcentorum episcoporum, nec catholicæ fidei. Reverentissimi episcopi Ægyptii clamaverunt: Occidimur, miseremini nostri. Omnes reverentissimi episcopi clamaverunt: Videtis, quomodo testimonium perhibent suis episcopis, dicentes: Quia occidimur? Ægyptii reverentissimi episcopi dixerunt: Morimur, per vestigia vestra, miseremini nostri. Moriamur a vobis, & non illic. Fiat hic archiepiscopus, & subscribimus, & consentimus. Miseremini canonum nostrorum. Detur hic archiepiscopus. Novit Dei amantissimus archiepiscopus Anatolius, quia talis consuetudo in Ægyptiaca regione obtinuit, ut omnes episcopi obediant archiepiscopo Alexandriæ. Non quia non obtemperamus synodo, sed occidemur in patria. Miseremini nostri; potestatem habetis: subditi sumus, non recusamus. Melius est nos mori a domino mundi, & a vestra magnificentia, & ab hac sancta synodo, quam illic. Propter Deum miseremini istorum canonum, parcite decem hominibus, parcite. Omnes reverentissimi episcopi clamaverunt: Isti hæretici sunt. Reverentissimi episcopi Ægyptii dixerunt: Potestatem habetis in animam nostram, parcite decem hominibus. Moriemur illic. Melius est hic mori. Misericordes sunt domini. Novit consuetudinem Anatolius archiepiscopus. Hic sumus usque dum fiat archiepiscopus. Sedes nostras volunt: tollant. Nolumus esse episcopi, solummodo non moriamur. Date archiepiscopum, & si contradixerimus, punite nos. Consentimus his quæ decrevit potestas vestra. Non contradicimus, sed eligite archiepiscopum. Hic exspectamus usque dum ordinetur. Omnes reverentissimi episcopi clamaverunt: Subscribant damnationi Dioscori. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Quoniam reverentissimi episcopi Ægyptiorum, non ut repugnantes catholicæ fidei, subscribere in præsenti distulerunt epistolæ sanctissimi archiepiscopi Leonis, sed dicentes consuetudinem esse in Ægyptiaca regione, extra sententiam & jussionem archiepiscopi nihil tale se posse; poscunt autem sustineri se, donec consecretur episcopus qui ordinandus est magnæ civitatis Alexandriæ: rationabile nobis & clemens esse apparuit, ut in eodem habitu exspectent in regia civitate, & dilationem habeant usque ad ordinationem archiepiscopi magnæ civitatis Alexandriæ. Paschasinus reverentissimus episcopus, vicarius sedis Apostolicæ, dixit: Si præceperit gloria vestra, & jubetis illis aliquid præstari humanitatis, fidejussoribus datis, non exeant de ista civitate, quamdiu Alexandria episcopum accipiat. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Sanctissimi Paschasini sit firmum judicium. Unde permanentes in proprio habitu reverentissimi episcopi Ægyptiorum, aut dent fidejussores, si hoc illis est possibile; aut per sacramentum eis credatur, quia exspectant ordinationem futuri episcopi magnæ civitatis Alexandriæ.

[a] Al. Ægyptiacis episcopis

[b] Supra sunt tredecim, pag. 415.

δίαστι ἐπίσκοποι, καὶ εἶπον· ἐλεήσατε ἡμᾶς, φιλάνθρωποί ἐστε. Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως εἶπεν· ἡ οἰκουμενικὴ σύνοδος τῆς Αἰγυπτιακῆς μείζων ἐστὶ, καὶ ἀξιοπιστέρα. καὶ οὐκ ἔστι δίκαιον, δέκα αἱρετικοὺς ἀκουσθῆναι, καὶ παροφθῆναι χιλίους διακοσίους ἐπισκόπους. οὔτε γὰρ νῦν ἀπαιτοῦμεν αὐτοὺς, ὑπὲρ ἑτέρων τὴν ἑαυτῶν πίστιν φανερῶσαι· ἀλλ᾽ εἰς οἰκεῖον πρόσωπον λέγομεν αὐτοὺς συνθέσθαι τῇ ὀρθοδοξίᾳ. οἱ εὐλαβέστατοι ἐπίσκοποι τῶν Αἰγυπτίων ἐβόησαν· οὐκ ἔτι δυνάμεθα οἰκῆσαι τὴν ἐπαρχίαν· ἐλεήσατε ἡμᾶς. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ἐντολεῖς εἰσιν οὗτοι πάντων τῶν Αἰγυπτίων, καὶ ὀφείλουσι τῇ οἰκουμενικῇ συνόδῳ συνθέσθαι. Λουκήνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου, εἶπεν· εἰ πλανῶνται, παρὰ τῆς ὑμετέρας μεγαλοπρεπείας μανθανέτωσαν· ὅτι οὐ δύνανται δέκα ἄνδρες πρόκριμα ποιεῖν τῇ συνόδῳ τῶν ἑξακοσίων ἐπισκόπων, καὶ τῇ καθολικῇ πίστει. οἱ εὐλαβέστατοι τῶν Αἰγυπτίων ἐπίσκοποι ἐβόησαν· φονευόμεθα· ἐλεήσατε ἡμᾶς. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ὁρᾶτε, πῶς μαρτυροῦσι τοῖς ἑαυτῶν ἐπισκόποις; λέγουσιν· ὅτι φονευόμεθα. οἱ Αἰγύπτιοι εὐλαβέστατοι ἐπίσκοποι εἶπον· ἀποθνήσκομεν, τῶν ποδῶν ὑμῶν· ἐλεήσατε ἡμᾶς. ἀποθάνωμεν ἀφ᾽ ὑμῶν, καὶ μὴ ἐκεῖ. γένηται ὧδε ἀρχιεπίσκοπος, καὶ ὑπογράφομεν, καὶ συντιθέμεθα. τοὺς κανόνας ταύτας ἐλεήσατε· δοθήτω ὧδε ἀρχιεπίσκοπος. οἶδεν ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἀνατόλιος, ὅτι τὸ τοιοῦτον ἔθος κεκράτηκεν ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, ὥστε πάντας τοὺς ἐπισκόπους ὑπακούειν τῷ Ἀλεξανδρείας ἀρχιεπισκόπῳ. οὐκ ἀπειθοῦμεν τῇ συνόδῳ, ἀλλὰ φονευόμεθα ἐν τῇ πατρίδι· ἐλεήσατε ἡμᾶς. ἐξουσίαν ἔχετε· ὑποκείμεθα, οὐκ ἀπειθοῦμεν. αἱρετώτερον ἡμᾶς παρὰ τοῦ δεσπότου τῆς οἰκουμένης, καὶ παρὰ τῆς ὑμῶν ὑπεροχῆς, καὶ παρὰ τῆς ἁγίας συνόδου ἀποθανεῖν, ἢ ἐκεῖ. διὰ τὸν Θεὸν ταύτους τοὺς κανόνας ἐλεήσατε· φείσασθε δέκα ἀνθρώπων, φείσασθε. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· οὗτοι αἱρετικοί εἰσιν. οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτιοι εἶπον· τῶν ψυχῶν ἡμῶν ἐξουσίαν ἔχετε, δέκα ἀνθρώπων φείσασθε· ἀποθνήσκομεν ἐκεῖ. βέλτιον ἐνταῦθα ἀποθανεῖν. ἐλεήμονές εἰσιν οἱ δεσπόται. οἶδε τὸ ἔθος ὁ ἀρχιεπίσκοπος Ἀνατόλιος. ὧδέ ἐσμεν, ἕως οὗ γένηται ἀρχιεπίσκοπος. τοὺς θρόνους θέλουσι· λαβέτωσαν· οὐ θέλομεν εἶναι ἐπίσκοποι· μὴ ἀποθάνωμεν μόνοι. φέρετε ἀρχιεπίσκοπον, καὶ ἐὰν ἀντείπωμεν, τιμωρήσασθε ἡμᾶς. πειθόμεθα οἷς ὁρίζει ἡ ἐξουσία ὑμῶν· οὐκ ἀπειθοῦμεν· ἀλλ᾽ ἐκλέξασθε ἀρχιεπίσκοπον. ὧδε ἐκδεχόμεθα, ἕως οὗ χειροτονηθῇ. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ὑπογράψωσι τῇ καθαιρέσει Διοσκόρου. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἐπειδὴ οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγυπτίων, οὐχ ὡς μαχόμενοι τῇ καθολικῇ πίστει, ὑπογράψαι τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος ἐπὶ τοῦ παρόντος ἀνεβάλλοντο, ἀλλὰ φάσκοντες ἔθος εἶναι ἐν τῇ Αἰγυπτιακῇ διοικήσει, παρὰ γνώμην καὶ διατύπωσιν τοῦ ἀρχιεπισκόπου μηδὲν τοιοῦτον ποιεῖν, καὶ ἀξιοῦσιν ἐνδοθῆναι αὐτοῖς ἄχρι τῆς χειροτονίας τοῦ ἐσομένου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπισκόπου· εὔλογον ἡμῖν ἐφάνη καὶ φιλάνθρωπον, ὥστε αὐτοῖς μένουσιν ἐπὶ τοῦ ἰδίου σχήματος ἐν τῇ βασιλευούσῃ πόλει, ἔνδοσιν παρασχεθῆναι, ἄχρις ἂν χειροτονηθῇ ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. [a] Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου εἶπεν· εἰ προστάττει ἡ ὑμετέρα ἐξουσία, καὶ [b] κελεύετέ τι περὶ αὐτοὺς παρασχεθῆναι φιλανθρωπίας ἐχόμενον, ἐγγύας δότωσαν, ὅτι οὐκ ἐξέρχονται ταύτης τῆς πόλεως, ἕως οὗ ἡ Ἀλεξανδρέων ἐπίσκοπον δέξηται. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἡ τοῦ ὁσιωτάτου ἐπισκόπου Πασχασίνου ψῆφος βεβαία ἔστω. ὅθεν μένοντες ἐπὶ τοῦ οἰκείου σχήματος οἱ εὐλαβέστατοι ἐπίσκοποι τῶν Αἰγυπτίων, ἢ ἐγγύας παρέξουσιν, εἰ τοῦτο αὐτοῖς δυνατὸν, ἢ ἐξωμοσίᾳ καταπιστευθήσονται, ἀναμένοντες τὴν χειροτονίαν τοῦ ἐσομένου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως.[c]

[a] In mſ. Pa-[illegible] si.

[b] Forte, κλίνει

[c] In mſ. Pa-[illegible], [illegible].

ANNO CHRISTI 451.

Καὶ κατὰ κέλευσιν τῶν ἐνδοξοτάτων ἀρχόντων, καὶ τῆς μεγαλοφυοῦς συγκλήτου, καὶ τῆς ἁγίας συνόδου, εἰσελθόντων Φαύστου, Μαρτίνου, Πέτρου, Μανουηλίου, Ἀβραμίου, Ἰώβ, Ἀντιόχου, Θεοδώρου, Παύλου, Ἰακώβου, Εὐσεβίου, Τρύφωνος, Μαρκέλλου, Τιμοθέου, Περγαμίου, Πέτρου, Ἀστερίου, Ἰωάννου, τῶν εὐλαβεστάτων πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν, καὶ καθεσθέντων, οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· δεήσεις ἐπεδόθησαν τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ ἐξ ὀνόματος Καρώσου καὶ Δωροθέου τῶν εὐλαβεστάτων ἀρχιμανδριτῶν, καὶ ἑτέρων τινῶν. τὰ ὀνόματα τοίνυν τῶν ἐπιδεδωκότων αὐτὰς δῆλα γενέσθωσαν τοῖς εἰσελθοῦσιν εὐλαβεστάτοις ἀνδράσιν, ὥστε αὐτοὺς εἰπεῖν, εἰ πάντες ἴσασιν εἶναι ἀρχιμανδρίτας. [a]καὶ ἀκούσαντες οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται τὰ ὀνόματα τῶν ἐπιδεδωκότων τὰς δεήσεις, διὰ Φαύστου τοῦ εὐλαβεστάτου εἶπον· Κάρωσος καὶ Δωρόθεος ἀρχιμανδρῖταί εἰσιν. Ἐλπίδιος μεμοροφύλαξ τῶν Προκοπίου ἐστί. Φωτεινὸν οὐκ οἴδαμεν, τίς ἐστιν· Εὐτύχιος ἐν μαρτυρίῳ Κελεστίνης ἐστί· μοναστήριον γὰρ οὐκ ἔχει. Θεόδωρος μνημορείτης ἐστί. Μωσῆν οὐκ οἴδαμεν. Μάξιμος ἀρχιμανδρίτης ἐστί, διδάσκαλος Εὐτυχοῦς. Γερόντιον οὐκ οἴδαμεν. Νεμεσινὸν οὐκ οἴδαμεν, καὶ τὸ ὄνομα αὐτοῦ ξενίζει ἡμᾶς. Θεοφίλου τὸ ὄνομα αὐτοῦ ξενιζόμεθα. Θωμᾶν ὁμοίως οὐκ οἴδαμεν. Λεόντιος [b]ἀπὸ ἀρκτηΐφρος ἐστί. Ὕψης μνημορείτης ἐστί, ἔχει δύο ἢ τρία ὀνόματα εἰς τὸ Ξυλόκιρκον. Παῦλος ὁ Βιθυνὸς κατὰ μόνας ἐστὶν εἰς μνημεῖον. Γαυδέντιος [c]ἐστιν, ἔχει πέντε ὀνόματα εἰς [d]τὸ Φιλίππου. Εὐγνωμόνιον οὐκ οἴδαμεν. παρακαλοῦμεν πεμφθῆναί τινα ἀπὸ τῆς μεγαλοπρεπείας ὑμῶν καὶ τῆς ἁγίας συνόδου τινάς, καὶ ἀπελθεῖν, καὶ ἰδεῖν τὰ μοναστήρια αὐτῶν, καὶ μαθεῖν, εἰ ἔχουσι μοναστήρια, ἢ χλευάζουσι τὰς ὑπολήψεις τῶν ἀρχιμανδριτῶν· καὶ ἀπὸ τοῦ νῦν ὀφείλουσιν [e]ἐπιτιμηθῆναι, ὥστε μὴ ἑαυτοὺς ἀρχιμανδρίτας λέγειν, τοὺς ἐν μνημείοις κατοικοῦντας. παρακαλοῦμεν δέ, τοὺς λέγοντας ἑαυτοὺς μονάζοντας, καὶ μὴ γνωριζομένους μήτε παρὰ τῆς ὑμετέρας μεγαλοπρεπείας, μήτε ἀπὸ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, μήτε παρ' ἡμῶν, ἐξελθεῖν ἀπὸ τῆς πόλεως, ὡς [f]ἐπιθέτας, διὰ τὸ σκάνδαλον, ὃ ἐπεχείρησαν ποιῆσαι. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· εἰσέλθωσιν οἱ εὐλαβέστατοι μονάζοντες, οἱ τὰς δεήσεις ἐπιδεδωκότες. καὶ εἰσῆλθον Κάρωσος καὶ Δωρόθεος, καὶ Ἐλπίδιος, καὶ Φωτεινός, καὶ Εὐτύχιος, καὶ οἱ λοιποὶ οἱ προειρημένοι μοναχοὶ εὐλαβέστατοι. καὶ Βαρσουμᾶς μοναχός, ἔτι μὴν καὶ Καλοπόδιος ὁ εὐνοῦχος. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· δεήσεις πάλαι ἡ ὑμετέρα εὐλάβεια δέδωκε τῷ καλλινίκῳ κορυφῇ. ἐπιδόντες τοίνυν τὰς προκειμένας ὑμῖν, εἴπατε, εἰ ἐπιγινώσκετε αὐτὰς εἶναι τὰς παρ' ὑμῶν ἐπιδοθείσας. Κάρωσος καὶ Δωρόθεος οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται, καὶ οἱ λοιποί, ἐπιδόντες τὰς δεήσεις, εἶπον· αὗταί εἰσιν αἱ δεήσεις αἱ παρ' ἡμῶν ἐπιδοθεῖσαι. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἀναγινωσκέσθωσαν αἱ δεήσεις. καὶ πρὸ τῆς ἀναγνώσεως, Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπε· Καλοπόδιος καὶ Γερόντιος, οἱ μεταξὺ αὐτῶν πρεσβύτεροι ὄντες, καθῃρέθησαν πάλαι, καὶ οὐκ ἔξεστιν αὐτοῖς εἰσελθεῖν. Γερόντιος καὶ Καλοπόδιος εἶπον· ἡμῖν οὐδεὶς εἶπεν, ὅτι καθῃρέθημεν· ἄρτι ἡμῖν εἶπον· Ἀέτιος ἀρχιδιάκονος τῆς Κωνσταντινουπόλεως ἁγίας ἐκκλησίας, ἀπελθὼν πρὸς Καλοπόδιον τὸν εὐνοῦχον, εἶπεν αὐτῷ· ὁ ἀρχιεπίσκοπος λέγει σοι δι' ἐμοῦ ἀρχιδιακόνου, ὅτι καθῃρημένος εἶ· καὶ ἔξελθε. Καλοπόδιος εἶπε· διὰ ποῖον πρᾶγμα; Ἀέτιος ἀρχιδιάκονος εἶπεν· ὡς αἱρετικός. Καλοπόδιος εἶπεν· ἀξιῶ ἀναγνωσθῆναι τὰς δεήσεις ἡμῶν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγινωσκέσθωσαν. [g]Βερονικιανὸς ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω.

[a] In ms. Ταμησεῖ, ἀνίγνω, ἀνέγνωσθη, ἀνέγνω.

[b] Forte, ἀπὸ ἀρκτηΐφρος

[c] Forte, μονήρης ἐστι,

[d] Forte, τὸ

[e] Forte, ἐπιτιμηθῆναι,

[f] Forte, ἐπιθέτας

[g] In ms. Ταμησεῖ, ἀνίγνω, ἀνέγνωσθη, ἀνέγνω.

ACTIO QUARTA.

Per jussionem quoque gloriosissimorum judicum, & amplissimi Senatus, & sanctæ synodi, intrantibus Fausto, Martino, Petro, Manuele, Abraamio, Job, Antiocho, Theodoro, Paulo, Jacobo, Eusebio, Tryphone, Marcello, Timotheo, Pergamio, Petro, Asterio, Joanne, reverentissimis presbyteris & archimandritis, & considentibus, magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Petitiones porrectæ sunt divinissimo & piissimo nostro Imperatori ex nomine Carosi & Dorothei reverentissimorum archimandritarum, & aliorum aliquorum. Nomina autem illorum qui eas porrexerunt, manifesta fiant his, qui introierunt, reverentissimis viris, ut dicant, si omnes noverunt esse archimandritas. Et audientes archimandritæ nomina eorum qui petitiones porrexerunt, per Faustum reverentissimum archimandritam dixerunt: Carosus & Dorotheus archimandritæ sunt. Helpidius monumentorum [a] Procopiensium custos est: Photinus autem quis est, non novimus: Eutychius de basilica [b] Cælestinæ est, quia monasterium non habet: Theodorus in monumentis habitat: Moysen non novimus: Maximus archimandrita est, magister Eutychis: Gerontium non novimus: Nemesinum non novimus, sed & nomen ejus miramur: Theophili & nomen miramur: Thomam similiter non novimus: Leontius ex ursario est: Hypsius in monumentis habitat, habens [c] duo vel tria nomina in Xylocirco: * Callinicus habet decem nomina in memoria in Xylocirco: Paulus de Bithynia est [d] habitans solitarie in monumento: Gaudentius in monumentis habitat, habet quinque nomina in Philippianis: [e] Eugnomonem non novimus. Rogamus aliquos mitti a vestra magnificentia, & a vestra sancta synodo, ut ambulent, & videant monasteria eorum, & discant si habent monasteria, an deludant, & noceant honoribus archimandritarum; & amodo debent habere disciplinam, ut non se dicant archimandritas, qui in monumentis habitant. Petimus etiam, ut & illi qui se dicunt esse monachos, & non agnoscuntur nec a vestra magnificentia, nec a sanctissimo archiepiscopo, nec a nobis, exeant a civitate sicut impostores, propter scandalum quod conati sunt facere. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Intrent reverentissimi monachi, qui petitiones porrexerunt. Et intraverunt Carosus, & Dorotheus, & Helpidius, & Photinus, & Eutychius, & reliqui reverentissimi monachi, & Barsumas monachus, insuper etiam & Calopodius eunuchus. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Petitiones olim reverentia vestra [f] victori summo porrexit. Ergo respicientes quæ vobis proferuntur, dicite si eas agnoscitis a vobis porrectas. Carosus & Dorotheus reverentissimi archimandritæ, & reliqui, respicientes petitiones, dixerunt: Istæ sunt petitiones quas nos porreximus. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Recitentur petitiones. Et antequam recitarentur, Anatolius reverentissimus archiepiscopus Constantinopolis dixit: Calopodius & Gerontius, qui inter eos presbyteri sunt, olim damnati sunt, & non illis licet intrare. Calopodius & Gerontius dixerunt: Nemo nobis dixit, quia damnati sumus: modo nobis dixerunt. Aëtius archidiaconus sanctæ ecclesiæ Constantinopolitanæ vadens ad Calopodium eunuchum, dixit ei: Archiepiscopus per me archidiaconum dicit tibi, quia damnatus es: & exi. Calopodius dixit: Pro qua causa? Aëtius archidiaconus dixit: Ut hæreticus. Calopodius dixit: Suggero ut legantur petitiones nostræ. Gloriosissimi & magnificentissimi judices & amplissimus Senatus dixerunt: Recitentur. Veronicianus devotissimus magistrianus & secretarius sacri consistorii recitavit:

[a] al. Procopii.

[b] al. Celerinæ

* Callinicus iste deest in Græco.

[c] Id est, duos vel tres homines, qui solitarie ... disciplina degunt.

[d] al. singulus

[e] al. Eugnomonium

[f] al. vestiti

ACTIO QUARTA.

ANNO CHRISTI 451.

Piissimo & Christi amantissimo Imperatori nostro, novo Constantino, Marciano, a Caroso, Dorotheo, Helpidio, Photino, Eutychio, Theodoro, Moyse, Maximo, Gerontio, Nemesino, Theophilo, Thomæ, Leontio, Hypsio, Callinico, Paulo, Gaudentio, Eugnomone, minimis archimandritis, & ab omnibus in Christo comitibus suis, & reliquis clericis, & monachis, & laicis.

Τῷ εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ βασιλεῖ, νέῳ Κωνσταντίνῳ, Μαρκιανῷ, Καρώσου, Δωροθέου, Ἐλπιδίου, Φωτεινοῦ, Εὐτυχίου, Θεοφίλου, Θωμᾶ, Λεοντίου, Θεοδώρου, Μωσῆ, Μαξίμου, Γεροντίου, Νεμεσινοῦ, Ὕψου, Καλλινίκου, Παύλου, Γαυδεντίου, Εὐγνωμονίου, τῶν ἐλαχίστων ἀρχιμανδριτῶν, καὶ πάσης αὐτῶν τῆς συνοδίας τῆς ἐν Χριστῷ, καὶ λοιπῶν κληρικῶν καὶ μοναζόντων καὶ λαϊκῶν.

Semper Imperium Romanorum, & præsertim a Theodosio maximo & beato, universum mundum pacis bono complevit, laborans pro recta fide. Sed quoniam quisque suum quærit, non etiam proximi, (sicut sancit sancta scriptura) omnia soluta sunt, apostolorum fides turbata est: & ea quidem quæ sunt inimicorum, Judæorum dicimus & paganorum, quamvis pessima, tamen in pace constituta sunt: nostra autem in bello [a] irreconciliabili persistunt. Hæc autem correctio servabatur vestro amico Christi Imperio, ut non in recta fide fiat schisma, sed ut fides firmaretur a divinitate vestra. Omnis enim justitia omnem quidem judicem decet, sed præcipue Imperatorem, & maxime pium: unde [b] ad ipsum pertinet, jus promulgare legitimum. Suggerimus ergo pietati vestræ, ut præcipiat universalem fieri synodum, quam vestra pietas providentiam faciens nostrum omnium saluti, jam convenire sancivit. Vacent autem turbationes & subscriptiones quæ per violentiam fiunt, & persecutiones quæ semper a clericis contra nos meditantur, & quas conantur facere, latentes vestram pietatem. Et petimus divinitatem vestram, jam neminem jactari nec a monasterio, nec ab ecclesia, neque a basilica martyris, usque ad justum sanctæ synodi judicium, ne canonicis regulis obviare videatur: & ne forte aliqui, aliis seditionem facientibus, hæc pietati vestræ putent adscribenda, quam pacem diligere, & pro ipsa præ omnibus novimus cogitare: ut iterum per sanctos patres sancta fide confirmata, possimus reliquum tempus vitæ nostræ caste & pie vivere, & in pace incessanter consuetas orationes offerre Domino nostro Christo pro [c] diuturnitate æterni vestri Imperii, qui & sua bona voluntate invisibiliter vobis donavit Imperium, divinissimi Augusti.

1. Cor. 10.

[a] al. infœderato

[b] al. ipsi convenit sancire quod justum est.

[c] al. perpetuo & æternali vestro imperio.

Ἀεὶ τὸ Ῥωμαίων βασίλειον, καὶ μάλιστα ἀπὸ Θεοδοσίου τοῦ μεγάλου καὶ μάκαρος, τὴν οἰκουμένην γαληνῆς ἀνεπλήρωσεν, ἀγωνισάμενον ὑπὲρ τῆς ὀρθοδόξου πίστεως. ἀλλὰ διὰ τὸ ἕκαστον τὸ ἑαυτοῦ ζητεῖν, καὶ μηκέτι τὸ τοῦ ἑτέρου, καθὼς ἐκαθαιτεῖ ἡ θεία γραφὴ, ἅπαντα λέλυται· τῶν ἀποστόλων ἡ πίστις τετάρακται, καὶ τὰ μὲν τῶν ἐχθρῶν, Ἰουδαίων φαμὲν καὶ Ἑλλήνων, ἐν εἰρήνῃ, εἰ καὶ χείριστα καθέστηκε, τὰ δὲ ἡμέτερα ἐν πολέμῳ ἀσπόνδῳ τυγχάνει. αὕτη δὲ ἡ διόρθωσις ἐτηρεῖτο τῇ φιλοχρίστῳ ὑμῶν βασιλείᾳ, πρὸς τὸ μὴ σχίσμα γενέσθαι ἐν τῇ ὀρθοδοξίᾳ, ἀλλὰ τὴν πίστιν στηριχθῆναι ὑπὸ τῆς θειότητος ὑμῶν. πᾶν γὰρ δίκαιον παντὶ μὲν ἄρχοντι πρέπει, βασιλεῖ δὲ, καὶ μάλιστα εὐσεβεῖ, κατ᾽ ἐξαίρετον· ὅθεν αὐτῷ πρέπει νομοθετεῖσθαι τὸ δίκαιον. δεόμεθα οὖν τῆς ὑμετέρας εὐσεβείας, πρὸς τὸ κελεῦσαι οἰκουμενικὴν γενέσθαι σύνοδον, ἣν ἤδη καὶ ἡ ὑμετέρα εὐσέβεια, προνοουμένη τῆς πάντων σωτηρίας, συνελθεῖν κατηξίωσεν· ἀργήσαι δὲ τὰς στάσεις, καὶ τὰς κατὰ βίαν ὑπογραφὰς γινομένας, καὶ τοὺς διωγμοὺς τοὺς καθ᾽ ἑκάστην παρὰ τῶν κληρικῶν καθ᾽ ἡμῶν μελετωμένους, οὓς ἐπιχειροῦσι, λανθάνοντες τὴν ὑμετέραν εὐσέβειαν. καὶ παρακαλοῦμεν τὴν ὑμετέραν θειότητα, [a] μηδὲν ἀναβάλλεσθαι, μήτε ἀπὸ μοναστηρίου, μήτε ἀπὸ ἐκκλησίας, μήτε ἀπὸ μαρτυρείου, ἕως τῆς δικαιοκρισίας τῆς ἁγίας συνόδου, πρὸς τὸ μὴ [b] καὶ νομίσαι τινὰς, ἄλλων ἀτακτούντων, ἐπιγράφειν ταῦτα τῇ ὑμετέρᾳ εὐσεβείᾳ· καὶ γὰρ φιλεῖν ὑμᾶς τὴν εἰρήνην, καὶ ταύτης φροντίζειν πρὸ πάντων, πεπείσμεθα· ἵνα τῆς ἁγίας πίστεως στηριχθείσης καὶ πάλιν διὰ τῶν ἁγίων, δυνηθῶμεν τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς ἡμῶν σωφρόνως καὶ δικαίως ἐν εἰρήνῃ τὰς συνήθεις καὶ ἀδιαλείπτους εὐχὰς ἀναπέμψαι τῷ δεσπότῃ Χριστῷ, ὑπὲρ τῆς διαμονῆς τοῦ αἰωνίου ὑμῶν κράτους, τῷ καὶ ἀοράτως τῇ ἰδίᾳ εὐδοκίᾳ χαρισαμένῳ ὑμῖν τὸ βασίλειον, θειότατοι Αὔγουστοι.

[a] Forte, μηδένα βάλλεσθαι, μήτε

[b] Forte, καινοτομῆσαί τινας,

Diogenes reverentissimus episcopus Cyzici dixit: Barsumas qui inter illos intravit, occidit beatum Flavianum. Ipse instabat, & dicebat: Occide. Et non est positus in petitionibus: quare introivit? Omnes reverentissimi episcopi clamaverunt: Omnem Syriam Barsumas evertit; duxit super nos mille monachos. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus ad monachos dixerunt: Secundum vestram petitionem, quam per suggestiones dedistis, divus & piissimus Imperator noster & sanctam synodum convenire, & vos nunc introire præcepit. Ergo postquam intrastis, sustinete discere quæ ab ipsa sancta synodo de fide [d] firmantur. Carosus & Dorotheus reverentissimi archimandritæ, & ceteri monachi dixerunt: Rogamus ut recitetur libellus qui a nobis offertur. Omnes reverentissimi episcopi clamaverunt: Homicidam Barsumam mitte foras; homicidam in [e] arenam: anathema [f] Barsumæ: Barsumam in exsilium. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Recitetur libellus, qui a reverentissimis monachis porrectus est. Constantinus devotissimus secretarius divini consistorii, accipiens ab eis recitavit:

[d] al. decernuntur, vel formantur.

[e] al. stadium

[f] al. Barsumæ.

Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπε· Βαρσουμᾶς ὁ μεταξὺ αὐτῶν εἰσελθὼν, ἔσφαξε τὸν μακάριον Φλαβιανόν. αὐτὸς ἵστατο, καὶ ἔλεγε· σφάξον. καὶ μὴ ἐγκείμενος ταῖς δεήσεσι, διὰ τί εἰσῆλθε; πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· πᾶσαν Συρίαν Βαρσουμᾶς ἠφάνισε· ἐπήγαγεν ἡμῖν χιλίους μονάζοντας. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες πρὸς τοὺς μονάζοντας εἶπον· κατὰ τὴν ὑμετέραν διὰ τῶν δεήσεων παράκλησιν ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης καὶ τὴν ἁγίαν σύνοδον συγκροτηθῆναι, καὶ νῦν ὑμᾶς εἰσόδου τυχεῖν προσεκέλευσεν. εἰσελθόντες τοίνυν ἀνέχεσθε μαθεῖν τὰ παρὰ τῆς αὐτῆς ἁγιωτάτης συνόδου περὶ πίστεως τυπούμενα. [c] Κάρωσος καὶ Δωρόθεος οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται, καὶ οἱ λοιποὶ μονάζοντες εἶπον· ἀξιοῦμεν ἀναγνωσθῆναι τὸν παρ᾽ ἡμῶν προσφερόμενον λίβελλον. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τὸν φονέα Βαρσουμᾶν ἔξω [d] βάλετε. τὸν φονέα τῷ σταδίῳ· ἀνάθεμα τῷ Βαρσουμᾷ· Βαρσουμᾶν τῇ ἐξορίᾳ. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ὁ παρὰ τῶν εὐλαβεστάτων μοναχῶν ἐπιδιδόμενος λίβελλος ἀναγινωσκέσθω. Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου ὑποδεξάμενος ἀνέγνω.

[c] In ms. Ῥωμαίοις, ἀνέγνω, ἀνέγνωμεν, ἀνέγνω.

[d] al. βάλε

Anno Christi 451. | Actio quarta.

Τῇ ἁγίᾳ συνόδῳ τῇ ἐνταῦθα ἐνδημούσῃ νῦν, παρὰ τῶν ἀρχιμανδριτῶν καὶ ἁπάσης τῆς ἐν Χριστῷ ἀδελφότητος.

Κατὰ τὴν πρώτην κλῆσιν εὐθὺς ἐλθεῖν εἴχομεν πρὸς τὴν ὑμετέραν ἁγιωσύνην· ἀλλ' ἐπειδὴ ὁ εὐσεβὴς ἡμῶν δεσπότης ἐδήλωσε τῷ ὁσιωτάτῳ ἀρχιμανδρίτῃ καὶ πρεσβυτέρῳ Καρώσῳ, μὴ παραγίνεσθαι αὐτὸν, εἰ μὴ καὶ ἡ αὐτοῦ εὐσέβεια παρῇ, ἡμεῖς δὲ ἐκτὸς αὐτοῦ εἰσελθεῖν περιττὸν ἡγησάμεθα, ἐπειδή ἐστιν ἡμῶν πατὴρ, ὡς καὶ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ διὰ τῶν πεμφθέντων παρ' ὑμῶν πρὸς ἡμᾶς ἀντεδηλώθη αὕτη ἡ αἰτία, τούτου ἕνεκα οὐ παρεγινόμεθα. νῦν δὲ παραγινόμενοι, δεόμεθα τῆς ἁγιωσύνης ὑμῶν, πάντα ἀκολούθως προβῆναι, καὶ παρεῖναι κατὰ τὸ συνέδριον τοῦτο τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Διόσκορον, καὶ τοὺς σὺν αὐτῷ ἁγιωτάτους ἐπισκόπους.

Καὶ ἐν τῷ ἀναγινώσκεσθαι, πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ἀνάθεμα Διοσκόρῳ· Διόσκορον ὁ Χριστὸς καθεῖλε, τούτους ἔξω βάλε. ἆρον ὕβριν τῆς συνόδου· ἆρον βίαν τῆς συνόδου· ἆρον αἶσχος τῆς συνόδου. Φαῦστος ὁ εὐλαβέστατος, καὶ οἱ σὺν αὐτῷ εὐλαβέστατοι ἀρχιμανδρῖται εἶπον· ἆρον ὕβριν τῶν μοναστηρίων. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τῶν δεήσεων τούτων οὐκ ἔστι τῆς συνόδου ἀκροᾶσθαι. τὸν καθαιρεθέντα παρὰ πάσης ὁμοῦ τῆς συνόδου, ἐπίσκοπον ἐτόλμησαν ᵃ ὀνομάσαι. οἱ κανόνες διὰ τί πατοῦνται; οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἄνευ προκρίματος ἀναγινωσκέσθω ὁ λίβελλος. ᵇ Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω τὰ ἑξῆς τοῦ λιβέλλου.

ᵃ Forte, ὀνομάσαι;
ᵇ In mſ. Romani.

Καὶ γὰρ ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς, ἀφ' οὗ προσέταξε τὴν σύνοδον ταύτην γενέσθαι, ἐπηγγείλατο ἡμῖν τὰ τῆς πίστεως τῆς ἐκτεθείσης παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων ἐπισφραγίζεσθαι μόνον, καὶ μηδὲν ἕτερον παρὰ τοῦτο κινεῖσθαι, ἢ γίνεσθαι. τούτου δὲ δόξαντος, πάντως ἡ ἄλογος ἡ καθαίρεσις ἡ γενομένη κατὰ Διοσκόρου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου· ἐπειδὴ οὔτε ἐκτὸς αὐτοῦ, ἢ τῶν σὺν αὐτῷ ὄντων ἁγιωτάτων ἐπισκόπων, δυνάμεθά τι λέγειν ἢ ποιεῖν περὶ πίστεως. κελεύσατε τοίνυν, παραγενέσθαι τὸν αὐτὸν ἀρχιεπίσκοπον Διόσκορον, καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπισκόπους, ὥστε τὰ σκάνδαλα τὰ γενόμενα περὶ τὴν πίστιν ἐκκοπῆναι, καὶ τοὺς ὀρθοδόξους λαοὺς μὴ ἔχειν σχίσματα ἐν ἑαυτοῖς· ἐπειδὴ ἡ περὶ τοῦτο τὸ μέρος σπουδὴ πάντων ὑμῖν τῶν ἐν τῷ βίῳ τούτῳ προτιμοτέρα ὀφείλει εἶναι. εἰ δὲ τὰ οὕτως ἀκολούθως παρ' ἡμῶν ζητούμενα ἡ ὁσιότης ὑμῶν ἀντιτείνει, καὶ θέλει αὐθεντίᾳ χρήσασθαι ἐναντίᾳ οὔσῃ τοῖς συμφέρουσι, μαρτυρόμενοι τὸν δεσπότην Χριστὸν, καὶ τὸν εὐσεβέστατον βασιλέα, καὶ τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας, καὶ τὴν ἱερὰν σύγκλητον, καὶ τὸ ὑμέτερον δὲ συνειδὸς, καὶ ἐκτιναξάμενοι τὰ ἱμάτια, τῆς κοινωνίας τῆς πρὸς ὑμᾶς ἐκτὸς ποιούμεθα ἑαυτούς. οὐ γὰρ ἀνεχόμεθα, τοῦ συμβόλου τῆς πίστεως τῶν τριακοσίων δεκαοκτὼ ἀθετουμένου, κοινωνοὶ γενέσθαι τοῖς τοῦτο ἀθετοῦσι. εἰς δὲ πληρεστέραν ἀπόδειξιν τοῦ μηδὲν ἡμᾶς ὑπεναντίον τοῦ συμβόλου τῆς πίστεως φρονεῖν, μήτε χώραν ἔχειν τινὰ συκοφαντίαν καθ' ἡμῶν γενομένην, ὑπετάξαμεν καὶ αὐτὸ τὸ σύμβολον, καὶ τὸν ὅρον ἐπισφραγίζοντα τοῦτο, καὶ ἐξενεχθέντα παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς καθελούσης Νεστόριον.

Ἀέτιος ἀρχιδιάκονος τῆς κατὰ Κωνσταντινούπολιν ἁγίας καὶ καθολικῆς ἐκκλησίας εἶπε· κανών ἐστιν οὗτος, ὃς μετὰ τῶν ἄλλων τέθειται παρὰ τῶν ἁγίων πατέρων· οὓς φυλάττοντες οἱ ἅγιοι πατέρες οἱ ἐπίσκοποι, ἐκδιδάσκουσι κληρικοὺς, καὶ μονάζοντας, καὶ πάντας τοὺς χριστιανίζοντας, εἰ εὕροιεν ἢ ἀφηνιάζοντας, ἢ μὴ βουλομένους πείθεσθαι, κεχρῆσθαι τῷ κανόνι τούτῳ. καὶ ἀπὸ βιβλίου ἀνέγνω ταῦτα.

Περὶ τῶν ἑαυτοὺς ἀφοριζόντων κληρικῶν, ἢ μοναζόντων.

Εἴ τις πρεσβύτερος ἢ διάκονος καταφρονήσας τοῦ ἰδίου

Sanctæ ſynodo, quæ hic modo profecta eſt, ab archimandritis, & omni in Chriſto fraternitate.

Ad primam vocationem ſtatim convenire habuimus ad veſtram ſanctitatem: ſed quia piiſſimus Imperator ſanctiſſimo archimandritæ & preſbytero Caroſo mandavit non venire, niſi & ipſius pietas præſens fuerit; nos autem ſine ipſo intrare ſupervacuum putavimus, quia pater eſt noſter; ſicut & veſtræ ſanctitati per reſcripta mandavimus, quia ad hoc non venimus. Nunc autem ad vos venientes, petimus veſtram ſanctitatem, ut omnia conſequenter procedant, & ob hoc concilium conveniant ſanctiſſimus archiepiſcopus Dioſcorus, & qui cum ipſo ſunt ſanctiſſimi epiſcopi.

Et cum legerentur, omnes reverentiſſimi epiſcopi clamaverunt: Anathema Dioſcoro. Dioſcorum Chriſtus depoſuit. Iſtos mitte foras. Tolle injuriam a ſynodo. Voces Imperatori. Tolle violentiam a ſynodo, tolle injuriam a ſynodo, tolle ᵃ notam a ſynodo. Fauſtus reverentiſſimus, & qui cum ipſo reverentiſſimi archimandritæ dixerunt: Tolle injuriam a monaſteriis. Omnes reverentiſſimi epiſcopi clamaverunt: Petitiones iſtas ſynodum audire non licet. Illum qui damnatus eſt ab omni ſynodo, epiſcopum nominare auſi ſunt. Regulæ quare calcantur? Magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt: Sine præjudicio recitetur libellus. Conſtantinus devotiſſimus ſecretarius ſacri conſiſtorii, libelli reliqua recitavit:

ᵃ al. peſtem

Namque & ipſe piiſſimus noſter, ex quo congregare hanc ſynodum conſtituit, pollicitus eſt nobis, confirmari tantum expoſitionem fidei trecentorum decem & octo ſanctorum patrum, & nihil aliud ante hoc moveri vel fieri. Iſto autem placito, utique irrationabilis eſt facta damnatio contra ſanctiſſimum archiepiſcopum Dioſcorum, quia nec ſine eo & ſanctiſſimis epiſcopis qui cum ipſo ſunt, poſſumus aliquid de fide aut dicere aut facere. Ergo præcipite venire eumdem ſanctiſſimum archiepiſcopum Dioſcorum, & omnes epiſcopos qui cum ipſo ſunt, ut & ſcandala, quæ facta ſunt de fide, incidantur, & orthodoxi populi non habeant inter ſe diſcordiam. Debebat enim in hac parte vobis eſſe ſtudium ante omnia vitæ neceſſaria. Si autem contra hæc, quæ nos tam conſequenter requirimus, veſtra nititur reverentia, & velit auctoritate uti, quæ contraria eſt utilitatibus: teſtatur Dominum Chriſtum, & piiſſimum Imperatorem, & magnificentiſſimos judices & ampliſſimum Senatum, & veſtram conſcientiam, & veſtes noſtras excutimus, & extra communicationem veſtram noſmetipſos efficiemus. Non enim patimur, ſymbolo fidei trecentorum decem & octo recuſato, communicatores fieri eorum qui hoc reſpuunt. Ad integriorem autem probationem, quod nihil nos contrarium ſymbolo fidei ſapiamus, & ut locum non habeat aliqua calumnia adverſum nos facta, ſubdidimus & ipſum ſymbolum, & definitionem quæ hoc ſuperſignavit, prolatum a ſancta & univerſali ſynodo quæ Neſtorium condemnavit.

Aëtius archidiaconus Conſtantinopolis ſanctæ & catholicæ eccleſiæ dixit: Regula eſt hæc cum aliis poſita a ſanctis patribus, quam cuſtodientes ſanctiſſimi patres epiſcopi, docent & clericos & monachos & omnes Chriſtum colentes. Si autem inveniant aut reſultantes, aut acquieſcere non volentes, hac utuntur regula. Et ex codice relegit hæc.

De clericis & monachis, qui ſemetipſos a communione ſuſpendunt.

Can. 5. Concilii Antiocheni.

Si preſbyter aut diaconus ſuum contemnens epiſcopum,

ACTIO QUARTA.

ANNO CHRISTI 451.

a communione semetipsum suspendit ecclesiæ, & secretius collectam fecerit, & altare constituerit, & noluerit evocanti episcopo consentire, neque eidem acquiescere, neque obedire & prius & secundo vocanti; hunc omnino damnari, nec unquam curationem mereri, nec recipere eum posse honorem, [ordinamus.] Si autem permanserit turbas faciens & seditiones ecclesiæ, per extraneam potestatem, tamquam seditiosum debere [a] *converti.*

[a] al. comprimi.

Omnes reverentissimi episcopi clamaverunt: Hæc justa regula patrum. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Secundum vestram petitionem, & contradicentibus reverentissimis episcopis, oblati a vobis libelli relecti sunt. Dicite igitur, si vultis dogmatibus totius sanctissimæ synodi consentire. Carosus reverentissimus archimandrita dixit: Fidem trecentorum decem & octo patrum qui convenerunt apud Nicæam, in qua & baptizatus sum, novi; nam ego aliam fidem nescio. Episcopi sunt: potestatem habent & excommunicare, & damnare, & quidquid volunt, potestatem habent: amplius ab hoc ego aliud nescio. Me sanctus Theotimus in Tomis baptizavit: jussit mihi nihil aliud sapere. Dorotheus reverentissimus archimandrita dixit: Permaneo in fide sanctorum patrum trecentorum decem & octo qui apud Nicæam convenerunt, in qua baptizatus sum, & in constituto eorum qui apud Ephesum Nestorium damnaverunt. Et sic credo, & præter hanc, non novi aliam fidem. Barsumas reverentissimus monachus per proprium hominem, interpretantem eum Syriace loquentem, dixit: Sic credo, quomodo trecenti decem & octo: & sic baptizatus sum in nomine Patris & Filii & Spiritus sancti, sicut ipsos Dominus docuit Apostolos. Helpidius monachus dixit: Ego credo sicut trecenti decem & octo qui convenerunt apud Nicæam, & qui in Epheso Nestorium damnaverunt: & permaneo in constitutis, sicut exposuerunt. Alii monachi, qui cum ipsis erant, dixerunt: Et nos eadem dicimus.

Matth. 28.

Aëtius archidiaconus Constantinopolitanæ sanctissimæ ecclesiæ, vadens ad eos, dixit eis: Sanctum hoc magnumque concilium sic credit, sicut trecenti decem & octo sancti patres, qui apud Nicæam tunc congregati sunt, exposuerunt: & hoc symbolum & ipsi custodiunt, & omnes advenientes edocent. Quoniam autem inter hæc discordiæ sunt per aliquos generatæ, & adversus has repugnantes sancti patres Cyrillus & Cælestinus, & nunc sanctissimus & beatissimus Papa Leo, epistolas interpretantes symbolum, non fidem aut dogma exponentes, dederunt, quas veneratur omne concilium universale, & consentit, & interpretationem earum tradit cupientibus edoceri: & vestra dilectio huic sententiæ totius sanctæ synodi conquiescit, & anathematizat Nestorium & Eutychem, tamquam novas voces introducentes, aut non? Carosus reverentissimus monachus dixit: Ego quid habeo anathematizare Nestorium, qui semel & secundo & tertio & multoties anathematizavi & damnavi eum? Aëtius reverentissimus archidiaconus Constantinopolis sanctissimæ ecclesiæ dixit: Et Eutychem igitur modo anathematizas, sicut sancta synodus, aut non? Carosus reverentissimus monachus dixit: Non est scriptum tibi: *Non judices, ne judiceris?* Episcopi sedent, & tu cur loqueris? Aëtius reverentissimus archidiaconus Constantinopolitanæ sanctæ ecclesiæ dixit: Ad ea quæ per me interrogatus es a sancto concilio, dic: Acquiescis sancto & universali concilio, an non? Carosus reverentissimus monachus dixit: Ego secundum expositionem trecentorum decem & octo sanctorum patrum, ut dixi, sic credo, [b] sic baptizatus sum: Aliud quid mihi [c] dicis? nescio. Potestatem habetis, episcopi estis: vultis in exsilium mittere? vultis damnare? Quidquid vultis, suscipio a vobis. Sanctus apostolus dicit: *Si angelus de cælo annuntiaverit vobis præterquam quod accepistis, ana-*

Matth. 7.

[b] al. sicut & baptizatus

[c] al. dicitis?

ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ ἰδίᾳ συνάγει, καὶ θυσιαστήριον ἔστησε, καὶ τῷ ἐπισκόπου προσκαλουμένου, ἀπειθεῖ, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι, μηδὲ ὑπακούειν καὶ πρῶτον καὶ δεύτερον καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μηδὲ ἀπολαμβάνειν αὐτὸν δύνασθαι τὴν τιμήν· εἰ δὲ ἐπιμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς στασιώδη, αὐτὸν ἐπιστρέφεσθαι.

Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· οὗτος δίκαιος κανών· οὗτος ὁ κανὼν τῶν ἁγίων πατέρων. οἱ μεγαλοπρεπέστατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· κατὰ τὴν ὑμετέραν αἴτησιν, καὶ ἀντιλεγόντων τῶν εὐλαβεστάτων ἐπισκόπων, οἱ ἐπιδοθέντες παρ᾽ ὑμῶν λίβελλοι ἀνεγνώσθησαν. εἴπατε τοίνυν, εἰ βούλεσθε τοῖς δόγμασι πάσης τῆς ἁγιωτάτης συνόδου συναινεῖν. Κάρωσος ὁ εὐλαβέστατος ἀρχιμανδρίτης εἶπε· τὴν τῶν τριακοσίων δεκαοκτὼ τῶν ἐν Νικαίᾳ συνελθόντων πατέρων πίστιν, ἐν ᾗ καὶ ἐβαπτίσθην, οἶδα· ἑτέραν ἐγὼ ἄλλην πίστιν οὐκ οἶδα. ἐπίσκοποί εἰσι, καὶ ἐξουσίαν ἔχουσι καὶ ἀφορίσαι, καὶ καθαιρῆσαι· καὶ εἴ τι θέλουσιν, ἐξουσίαν ἔχουσι. πλέον ταύτης ἐγὼ ἄλλην οὐκ οἶδα. ἐμὲ ὁ ἅγιος Θεότιμος [a] ἐν τῷ μέρει, ὅτι ἐβάπτισεν, ἐκέλευσέ μοι ἄλλο τί ποτε μὴ φρονεῖν. Δωρόθεος ὁ εὐλαβέστατος ἀρχιμανδρίτης εἶπε· τῇ πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ τριακοσίων δεκαοκτὼ, ἐν ᾗ καὶ ἐβαπτίσθην, καὶ τῷ ὅρῳ τῶν ἐν Ἐφέσῳ καθελόντων Νεστόριον ἐμμένω, καὶ οὕτω πιστεύω, καὶ παρὰ ταύτην, ἄλλην πίστιν οὐκ οἶδα. Βαρσουμᾶς ὁ εὐλαβέστατος μοναχὸς διὰ ἰδίου ἀνθρώπου, ἑρμηνεύοντος αὐτὸν Συριστὶ λαλοῦντα, εἶπεν· οὕτω πιστεύω, ὡς οἱ τριακόσιοι δεκαοκτὼ, καὶ οὕτως ἐβαπτίσθην, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ὡς αὐτοὺς ἐδίδαξεν ὁ κύριος τοὺς ἀποστόλους. Ἐλπίδιος μοναχὸς εἶπεν· ἐγὼ πιστεύω, ὡς οἱ τριακόσιοι δεκαοκτὼ πατέρες οἱ ἐν Νικαίᾳ, καὶ οἱ ἐν Ἐφέσῳ, οἱ Νεστόριον καθελόντες· καὶ ἐμμένω τῷ ὅρῳ, ᾧ ἐξέθεντο οἱ ἅγιοι πατέρες. οἱ λοιποὶ ἄλλοι μονάζοντες εἶπον· καὶ ἡμεῖς τὰ αὐτὰ λέγομεν.

[a] Forte, ἐν Τόμοις ἐβάπτισεν, ex Latino.

Ἀέτιος ἀρχιδιάκονος τῆς Κωνσταντινουπόλεως ἁγιωτάτης ἐκκλησίας, ἀπελθὼν πρὸς αὐτοὺς, εἶπεν· ἡ ἁγία αὕτη καὶ μεγάλη σύνοδος οὕτω πιστεύει, ὡς οἱ τριακόσιοι δεκαοκτὼ ἅγιοι πατέρες οἱ ἐν Νικαίᾳ τηνικαῦτα συναχθέντες ἐξέθεντο· καὶ τοῦτο τὸ σύμβολον αὐτοί τε φυλάττουσι, καὶ πάντας τοὺς προσιόντας ἐκδιδάσκουσιν. ἐπειδὴ δὲ ἐν τῷ μεταξὺ διχόνοιαι παρά τινων ἀνεφύησαν, καὶ πρὸς ταύτας ἀνταγωνιζόμενοι οἱ ἅγιοι πατέρες Κύριλλος καὶ Κελεστῖνος, καὶ νῦν ὁ ἁγιώτατος καὶ μακαριώτατος πάπας Λέων, ἐπιστολὰς ἑρμηνευούσας τὸ σύμβολον, οὐ πίστιν ἢ δόγμα ἐκτιθέμενοι, ἐκδεδώκασιν· ἃς ἀσπάζεται πᾶσα ἡ οἰκουμενικὴ σύνοδος, καὶ συναινεῖ, καὶ τὴν ἐκ τούτων ἑρμηνείαν παραδίδωσι τοῖς ἐπιθυμοῦσι μαθεῖν· καὶ ἡ ὑμετέρα ἀγάπη ταύτῃ τῇ γνώμῃ πάσης τῆς ἁγίας συνόδου πείθεται, καὶ ἀναθεματίζει Νεστόριον καὶ Εὐτυχέα, ὡς καινοφωνήσαντας, ἢ οὔ; Κάρωσος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· ἐγὼ τί ἔχω ἀναθεματίσαι Νεστόριον, ὅτι καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον καὶ πολλάκις ἀνεθεμάτισα αὐτὸν, καὶ καθῄρησα; Ἀέτιος ὁ εὐλαβέστατος ἀρχιδιάκονος τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας εἶπε· καὶ Εὐτυχέα λοιπὸν [b] ἀναθεματίζει, ὡς ἡ ἁγία σύνοδος, ἢ οὔ; Κάρωσος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· οὐ γέγραπται· μὴ κρίνῃς, ἵνα μὴ κριθῇς; ἐπίσκοποι καθέζονται, καὶ σὺ διὰ τί λαλεῖς; Ἀέτιος ὁ εὐλαβέστατος ἀρχιδιάκονος εἶπε· πρὸς ἃ ἠρωτήθης δι᾽ ἐμοῦ παρὰ τῆς ἁγίας συνόδου, εἰπέ· πείθῃ τῇ ἁγίᾳ συνόδῳ τῇ οἰκουμενικῇ, ἢ οὔ; Κάρωσος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· ἐγὼ κατὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ, ὡς εἶπα, οὕτω πιστεύω, ὡς καὶ ἐβαπτίσθην. ἄλλο τί μοι λέγετε; οὐκ οἶδα. ἐξουσίαν ἔχετε. ἐπίσκοποί ἐστε· θέλετε ἐξορίσαι; θέλετε καθαιρῆσαι; εἴ τι θέλετε, δέχομαι παρ᾽ ὑμῶν. ὁ ἅγιος ἀπόστολος λέγει· ἐὰν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν, παρ᾽ ὃ παρελάβετε, ἀναθε-

[b] Forte, ἀναθεματίζεις.

μα ἔστω. τί ἔχω ποιῆσαι; ἐὰν μὴ πιστεύῃ Εὐτυχὴς, ὡς πιστεύει ἡ ἐκκλησία ἡ καθολικὴ, ἀνάθεμα ἔστω. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἀναγνωσθήτωσαν αἱ δεήσεις, αἱ παρὰ Φαύστου τοῦ εὐλαβεστάτου καὶ τῶν εὐλαβεστάτων ἀρχιμανδριτῶν ἐπιδοθεῖσαι.[a] Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου ἀνέγνω.

Τῷ [b] ὑπὸ ἀχράντου τριάδος σκεπομένῳ εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ δεσπότῃ βασιλεῖ Μαρκιανῷ, αἰωνίῳ Αὐγούστῳ, δέησις καὶ ἱκεσία παρὰ Φαύστου, Μαρτίνου, Πέτρου, Μανουήλου, Ἀβραμίου, Ἰὼβ, Ἀντιόχου, Δωροθέου, Παύλου, Εὐσεβίου, Ἰακώβου, Εὐσεβίου, Τρύφωνος, Μαρκέλλου, Τιμοθέου, Γερμανοῦ, Πέτρου, Ἀστερίου, Ἰωάννου, πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν.

Ἡ φιλόχριστος ὑμῶν καὶ εὐσεβὴς βασιλεία τὴν εὐσεβῆ τῶν ὀρθοδόξων θρησκείαν αὔξειν τε καὶ συγκροτεῖν μεμελετηκυῖα, τὸν τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐξήλασε θόρυβον. Εὐτυχέα γὰρ, τὸν τὰς μιαρὰς καὶ βεβήλους κατὰ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ἐξερευξάμενον φωνὰς, καὶ ἐπισπεῖραι πολλὰ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ ζιζάνια μηχανησάμενον, ἐξέωσε τὸ φιλόχριστον ὑμῶν κράτος. οἱ δὲ ἐκείνῳ μαθητευθέντες, οὐ βούλονται τῇ ὀρθοδόξῳ καὶ εὐσεβεῖ πίστει καθυποσημήνασθαι, καὶ ἐξακολουθῆσαι τοῖς τῶν ἁγίων πατέρων εὐσεβέσι δόγμασιν· ἀλλὰ σκληροτράχηλοι μεμενήκασιν, ἀνθιστάμενοι, καὶ ἀντιπίπτοντες τῇ ὀρθῇ τῶν πατέρων ὁμολογίᾳ· καίτοι πολλῆς αὐτοῖς παραινέσεως προσαχθείσης παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀνατολίου, καὶ τῶν ἅμα αὐτῷ θεοφιλεστάτων ἐπισκόπων καὶ πρεσβυτέρων· καὶ τῶν ἱερῶν αὐτοῖς δογμάτων παραναγνωσθέντων, καθὼς οἱ παρ' ὑμῶν ἀποσταλέντες πάντα δῆλα ὑμῖν κατέστησαν. τούτου ἕνεκεν ἀξιοῦμεν τὸ ὑμέτερον κράτος, ὥστε θεσπίσαι, μὴ ἐπιπλεῖον προκόψαι αὐτοῖς τὰ τῆς ἀσεβείας· ἐπιτραπῆναι δὲ ἡμῖν, τοῖς πνευματικοῖς τῶν μοναχῶν ὅροις ὑποβαλεῖν τοὺς οὕτως ἀναιδῶς τῆς ὀρθῆς ἡμῶν ἀποστατήσαντας πίστεως· ἵν', εἴπερ διορθωθεῖεν, ὅπερ εὐχόμεθα, μετὰ τῶν σωζομένων καὶ αὐτοὶ τὴν μερίδα ἔχοιεν· εἰ δὲ ἐπιπλεῖον ἐπιμένοιεν τῇ ἑαυτῶν κακονοίᾳ, πρέπουσαν δέξασθαι τὴν ἐπιτίμησιν αὐτούς. καὶ περὶ τοῦ σπηλαίου δὲ, ἔνθα οἱ θηριώδεις κατοικοῦσι, καὶ καθ' ἑκάστην τὸν τῶν ὅλων βλασφημοῦσι σωτῆρα Χριστὸν, τύπον δοθῆναι παρ' ἡμῶν ἐπιτρέψῃ ἡ φιλόχριστος ὑμῶν βασιλεία, θείας ὑμῶν [c] ἐπισημειώσεως καταπεμπομένης εἰς πρόσωπον ἡμέτερον.

Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· ἐπειδὴ Εὐτυχῆ λέγουσιν, ὅτι πρὸ τῆς ἑνώσεως δύο φύσεις εἶπε, καὶ μετὰ τὴν ἕνωσιν, μίαν φύσιν, καὶ ἀναθεματίζουσιν αὐτὸν, ὡς αἱρετικόν· ταῦτα πανταχοῦ προτάσεις ἔθηκεν Εὐτυχής· καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια ἤκουσε τὰ προτεθέντα αὐτοῦ, ὅτι ὀρθόδοξός ἐστιν ὁ ἄνθρωπος, καὶ συκοφαντοῦσιν αὐτόν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· Εὐτυχὴς εἶπεν· ὅτι τὸ σῶμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ οὐκ ἔστι τῆς ἡμῶν οὐσίας. σὺ περὶ τούτου πῶς δοξάζεις[d]; Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐβαπτίσθημεν, ὁμολογοῦντες τὸν σωτῆρα ἡμῶν Χριστὸν, τὸν κατελθόντα, καὶ σαρκωθέντα ἐκ τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου. μακροθυμήσατε δὲ, καὶ ἐάν [e] παρέρχηταί με, διορθώσασθε. τοῦτον ἐκ τῆς τριάδος εἶναι ὁμολογοῦμεν. καὶ γὰρ αὐτὸς ὁ δεσπότης ἡμῶν, ὁ ἐμπτυσθεὶς καὶ κολαφισθεὶς καὶ ῥαπισθεὶς, ἡνίκα ἀνέστη ἐκ νεκρῶν, λέγει τοῖς ἁγίοις μαθηταῖς αὐτοῦ· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὁμολογοῦμεν οὖν τὸν παθόντα ἐκ τῆς τριάδος εἶναι. καὶ ἄλλην πίστιν οὐκ οἴδαμεν. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· ὑπογράφεις τῇ ἐπιστολῇ, ἢ οὔ;

[a] In mſ. Romano.

[b] Forte, ὑπὸ τῆς ἀχράντου.

[c] Forte, ὑποσημειώσεως

[d] In mſ. Romano.

[e] Forte, παρέρχεταί με, διορθώσασθε.

A *thema ſit*. Quid habeo facere ? Si non credit Eutyches, ſicut credit univerſalis eccleſia, anathema ſit. Magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt : Relegantur preces quæ a Fauſto reverentiſſimo, & ab aliis reverentiſſimis archimandritis oblatæ ſunt. Veronicianus vir devotus ſecretarius ſacri conſiſtorii legit :

[a] A divina ſemper manu protecto piiſſimo & Chriſtianiſſimo dominatori & Imperatori Marciano perpetuo Auguſto, preces & ſupplicationes a Fauſto, Martino, Petro, Manuhelio, Abraamio, Job, Antiocho, Theodoro, Paulo, Jacobo, Euſebio, Tryphone, Marcello, Timotheo, Germano, Petro, Aſterio & Joanne, preſbyteris & archimandritis.

Chriſtianiſſimum & pium veſtrum Imperium ſanctam orthodoxorum religionem augere atque continere meditans, ſanctarum eccleſiarum expulit turbationem. Eutychem enim, qui pollutas & profanas adverſus omnium Salvatorem Chriſtum voces evomuit, & ſuperſeminare in Chriſti eccleſia multa zizania machinatus eſt, projecit Chriſtianiſſima veſtra potentia. Qui autem ab illo edocti ſunt, nolunt piæ & orthodoxæ fidei ſubſcribere, & ſequi ſanctorum patrum piiſſima dogmata; ſed dura cervice manſerunt, reſultantes atque adverſantes rectæ patrum confeſſioni; quamvis multa admonitio eis adhibita ſit a Dei amantiſſimo archiepiſcopo Anatolio, & his qui cum eo ſunt, ſanctiſſimis epiſcopis & preſbyteris : & divinis dogmatibus eis relectis, ſicut hi qui a nobis directi ſunt, vobis hoc declararunt. Hac de cauſa rogamus veſtram ſancire poteſtatem, quatenus non amplius eorum augeatur impietas : præcipi autem nobis, ut monachorum ſpiritalibus conſtitutis ſubdamus eos, qui ſic inverecunde a noſtra fide recta receſſerunt : ut ſi emendati fuerint, (quod oramus) cum his qui ſalvantur, ipſi quoque partem habeant : ſin autem amplius in ſua mala fide permanſerint, decentem eos ſuſcipiant diſciplinam. De ſpelunca autem, ubi ipſi digni beſtiis habitant, & quotidie blaſphemant Salvatorem omnium Chriſtum, diſponi a nobis præcipiat Chriſtianiſſimum veſtrum Imperium, ſacra veſtra ſubnotatione tranſmiſſa ad noſtram perſonam.

Dorotheus reverentiſſimus monachus dixit : Quoniam Eutychen dicunt, quia ante unitionem duas naturas dixit, & poſt unitionem unam naturam, & anathematizant eum ſicut hæreticum : paſſim ubique propoſitiones poſuit Eutyches, & veſtra magnificentia audivit quæ ſunt ab eo propoſita, quia orthodoxus eſt is homo, & fit ei calumnia. Magnificentiſſimi & glorioſiſſimi judices & ampliſſimus Senatus dixerunt : Eutyches ait, quod corpus Salvatoris noſtri Jeſu Chriſti non fuit noſtræ ſubſtantiæ : tu de hoc quomodo confiteris ? Dorotheus reverentiſſimus monachus dixit : In nomine Patris & Filii & Spiritus ſancti tincti ſumus, confitentes Salvatorem noſtrum Jeſum Chriſtum, qui deſcendit & incarnatus eſt ex ſancta Virgine Maria, qui inhumanatus eſt, & crucifixus eſt pro nobis temporibus Pontii Pilati. Suſtinete autem, & ſi quid me tranſit, corrigat. Hunc ex Trinitate eſſe fatemur. Nam & ipſe Dominus noſter, in cujus faciem exſpuerunt, & telo percuſſus eſt, & alapas accepit, cum ſurrexiſſet a mortuis, dixit ſanctis ſuis diſcipulis : *Euntes, docete omnes gentes, baptizantes eos in nomine Patris & Filii & Spiritus ſancti.* [b] Credimus ergo illum paſſum, Trinitatis eſſe, & aliam fidem non novimus. Omnes reverentiſſimi epiſcopi dixerunt ; Subſcribis epiſtolæ, aut

[a] In Græco, Ab immaculata Trinitate protecto.

Matt. 28.

[b] al. Confitemur ergo eum qui paſſus eſt, unum Trinitatis eſſe.

Actio Quarta.

Anno Christi 451.

non? Dorotheus reverentissimus monachus dixit: Ego in baptisma credo, epistolæ autem non subscribo. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Cum piissimus noster Imperator & magnificentissimos judices & amplissimum Senatum ad vos destinavit, promisistis non contradicere his quæ a sancta synodo promulgantur: quare igitur in præsenti non consentitis decretis sanctæ synodi? Dorotheus reverentissimus monachus dixit: Tunc nos locuti sumus judicibus & Senatui: & intus intrantes, rogavimus Imperatorem, ut hæc synodus quæ præsens est, fidem confirmaret trecentorum decem & octo patrum, in qua baptizati sumus, una cum definitione, quæ ab ipsis patribus definita est. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: Quia divinissimus Imperator noster pius est, & nos intentionem ejus sequimur, si vultis, inducias duorum aut trium dierum ad cogitandum accipite, (hoc enim ut vobis concedatur, nos petimus sanctam synodum:) ut recogitantes, confessionem fidei sanctorum patrum sequamini. Carosus reverentissimus archimandrita dixit: Hic sum; quid opus habetis duos aut tres dies sustinere? Ecce modo, si vultis aliquid facere, potestatem habetis. Dorotheus reverentissimus monachus dixit: In fide permaneo trecentorum decem & octo patrum, in qua & baptizatus sum, & in definitione Ephesia, & aliud aliquid non dico. Magnificentissimi & gloriosissimi judices & amplissimus Senatus dixerunt: A sancta synodo formula dabitur.

A Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· ἐγὼ εἰς τὸ βάπτισμα πιστεύω, ἐπιστολῇ δὲ οὐχ ὑπογράφω. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἐπειδὴ ὁ θειότατος ἡμῶν βασιλεὺς τοὺς μεγαλοπρεπεστάτους ἄρχοντας, καὶ τοὺς συγκλητικοὺς ἔπεμψε τοὺς ἐνδοξοτάτους πρὸς [a] ὑμᾶς, ὑπέσχεσθε πείθεσθαι τοῖς πραττομένοις παρὰ τῆς ἁγίας συνόδου· αἰτίαν ποίαν ἐπὶ τοῦ παρόντος οὐ συντίθεσθε τοῖς ὅροις τῆς ἁγίας συνόδου; [b] Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· ἡμεῖς τότε ἐλαλήσαμεν τοῖς ἄρχουσι καὶ τῇ συγκλήτῳ, καὶ παρεκαλέσαμεν τὸν βασιλέα, εἰσελθόντες ἔσω, ἵνα ἡ σύνοδος ἡ παροῦσα βεβαιώσῃ τὴν πίστιν τῶν τιη΄. ἁγίων πατέρων, ἐν ᾗ καὶ ἐβαπτίσθημεν, μετὰ τοῦ ὅρου τοῦ ὁρισθέντος παρὰ τῶν [c] αὐτῶν πατέρων. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρB χοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· ἐπειδὴ ὁ θειότατος ἡμῶν δεσπότης εὐσεβής ἐστι, καὶ ἡμεῖς τῷ αὐτοῦ σκοπῷ ἀκολουθοῦμεν, εἰ βούλεσθε ὑμῖν ἐνδοθῆναι δύο ἢ τρεῖς ἡμέρας πρὸς ἐπίσκεψιν, ἐξαιτοῦμεν τοῦτο παρὰ τῆς ἁγίας συνόδου ὑμῖν ὑπάρξαι· ἵνα ἐπισκεψάμενοι, ἀκολουθήσητε τῇ παρὰ τῶν ἁγίων πατέρων δοξαζομένῃ πίστει. Κάρωσος ὁ εὐλαβέστατος ἀρχιμανδρίτης εἶπεν· ὧδέ εἰμι· τί χρείαν ἔχετε δύο ἢ τρεῖς ἡμέρας ἐνδέξασθαι; [d] εἰ δὲ ἄρτι ἐξουσίαν ἔχετε, [e] ὅτι θέλετε, ποιεῖτε. Δωρόθεος ὁ εὐλαβέστατος μοναχὸς εἶπε· τῇ πίστει τῶν ἁγίων πατέρων τῶν τιη΄. ἐμμένω, ἐν ᾗ καὶ ἐβαπτίσθην, καὶ τῷ ὅρῳ τῶν ἐν Ἐφέσῳ· καὶ ἄλλο τι οὐ λέγω. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος, εἶπον· παρὰ τῆς ἁγίας συνόδου τύπος δοθήσεται. [f]

[a] Forte, ὑμᾶς ex Latino.

[b] In ms. Parisiensi, ἀναγνω, ἀναγνωμέν, ἀναγνω.

[c] Forte, αὐτῶν

[d] Forte, ἰδού, ἄρτι ex Latino.

[e] Forte, ὅ, τι

[f] In ms. Parisiensi, ἀναγνω, ἀναγνωμέν, ἀναγνω.

In cod. Divion. seu Boh. Exemplar collatum die x. Kal. Aprilis, indictione XIII. ad codices Græcos diligentissime. Explicit Actio IV. Incipit Actio V. Alleluia.

ACTIO DE CAROSO ET DOROTHEO, & iis qui cum eo erant.

Ex versione nova edidit Romana. Nam Actio hæc de Caroso & Dorotheo, non est in antiquis mss. Latinis.

Consulatu piissimi & Christum amantis Imperatoris nostri Marciani Augusti primum, tertio decimo Kalendas Novembris, considente sancto & generali concilio, quod juxta jussionem piissimorum Imperatorum nostrorum congregatum est in Chalcedonensium metropoli, in martyrio sanctæ & pulchræ victricis martyris Euphemiæ, Aëtius archidiaconus & primicerius dixit: Reverentissimus presbyter & circuitor Alexander missus a sanctitate vestra ad piissimum & Christi amantem Imperatorem nostrum monachorum causa, Carosi & Dorothei, & eorum qui Eutychem monachum quondam archimandritam sequuntur, qui desciverunt ab orthodoxa fide; certa quædam ab ipsorum pietate jussus dicere vestræ sanctitati, nunc adest, ac vult exponere. Et hoc vobis suggerimus, ad quod placuerit. Sancta synodus dixit: Dicat, qui adest, reverentissimus presbyter & visitator Alexander, quæ a piissimo & fidelissimo Imperatore nostro significata sunt sanctæ synodo. Alexander presbyter & visitator dixit: Missus a sanctitate vestra, & a magnificentissimis judicibus & sacro Senatu, ad piissimum & Christi amantem Imperatorem nostrum, cum ei dixissem, quod Dorotheus & Carosus, qui preces obtulerunt, significarunt dicentes, quod pollicita est pietas vestra, monasteria convocari, & nos cum ipsis, & proposito sancto evangelio, inter utrosque nos disceptare. Si igitur jubet pietas vestra, hoc fiat; nos enim illuc ire non possumus. Hæc cum audisset dominus orbis, significavit eis per me & dominum Joannem decurionem, quod si voluissem ego sedere inter vos atque alios monachos, & audire inter utrosque vos, non huc sanctam & universalem synodum fatigassem. Sed cum ipsi propterea adfuissent, ac nos de vobis certiores fecissent, dixi ut vos adessetis, & ea quæ nescitis, cognosceretis, & in-

C ΠΡΑ͂ΞΙΣ ΠΕΡῚ ΚΑΡΏΣΟΥ ΚΑῚ ΔΩΡΟΘΈΟΥ, καὶ τῶν σὺν αὐτῷ.

Υπατείας τοῦ εὐλαβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως Μαρκιανοῦ Αὐγούστου τὸ πρῶτον, πρὸ δεκατριῶν καλανδῶν Νοεμβρίων, συνεδρευούσης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θέσπισμα τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων συναθροισθείσης ἐπὶ τῆς Καλχηδονέων μητροπόλεως, ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας, Αἴτιος ἀρχιδιάκονος καὶ πριμικήριος εἶπεν· ὁ εὐλαβέστατος πρεσβύτερος καὶ περιοδευτὴς Ἀλέξανδρος, ἀποσταλεὶς παρὰ τῆς ὑμετέρας ἁγιωσύνης πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον βασιλέα τῶν μοναζόντων ἕνεκεν, τῶν περὶ Κάρωσον καὶ Δωρόθεον, καὶ τῶν κατὰ Εὐτυχέα τόν ποτε ἀρχιμανδρίτην μοναζόντων, τῶν ἀποστατησάντων τῆς ὀρθοδόξου πίστεως, φανερὰ παρὰ τῆς αὐτοῦ εὐσεβείας κελευσθεὶς εἰπεῖν πρὸς τὴν ὑμετέραν ὁσιότητα, παραγενόμενος νῦν, βούλεται καταθέσθαι· καὶ τοῦτο αὐτὸ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον. ἡ ἁγία σύνοδος εἶπε· λεγέτω ὁ παρὼν εὐλαβέστατος πρεσβύτερος καὶ περιοδευτὴς Ἀλέξανδρος τὰ παρὰ τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου βασιλέως ἡμῶν δηλωθέντα τῇ ἁγίᾳ συνόδῳ. Ἀλέξανδρος πρεσβύτερος καὶ περιοδευτὴς εἶπεν· ἀποσταλεὶς παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, καὶ παρὰ τῶν μεγαλοπρεπεστάτων ἀρχόντων, καὶ τῆς ἱερᾶς συγκλήτου, πρὸς τὸν εὐλαβέστατον καὶ φιλόχριστον ἡμῶν βασιλέα, εἰπόντος μου αὐτῷ· ὅτι Δωρόθεος καὶ οἱ περὶ Κάρωσον, οἱ δεδωκότες τὰς δεήσεις, ἐδήλωσαν λέγοντες ὅτι E ὑπέσχετο ἡ ὑμετέρα εὐσέβεια, τὰ μοναστήρια συγκαλεῖσθαι, καὶ ἡμᾶς μετ' αὐτῶν, καὶ κειμένου τοῦ ἁγίου εὐαγγελίου, διακούειν μεταξὺ ἀμφοτέρων ἡμῶν. ἐὰν οὖν κελεύῃ ἡ ὑμετέρα εὐσέβεια, τοῦτο γινέσθω· ἐπεὶ ἡμεῖς ἀπελθεῖν ἐκεῖ οὐ δυνάμεθα. ταῦτα ἀκούσας ὁ δεσπότης τῆς οἰκουμένης, ἐδήλωσεν αὐτοῖς δι' ἐμοῦ καὶ τοῦ κυρίου Ἰωάννου τοῦ δεκουρίωνος· ὅτι εἰ ἤθελον ἐγὼ καθεσθῆναι ἀνὰ μέσον ὑμῶν, καὶ τῶν ἄλλων μοναστῶν, καὶ διακοῦσαι μεταξὺ ἀμφοτέρων ὑμῶν, οὐκ ἂν τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον ἔσκυλα ἐνταῦθα. ἀλλὰ διὰ τοῦτο παραγενομένων αὐτῶν, καὶ δηλωσάντων ἡμῖν περὶ ὑμῶν, εἶπον παραγενέσθαι ὑμᾶς, καὶ ἅπερ μὴ οἴδατε, γνῶναι, καὶ ἐρωτήσαντας,

τόνησης, ἃ ἐκ οἴδατε, μαθεῖν παρ' αὐτῶν. δίκαιον οὖν ἐκρίναμεν, ἀπελθεῖν ὑμᾶς εἰς τὴν σύνοδον. ἵνα γὰρ ποθεν εἰδῆτε, ὅτι εἴ τι δ' ἂν τυπώσῃ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, καὶ ἐπιδῷ μοι ἐγγράφως, τούτοις στοιχῶ, τούτοις στέργω, τούτοις πιστεύω· πρὸς ποτε ἔχετε, καὶ ἄλλην ἀπόκρισιν παρ' ἐμοῦ οὐ λαμβάνετε. ἡ ἁγία σύνοδος ἐπεφώνησε· πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη τῆς Αὐγούστης· πολλὰ τὰ ἔτη τῶν ὀρθοδόξων. καὶ μετὰ ταῦτα ἀνεγνώσθη δέησις δοθεῖσα τῷ εὐσεβεστάτῳ βασιλεῖ παρὰ Καρόσου καὶ τῶν σὺν αὐτῷ. καὶ μετὰ τὸ ἀναγνωσθῆναι, Αἴτιος ἀρχιδιάκονος εἶπεν· ἐπήκουσεν ἡ ἁγία ὑμῶν μεγάλη καὶ οἰκουμενικὴ σύνοδος τῶν ἐπιδοθεισῶν δεήσεων τῷ παρὰ τοῦ δεσπότου Χριστοῦ ἀναδειχθέντι εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ ἡμῶν βασιλεῖ, παρὰ τῶν εὐλαβεστάτων μοναζόντων Καρόσου καὶ Δωροθέου, καὶ τῶν σὺν αὐτοῖς περὶ τὴν πίστιν χωλευόντων, ὡς ῥιψοκινδύνως προελθόντες, ἐτόλμησαν ἐπίσκοπον ὀνομάζειν τὸν παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου καθαιρεθέντα Διόσκορον, καὶ [a] παρακαλέσαι τοὺς εὐσεβεστάτους καὶ θεοφιλεστάτους βασιλέας, παραγενέσθαι [b] αὐτοὺς εἰς τὴν ἁγίαν σύνοδον ταύτην, καὶ ὡς ἀνεύθυνον μετὰ παρρησίας τῇ πίστει συνηγορεῖν. ἐπεὶ τοίνυν οὐ μόνον αὐτοὶ ποτε πεφώραται κακοδοξοῦντες, ἀλλὰ καὶ τῶν καθαιρεθέντων ὑπερασπίζοντες· φανερὰ δὲ ἀγορεύουσιν οἱ θεῖοι κανόνες κατὰ τῶν τὰ τοιαῦτα σφαλλομένων κληρικῶν τε καὶ μοναχῶν· εἰ κελεύετε, τούτους ἀναγνωσόμεθα· ἐπειδήπερ μάλιστα καὶ φαίνονται ἐκ πολλοῦ χωρίσαντες ἑαυτοὺς τῆς τε ἁγιωτάτης καὶ καθολικῆς ἐκκλησίας, καὶ τοῦ ἰδίου ἐπισκόπου, ὥστε καὶ ἐκ τῶν παρ' αὐτῶν ἐπιδοθέντων λιβέλλων φανερὰν τὴν ἑαυτῶν γνώμην καταστῆσαι. ἡ ἁγία σύνοδος εἶπεν· οἱ θεῖοι τῶν πατέρων κανόνες ἀναγνωσθήτωσαν, καὶ ἐμφερέσθωσαν τοῖς ὑπομνήμασι. καὶ λαβὼν τὴν βίβλον Αἴτιος ἀρχιδιάκονος καὶ πριμικήριος τῆς μεγάλης ἐκκλησίας, ἀνέγνω.

[a] Forte, παρεγγελίσαι

[b] Forte, αὐτὸν

Κανὼν πγ'.

Εἴ τις ἐπίσκοπος ὑπὸ συνόδου καθαιρεθεὶς, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ κανόνος, ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, τολμήσειέ τι πρᾶξαι τῆς λειτουργίας, εἴτε ἐπίσκοπος κατὰ τὴν προάγουσαν συνήθειαν, εἴτε ὁ πρεσβύτερος, εἴτε ὁ διάκονος, μηκέτι [c] ἐξὸν εἶναι αὐτῷ μηδὲ ἐν ἑτέρᾳ συνόδῳ ἐλπίδα ἀποκαταστάσεως, μηδὲ ἀπολογίας χώραν ἔχειν· ἀλλὰ καὶ τοὺς κοινωνοῦντας αὐτῷ πάντας ἀποβάλλεσθαι τῆς ἐκκλησίας, καὶ μάλιστα εἰ μαθόντες τὴν ἀπόφασιν, τὴν κατὰ τῶν προειρημένων ἐξενεχθεῖσαν, τολμήσειαν αὐτοῖς κοινωνεῖν.

[c] Forte, ἐξεῖναι αὐτῷ.

Κανὼν πδ'.

Περὶ τῶν ἑαυτοὺς ἀφοριζόντων.

Εἴ τις πρεσβύτερος, ἢ διάκονος, καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ [d] ἰδίᾳ συνήγαγε, καὶ θυσιαστήριον ἔστησε, καὶ τοῦ ἐπισκόπου προσκαλεσαμένου αὐτὸν, ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι, μηδὲ [e] ὑπακούειν καὶ πρῶτον καὶ δεύτερον καὶ τρίτον καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς, καὶ μηκέτι θεραπείας τυγχάνειν, μήτε ἀπολαμβάνειν αὐτὸν δύνασθαι τὴν τιμήν· εἰ δὲ παραμένοι θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν, διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς στασιώδη, αὐτὸν [f] ἀποστρέφεσθαι.

[d] Forte, ἰδίᾳ

[e] Forte, ὑπακούειν

[f] Forte, ἐπιστρέφεσθαι.

Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν θείων καὶ ἱερῶν κανόνων, ἡ ἁγία σύνοδος εἶπε· τὸν δεσπότην Χριστὸν εἰς φιλανθρωπίαν μιμουμένη ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ σύνοδος, ἀποδέξατο τοὺς μεγαλοπρεπεστάτους καὶ ἐνδοξοτάτους ἄρχοντας, καὶ τὴν ἱερὰν καὶ φιλόχριστον σύγκλητον, τῆς ἐπὶ τοῖς μονάζουσι Καρόσῳ, Δωροθέῳ, καὶ Βαρσουμᾷ, καὶ τοῖς σὺν αὐτοῖς, συγκαταβάσεως· ὥστε παρασχεθῆναι τοῖς μνημονευθεῖσι πρὸς ἐπίσκεψιν τοῦ πεισθῆναι τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, καὶ τοῖς παρ' αὐτῆς ἐπὶ τῇ ὀρθῇ πίστει τυπωθεῖσι, διωρίαν ἡμερῶν τριάκοντα, τουτέστιν, ἀπὸ τῆς ἐνεστώσης μηνὸς Ὀκτωβρίου πεντεκαιδεκάτης, μέχρι Νοεμβρίου πεντεκαιδεκάτης. ἀποσταλήσονται τοίνυν πρὸς αὐτοὺς κληρικοὶ τῇ ὡρισμένῃ ἡμέρᾳ, ὑπομιμνήσκοντες αὐτοὺς, ἵνα ἢ ὀρθοδοξήσωσι πρὸς τὴν ἀλήθειαν, ἢ εἴξωσι πᾶσι τοῖς δόξασι τῇ ἁγίᾳ ταύτῃ συνόδῳ πρὸς ἀναίρεσιν πάσης αἱ-

A terrogando, ea quæ non noſtis, diſceretis ab iis. Juſtum igitur decrevimus, vos ad concilium abire. Nam (ut ſciatis) quidquid definierit ſanctum & generale concilium, ac mihi in ſcriptis dederit, ea ſequor, iis contentus ſum, iis fidem habeo. Ad hoc habetis, nec aliud a me reſponſum accipitis. Sancta ſynodus acclamavit: Imperatori multos annos: multos annos Auguſtæ: multos annos orthodoxis. Poſtea lectæ ſunt preces oblatæ piiſſimo Imperatori a Caroſo, & qui cum ipſo erant; quibus lectis Aëtius archidiaconus dixit: Audivit ſanctum magnum veſtrum & univerſale concilium preces datas piiſſimo & Chriſtum amanti Imperatori noſtro, qui a Chriſto Domino electus eſt, a reverentiſſimis monachis Caroſo & Dorotheo, & B iis qui cum ipſis in fide claudicant, qui temere agentes, ac ſe in periculum conjicientes, auſi ſunt epiſcopum nominare Dioſcorum, qui a ſancto & univerſali concilio depoſitus eſt: ac deprecari piiſſimos ac Deo amabiliſſimos Imperatores, ut ipſi adeſſent ad hoc ſanctum concilium; & quaſi hoc reprehenſione careat, libere fidei patrocinarentur. Quoniam igitur ipſi non ſolum male in hoc ſentire deprehenſi ſunt, ſed etiam depoſitos protegere; aperte autem pronuntiant ſacri canones de clericis ac monachis, qui in hujuſmodi labuntur: ſi jubetis, hos legemus: quandoquidem maxime videntur ſe jam pridem a ſanctiſſima & catholica eccleſia, & a proprio epiſcopo ſeparaſſe, ut etiam ex datis libellis ſuam ſententiam aperuerunt. Sancta ſynodus dixit: C Sacri patrum canones legantur, & commentariis inſerantur. Sumptoque libro Aëtius archidiaconus & primicerius magnæ eccleſiæ legit:

Canon octogeſimus tertius.

Si quis epiſcopus a ſynodo depoſitus, aut presbyter, aut diaconus, aut omnino qui eſt ſub regula, a proprio epiſcopo auſus fuerit amplius aliquid ſacri miniſterii gerere, ſive epiſcopus juxta ſuperiorem conſuetudinem, ſive presbyter, ſive diaconus, poſtea non liceat ei ne in altera quidem ſynodo ſpem reſtitutionis, nec ſatisfactionis locum habere. Sed & omnes qui ei communicant, ejiciantur ex eccleſia: & maxime ſi poſtquam cognoverunt ſententiam in prædictos latam, iis communicare auſi fuerint.

Eſt Can. 4. Conc. Antiocheni, ex Can. 28. Apoſt.

D

Alius Canon LXXXIV.

De iis qui ſeipſos ſeparant.

Si quis presbyter aut diaconus, contempto proprio epiſcopo, ſe ab eccleſia ſegregaverit, ac ſeorſim congregationem habuerit, & altare conſtituerit: ſi commonenti epiſcopo non acquieverit, nec conſentire vel obedire voluerit ſemel & iterum ac tertium vocanti; is omnino deponatur nec ultra remedium conſequi, nec proprium honorem recipere poſſit. Quod ſi perſeveraverit tumultuari, & eccleſiam perturbare; per poteſtatem externam tamquam ſeditioſus corrigatur.

Can. 5. Con. Antioch. ex Can. Apoſt. 31.

Poſt lectionem autem divinarum & ſacrarum regu- E larum ſancta ſynodus dixit: Chriſti Domini benignitatem atque humanitatem imitans ſancta hæc & univerſalis ſynodus, probat laudatque magnificentiſſimos & glorioſiſſimos judices, & ſacrum Chriſtique amantem Senatum, de condeſcenſione erga monachos Caroſum, Dorotheum, Barſumam, & qui cum ipſis ſunt: ut memoratis ad deliberandum & ad obediendum ſancto huic & œcumenico concilio, & iis quæ ab eo de recta fide ſtatuta ſunt, darentur triginta dierum induciæ, id eſt, a decimo quinto die præſentis Octobris, uſque ad Novembris decimum quintum. Ad eos igitur clerici mittentur præfinito die, qui admoneant, ut vel recto pede ambulent in veritate, ac iis cedant quæ placita ſunt huic ſancto concilio, ad totius hæreticæ pra-

vœque opinionis destructionem; aut sciant se cum monachis, qui cum ipsis sunt, privatos esse & gradu, & omni dignitate & communione, una cum eo ut desinant præesse monasteriis; ac si quidem persugere conentur, valere in eos eamdem pœnam decernit sanctum hoc & universale magnum concilium: externa videlicet auctoritate, juxta divinas sacrasque patrum regulas, corroborante sententiam in contumaces latam.

A ῥητικῆς κακοδοξίας ἢ ἴσωσιν, ἴσασιν μετὰ τῶν σὺν αὐτοῖς μοναχῶν γεγυμνῶσθαι τοῦ τε βαθμοῦ, καὶ πάσης ἀξίας τε καὶ κοινωνίας, μετὰ τοῦ καὶ ἀποπαῦσαι ἡγεμονεύειν μοναστηρίων· εἰ, εἴγε διαφυγεῖν ἐπιχειρήσειαν, κρατεῖν ἐπ' αὐτοῖς τὸ αὐτὸ ἐπιτίμιον, ψηφίζεται ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ μεγάλη σύνοδος· δηλονότι καὶ τῆς ἔξωθεν αὐθεντίας, κατὰ τοὺς θείους καὶ ἱεροὺς τῶν πατέρων κανόνας, συνεπισχυούσης τῇ ψήφῳ κατὰ τῶν ἀπειθούντων.

ACTIO DE PHOTIO EPISCOPO TYRI, & Eustathio episcopo Beryti.

B

a Ex nova versione Edit. Rom. Balsamon ad can. 29. Conc. Chalced. dicit hanc actionem fuisse olim in fine gestorum. MS. codices Latini eam non habent. Negotia Episcoporum, si post fidem discussa fuerunt, sed ante definita act. 6. die xi. Kal. Novemb. hæc actio non potuit esse xiii. Kal. Novemb.

Consulatu domni nostri Marciani perpetui Augusti, & ejus qui renuntiatus fuerit, a tertio decimo Kalendas Novembris, Chalcedone jussu sacratissimi & piissimi domini nostri, convenientibus in sanctissima ecclesia sanctæ martyris Euphemiæ, magnificentissimo & gloriosissimo magistro militum, exconsule & patricio Anatolio, & ceteris prædictis magnificentissimis & gloriosissimis judicibus, insuper & prædicta sancta & generali synodo, jussu sacratissimi & piissimi domini nostri in Chalcedonensium civitate congregata, & consedentibus omnibus ante cancellos sanctissimi altaris, Photius reverentissimus episcopus Tyri dixit: Preces obtuli sacratissimo & Christum diligenti C Imperatori: ac jussit vestram magnificentiam una cum sancto hoc & universali concilio causam audire, eamque definire. Oro igitur ut legantur meæ preces, mihique judicium reddatur. Gloriosissimi judices dixerunt: Legantur preces Photii reverentissimi episcopi. Et antequam legerentur, Eustathius reverentissimus episcopus Beryti dixit: Piissimus & Christi amans dominus noster, ac piissima Christique amans domina nostra, vosque gloriosissimi judices & amplissimus Senatus, & sanctum generaleque concilium, cujus principes sunt Deoamabilissimi & sanctissimi patres nostri Leo & Anatolius, fidei causa nos hic congregarunt: ac jubete ante omnia subscribi definitionem, ut prius quæstio fidei absolvatur. Quod si de mea quoque causa D jubetis nunc quæri, non sum in mora, sed protinus respondebo. Gloriosissimi judices dixerunt: Quandoquidem conventus sacratissimus dominus noster a Photio reverentissimo episcopo Tyriorum metropoleos, jussit rem ejus & aliorum episcoporum, qui dicunt læsum esse capitulum, in sanctissimo concilio præsentibus nobis examinari: legantur preces Photii reverentissimi episcopi. Cumque eæ datæ essent, Constantinus devotus secretarius sacri consistorii legit:

Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ δεκατεσσάρων καλανδῶν Νοεμβρίων, ἐν Καλχηδόνι, κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου δεσπότου ἡμῶν, συνελθόντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας μάρτυρος Εὐφημίας, τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου, ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου, καὶ λοιπῶν τῶν προειρημένων μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων, παρούσης δὲ καὶ τῆς προειρημένης ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Καλχηδονέων πόλει συναθροισθείσης, καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου θυσιαστηρίου, Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπε· δεήσεις ἐπιδέδωκα τῷ θειοτάτῳ καὶ φιλοχρίστῳ βασιλεῖ, καὶ ἐκέλευσε τὴν ὑμετέραν μεγαλοπρέπειαν, ἅμα τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ ἀκοῦσαι τοῦ πράγματος, καὶ τύπον δοῦναι αὐτῷ. παρακαλῶ τοίνυν, ἀναγνωσθῆναί μου τὰς δεήσεις, καὶ τὰ δίκαια ὑπαρχθῆναί μοι. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγνωσθήσονται αἱ δεήσεις Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου. καὶ πρὸ τῆς ἀναγνώσεως, Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· ὁ εὐσεβέστατος καὶ φιλόχριστος ἡμῶν δεσπότης, καὶ ἡ εὐσεβεστάτη καὶ φιλόχριστος ἡμῶν δέσποινα, καὶ ὑμεῖς οἱ ἐνδοξότατοι καὶ φιλόχριστοι ἄρχοντες, καὶ μεγίστη σύγκλητος, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἧς ἐξάρχουσιν οἱ θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες ἡμῶν Λέων καὶ Ἀνατόλιος, τῆς πίστεως ἕνεκεν ἡμᾶς ἐνταῦθα συνήγαγον. καὶ κελεύσατε πρὸ πάντων ὑπογραφῆναι τὸν ὅρον, ἵνα πρότερον πληρωθῇ τὰ περὶ τῆς πίστεως. εἰ δὲ καὶ περὶ τοῦ ἐμοῦ πράγματος κελεύετε νῦν ζητηθῆναι, οὐχ ὑπερτίθεμαι, ἀλλ' εὐθὺς τὰς ἀποκρίσεις ποιοῦμαι. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐπειδὴ προσελθόντος ὁ θειότατος ἡμῶν βασιλεὺς παρὰ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυρίων μητροπόλεως, ἐκέλευσε καὶ τὸ κατ' αὐτὸν καὶ τοὺς ἄλλους ἐπισκόπους, τοὺς βεβλάφθαι λέγοντας, κεφάλαιον ἐν τῇ ἁγιωτάτῃ συνόδῳ παρόντων ἡμῶν ἐξετασθῆναι· ἀναγνωσθήτωσαν αἱ δεήσεις Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου. * Καὶ ἐπιδοθεισῶν αὐτῶν, Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω.

* In ms. Paγκρίσι.

Terræ & maris, omniumque hominum nationis & generis dominis, Flaviis Valentiniano & Marciano, perpetuis & triumphatoribus Augustis, preces & supplicatio a Photio episcopo Tyriorum civitatis E vestræ primæ Phœnices.

Τοῖς γῆς καὶ θαλάττης, καὶ πάντων ἀνθρώπων ἔθνους καὶ γένους δεσπόταις, Φλαυίοις Οὐαλεντινιανῷ καὶ Μαρκιανῷ, τοῖς αἰωνίοις καὶ τροπαιούχοις Αὐγούστοις, δέησις καὶ ἱκετηρία παρὰ Φωτίου ἐπισκόπου τῆς Τυρίων πόλεως τῆς ὑμετέρας πρώτης Φοινίκης.

Quicumque ea quæ ex sententia sunt, volunt adipisci, non aliter poterunt, quam si vestris vestigiis advoluti, inde spei suæ fructum aliquem capere valeant; ac maxime cum jus supplicationibus eorum adest. Ego igitur ad has preces veni, persuasum habens, quod non a jure exciderem. Quænam igitur causa sit precum mearum, brevis edocebit sermo. Sanctissimæ Tyriorum ecclesiæ ex priscis & immemorabilibus temporibus a sanctis canonibus certa definita sunt jura, tum in ecclesiastica administratione, tum in ordinationibus. Ejusmodi jura Eustathius reverentissimus episcopus Berytiorum civitatis, cum nonnullorum pro

Πάντες ὅσοι τῶν κατὰ γνώμην τυχεῖν ἐθέλουσιν, οὐκ ἄλλως δυνηθήσονται, εἰ μὴ τοῖς ὑμετέροις ἴχνεσι προσπέσοιεν, ἐκεῖθεν τῶν ἐλπιζομένων καρπόν τινα ἀπολαῦσαι ἐξισχύουσιν· ὅταν μάλιστα τὸ δίκαιον ταῖς αὐτῶν ἱκετείαις προσῇ. κἀγὼ τοίνυν ἐπὶ τάσδε τὰς λιτὰς ἐλήλυθα, πίστας ἐμαυτόν, ὡς οὐ διαμαρτήσομαι τοῦ δικαίου. τίς τοίνυν ἡ αἰτία τῶν ἐμῶν δεήσεων, βραχὺς ἀναδιδάξει λόγος. τῇ Τυρίων ἁγίᾳ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐξ ἀρχαίων καὶ ἀμνημονεύτων τῶν χρόνων, ἀπὸ τῶν ἁγίων κανόνων φανερὰ ἀφώρισται δίκαια ἔν τε διοικήσει τῇ ἐκκλησιαστικῇ, καὶ ἐν ταῖς χειροτονίαις. τὰ τοιαῦτα δίκαια Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Βηρυτίων πόλεως, σπουδῇ

ANNO CHRISTI 451.

ᵃ Forte, χειροτονίᾳ ἰσχ.

κατὰ ᵃ καιρόν τινα ἰσχυρὸς, παραφθάσας ἐπεχείρησε, θείας πεπορισμένος ἀντιγραφὰς ἐπὶ τῆς θείας λήξεως Θεοδοσίου· δι' ὧν ἐβουλήθη, ἐκδικῶν ἑαυτῷ φαίνεσθαι πολιτῶν χειροτονίας, τινὰ τῶν δικαίων τῆς προειρημένης ἐκκλησίας εἰς ἑαυτὸν μεταθεῖναι· τοσαύτῃ δὲ ὁ μνημονευθεὶς ὁσιώτατος ἐπίσκοπος εἰς τὸ περιγράψαι τὰ ἐν τῇ ἐκκλησίᾳ δίκαια ἐνστάσει ἐχρήσατο, ὡς καὶ συνοδικὸν πρός με παρασκευάσαι ἐκπεμφθῆναι, καθαίρεσιν ἀπειλοῦν, εἰ μή γε τῷ τοιούτῳ ὑποσημειώσομαι χάρτῃ· ᾧ τινι ἐγὼ οὐκ ἐκ προθέσεως, δεῖ δὲ τῆς ἐν αὐτῷ ἐγκειμένης ἀπειλῆς, ὑποσημειωσάμενος, τὴν ἐπενεχθεῖσάν μοι ἀνάγκην διὰ τῆς ὑπογραφῆς ἐσήμανα. ἔγραψα γὰρ, ὡς κελευσθεὶς ὑπέγραψα, εἰδὼς, ὡς οὐδὲν τοῦτο προκρίνει μοι, τῶν θείων καὶ τῶν θείων νόμων τὰ μὴ ἐκ προθέσεως, ἐξ ἀνάγκης δὲ γινόμενα μηδεμίαν ἔχειν ἰσχὺν διοριζόντων. ἐπὶ δὲ τῆς ὑμετέρας εὐσεβείας, οὐκ ἴσασι πεῖραν παρειληφότες ἄνθρωποι πάντες, ὡς οὔτε ἄλογος προστασία κρατεῖ, οὔτε τις μὴ ἀρχαιότητι ἐγνωσμένην ἐκδικεῖν ἑαυτῷ τι ἐθελήσας κατὰ καινοτομίαν, δυνήσεται. δέομαι οὖν προσκυλινδούμενος τῶν ὑμετέρων ἰχνῶν, θεσπίσαι τὸ οὐράνιον ὑμῶν κράτος, πάντα τὰ ἐξ ἀρχῆς ἐκ τῶν θείων κανόνων ἀφορισθέντα τῇ προειρημένῃ ἁγιωτάτῃ ἐκκλησίᾳ, ἄπτωτα μένειν· εἰ τι δὲ ὑπεναντίον τῆς ἀρχαιότητος παρὰ τοῦ μνημονευθέντος, ἢ παρ' ἑτέρου τινὸς αὐτῷ προσθέντος ἐπικεχείρηται, τοῦτο ἄκυρον τυγχάνειν, καὶ μηδεμίαν ἔχειν ἰσχύν· ἀλλ' ἀποδοθῆναι ἄτρωτα τὰ δίκαια τῆς ἐν Τύρῳ ἁγιωτάτης ἐκκλησίας, ἀργεῖν δὲ πάντα τὰ ἐκ συναρπαγῆς τῷ μνημονευθέντι πορισθέντα, τοῦτο μὲν θεῖα γράμματα, τοῦτο δὲ καὶ ἀποφάσεις οἱωνδήποτε μειζόνων δικαστηρίων. καὶ εἴ τις δὲ τούτων χάριν συναίνεσις παρά τινων ἁγιωτάτων ἐπισκόπων γεγένηται ἐπ' ἀναιρέσει τῆς ἀρχαιότητος καὶ τῶν θείων κανόνων, μηδεμίαν ἔχειν ἰσχύν· μηδενός μοι προκρίματος γινομένου ἐκ τῆς παρ' ἐμοῦ γεγενημένης ἐν τῷ συνοδικῷ, καθ' ὃν εἴρηκα τρόπον, ὑποσημειώσεως· θείου ὑμῶν καὶ προσκυνουμένου τύπου πραγματικοῦ περὶ τούτου καταπεμπομένου πρός τε τοὺς μεγαλοπρεπεστάτους καὶ ἐνδοξοτάτους ἐπάρχους τῶν ἱερῶν ὑμῶν πραιτωρίων, καὶ πρὸς τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον στρατηλάτην τῆς ἕω, καὶ πρὸς τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον μάγιστρον τῶν θείων ὑμῶν ὀφφικίων, καὶ τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, τὴν ἐν τῇ Καλχηδονέων χάριτι Χριστοῦ, καὶ νεύματι ὑμετέρῳ ἀθροισθεῖσαν· ὡς ἂν μηδὲν ὑπεναντίον τῶν παρὰ τῆς ὑμετέρας εὐσεβείας θεσπιζομένων, προβῆναι δυνηθείη. πέφυκε γὰρ τὰ τῶν ἱερῶν δίκαια μηδέποτε ἐλαττοῦσθαι ἀπὸ τῆς τῶν προεστώτων χαυνότητος. καὶ τούτου τυχὼν, τὰς συνήθεις εὐχὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους ποιήσομαι διηνεκῶς.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τί πρὸς ταῦτα δικαιολογεῖται ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Βηρυτίων Εὐστάθιος; Εὐστάθιος ἐπίσκοπος εἶπε· κελεύσατε αὐτὸν εἰπεῖν, εἴτε κανονικῶς κινεῖ, εἴτε κατὰ νόμους. Φώτιος ἐπίσκοπος εἶπε· ᵇ προσῆλθον τῷ εὐσεβεστάτῳ βασιλεῖ, ὥστε τυχεῖν τῶν δικαίων τὸν θρόνον τῆς Τυρίων. καὶ ὅτι παλαιὸν ἔθος ἐζήτησεν ἀνατρέψαι Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐρωτηθῶσιν οἱ κύριοι καὶ ἁγιώτατοι ἐπίσκοποι. ἐγὼ γὰρ τῶν κανόνων οὐκ ἐξίσταμαι, οὔτε τύπους τῶν πατέρων ἀνατρέψαι βούλομαι· ἀλλ' ἐκεῖνα τὰ δίκαια μὴ ἀνατραπῆναι αἰτῶ. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τῷ θειοτάτῳ δεσπότῃ τῆς οἰκουμένης ἤρεσε, μὴ κατὰ θεῖα γράμματα, ἢ πραγματικοὺς τύπους, τὰ τῶν ὁσιωτάτων ἐπισκόπων προβαίνειν, ἀλλὰ κατὰ τοὺς κανόνας τοὺς παρὰ τῶν ἁγίων πατέρων νομοθετηθέντας. πάσης τοίνυν ἀργούσης ἐκ θείων πραγματικῶν διατυπώσεως, οἱ περὶ τούτου κεφαλαίου κείμενοι κανόνες ἀναγινωσκέσθωσαν. καὶ πρὸ τῆς ἀναγνώσεως τῶν κανόνων, Εὐστάθιος ἐπίσκοπος εἶπε· τῶν ποδῶν ὑμῶν, ἐπειδὴ διέβαλέ με, ὡς κατὰ σπουδὴν ἀνύσαντα, παρακαλῶ πληροφορηθῆναι τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, ὅτι οὐδὲν ἐξ ἐμοῦ πέπρακται. οὔτε γὰρ οὕτω τολμηρὸς ἤμην, ὥστε κατὰ τῶν κανόνων τῶν πατέρων ἐλθεῖν. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· λεγέτω ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, εἴ γε αὐτῇ ἀρέσκει, κατὰ τοὺς κανόνας τῶν πατέρων ἐξετασθῆναι τὴν περὶ τούτου ζήτησιν, ἢ κατὰ τὰ θεῖα πραγματικά, περὶ ὧν τὰ παραστάντα τῇ θείᾳ κορυφῇ ἤδη πᾶσι φανερὰ κατεστήσαμεν. ἡ ἁγία

ᵇ Forte, προσῆλθον ex Latino.

ACTIO QUARTA.

A tempore studia habuisset, violare conatus est, sacra faciens rescripta sub Theodosio divae memoriae, quibus voluit, certarum civitatum sibi ordinationes asserens, quaedam jura praedictae ecclesiae in se transferre. Tanta autem memoratus sanctissimus episcopus ad circumscribendum ecclesiae jura, instantia usus est, ut synodicum ad me curaverit mitti, depositionem comminans, nisi tali chartae subsignarem: cui cum, non ex proposito, sed metu minarum quae ei inerant, subsignassem, impositam mihi necessitatem subscriptione significavi. Scripsi enim, quod jussus subscripsi; cum scirem nihil hoc mihi praejudiciare: quod sacrae divinaeque leges ea quae non ex proposito, sed ex necessitate fiunt, nullam vim habere definiant. Sub vestra autem pietate, sciunt qui- B cumque experimentum sumpsere, quod neque pro aliquo homine sine ratione stare quidquam pollet; nec si quis velit quod vetustati ignotum sit, per novitatem usurpare, id poterit. Obsecro igitur provolutus vestris pedibus: ut sanciat caeleste vestrum Imperium, ut omnia quae primitus a sacris regulis attributa sunt praedictae sanctissimae ecclesiae, integra maneant: si quid vero contra antiquitatem memoratus, vel quivis alius qui cum eo faciat, aggressus sit, id irritum sit & vanum, nec ullam vim habeat; sed reddantur integra jura sanctissimae Tyri ecclesiae: cessent vero omnes, quae ex subreptione a memorato quaesitae sunt tum sacrae litterae, tum sententiae quorumcumque maximorum judiciorum. Ac si quis horum gratia a quibusdam episcopis C assensus factus sit ad evertendam vetustatem & sacras regulas, nullam vim habeat; nullo mihi facto praejudicio ex ea quae a me in synodico facta est, quemadmodum dixi, subsignatione: de hoc mittendo sacrum vestrum & venerandum typum pragmaticum ad magnificentissimos & gloriosissimos praefectos sacrorum vestrorum praetoriorum, & ad magnificentissimum & gloriosissimum praefectum exercituum Orientis, & ad gloriosissimum magistrum sacrorum vestrorum officiorum, atque ad sanctum & oecumenicum concilium, quod Chalcedone Christi gratia & nutu vestro collectum est: ut nihil contra ea quae a vestra pietate sanciuntur, procedere possit. Natura enim comparatum est, ut sacrorum jura numquam imminuantur a praefectorum ᵃ vanitate. Hoc cum adeptus fuero, consue- D tas preces pro aeterno vestro Imperio jugiter faciam.

ᵃ al. inertia, sive mollitie.

Magnificentissimi & gloriosissimi judices dixerunt: Quid ad haec allegat reverentissimus episcopus Berytiorum Eustathius? Eustathius episcopus dixit: Jubete eum dicere, utrum secundum canones moveat, an secundum leges. Photius episcopus dixit: Adii religiosissimum Imperatorem, ut sedes Tyriorum sua jura adipisceretur. Quod autem vetustum morem studuerit evertere Eustathius reverentissimus episcopus, interrogentur domini & sanctissimi episcopi. Ego enim a regulis non discedo, nec volo typos patrum evertere; sed postulo ne illa jura evertantur. Gloriosissimi judices dixerunt: Sacratissimo domino orbis terrae placuit, E non juxta sacras litteras aut pragmaticos typos, res sanctissimorum episcoporum procedere, sed juxta regulas a sanctis patribus latas. Omni igitur cessante e sacris pragmaticis definitione, canones de hoc capitulo editi legantur. Et ante canonum lectionem, Eustathius episcopus dixit: Per vestigia vestra; quoniam me calumniatus est, quasi studio fecerim, obsecro sanctum & universale concilium ᵇ satisfactionem accipere, quod nihil per me actum est. Neque enim ita audax fuissem, ut patrum regulis adversarer. Gloriosissimi judices dixerunt: Dicat sancta & universalis synodus, utrum ei placeat, ex regulis patrum hujus causae quaestionem examinari, an e sacris pragmaticis: de quibus quid sacro apici visum sit, jam omnibus apertum fecimus. Sancta

Hic loco, & alibi saepe, per sacras litteras intelliguntur Imperatorum litterae.

ᵇ al. doceri,

synodus dixit: Contra regulas nihil pragmaticum valebit. Regulæ patrum teneant. Gloriosissimi judices dixerunt: Nunc tempus est edoceri nos a sancta synodo, an liceat ex sacro pragmatico alienæ ecclesiæ jura ab aliis episcopis averti. Sancta synodus dixit: Non licet hoc: est præter regulas. Gloriosissimi judices dixerunt: Cum apertum responsum sit, quod sancta synodus dedit, dicat reverentissimus episcopus Photius, quas ecclesias quæ sub se metropolitano episcopo essent, abstulit reverentissimus episcopus Eustathius, aut quid gestum sit de ordinationibus quæ ab ipso factæ fuerant. Photius episcopus Tyri dixit: Cepit Byblon, Borryn, Tripolim, Orthosiadem, Arcas, Antaradon, ac precor, ut benignitas vestra jubeat, eas sedi Tyri restitui; atque ut de aliis quæ facta sunt, amplitudo vestra cognoscat. Eustathius reverentissimus episcopus dixit: Concilium reverentissimorum episcoporum factum est Constantinopoli, ac data definitio est, cui etiam Maximus reverentissimus episcopus Antiochiæ subscripsit. Maximus reverentissimus episcopus Antiochiæ dixit: Charta mihi allata est, quæ habebat subscriptionem sanctissimi archiepiscopi Anatolii: quem ego sequens, subscripsi. Gloriosissimi judices dixerunt: Aderat igitur reverentia tua synodo, quæ sub sanctissimo archiepiscopo Anatolio hæc definiebat, & gestis consensit? Maximus reverentissimus episcopus Antiochiæ dixit: Eram Constantinopoli; cum vero concilium de hoc haberetur, non adfui: sed mihi allata est charta, & subscripsi. Eustathius episcopus dixit: Vestram potestatem & sanctam synodum doceo, quod nunc non allego, ut omnino capiam; sed ut vobis persuadeam, quod calumniatus est me; neque enim ego religiosissimo Imperatori preces obtuli, ut Berytum metropolim facerem. Consuetudo autem Imperatoris est facere metropoles. Nec vero ego civitates divisi, sed sancta divisit synodus. Quemadmodum & nunc, cum pauci Constantinopoli convenissent, missa est epistola almi archiepiscopi Leonis, iis qui ubique essent, metropolitis, & subscripta est: sic tunc quæ visa erant præsentibus sanctissimis episcopis, allata sunt & subscripta. Photius reverentissimus episcopus Tyri dixit: A me ordinatio facta est, cum juxta vetustum ordinem, qui de provincia sunt, mihi adessent: atque inde primum missa est mihi absenti excommunicatio, ac mansi excommunicatus centum viginti duos dies, ac duos rursum ordinavi episcopos: eos deposuit, presbyterosque fecit. Magnificentissimi & gloriosissimi judices dixerunt: Quis misit? Photius reverentissimus episcopus Tyri dixit: Nescio; inde missa est. Anatolius reverentissimus archiepiscopus Constantinopolis dixit: Quædam egit nullo more atque ordine; hic indignata synodus, & juxta regulas commota, excommunicationem ei misit. Magnificentissimi & gloriosissimi judices dixerunt: Dicat sancta synodus, licueritne sanctissimo archiepiscopo Anatolio, absenti reverentissimo episcopo Photio excommunicationem mittere, ac jubere ut ei certæ ecclesiæ in provincia auferrentur: & an synodum appellare oporteat conventum episcoporum qui in regia civitate diversantur. Tryphon reverentissimus episcopus Chii dixit: Synodus appellatur, & conveniunt, & laborantes aliqua oppressione sua jura nanciscuntur. Atticus reverentissimus episcopus Zelorum dixit: At absentem nemo damnat. Omnes reverentissimi episcopi acclamaverunt: Nemo absentem condemnat. Anatolius reverentissimus episcopus Constantinopolis dixit: Tenuit pridem consuetudo, ut qui in magna hac civitate morantur sanctissimi episcopi, cum eos temporis occasio vocat de emergentibus quibusdam ecclesiasticis causis, conveniant, ac singula definiant, responsoque eos dignentur, qui precantur aliquid. Nihil ergo a me factum est, quod novitati sit affine: nec qui ex consuetudine consederunt sanctissimi qui in civitate

A σύνοδος εἶπε. κατὰ τῶν κανόνων ᵃ πραγματικὸν μηδὲν ἰσχύσῃ· οἱ κανόνες τῶν πατέρων κρατείτωσαν. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· νῦν καιρός ἐστι διδαχθῆναι ἡμᾶς παρὰ τῆς ἁγίας συνόδου, εἰ ἔξεστι κατὰ θεῖον πραγματικὸν ἀλλοτρίας ἐκκλησίας δίκαια ἑτέροις ἐπισκόποις περιαιρεῖσθαι. ἡ ἁγία σύνοδος εἶπεν· οὐκ ἔξεστι τοῦτο· παρὰ τοὺς κανόνας ἐστίν. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· φανερᾶς γενομένης τῆς ἀποκρίσεως, ἣν ἔδωκεν ἡ ἁγία σύνοδος, λεγέτω ὁ εὐλαβέστατος ἐπίσκοπος Φώτιος, ποίας ἐκκλησίας ὑπὸ αὐτὸν μητροπολίτην τυγχάνοντα ἐπίσκοπον ἀφείλετο ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐστάθιος, ἢ τί περὶ τῶν χειροτονιῶν τῶν ὑπ' αὐτοῦ γενομένων πέπρακται. Φώτιος ἐπίσκοπος Τύρου εἶπεν· ἔλαβε ᵇ Βίβιον, Βότρυον, Τρίπολιν, Ὀρθωσιάδα, Ἄρκας, Ἀντάραδον· καὶ παρακαλῶ, κελεῦσαι τὴν ὑμετέραν φιλανθρωπίαν, ταύτας τῷ θρόνῳ Τύ-

B ρου ᶜ ἀποκατασταθῆναι, καὶ περὶ τῶν γενομένων ἑτέρων μανθάνειν τὸ ὑμέτερον μέγεθος. Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· σύνοδος εὐλαβεστάτων ἐπισκόπων γέγονεν ἐν Κωνσταντινουπόλει· καὶ ὅρος ἐδόθη, ᾧ τινι καὶ Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας ὑπέγραψε. Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπε· χάρτης μοι ἠνέχθη, ἔχων ὑπογραφὴν τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου· καὶ τούτῳ ἀκολουθήσας κἀγὼ, ὑπέγραψα. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· παρῆν οὖν ἡ σὴ εὐλάβεια τῇ συνόδῳ, τῇ ἐπὶ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου ταῦτα τυπούσῃ, καὶ τοῖς πραχθεῖσι συνῄνεσας; Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· ἐν Κωνσταντινουπόλει ἤμην. συνόδου γενομένης περὶ τούτου, οὐ παρήμην· ἀλλ' ἠνέχθη μοι χάρτης, καὶ ὑπέγραψα. Εὐστάθιος ἐπί-

C σκοπος εἶπε· διδάσκω τὴν ὑμετέραν ἐξουσίαν, καὶ τὴν ἁγίαν σύνοδον, ὡς οὐ νῦν δικαιολογοῦμαι περὶ τοῦ πάντως λαβεῖν, ἀλλὰ περὶ τοῦ πεῖσαι, ὅτι ἐσυκοφάντησέ με. ἐγὼ γὰρ, οὔτε δεήσεις ἐπιδέδωκα τῷ εὐλαβεστάτῳ βασιλεῖ, ἵνα μητρόπολιν Βηρυτὸν ποιήσῃ· ἔθος δὲ τῷ βασιλεῖ ποιεῖν τὰς μητροπόλεις. καὶ τὰς πόλεις δὲ οὐκ ἐγὼ διεῖλον, ἀλλὰ ἡ ἁγία σύνοδος διεῖλεν· ὥσπερ καὶ νῦν ὀλίγων συνελθόντων ἐν Κωνσταντινουπόλει, ἐπέμφθη ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος τοῖς ἁπανταχοῦ μητροπολίταις, καὶ ὑπεγράφη· οὕτω καὶ τότε τὰ δόξαντα τοῖς παροῦσιν ὁσιωτάτοις ἐπισκόποις προσηνέχθη, καὶ ὑπεγράφη. Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπε· χειροτονία ἐγένετο παρ' ἐμοῦ, τῶν τῆς ἐπαρχίας συνόντων μοι κατὰ τὴν ἀκολουθίαν τὴν παλαιάν, καὶ ἐπέμφθη μοι ἐντεῦθεν πρῶτον μὲν ἀκοινωνησία λοιπὸν, καὶ ἔμει-

D να ᵈ ἀκοινώνητος ρκβ΄. ἡμέρας· καὶ δύο πάλιν ἐχειροτόνησα ἐπισκόπους· καὶ καθεῖλεν αὐτοὺς, καὶ ἐποίησε πρεσβυτέρους. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τίς ἐστιν ὁ πέμψας; Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· οὐκ οἶδα· ἐντεῦθεν ἐπέμφθη. Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἀνακόλουθά τινα ἔπραξε. καὶ ἀγανακτήσασα ἡ σύνοδος ἐνταῦθα, κατὰ κανόνας κινηθεῖσα, ἀκοινωνησίαν αὐτῷ ἔπεμψεν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· λεγέτω ἡ ἁγία σύνοδος, εἰ ἐξῆν τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Ἀνατολίῳ, ἀπόντι Φωτίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ ἀκοινωνησίαν καταπέμψαι, καὶ προστάξαι ἀφαιρεθῆναι αὐτὸν φανερὰς κατὰ τὴν ἐπαρχίαν ἐκκλησίας· καὶ εἰ σύνοδον χρὴ καλεῖν, τῶν ἐπιδημούντων τῇ βασιλίδι πόλει τὴν συνέλευσιν. Τρύφων ὁ

E εὐλαβέστατος ἐπίσκοπος Χίου εἶπε· σύνοδος καλεῖται, καὶ συνάγονται· καὶ οἱ καταπονούμενοι τῶν δικαίων ἀπολαύουσιν. Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ζήλων εἶπεν· ἀλλ' ἀπόντα οὐδεὶς κατακρίνει. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ἀπόντα οὐδεὶς κατακρίνει. Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε· συνήθεια ἄνωθεν κεκράτηκε, τοὺς ἐνδημοῦντας τῇ μεγαλωνύμῳ πόλει ἁγιωτάτους ἐπισκόπους, ἡνίκα καιρὸς καλέσῃ περὶ ἀνακυπτόντων τινῶν ἐκκλησιαστικῶν πραγμάτων, συνιέναι, καὶ διατυποῦν ἕκαστα, καὶ ἀποκρίσεως ἀξιοῦν τοὺς δεομένους. οὐδὲν τοίνυν καινοτομίας παρ' ἐμοῦ ἐχόμενον γεγένηται, οὐδὲ συνεδρευσάντων κατὰ τὸ σύνηθες οἱ ἐνδημοῦντες ἁγιώτατοι ἐπίσκο-

ANNO CHRISTI 451.

ᵃ Forte, πραγματικὸν

ᵇ Lege, Βίβλον.

ᶜ Forte, ἀποκατασταθῆναι.

ᵈ Forte, ἀκοινώνητος.

ANNO CHRISTI 451.

ᵃ Forte, κοινὸν Lat.

ᵇ Forte, Ῥωμαϊκῇ φωνῇ

τοι ᵃ καινὸν τύπον ἐξηνέγκαν. καὶ δείκνυσι τὴν παρουσίαν τῶν ἐπισκόπων ἡ γενομένη πρᾶξις. Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· ἡ μεγαλοπρέπεια ὑμῶν ἠρώτησεν ἡμᾶς, εἰ ἔξεστι τὸν ἀπόντα καταδικάζεσθαι. πρὸς ὃ δέδωκα τὴν ἀπόκρισιν ᵇ Ῥωμαϊκῇ φωνῇ· ἐν ταῖς θείαις κεῖνται γραφαῖς, οὕτω περιέχουσαι τῇ βίβλῳ τῶν πράξεων· οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα, πρὶν ἂν ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπεν· οὐδὲν ἕτερον ἀξιῶ, καὶ δέομαι τῆς ὑμετέρας δικαιοκρισίας, ἢ τοὺς κανόνας σῶσαι, καὶ τοὺς παρ' ἐμοῦ μὲν χειροτονηθέντας ἐνθέσμως, ἐκβληθέντας δὲ, καὶ γενομένους πρεσβυτέρους, ἀποκατασταθῆναι, καὶ λαβεῖν με τὰς ἐκκλησίας. ἡ ἁγία σύνοδος ἐβόησεν· αὕτη δικαία αἴτησις· οἱ κανόνες κρατείτωσαν· δικαία ἡ αἴτησις Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγνωσθήτωσαν οἱ κανόνες. Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως Ἠπείρου ἀνέγνω.

Τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κανὼν δ΄.

Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίστασθαι. εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι· τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· παρῆσαν ποτε οἱ τῆς ἐπαρχίας ἐπίσκοποι, ὅτε ἐχειροτονεῖτο ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐστάθιος; Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· ἀφ' οὗ μητροπολίτης ἐγενόμην, παρῆσαν σὺν ἐμοὶ οἱ δόξαντές μοι· νῦν δὲ ἔξεστι τῷ εὐσεβεστάτῳ βασιλεῖ κελεύειν ὃ βούλεται. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἡ ἁγία σύνοδος τὸ παριστάμενον αὐτῇ διδασκέτω· πότερον ἀρέσκει, κατὰ τὸν κανόνα τῶν ἁγίων τριακοσίων δεκαοκτὼ πατέρων, ἕνα μητροπολίτην ἐπίσκοπον εἶναι, τὸν ἐν ταῖς χειροτονίαις τῶν κατὰ πόλιν ἑκάστης ἐπαρχίας εὐλαβεστάτων ἐπισκόπων τὸ κῦρος ἔχοντα, ἢ δύο εἶναι καὶ ἐξεῖναι αὐτοῖς κεχωρισμένως ἐν ταῖς πόλεσι τὰς χειροτονίας ποιεῖσθαι. ἡ ἁγία σύνοδος εἶπεν· ἕνα κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων ἀξιοῦμεν εἶναι μητροπολίτην· δεόμεθα, τοὺς κανόνας τῶν ἁγίων πατέρων κρατεῖν. Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως Ἠπείρου εἶπεν· ὁ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων κανὼν ἕνα βούλεται μητροπολίτην καθ' ἑκάστην ἐπαρχίαν εἶναι ἐπίσκοπον· καὶ ἱκετεύομεν καὶ νῦν τὴν δύναμιν τῶν κανόνων εἰς πάντα καὶ πάσας τὰς ἐπαρχίας ἰσχύειν· ἀργούντων πάντων τῶν ἐκ περιδρομῆς πραγματικῶν γινομένων, καὶ ἀνατρεψάντων τὰ πνευματικῶς καὶ κατὰ Θεὸν θεσπισθέντα παρὰ τῶν ἁγίων πατέρων. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· καὶ κατὰ τοὺς κανόνας τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων, καὶ κατὰ τὴν ψῆφον καὶ δικαίωσιν πάσης τῆς ἁγίας συνόδου, Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τυρίων μητροπόλεως τὴν πᾶσαν ἐξουσίαν τοῦ χειροτονεῖν ἐν ὅλαις ταῖς πόλεσι τῆς πρώτης Φοινίκης ἐπαρχίας ἕξει· Εὐστάθιος δὲ ὁ εὐλαβέστατος ἐπίσκοπος ἀπὸ τοῦ θείου πραγματικοῦ τύπου μηδὲν πλέον ἑαυτῷ ἐκδικείτω τῶν λοιπῶν ἐπισκόπων τῆς αὐτῆς ἐπαρχίας. καὶ εἰ συναινεῖ τούτοις ἡ ἁγία σύνοδος, διδασκέτω. ἡ ἁγία σύνοδος ἐβόησεν· αὕτη δικαία κρίσις· αὕτη Θεοῦ κρίσις· αὕτη δικαία ψῆφος. πολλὰ τὰ ἔτη τῶν βασιλέων· πολλὰ τὰ ἔτη τῆς Αὐγούστης· πολλὰ τὰ ἔτη τῶν ἀρχόντων. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· περὶ τῶν ἐπισκόπων τῶν χειροτονηθέντων παρὰ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, ἀποκινηθέντων δὲ παρὰ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, καὶ μετὰ τὴν ἐπισκοπὴν πρεσβυτέρους εἶναι κελευσθέντων, τί παρίσταται τῇ ἁγίᾳ συνόδῳ; ἡ ἁγία σύνοδος εἶπεν· ἐπισκόπους αὐτοὺς εἶναι ἀξιοῦμεν· δίκαιον αὐτοὺς ἐπὶ

A erant episcopi, novam formam protulerunt; ac ostendit præsentiam episcoporum actio quæ facta est. Eunomius reverentissimus episcopus Nicomediæ dixit: Magnificentia vestra nos percontata est, num liceat absentem condemnare. Ad hoc responsum ᵃ do Romana voce: In divinis est scripturis, sic continens in libro Actorum: *Non est Romanis consuetudo donare aliquem hominem, priusquam is qui accusatur, præsentes habeat accusatores, locumque defendendi accipiat ad diluenda crimina.* Photius reverentissimus episcopus dixit: Nihil aliud postulo, precorque vestrum justum judicium, nisi ut faciatis ut regulæ stent: utque ii qui a me legitime ordinati sunt, postea vero ejecti, & facti presbyteri, restituantur, ac ut ego ecclesias meas recipiam. Sancta synodus acclamavit: Hoc justum postulatum; B regulæ teneant; justa petitio Photii reverentissimi episcopi. Magnificentissimi & gloriosissimi judices dixerunt: Legantur regulæ. Atticus reverentissimus episcopus Nicopolis Epiri legit:

ACTIO QUARTA.

ᵃ Forte, do: Romana vox in divinis

Act. 25. 16.

Trecentorum decem & octo sanctorum patrum, qui Nicææ convenerunt, Canon quartus.

Episcopum maxime quidem convenit ab omnibus qui in provincia sunt, ᵇ *constitui. Si vero id difficile fuerit, aut propter urgentem necessitatem, aut propter itineris longitudinem, omnino tres simul conveniant, suffragantibus etiam absentibus, & per litteras assensum suum declarantibus: ac tunc ordinatio fiat. Suprema vero auctoritas eo-* C *rum quæ fiunt, detur in unaquaque provincia metropolitæ.*

ᵇ al. ordinari

Magnificentissimi & gloriosissimi judices dixerunt: Aderantne provinciæ episcopi, cum ordinaretur reverentissimus episcopus Eustathius? Eustathius reverentissimus episcopus Beryti dixit: Ex quo factus sum metropolita, una mecum adfuerunt qui mihi sunt visi: nunc autem licet piissimo Imperatori jubere quod vult. Magnificentissimi & gloriosissimi judices dixerunt: Sancta synodus quid sibi videatur, doceat: utrum placeat, juxta regulam sanctorum trecentorum decem & octo patrum, unum metropolitanum episcopum esse, qui in ordinationibus reverentissimorum episcoporum in unaquaque provinciæ civitate potestatem habeat, an duos; ita ut iis liceat separatim in civitatibus ordina- D tiones facere. Sancta synodus dixit: Unum, juxta regulas sanctorum patrum, volumus esse metropolitam; petimus ut regulæ sanctorum patrum teneant. Atticus reverentissimus episcopus Nicopolis civitatis Epiri didixit: Trecentorum decem & octo patrum regula unum vult metropolitam in unaquaque provincia episcopum esse; & supplicamus, ut etiam nunc virtus regularum in omnia & in omnes provincias valeat: cessantibus omnibus pragmaticis, quæ ex concursatione & ambitione fiunt, quæque everterunt ea quæ spiritualiter & secundum Deum a sanctis patribus sancita sunt. Magnificentissimi & gloriosissimi judices dixerunt: Juxta regulas trecentorum decem & octo sanctorum patrum, & justam sententiam totius sanctæ synodi, E Photius reverentissimus episcopus Tyriorum metropolis omnem potestatem ordinandi in universis civitatibus primæ Phœnices provinciæ habebit: Eustathius vero reverentissimus episcopus e sacro pragmatico typo nihil amplius sibi vindicet, quam reliqui episcopi ejusdem provinciæ. Et an his consentiat sancta synodus edoceat. Sancta synodus acclamavit: Hoc justum judicium, hoc Dei judicium, hæc justa sententia. Multos annos Imperatorum, multos annos Augustæ, multos annos Judicum. Magnificentissimi & gloriosissimi judices dixerunt: De episcopis ordinatis a Photio reverentissimo episcopo, amotis vero ab Eustathio reverentissimo episcopo, & post episcopatum presbyteris esse jussis, quid videtur sanctæ synodo? Sancta synodus dixit: Episcopos eos esse censemus: justum est eos

recipere episcopatum & civitates, tamquam ordinatos A a metropolita; ordinatio patris Photii teneat. Sebastianus reverentissimus episcopus Berrhœæ Thraciæ dixit: Hoc omnes deprecamur, ut reddatur iis dignitas & episcopatus & sedes & honor, tamquam ordinatis a metropolita. Magnificentissimi & gloriosissimi judices dixerunt: De his finaliter decernere ac definire, sanctæ est synodi. Qua interlocutione Græce interpretata per Veronicianum devotum secretarium sacri consistorii, Paschasinus & Lucentius reverentissimi episcopi, & Bonifacius presbyter, vicarii Apostolicæ sedis Romæ, dixerunt: Episcopum in gradum presbyterii redigere, sacrilegium est. Si vero & causa quædam justa illos ab actu episcopatus amovet, nec presbyteri locum retinere debent. Si autem citra aliquod crimen amoti sunt B dignitate, ad episcopalem dignitatem revertentur. Anatolius reverentissimus archiepiscopus Constantinopolis dixit: Hi qui dicuntur ab episcopali dignitate in presbyteri ordinem descendisse, si quidem ex rationabilibus quibusdam causis damnantur, jure nec in presbyterii quidem honore esse merentur: sin absque aliqua rationabili causa in inferiorem gradum detracti sunt, justum est eos, si quidem non obnoxii cognoscantur, episcopatus recipere dignitatem & sacerdotium. Maximus reverentissimus episcopus Antiochiæ dixit: Ego quoque eadem, quæ Deo amabilissimi & sanctissimi episcopi, sentio de his qui ab episcopis in presbyteros transpositi sunt. Juvenalis reverentissimus episcopus Hierosolymorum dixit: Et ego de hujus- C modi eadem dico. Thalassius reverentissimus episcopus Cæsareæ Cappadociæ dixit: Assentior his quæ in scriptis definita sunt a sanctis patribus, tum Romanis, tum magni nominis Constantinopolis Anatolio. Eusebius reverentissimus episcopus Ancyræ Galatiæ dixit: Sequor sententiam præfatorum sanctorum patrum, ac pronuntiationem justæ illorum sententiæ. Julianus reverentissimus episcopus Coënsium civitatis, & ipse vicarius Apostolicæ sedis, dixit: Inconsequens est, nec pium, eos qui episcopi canonice ordinati sunt, & ordinationem prompto animo susceperunt, rursum presbyteri, præter omnem canonum ordinem, dignitatem habere. Si vero recte accusantur ut deprehensi in quibusdam criminibus, sancta synodus causæ certitu- D dinem explorabit, ac veritate in lucem prolata, episcopi honore carebunt. Nec enim fieri potest, ut minor gradus majori dignitati succedat. Eunomius reverentissimus episcopus Nicomediæ dixit: Qui dignus non est esse episcopus, nec dignus quidem est qui sit presbyter. Omnes reverentissimi episcopi acclamarunt: Justum patrum judicium: omnes eadem dicimus. Patres juste decreverunt: sententia archiepiscoporum polleat. Magnificentissimi & gloriosissimi judices dixerunt: Quæ placita sunt sanctæ synodo, in omne tempus firma custodiantur.

Cecropius reverentissimus episcopus Sebastopolis dixit: Ne potestas vestra accusationem & querimonias a quacumque persona accipiat, & fatigetur, neve nos E conteramur; petimus ut sine contradictione cessent ea pragmatica, quæ in detrimentum canonum a quibusdam facta sunt in omni provincia: canones autem per omnia teneant. Sic enim & fides custoditur, & unaquæque ecclesia tutum statum habebit: ac ne liceat aliquos præter canones ordinare. Magnificentissimi & gloriosissimi judices dixerunt: Si tota sanctissima synodus consentit petitioni Cecropii reverentissimi episcopi, doceat. Sancta synodus acclamavit: Omnes eadem dicimus, universa pragmatica cessabunt, regulæ teneant: & hoc a vobis fiat. Magnificentissimi & gloriosissimi judices dixerunt: Ex sententia sanctæ synodi, in aliis quoque omnibus provinciis regulæ teneant. Sancta synodus acclamavit: Multos annos Imperatoris, multos annos

ἀπολαβεῖν τὴν ἐπισκοπὴν καὶ τὰς πόλεις, ὡς χειροτονηθέντας παρὰ τοῦ μητροπολίτου. ἡ χειροτονία τοῦ πατρὸς Φωτίου κρατείτω. Σεβαστιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βερροίας Θρᾴκης εἶπε· τοῦτο πάντες παρακαλοῦμεν, ἀποδοθῆναι αὐτοῖς καὶ τὴν ἐπιτιμίαν, καὶ τὴν ἐπισκοπὴν, καὶ τὸν θρόνον αὐτῶν, καὶ τὴν τιμὴν, ὡς χειροτονηθεῖσι παρὰ τοῦ μητροπολίτου. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὸ περὶ τούτου τελείως ψηφίζεσθαι καὶ τυποῦν, τῆς ἁγίας συνόδου. [a] ἧς τινος διαλαλιᾶς ἑρμηνευθείσης ἑλληνιστὶ διὰ Βερονικιανοῦ τοῦ καθωσιωμένου σηκρητερίου τοῦ θείου κονσιστωρίου, Πασχασῖνος καὶ Λουκήνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι, καὶ Βονιφάτιος πρεσβύτερος, τοποτηρηταὶ τῆς ἀποστολικῆς καθέδρας Ῥώμης, εἶπον· ἐπίσκοπον εἰς πρεσβυτέρου βαθμὸν κατάγειν, ἱεροσυλία ἐστίν. εἰ δὲ καὶ αἰτία τις δικαία B ἐκείνους ἀπὸ τῆς πράξεως τῆς ἐπισκοπῆς ἀποκινεῖ, οὐδὲ πρεσβυτέρου τόπον κατέχειν ὀφείλουσιν· εἰ δὲ καὶ ἐκτὸς τινος ἐγκλήματος ἀπεκινήθησαν τοῦ ἀξιώματος, πρὸς τὴν ἐπισκοπικὴν ἀξίαν ἐπαναστρέψουσιν. Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· οὗτοι οἱ λεγόμενοι ἀπὸ τῆς ἐπισκοπικῆς ἀξίας εἰς τὴν τοῦ πρεσβυτέρου τάξιν καταβεβηκέναι, εἰ μὲν ἀπὸ εὐλόγων τινῶν καταδικάζονται, εἰκότως οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐντὸς ἄξιοι τυγχάνουσιν εἶναι τιμῆς· εἰ δὲ δίχα τινὸς αἰτίας εὐλόγου εἰς τὸν ἥττονα κατεβιβάσθησαν βαθμὸν, δίκαιοί εἰσιν, εἴ γε ἀνεύθυνοι φανεῖεν, τὴν τῆς ἐπισκοπῆς ἀναλαβεῖν ἀξίαν τε καὶ ἱερωσύνην. Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπε· κἀγὼ τὰ αὐτὰ τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις ἐπισκόποις συντίθεμαι περὶ τῶν ἀπὸ ἐπισκόπων εἰς πρεσβυτέρους μετατεθέντων. Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων C εἶπε· κἀγὼ τὰ αὐτὰ λέγω περὶ τῶν τοιούτων. Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· συντίθεμαι τοῖς ἐγγράφως τυπωθεῖσι παρὰ τῶν ἁγίων πατέρων, τῶν τε Ῥωμαίων, καὶ τοῦ τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως Ἀνατολίου. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· ἀκολουθῶ τῇ ψήφῳ τῶν ἁγίων πατέρων τῶν προειρημένων, τῇ τε τῆς δικαίας γνώμης αὐτῶν ἀποφάσει. Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κώων πόλεως, ἐπέχων καὶ αὐτὸς τὸν ἀποστολικὸν θρόνον, εἶπεν· ἀνακόλουθόν ἐστι καὶ ἀσεβὲς, χειροτονηθέντας κανονικῶς ἐπισκόπους, καὶ προθύμως τὴν χειροτονίαν δεξαμένους, πάλιν τὸ τοῦ πρεσβυτέρου παρὰ πᾶσαν τὴν τῶν κανόνων τάξιν ἀπολαύειν ἀξίας. εἰ δὲ, οἷα εἰκὸς, κατηγοροῦνται ὡς ἁλόντες D ἐπί τισιν ἐγκλήμασι, δικάσει ἡ ἁγία σύνοδος τὴν ἀκρίβειαν τοῦ πράγματος, καὶ τῆς ἀληθείας φανερωθείσης, [b] ὅτε στερήσονται τῆς ἐπισκοπικῆς τιμῆς. οὐ γὰρ οἷόν τε τὸν ἐλάττονα βαθμὸν μείζονος ἀξίας καθεστάναι διάδοχον. Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· ὁ μὴ ὢν ἄξιος ἐπίσκοπος εἶναι, οὐδὲ πρεσβύτερος εἶναι δυνατὸς ἄξιος. πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· δικαία ἡ κρίσις τῶν πατέρων· πάντες τὰ αὐτὰ λέγομεν. οἱ πατέρες δικαίως ἐψηφίσαντο· ἡ ψῆφος τῶν ἀρχιεπισκόπων κρατείτω. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὰ ἀρέσαντα τῇ ἁγίᾳ συνόδῳ, εἰς τὸν ἅπαντα χρόνον βέβαια φυλαττέσθω.

Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως εἶπεν· ὑπὲρ τοῦ μηδὲ τὴν ὑμετέραν ἐξουσίαν αἰτιάσεις παρ' ἑκάστου προσώπου δέχεσθαι, καὶ κάμνειν, μήτε ἡμᾶς συντρίβεσθαι, E δεόμεθα, ὥστε ἀργῆσαι ἀναντιρρήτως τὰ ἐπὶ βλάβῃ τῶν κανόνων πραγματικὰ προαχθέντα παρά τινων ἐν πάσῃ ἐπαρχίᾳ, κρατῆσαι δὲ τοὺς κανόνας διὰ πάντων· οὕτω γὰρ καὶ ἡ πίστις φυλάττεται, καὶ ἑκάστη ἐκκλησία ἕξει τὸ ἀσφαλές· καὶ μὴ ἐξεῖναι παρὰ κανόνας χειροτονεῖν τινας. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· εἰ πᾶσα ἡ ἁγιωτάτη σύνοδος συναινεῖ τῇ αἰτήσει Κεκροπίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, διδασκέτω. ἡ ἁγία σύνοδος ἐβόησε· πάντες τὰ αὐτὰ λέγομεν. ὅλα τὰ πραγματικὰ ἀργήσει· οἱ κανόνες κρατείτωσαν· καὶ τοῦτο παρ' ὑμῶν γινέσθω. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· κατὰ τὴν ψῆφον τῆς ἁγίας συνόδου, καὶ ἐν ταῖς ἄλλαις ἁπάσαις ἐπαρχίαις τὰ τῶν κανόνων κρατείτω. ἡ ἁγία σύνοδος ἐβόησε· πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη

ACTIO QUARTA.

ANNO CHRISTI 451.

[a] In ms. Pa-[illegible]

[b] Forte, ὅτε

ANNO CHRISTI 451.

τῆς Αὐγούστης· πολλὰ τὰ ἔτη τῶν ἀρχόντων. αὕτη δικαία κρίσις· οἱ δίκαιοι δικαίως ἔκριναν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὰ διαλαληθέντα ἔργῳ παραδοθήσεται[a].

A Augustæ, multos annos judicum. Hoc justum judicium: justi juste judicarunt. Magnificentissimi & gloriosissimi judices dixerunt: De quibus interlocutio facta est, effectui mandabuntur.

ACTIO QUARTA.

[a] In mſ. Parisiensi, ἀπέγραψαν, ἀπέγραψαν, ἀπεγράφη, ἀπέγραψαν.

ΠΡΑ'ΞΙΣ ΠΕ'ΜΠΤΗ.

B

ACTIO QUINTA Chalcedonenſis Concilii.

Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ μιᾶς καὶ δέκα καλανδῶν Νοεμβρίων, ἐν Καλχηδόνι, κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, συνελθόντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας μάρτυρος Εὐφημίας, τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου, ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βικομάλου, συνελθόντων δὲ καὶ Πασχασίνου καὶ Λουκηνσίου τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, [b] ἐπέχοντες τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος, καὶ
Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως, καὶ
Μαξίμου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας Συρίας, καὶ
Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων, καὶ

[b] al. ἐπεχόντων

Consulatu domni nostri Marciani perpetui Augusti, & qui fuerit nuntiatus, sub die xj. Kalendas Novembris, Chalcedone secundum jussionem divinissimi & piissimi domini nostri Marciani perpetui Augusti, convenientibus in sanctissima ecclesia sanctæ martyris Euphemiæ, magnificentissimo & gloriosissimo magistro militum, exconsule ac patricio Anatolio, & magnificentissimo & gloriosissimo præfecto sacrorum prætoriorum Palladio, & magnificentissimo & C gloriosissimo magistro sacrorum officiorum Vincomalo: convenientibus etiam Paschasino & Lucentio reverentissimis episcopis, & Bonifacio reverentissimo presbytero, agentibus vices sancti archiepiscopi senioris Romæ Leonis, &
Anatolio reverentissimo archiepiscopo magni nominis Constantinopolis, &
Maximo reverentissimo episcopo Antiochiæ Syriæ, &
Juvenali reverentissimo episcopo Hierosolymorum, &
Quintillo reverentissimo episcopo Heracleæ Macedoniæ, agente vices sanctissimi Anastasii episcopi Thessalonicensis, &
Thalassio reverentissimo episcopo Cæsareæ Cappadociæ, &
Stephano reverentissimo episcopo Ephesi, &
Luciano reverentissimo episcopo Byziæ, agente vices Deo amicissimi Cyriaci episcopi Heracleæ Thraciæ, &
Eusebio reverentissimo episcopo Ancyræ Galatiæ, &
Diogene reverentissimo episcopo Cyzici, &
Petro reverentissimo episcopo Corinthi, &
Florentio reverentissimo episcopo Sardium, &
Eunomio reverentissimo episcopo Nicomediæ,
Anastasio reverentissimo episcopo Nicææ, &
Juliano reverentissimo episcopo Coënsi, & eodem agente vices sedis Apostolicæ senioris Romæ, &
Eleutherio reverentissimo episcopo Chalcedonensi, &
Basilio reverentissimo episcopo Seleuciæ Isauriæ, &
Meletio reverentissimo episcopo Larissæ, agente vices reverentissimi episcopi Apameæ Syriæ Domni, &
Amphilochio reverentissimo episcopo Sidæ, &
Theodoro reverentissimo episcopo Tarsi, &
Cyro reverentissimo episcopo Anazarbi, &
Constantino reverentissimo episcopo Bostrorum, &
Photio reverentissimo episcopo Tyri, &
Theodoro reverentissimo episcopo Damasci, &
Stephano reverentissimo episcopo Hierapolis, &
Nonno reverentissimo episcopo Edessæ, &
Symeone reverentissimo episcopo Amidæ, &
Epiphanio reverentissimo episcopo, agente vices reverentissimi Olympii episcopi Constantiæ, &
Joanne reverentissimo episcopo Sebastiæ, &
Seleuco reverentissimo episcopo Amasiæ, &
Constantino reverentissimo episcopo Melitenæ, &
Patricio reverentissimo episcopo Tyanensi, &
Petro reverentissimo episcopo Gangrorum, &
Eustathio reverentissimo episcopo Beryti, &
Apragmonio reverentissimo episcopo Tii, agente vices reverentissimi Calogeri episcopi Claudiopolis, &
Atarbio reverentissimo episcopo Trapezuntis, agente vices [a]Dorothei reverentissimi episcopi Neocæsareæ, &
Photino archidiacono agente vices Theoctisti reverentissimi episcopi Pisinuntis,
Romano reverentissimo episcopo Myrorum, &
Critoniano reverentissimo episcopo Aphrodisiadis Cariæ, &
Nunechio reverentissimo episcopo Laodiceæ Phrygiæ, &
Mariniano reverentissimo episcopo Synnadorum, &
Onesiphoro reverentissimo episcopo Iconii, &
Pergamio reverentissimo episcopo Antiochiæ Pisidiæ, &
Epiphanio reverentissimo episcopo [b]Pergani, &

[a] Sic Parif. cod. Att. etiam t. 6. & 16.

[b] al. Pergæ Pamphyliæ, supra pag. 190.

Attico reverentiſſimo epiſcopo Nicopolis Epiri, &
Martyrio reverentiſſimo epiſcopo Gortynæ, &
Luca reverentiſſimo epiſcopo Dyrrhachii, &
Vigilantio reverentiſſimo epiſcopo Lariſſæ Theſſaliæ, &
Francione reverentiſſimo epiſcopo Philipporum, &
Sebaſtiano reverentiſſimo epiſcopo Berrhœæ, &
Gerontio reverentiſſimo epiſcopo Seleuciæ Syriæ, &
Euſebio preſbytero, agente vices Macarii reverentiſſimi epiſcopi Laodiceæ Syriæ, &
Euſebio reverentiſſimo epiſcopo Dorylei,

A Et reliqua ſancta & univerſali ſynodo ſecundum præcepta diviniſſimi & piiſſimi domini noſtri Marciani congregata in Chalcedone civitate: & conſedentibus omnibus ante cancellos ſancti altaris, magnificentiſſimi & glorioſiſſimi judices dixerunt: Hæc quæ decreta ſunt de fide, manifeſta nobis jubete perfici. Aſclepiades diaconus [a] magni nominis ſanctiſſimæ eccleſiæ Conſtantinopolis, recitavit definitionem, quam non placuit his geſtis inſerere. Et poſt lectionem dubitantibus aliquibus, Joannes reverentiſſimus epiſcopus Germaniciæ, tranſiens in medio dixit: Non bene habet definitio, ſed debet integre fieri. Anatolius Dei amantiſſimus archiepiſcopus nominatiſſimæ Conſtantinopolis ad ſanctam ſynodum dixit: B Placet vobis definitio? Omnes reverentiſſimi epiſcopi, præter Romanos & aliquos orientales, clamaverunt: Definitio omnibus placet. Hæc fides patrum. Qui præter iſta ſapit, hæreticus eſt. Qui aliter ſapit, anathema ſit. Neſtorianos mitte foras. Hæc definitio omnibus placet. Qui non anathematizat Neſtorium, exeat a ſynodo. Anatolius Deo amiciſſimus archiepiſcopus regiæ urbis Conſtantinopolis dixit: Heri omnibus definitio fidei placuit? Prædicti reverentiſſimi epiſcopi clamaverunt: Definitio omnibus placuit, aliter non credimus. Anathema illi qui aliter credit. Iſta fides patrum. Definitio Deo placuit. Iſta fides orthodoxorum. Fides fraudem non patitur. Sancta Maria Theotocos ſcribatur: in ſymbolo ſic addatur.

[a] al. magnæ eccleſiæ regiæ CP. Pariſ.

Καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ ἐν τῇ Καλχηδονέων πόλει συναθροισθείσης· καὶ καθεσθέντων πάντων περὶ τὰ κάγκελλα τοῦ ἁγίου θυσιαστηρίου, οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὰ τυπωθέντα περὶ τῆς πίστεως δῆλα ἡμῖν καταστῆσαι καταξιώσατε [a]. Ἀσκληπιάδης διάκονος τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως ἀνέγνω ὅρον, ὃν ἔδοξε μὴ ἐνταγῆναι τοῖσδε τοῖς ὑπομνήμασι. μετὰ δὲ τὴν ἀνάγνωσιν, ἀμφιβαλλόντων τινῶν, Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκοπος Γερμανικείας εἶπεν· οὐκ ἔχει καλῶς ὁ ὅρος, καὶ ὀφείλει καλῶς γενέσθαι. Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως πρὸς τὴν ἁγίαν σύνοδον εἶπεν· ἀρέσκει ὑμῖν ὁ ὅρος; πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι, ἐκτὸς τῶν Ῥωμαίων, καί τινων ἀνατολικῶν, ἐβόησαν· ὁ ὅρος πᾶσιν ἀρέσκει· αὕτη ἡ πίστις τῶν πατέρων. ὁ παρὰ ταῦτα φρονῶν, αἱρετικός ἐστιν· εἴ τις ἄλλως φρονεῖ, ἀνάθεμα ἔστω. τοὺς Νεστοριανοὺς ἔξω βάλε· οὗτος ὁ ὅρος πᾶσιν ἀρέσκει. ὁ μὴ ἀναθεματίζων Νεστόριον, ἐξέλθῃ τῆς συνόδου. Ἀνατόλιος ὁ θεοφιλέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἤρεσεν χθὲς πᾶσιν ὁ ὅρος τῆς πίστεως; οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· ὁ ὅρος πᾶσιν ἤρεσεν. ἄλλως οὐ πιστεύομεν· ἀνάθεμα τῷ ἄλλως πιστεύοντι. αὕτη ἡ πίστις τῶν πατέρων. ὁ ὅρος τῷ Θεῷ ἤρεσεν· αὕτη ἡ πίστις τῶν ὀρθοδόξων· ἡ πίστις δόλον μὴ πάθῃ. ἡ ἁγία Μαρία θεοτόκος γραφῇ· ἐν τῷ συμβόλῳ οὕτω προστεθῇ.

[a] In mſ. Pariſ. ἀνέγνων, ἀνέγνωμεν, ἀνέγνω.

C *Quæ ſequuntur, ex Latino Græce ſunt reddita.*

Paſchaſinus & Lucentius reverentiſſimi epiſcopi, & Bonifacius preſbyter, vicarii ſedis Apoſtolicæ Romæ, dixerunt: Si non conſentiunt epiſtolæ Apoſtolici & beatiſſimi viri papæ Leonis, jubete nobis reſcripta dari, ut revertamur, & ibi ſynodus celebretur. Magnificentiſſimi & glorioſiſſimi judices dixerunt: Si placet, ab Orientalibus reverentiſſimis epiſcopis ſex, & ab Aſiana regione tres, & ab Illyrico tres, & a Pontica tres, & a Thracia tres, præſentibus etiam ſanctiſſimo archiepiſcopo Anatolio, & reverentiſſimis Romanis, convenia- D mus intro in oratorio [b] ſanctæ martyris, & omnibus ab iiſdem conſequenter requiſitis, quæ placuerint de ſancta fide, manifeſta nobis fiant. Prædicti reverentiſſimi epiſcopi clamaverunt: Omnibus definitio placuit. Has voces Imperatori. Iſta definitio orthodoxorum eſt. Et iterum Joanne reverentiſſimo epiſcopo Germaniciæ veniente ad glorioſiſſimos judices, reverentiſſimi epiſcopi clamaverunt; Neſtorianos mitte foras, inimicos Dei mitte foras. Qui ſunt, vix apparent. Univerſus mundus orthodoxus eſt. Heri definitio omnibus placuit. Imperator orthodoxus eſt, Auguſta orthodoxa eſt, Auguſta Neſtorium expulit. Judices orthodoxi ſunt. Multi anni Auguſtæ, multi anni Imperatori. Heri definitio om- E nibus placuit. Multi anni judicibus. Petimus ut definitio ſubſcribatur coram Evangeliis. Omnibus placuit; jubete ſubſcribi definitionem. Contra fidem fraus non fiat. Qui non ſubſcribit definitioni, hæreticus eſt. Sancta Maria Theotocos eſt. Qui non ſic ſapit, hæreticus eſt. Orthodoxi judices, fidem cuſtodite: orthodoxorum Imperatorum orthodoxi judices; a definitione nullus abſcedit; Spiritus ſanctus definitionem dictavit. Definitio orthodoxa eſt. Definitio modo ſubſcribatur. Qui non ſubſcribit, hæreticus eſt. Hæreticos foras mit-

[b] al. Sancti martyris in Corb. & Dev. pro martyrii: hoc eſt, eccleſia S. Euphemiæ.

Τῶν Ῥωμαϊκῶν τύπων ἡ ἑρμηνεία. Ἑλληνιστί ἐστι τὰ ἐπαγόμενα.

Πασχασῖνος καὶ Λουκήνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι, καὶ Βονιφάτιος ὁ εὐλαβέστατος πρεσβύτερος, τοποτηρηταὶ τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης, εἶπον· εἰ μὴ συναινοῦσι τῇ ἐπιστολῇ τοῦ ἀποστολικοῦ καὶ μακαριωτάτου ἀνδρὸς ἐπισκόπου Λέοντος, κελεύσατε ἡμῖν ἀντίγραφα δοθῆναι, ἵνα ὑποστρέψωμεν, κἀκεῖ σύνοδος ἐπιτελῆται. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· εἰ δοκεῖ, ἀπὸ τῶν εὐλαβεστάτων ἀνατολικῶν ἐπισκόπων ἕξ, καὶ ἀπὸ τῶν τῆς Ἀσιανῆς διοικήσεως τρεῖς, καὶ ἀπὸ τῆς Ποντικῆς τρεῖς, καὶ ἀπὸ τοῦ Ἰλλυρικοῦ τρεῖς, καὶ ἀπὸ τῆς Θρᾴκης τρεῖς, συμπαρόντων τοῦ τε ἁγιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου, καὶ τῶν εὐλαβεστάτων ἀπὸ Ῥώμης, συνέλθωμεν ἔνδον ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου μαρτυρίου, καὶ πάντων ἀκολούθως παρ' αὐτοῖς ἐξετασθέντων, τὰ ἀρέσκοντα περὶ τῆς ἁγίας πίστεως φανερὰ ὑμῖν γένωνται. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ὁ ὅρος πᾶσιν ἤρεσε· τὰς φωνὰς τῷ βασιλεῖ· οὗτος ὁ ὅρος τῶν ὀρθοδόξων· καὶ πάλιν Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου Γερμανικείας ἐλθόντος πρὸς τοὺς ἐνδοξοτάτους ἄρχοντας, οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τοὺς Νεστοριανοὺς ἔξω βάλε· τοὺς θεομάχους ἔξω βάλε· ποῦ εἰσί, [b] καὶ μόλις ἐδείχθησαν· ἡ οἰκουμένη ὀρθόδοξός ἐστι· χθὲς ὁ ὅρος πᾶσιν ἤρεσεν. ὁ βασιλεὺς ὀρθόδοξός ἐστι· ἡ Αὐγοῦστα ὀρθόδοξός ἐστι· ἡ Αὐγοῦστα Νεστόριον ἐδίωξεν. οἱ ἄρχοντες ὀρθόδοξοί εἰσιν. πολλὰ τὰ ἔτη τῆς Αὐγούστης· πολλὰ τὰ ἔτη τοῦ βασιλέως. χθὲς ὁ ὅρος πᾶσιν ἤρεσε. πολλὰ τὰ ἔτη τῶν ἀρχόντων. ὁ ὅρος, δεόμεθα, ὑπογραφῇ ἐπὶ τῶν εὐαγγελίων. πᾶσιν ἤρεσε. κελεύσατε ὑπογραφῆναι τὸν ὅρον. κατὰ τῆς πίστεως δόλος μὴ γένηται. ὁ μὴ ὑπογράφων τῷ ὅρῳ, αἱρετικός ἐστι. ἡ ἁγία Μαρία θεοτόκος ἐστί. ὁ μὴ φρονῶν οὕτως, αἱρετικός ἐστι. [c] οἱ ὀρθόδοξοι ἄρχοντες τὴν πίστιν [d] φυλάττουσιν. ὀρθοδόξων βασιλέων ὀρθόδοξοι ἄρχοντες. τοῦ ὅρου οὐδεὶς ἐξίσταται. τὸ ἅγιον πνεῦμα τὸν ὅρον ὑπηγόρευσεν. ὁ ὅρος ὀρθόδοξός ἐστιν· ὁ ὅρος ἄρτι ὑπογραφῇ. ὁ μὴ ὑπογράφων, αἱρετικός ἐστι. τοὺς αἱρετικοὺς ἔξω βάλε.

[b] Forte, μόλις
[c] Forte, ὀρθόδοξοι
[d] Forte, φυλάξατε.

ἔξω βάλε. Θεοτόκος ἡ παρθένος Μαρία· τὸν αἱρετικὸν ἔξω βάλε. ἡ Θεοτόκος Μαρία τῷ ὅρῳ προστεθῇ. τοὺς Νεστοριανοὺς ἔξω βάλε. ὁ Χριστὸς Θεός ἐστιν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Διόσκορος ἔλεγεν· ὅτι διὰ τοῦτο καθεῖλον Φλαβιανόν, ἐπειδὴ δύο φύσεις εἶπεν εἶναι· ὁ δὲ ὅρος ἐκ δύο φύσεων ἔχει. Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπε· διὰ τὴν πίστιν οὐ καθῃρέθη Διόσκορος, ἀλλ' ἐπειδὴ ἀκοινωνησίαν ἐποίησε τῷ κυρίῳ Λέοντι τῷ ἀρχιεπισκόπῳ· καὶ τρίτον ἐκλήθη, καὶ οὐκ ἦλθε· διὰ τοῦτο καθῃρέθη. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὴν ἐπιστολὴν τοῦ ἀρχιεπισκόπου Λέοντος καταδέχεσθε [a]; οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· καὶ ὑπεδεξάμεθα, καὶ ὑπεγράψαμεν. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· οὐκοῦν τὰ ἐν αὐτῇ ἐμφερόμενα ἐντεθῇ τῷ ὅρῳ. οἱ εὐλαβέστατοι ἐβόησαν· ἄλλος ὅρος οὐ γίνεται· οὐδὲν λείπει τῷ ὅρῳ. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ἄλλος ὅρος οὐ γίνεται. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τὴν ἐπιστολὴν ὁ ὅρος ἐβεβαίωσεν· ἀρχιεπίσκοπος Λέων, ὡς πιστεύομεν, οὕτω πιστεύει. ὁ ὅρος ὑπογραφέσθω. ὁ ὅρος πάντα ἔχει. ὁ ὅρος τὴν πίστιν ἔχει. Λέων εἶπε τὰ Κυρίλλου. Κελεστῖνος τὰ Κυρίλλου ἐβεβαίωσε. Ξύστος τὰ Κυρίλλου ἐβεβαίωσεν· ἓν βάπτισμα, εἷς κύριος, μία πίστις. ἆρον δόλον τοῦ ὅρου· οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀνενεχθήσεται τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ ἡμῶν δεσπότῃ τὰ ἐκβοώμενα. καὶ ἀπελθὼν κατὰ κέλευσιν τῶν ἐνδοξοτάτων ἀρχόντων εἰς τὸ θεῖον παλάτιον Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου, καὶ μετὰ μικρὸν ἐπανελθών, προσεφώνησε τῇ ἁγίᾳ συνόδῳ ταῦτα.

A te. Virgo Maria Theotocos est. Hæreticum mitte foras. Maria Theotocos definitioni addita est. Nestorianos mitte foras. Christus Deus est. Magnificentissimi & gloriosissimi judices dixerunt: Dioscorus dicebat, propter hoc se damnasse Flavianum, quia duas naturas aiebat esse: definitio autem, ex duabus habet naturis. Anatolius reverentissimus archiepiscopus Constantinopolis dixit: Propter fidem non est damnatus Dioscorus, sed quia excommunicationem fecit domino archiepiscopo Leoni: & tertio vocatus est, & non venit: & ideo damnatus est. Magnificentissimi & gloriosissimi judices dixerunt: Epistolam sanctissimi Leonis suscipitis? Prædicti reverentissimi episcopi clamaverunt: Etiam suscepimus, & subscripsimus. Magnificentissimi B & gloriosissimi judices dixerunt: Ergo quæ in ea inferuntur, inserantur definitioni. Prædicti reverentissimi episcopi clamaverunt: Altera definitio non fit; nihil deest definitioni. Eusebius reverentissimus episcopus Dorylæi dixit: Alia definitio non fit. Prædicti reverentissimi episcopi clamaverunt: Epistolam definitio firmavit; archiepiscopus Leo, ut credimus, sic credit. Definitio subscribatur; definitio habet omnia: definitio fidem habet. Leo eadem dixit, quæ & Cyrillus: Cælestinus, quæ Cyrillus dixit, firmavit: Xystus firmavit, quæ Cyrillus dixit: *Unum baptisma, unus Dominus, una fides.* Tolle fraudem a definitione. Magnificentissimi & gloriosissimi judices dixerunt: Suggerentur diviniissimo & piissimo domino nostro Imperatori clamores isti. Et per jussionem gloriosissimorum judicum vadens in divinum palatium Veronicianus devotissimus secretarius sacri consistorii, & post paululum rediens, ista sanctæ synodo interlocutus est:

Ephes. 4.

Προσφώνησις.

C

Ἐκέλευσεν ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης, ἢ κατὰ τὰ δόξαντα τοῖς μεγαλοπρεπεστάτοις καὶ ἐνδοξοτάτοις ἄρχουσιν, ἓξ ἀπὸ τῶν τῆς ἀνατολικῆς διοικήσεως εὐλαβεστάτων ἐπισκόπων, καὶ τρεῖς ἀπὸ τῶν τῆς Ποντικῆς, καὶ τρεῖς ἀπὸ τῶν τῆς Ἀσιανῆς, καὶ τρεῖς ἀπὸ τῶν τῆς Θρᾴκης, καὶ τρεῖς ἀπὸ τοῦ Ἰλλυρικοῦ, συμπαρόντων τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀνατολίου, καὶ τῶν εὐλαβεστάτων ἀπὸ Ῥώμης, συνελθεῖν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγιωτάτου μαρτυρίου, καὶ τὰ περὶ τῆς πίστεως ὀρθῶς καὶ ἀνεπιλήπτως τυπῶσαι, ἐπὶ τῷ πάντας συναρέσαι, καὶ μηδὲ ἓν ἀμφίβολον καταλειφθῆναι· ἢ, εἰ μὴ τοῦτο δοκεῖ, ἕκαστον τὴν πίστιν διὰ τοῦ μητροπολίτου δήλην καταστῆσαι· ὥστε μηδεμίαν ἀμφιβολίαν, ἢ διχόνοιαν ὁμοίως καταλειφθῆναι. εἰ δὲ μὴ τοῦτο βουληθείη ἡ ὑμετέρα ἁγιότης, εἰδέναι ὑμᾶς, ὅτι ἐν τοῖς δυτικοῖς μέρεσιν ἔχει γενέσθαι ἡ σύνοδος, ὡς τῆς ὑμετέρας θεοσεβείας ἐνταῦθα τὰ περὶ τῆς ἀληθοῦς καὶ ὀρθοδόξου πίστεως ἀναμφιβόλως τυπῶσαι μὴ βουλομένης. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· πολλὰ τὰ ἔτη τοῦ βασιλέως· ἢ ὁ ὅρος κρατείτω, ἢ ἀπερχόμεθα. πολλὰ τὰ ἔτη τῶν βασιλέων. Κεκρόπιος εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως εἶπεν· ἀξιοῦμεν ἀναγνωσθῆναι τὸν ὅρον, καὶ τοὺς ἀντιλέγοντας, καὶ μὴ ὑπογράφοντας, ἐκείνους ἀπελθεῖν· ἡμεῖς γὰρ συναινοῦμεν ἐπὶ τοῖς καλῶς τυπωθεῖσι, καὶ οὐδὲν ἀντιλέγομεν. οἱ εὐλαβέστατοι ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ εἶπον· οἱ ἀντιλέγοντες, φανεροὶ γίνωνται. οἱ ἀντιλέγοντες, Νεστοριανοί εἰσιν· οἱ ἀντιλέγοντες, εἰς Ῥώμην ἀπέλθωσιν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Διόσκορος ἔλεγε· τὸ ἐκ δύο φύσεων δέχομαι, τὸ δὲ δύο οὐ δέχομαι. ὁ δὲ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων δύο φύσεις λέγει εἶναι ἐν τῷ Χριστῷ ἡνωμένας ἀσυγχύτως, καὶ ἀτρέπτως, καὶ ἀδιαιρέτως, ἐν τῷ ἑνὶ μονογενεῖ υἱῷ τῷ σωτῆρι ἡμῶν. τίνι τοίνυν ἀκολουθεῖτε; τῷ ἁγιωτάτῳ Λέοντι; ἢ Διοσκόρῳ; [b] οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ὡς Λέων, οὕτω καὶ πιστεύομεν. οἱ ἀντιλέγοντες, Εὐτυχιανισταί εἰσι. Λέων ὀρθοδόξως ἐξέθετο. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· προσθέτε οὖν τῷ ὅρῳ, κατὰ τὴν ψῆφον τοῦ ἁγιωτάτου ἡμῶν Λέοντος, δύο φύσεις εἶναι [c] ἡνωμένας ἀτρέπτως, καὶ ἀμερίστως, καὶ ἀσυγχύτως ἐν τῷ Χριστῷ. [d] καὶ κατὰ παράκλησιν πάντων, οἱ ἐνδοξότατοι ἄρχοντες

Interlocutio.

Præcepit diviniissimus & piissimus dominus noster Imperator, [a] vel sicut placuit magnificentissimis judicibus, sex reverentissimos episcopos ab Orientali regione, & tres ex Pontica, & tres ab Asiana, & tres a Thracensi, & tres ab Illyrico, præsentibus etiam sanctissimo archiepiscopo Anatolio, & reverentissimis Romanis, & convenientibus in oratorio sanctæ martyris, de fide recte & [b] irreprehensibiliter constituatur; quibus omnes consentiant, & nihil dubium relinquatur: vel si vobis hoc non placet, singuli fidem suam per suum metropolitam manifestam constituant, ut nulla similiter dubietas, aut discordia relinquatur. Si autem neque hoc D vestra velit sanctitas, cognoscite quia in partibus Occidentalibus fieri habet synodus, eo quod religiositas vestra hic noluit de vera & orthodoxa fide indubitanter definire. Reverentissimi episcopi clamaverunt: Multi anni Imperatori. Aut definitio persistat, aut imus. Multi anni Imperatoribus. Cecropius reverentissimus episcopus Sebastopolis dixit: Petimus recitari definitionem; & ii qui contradicunt, & non subscribunt, ipsi ambulent; quia nos consentimus bene decretis, & in nullo contradicimus. Reverentissimi episcopi Illyrici dixerunt: Qui contradicunt, manifesti fiant. Qui contradicunt, Nestoriani sunt. Qui contradicunt, Romam ambulent. Magnificentissimi & gloriosissimi ju- E dices dixerunt: Dioscorus dicebat quod ex duabus naturis est, suscipio; duas non suscipio. Sanctissimus autem archiepiscopus Leo duas naturas dicit esse in Christo unitas inconfuse, inconvertibiliter & indivisibiliter in uno unigenito Filio Salvatore nostro. Quem igitur sequimini? sanctissimum Leonem, aut Dioscorum? Reverentissimi episcopi clamaverunt: Ut Leo, sic credimus. Qui contradicunt, Eutychianistæ sunt. Leo recte exposuit. Magnificentissimi & gloriosissimi judices dixerunt: Ergo addite definitioni, secundum judicium sanctissimi patris nostri Leonis, duas esse naturas unitas in Christo inconvertibiliter, & inseparabiliter, & inconfuse. Et rogati ab omnibus gloriosissimi judices,

[a] In mſ. Paμαϊκῷ, ἀπεδέχου, ἀπεδέχοντο, ἀπέχου.

[b] In mſ. Paμαϊκῷ.

[c] Forte, ἡνωμένας,

[d] In mſ. Paμαϊκῷ.

[a] l. ut sicut

[b] al. indeficienter

A intraverunt in oratorio sanctissimæ martyris Euphemiæ, una cum Anatolio reverentissimo archiepiscopo Constantinopolitano, & Paschasino & Lucentio reverentissimis episcopis, & Bonifacio presbytero, & Juliano reverentissimo episcopo Coënsi, vicariis Apostolicæ sedis Romanæ magnæ civitatis: nec non & Maximo reverentissimo episcopo Antiochiæ Syriæ, & Juvenale reverentissimo episcopo Hierosolymitano, & Thalassio reverentissimo episcopo Cæsareæ Cappadociæ, & Eusebio reverentissimo episcopo Ancyræ Galatiæ, & Quintillo & Attico & Sozonte, reverentissimis episcopis Illyricis; & Diogene reverentissimo episcopo Cyzici, & Leontio reverentissimo episcopo Magnesiæ, & Florentio reverentissimo episcopo Sardium, B & Eusebio reverentissimo episcopo Dorylæi, & Theodoro reverentissimo episcopo Tarsi, & Cyro reverentissimo episcopo Anazarbi, & Constantino reverentissimo episcopo Bostrorum, & Theodoro reverentissimo episcopo Claudiopolis Isauriæ; & Francione, & Sebastiano, & Basilio reverentissimis episcopis Thracibus. Et postquam tractaverunt de sancta fide, & exierunt, & sederunt omnes; magnificentissimi & gloriosissimi judices dixerunt: Dignetur sancta synodus fidem continens, cum taciturnitate audire quæ decreta sunt in præsentia nostra a congregatis sanctissimis patribus, qui & definitionem fidei interpretati sunt. Aërius archidiaconus sanctæ ecclesiæ magnæ civitatis Constantinopolis recitavit:

C Sancta & magna & universalis synodus, quæ per gratiam Dei, & præceptum piissimorum & Christianissimorum Imperatorum Valentiniani & Marciani Augustorum, congregata est in Chalcedone metropoli provinciæ Bithyniorum, in ecclesia sanctæ & victricis martyris Euphemiæ, hæc definivit, quæ subter scripta sunt:

Hæc editio Latina edita est ex mss. Corb. & Divion. In collect. Isidori, de Conc. Chalcedonensi nihil exstat, præter hanc definitionem fidei, usque ad finem fere hujus act. cum allocutione Imperatoris Marciani, act. 6. ex alia latinitate. Est & alia versio Dionysii Exigui, in collect. mss. nostra.

Joan. 14. 27.

Matth. 13.

a *al.* erroris integram

b *al.* compositionem

DOminus noster & salvator Jesus Christus notitiam fidei discipulis suis firmans, dixit: *Pacem meam relinquo vobis, pacem meam do vobis*: ut nullus dissonet a proximo circa dogmata pietatis, sed ut pariter veritatis ostendant prædicationem. Quia vero non definit per zizania sua diabolus contra semina pietatis insurgere, D & semper aliquid novum contra veritatem invenire: propter hoc Dominus, ut consuevit, providens humano generi, piissimum hunc & fidelissimum ad æmulationem erexit Imperatorem, & undique sacerdotii præsides ad se convocavit: ut gratia Domini omnium nostrum Christi operante, omnem quidem mendacii pestilentiam a Christi ovibus removeret, germinibus autem veritatis eas pinguescere faciat. Quod & perfecimus, communi judicio dogmata expellentes erroris, & [a] inerrabilem patrum renovavimus fidem, symbolum trecentorum decem & octo omnibus prædicantes. Et eos qui hanc veluti [b] tesseram pietatis acceperunt, ut proprios patres etiam adscribimus; eos nimirum qui postea in magna Constantinopoli congregati sunt centum quinquaginta, & eamdem fidem ipsi quoque confirmaverunt. E Decernimus igitur, ordinem & omnes formulas custodientes, quæ de fide sunt constitutæ, & nos sanctæ synodi quondam in Epheso factæ, cujus præsides fuerunt beatissimæ memoriæ Cælestinus Romanorum, & Cyrillus Alexandrinorum, præfulgere quidem rectæ & immaculatæ fidei expositionem sanctorum & beatissimorum trecentorum decem & octo patrum, qui in Nicæa temporibus piæ memoriæ Constantini Imperatoris congregati sunt: servari autem & ea quæ apud Constantinopolim a sanctissimis centum quinquaginta patribus decreta sunt, ad expellendas quidem hæreses quæ eo tempore germinaverant, & ad confirmationem ejusdem catholicæ & apostolicæ nostræ fidei.

A εἰσῆλθον ἐν τῷ εὐκτηρίῳ τῆς ἁγιωτάτης μάρτυρος Εὐφημίας, ἅμα Ἀνατολίῳ τῷ εὐλαβεστάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, καὶ Πασχασίνῳ καὶ Λουκεντίῳ τοῖς εὐλαβεστάτοις ἐπισκόποις, καὶ Βονιφατίῳ πρεσβυτέρῳ, καὶ Ἰουλιανῷ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ τῆς Κῴων πόλεως, τοῖς ποτοτηρηταῖς τοῦ ἀποστολικοῦ θρόνου τῆς Ῥωμαίων μεγαλοπόλεως· ἔτι μὴν καὶ Μαξίμῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀντιοχείας Συρίας, καὶ Ἰουβεναλίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἱεροσολύμων, καὶ Θαλασσίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Καισαρείας Καππαδοκίας, καὶ Εὐσεβίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀγκύρας Γαλατίας, καὶ Κυιντίλλῳ, καὶ Ἀττικῷ, καὶ Σώζοντι, τοῖς εὐλαβεστάτοις ἐπισκόποις τοῖς ἀπὸ τοῦ Ἰλλυρικοῦ, καὶ Διογένει τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Κυζίκου, καὶ Λεοντίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Μαγνησίας, καὶ Φλωρεντίῳ τῷ εὐ- B λαβεστάτῳ ἐπισκόπῳ Σάρδεων, καὶ Εὐσεβίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Δορυλαίου, καὶ Θεοδώρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ταρσοῦ, καὶ Κύρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀναζαρβοῦ, καὶ Κωνσταντίνῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Βόστρων, καὶ Θεοδώρῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Κλαυδιουπόλεως Ἰσαυρίας, καὶ Φραγκίωνι, καὶ Σεβαστιανῷ, καὶ Βασιλείῳ, τοῖς εὐλαβεστάτοις ἐπισκόποις τοῖς ἀπὸ τῆς Θράκης. καὶ πραχθέντων περὶ τῆς ἁγίας πίστεως, καὶ ἐξελθόντων, καὶ καθεσθέντων πάντων, οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· καταξιωσάτω ἡ ἁγία σύνοδος τὴν πίστιν συγκροτοῦσα, μετὰ ἡσυχίας ἀκοῦσαι τῶν ὁρισθέντων ἐπὶ παρουσίᾳ ἡμετέρᾳ παρὰ τῶν συνελθόντων ἁγίων πατέρων, καὶ τὸν ὅρον τῆς πίστεως ἑρμηνευσάντων.

C [a] Ἀέτιος ἀρχιδιάκονος τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως ἀνέγνω.

[a] *In mss.* Romanis, ἀνέγνων, ἀνεγνώσθη, ἀνέγνω.

Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων Μαρκιανοῦ καὶ Οὐαλεντινιανοῦ Αὐγούστων, συναχθεῖσα ἐν τῇ Καλχηδονίων μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας, ὥρισε τὰ ὑποτεταγμένα.

ΟΚύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς Χριστὸς τῆς πίστεως τὴν γνῶσιν τοῖς μαθηταῖς βεβαιῶν, ἔφη· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· ὥστε μηδένα πρὸς τὸν πλησίον διαφωνεῖν ἐν τοῖς δόγμασι τῆς εὐσεβείας, ἀλλ᾽ ἐπίσης ἅπασι τὸ τῆς ἀληθείας ἐπιδείκνυσθαι κήρυγμα. ἐπειδὴ δὲ οὐ παύεται διὰ τῶν ἑαυτοῦ ζι- D ζανίων ὁ πονηρὸς τοῖς τῆς εὐσεβείας ἐπιφυόμενος σπέρμασι, καί τι καινὸν κατὰ τῆς ἀληθείας ἐφευρίσκων ἀεί, διὰ τοῦτο συνήθως ὁ δεσπότης προνοούμενος τοῦ ἀνθρωπίνου γένους, τὸν εὐσεβῆ τοῦτον καὶ πιστότατον πρὸς ζῆλον ἀνέστησε βασιλέα, καὶ τοὺς ἁπανταχῆ τῆς ἱερωσύνης πρὸς ἑαυτὸν ἀρχηγοὺς συνεκάλεσεν· ὥστε, τῆς χάριτος τοῦ πάντων ἡμῶν δεσπότου Χριστοῦ ἐνεργούσης, πᾶσαν μὲν τοῦ ψεύδους τῶν τοῦ Χριστοῦ προβάτων ἀποσείσασθαι λύμην, τοῖς δὲ τῆς ἀληθείας αὐτὴν καταπιαίνειν βλαστήμασι. ὃ δὴ καὶ πεποιήκαμεν, κοινῇ ψήφῳ τὰ τῆς πλάνης ἀπελάσαντες δόγματα, τὴν δὲ ἀπλανῆ τῶν πατέρων ἀνανεωσάμενοι πίστιν, τὸ τῶν τριακοσίων δεκαοκτὼ σύμβολον τοῖς πᾶσι κηρύξαντες, καὶ ὡς οἰκείους, τοὺς τοῦτο τὸ [b] σύνθημα τῆς εὐσεβείας δεξαμένους πατέρας ἐπιγραψάμενοι· οἵπερ εἰσὶν οἱ μετὰ ταῦτα ἐν τῇ E μεγάλῃ Κωνσταντινουπόλει συνελθόντες ρν´. καὶ αὐτοὶ τὴν αὐτὴν ἐπισφραγισάμενοι πίστιν. ὁρίζομεν τοίνυν, τὴν τάξιν καὶ τοὺς περὶ τῆς πίστεως ἅπαντας τύπους φυλάττοντες καὶ ἡμεῖς τῆς κατ᾽ Ἔφεσον πάλαι γεγενημένης ἁγίας συνόδου, ἧς ἡγεμόνες οἱ ἁγιώτατοι τὴν μνήμην Κελεστῖνος ὁ τῆς Ῥωμαίων, καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων, ἐτύγχανον, προλάμπειν μὲν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τὴν ἔκθεσιν τῶν τιη´. ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ ἐπὶ τοῦ εὐσεβοῦς μνήμης Κωνσταντίνου τοῦ γενομένου βασιλέως συναχθέντων· κρατεῖν δὲ καὶ τὰ παρὰ τῶν ρν´. ἁγίων πατέρων ἐν Κωνσταντινουπόλει ὁρισθέντα, πρὸς ἀναίρεσιν μὲν τῶν τότε φυεισῶν αἱρέσεων, βεβαίωσιν δὲ τῆς αὐτῆς καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως.

[b] *Forte,* σύνθημα.

Σύμβολον τῶν ἐν Νικαίᾳ τριακοσίων δεκαοκτώ.

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν, ἐκ τῆς οὐσίας τοῦ πατρός· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν. τοὺς δὲ λέγοντας· ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ Θεοῦ· τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Καὶ τὸ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων σύμβολον, τῶν ἐν Κωνσταντινουπόλει συναχθέντων.

Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων, καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶμεν ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἀμήν.

Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον· περί τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. ἀλλ' ἐπειδήπερ οἱ τῆς ἀληθείας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα, διὰ τῶν οἰκείων αἱρέσεων τὰς κενοφωνίας ἀπέτεκον, οἱ μὲν τὸ τῆς δι' ἡμᾶς τοῦ κυρίου οἰκονομίας μυστήριον παραφθείρειν τολμῶντες, καὶ τὴν Θεοτόκον ἐπὶ τῆς παρθένου φωνὴν ἀπαρνούμενοι· οἱ δὲ σύγχυσιν καὶ κρᾶσιν εἰσάγοντες, καὶ μίαν εἶναι φύσιν τῆς σαρκὸς καὶ τῆς θεότητος ἀνοήτως ἀναπλάττοντες, καὶ παθητὴν τοῦ μονογενοῦς τὴν θείαν φύσιν τῇ συγχύσει τερατευόμενοι· διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μηχανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον ἐκδιδάσκουσα, ὥρισε προηγουμένως, τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων τὴν πίστιν μένειν ἀπαρεγχείρητον· καὶ διὰ μὲν τοὺς τῷ πνεύματι τῷ ἁγίῳ μαχομένους, τὴν χρόνοις ὕστερον παρὰ τῶν ἐπὶ τῆς βασιλευούσης πόλεως συνελθόντων ἑκατὸν πεντήκοντα ἁγίων πατέρων περὶ τῆς τοῦ πνεύματος οὐσίας παραδοθεῖσαν διδασκαλίαν κυροῖ· ἣν ἐκεῖνοι τοῖς πᾶσιν ἐγνώρισαν, οὐχ ὥς τι λεῖπον τοῖς προλαβοῦσιν * ἐπάγοντες, ἀλλὰ τὴν περὶ τοῦ ἁγίου πνεύματος αὐτῶν ἔννοιαν κατὰ τῶν τὴν αὐτοῦ δεσποτείαν ἀθε-

* Forte, ἐπισάγοντες,

Symbolum trecentorum decem & octo patrum in Nicæa.

Credimus in unum Deum, Patrem omnipotentem, omnium visibilium & invisibilium conditorem. Et in unum Dominum Jesum Christum Filium Dei, natum ex Patre unigenitum, id est, ex substantia Patris; Deum de Deo, lumen de lumine, Deum verum de Deo vero: genitum, non factum, consubstantialem Patri, per quem omnia facta sunt. Qui propter nos homines, & propter nostram salutem descendit de cælis, & incarnatus est de Spiritu sancto & Maria Virgine, atque inhumanatus est. Crucifixus etiam pro nobis sub Pontio Pilato, & passus & sepultus est, & resurrexit tertia die secundum scripturas: & ascendit in cælos, & sedet in dextera Patris: & iterum venturus est cum gloria judicare vivos & mortuos, cujus regni non erit finis. Et in Spiritum sanctum, Dominum & vivificantem. Eos vero qui dicunt: Erat quando non erat, & antequam genitus esset, non erat, & quia ex non exstantibus factus est; vel ex alia subsistentia vel substantia dicunt esse, vel mutabilem, vel alterabilem Filium Dei: istos anathematizat catholica & apostolica ecclesia.

Item symbolum centum quinquaginta sanctorum patrum, qui Constantinopoli congregati sunt.

Credimus in unum Deum, Patrem omnipotentem, factorem cæli & terræ, visibilium omnium & invisibilium. Et in unum Dominum Jesum Christum, Filium Dei unigenitum, natum ex Patre ante omnia sæcula; [Deum de Deo,] lumen de lumine, Deum verum de Deo vero: genitum, non factum, consubstantialem Patri, per quem omnia facta sunt. Qui propter nos homines, & propter nostram salutem descendit de cælis, & incarnatus est de Spiritu sancto & Maria virgine, & homo factus est: & crucifixus est propter nos sub Pontio Pilato, passus & sepultus est: & resurrexit tertia die secundum scripturas: & ascendit in cælos, & sedet ad dexteram Patris: & iterum venturus est cum gloria judicare vivos & mortuos: cujus regni non erit finis. Et in Spiritum sanctum Dominum & vivificatorem, ex Patre procedentem, cum Patre & Filio adorandum & conglorificandum; qui locutus est per prophetas. In unam sanctam catholicam & apostolicam ecclesiam. Confitemur unum baptisma in remissionem peccatorum: exspectamus resurrectionem mortuorum, & vitam futuri sæculi. Amen.

Sufficeret quidem ad plenam cognitionem & confirmationem pietatis hoc sapiens & salutare divinæ gratiæ symbolum; de Patre enim & Filio & Spiritu sancto perfectionem docet, ac Domini nostri inhumanationem fideliter accipientibus repræsentat. Sed quoniam hi qui veritatis reprobare prædicationem conantur, per proprias hæreses novas voces genuerunt: alii quidem mysterium dispensationis Domini, quæ propter nos facta est, corrumpere præsumentes, & vocem Theotocos de Virgine dici denegantes: alii autem confusionem & mixtionem introducentes, & unam naturam esse carnis & divinitatis stulte confingentes, & passibilem Unigeniti divinam naturam per confusionem [a] prodigiose dicentes: propter hoc illis omnem machinationem contra veritatem volens claudere præsens nunc sancta & magna & universalis synodus, prædicationem hanc ab initio [b] immobilem docens, decrevit ante omnia, fidem integram & [c] intemeratam permanere trecentorum decem & octo sanctorum patrum: & confirmat doctrinam, quæ de substantia Spiritus sancti a patribus centum quinquaginta postea congregatis in regia civitate tradita est propter illos qui Spiritui sancto repugnabant; quam illi omnibus notam fecerunt, non quasi aliquid deesset prioribus, adjicientes; sed suum de sancto Spiritu intellectum, contra illos qui dominationem ejus te-

Hæc ex alia latinitate refert Vigilius Taps. lib. 5. adv. Eutych. c. 17. alia in coll. B. Isidori.

[a] portentuose, *Paris.*

[b] *al.* inconcussam

[c] *al.* inreprehensibilem

spuere tentaverunt, scripturarum testimoniis declarantes: propter illos autem qui dispensationis mysterium corrumpere conantur, & purum hominem esse genitum ex sancta Virgine Maria impudenter delirant, epistolas synodicas beatissimi Cyrilli Alexandrinæ ecclesiæ præsulis ad Nestorium & ad Orientales, congruenter habentes suscepit, ad convincendas Nestorii vesanias, & ad interpretationem eorum, qui salutaris symboli pio zelo nosse desiderant intellectum: quibus etiam & epistolam magnæ & senioris urbis Romæ præsulis beatissimi & sanctissimi archiepiscopi Leonis, quæ scripta est ad sanctæ memoriæ archiepiscopum Flavianum ad perimendam Eutychis malam intelligentiam, utpote & magni illius Petri confessioni congruentem, & communem quamdam columnam exsistentem adversus perverse sentientes, ad confirmationem rectorum dogmatum congruenter aptavit. His namque qui in duos filios dispensationis divinæ mysterium discerpere nituntur, repugnat: & illos qui passibilem deitatem Unigeniti ausi sunt dicere, a sacro cœtu expellit: & his qui in duabus Christi naturis temperamentum aut confusionem opinantur, resistit: & eos qui cælestem, aut alterius alicujus esse substantiæ, quam ex nobis assumpsit servi formam, delirantes dicunt, abigit: & qui duas quidem ante unitatem naturas Domini fabulantur, unam vero post unitionem confingunt, condemnat. Sequentes igitur sanctos patres, unum eumdemque confiteri Filium & Dominum nostrum Jesum Christum consonanter omnes docemus, eumdem perfectum in deitate, & eumdem perfectum in humanitate, Deum verum & hominem verum eumdem ex anima rationali & corpore, consubstantialem nobis eumdem secundum humanitatem, *per omnia nobis similem absque peccato:* ante sæcula quidem de Patre genitum secundum deitatem, in novissimis autem diebus eumdem propter nos & propter nostram salutem ex Maria Virgine Dei genitrice secundum humanitatem, unum eumdemque Christum, Filium, Dominum, Unigenitum, in duabus naturis inconfuse, incommutabiliter, indivise, inseparabiliter agnoscendum; nusquam sublata differentia naturarum propter unitionem, magisque salva proprietate utriusque naturæ, & in unam personam atque subsistentiam concurrente: non in duas personas partitum aut divisum, sed unum eumdemque Filium & Unigenitum Deum Verbum, Dominum Jesum Christum, sicut ante prophetæ de eo, & ipse nos Jesus Christus erudivit, & patrum nobis symbolum tradidit. His igitur cum omni undique [a] exacta cura & diligentia a nobis dispositis, definivit sancta & universalis synodus, alteram fidem nulli licere proferre, aut conscribere, vel componere, aut sentire, aut alios docere. Eos autem qui audent componere fidem alteram, aut proferre, aut docere, aut tradere alterum symbolum volentibus ad agnitionem veritatis converti, vel ex gentilitate, vel ex Judaismo, vel ex hæresi quacumque; hos si episcopi fuerint aut clerici, alienos esse episcopos ab episcopatu, & clericos a clero: si vero monachi aut laïci fuerint, anathematizari eos.

Post lectionem vero definitiones omnes religiosissimi episcopi clamaverunt. Hæc fides patrum. Metropolitani modo subscribant: præsentibus ipsis judicibus modo subscribant: quæ bene definita sunt, dilationem non suscipiant. Hæc fides Apostolorum, huic omnes consentimus, omnes ita sapimus. Magnificentissimi & gloriosissimi judices dixerunt: Quæ a sanctis patribus statuta sunt, & omnibus placuerunt, manifesta fient [b] sacro vertici.

Hebr. 4.

Vide Rusticum in dial. adversus Acephalos.

[a] al. scrupulositate

Dionysius Exiguus hoc loco posuit subscriptiones: Et subscripserunt universi episcopi: Paschasinus &c.

[b] al. divino

A τῶν πνευματομάχων χάριν ἐκείνης μαρτυρίας τρανώσασα· διὰ δὲ τοὺς τὸ τῆς οἰκονομίας παραχαράττειν ἐπιχειροῦντας μυστήριον, καὶ ψιλὸν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς ἁγίας τεχθέντα Μαρίας, ἀναιδῶς ληρῳδοῦντας, τὰς τοῦ μακαρίου Κυρίλλου, τοῦ τῆς Ἀλεξανδρέων ἐκκλησίας γενομένου ποιμένος, συνοδικὰς ἐπιστολὰς πρὸς Νεστόριον καὶ πρὸς τοὺς τῆς ἀνατολῆς, ἁρμοδίους οὔσας ἐδέξατο, εἰς ἔλεγχον μὲν τῆς Νεστορίου φρενοβλαβείας, ἑρμηνείαν δὲ τῶν εὐσεβεῖ ζήλῳ τοῦ σωτηρίου συμβόλου ποθούντων τὴν ἔννοιαν· αἷς καὶ τὴν ἐπιστολὴν τοῦ τῆς μεγίστης Ῥώμης προέδρου τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος, τὴν γραφεῖσαν πρὸς τὸν ἐν ἁγίοις ἀρχιεπίσκοπον Φλαβιανὸν ἐπ᾽ ἀναιρέσει τῆς Εὐτυχοῦς κακονοίας, ἅτε δὴ τῇ τοῦ μεγάλου Πέτρου ὁμολογίᾳ συμβαίνουσαν, καὶ κοινήν τινα στήλην ὑπάρχουσαν B κατὰ τῶν κακοδοξούντων, εἰκότως συνήρμοσε, πρὸς τὴν τῶν ὀρθοδόξων δογμάτων βεβαίωσιν. τοῖς τε γὰρ εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας διασπᾶν ἐπιχειροῦσι μυστήριον, παρατάττεται· καὶ τοὺς παθητὴν τοῦ μονογενοῦς λέγειν τολμῶντας τὴν θεότητα, τοῦ τῶν ἱερῶν ἀπωθεῖται συλλόγου· καὶ τοῖς ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ κρᾶσιν ἢ σύγχυσιν ἐπινοοῦσιν ἀνθίσταται· καὶ τοὺς οὐράνιον, ἢ ἑτέρας τινὸς ὑπάρχειν οὐσίας τὴν ἐξ ἡμῶν ληφθεῖσαν αὐτῷ τοῦ δούλου μορφὴν παραπαίοντας ἐξελαύνει· καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας ἀναθεματίζει. ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες C ἐκδιδάσκομεν, τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα; κατὰ πάντα ὅμοιον ἡμῖν, χωρὶς ἁμαρτίας· πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι᾽ ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου κατὰ τὴν ἀνθρωπότητα, ἵνα καὶ τὸν αὐτὸν Χριστὸν, υἱὸν, κύριον, μονογενῆ, ἐκ δύο φύσεων ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα D μεριζόμενον ἢ διαιρούμενον, ἀλλ᾽ ἕνα καὶ τὸν αὐτὸν υἱὸν καὶ μονογενῆ, Θεὸν λόγον, κύριον Ἰησοῦν Χριστόν· καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς ὁ κύριος Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν πατέρων ἡμῖν παραδέδωκε σύμβολον. τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε καὶ ἐμμελείας παρ᾽ ἡμῶν διατυπωθέντων, ὥρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ γοῦν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρους. τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἢ γοῦν προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν ἀληθείας ἐξ Ἑλληνισμοῦ, ἢ ἐξ Ἰουδαϊσμοῦ, ἢ γοῦν ἐξ αἱρέσεως οἱασδηποτοῦν, τούτους, E εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι αὐτούς.

Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ ὅρου πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· αὕτη ἡ πίστις τῶν πατέρων. οἱ μητροπολῖται ἄρτι ὑπογράψωσι. παρόντων αὐτῶν ἀρχόντων, ἄρτι ὑπογράψωσι. τὰ καλῶς ὁρισθέντα ὑπέρθεσιν μὴ δέξηται. αὕτη ἡ πίστις τῶν ἀποστόλων. ταύτῃ πάντες συντιθέμεθα· πάντες οὕτω φρονοῦμεν. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὰ παρὰ τῶν ἁγίων πατέρων τυπωθέντα, καὶ πᾶσιν ἀρέσαντα, δῆλα τῇ θείᾳ γενέσθω κορυφῇ. *

* In mſ. Regiis, ἀνέγνων, ἀνέγνωμεν, ἀνέγνω.

In cod. Bob. Divionensi. Idem contuli, Explicit actio V. incipit VI. feliciter.

Anno Christi 451.

Actio sexta.

ΠΡΑΞΙΣ ἝΚΤΗ.

Ὑπατείᾳ τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ ὀκτὼ καλανδῶν Νοεμβρίων, ἐν Καλχηδόνι, κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, συνελθούσης ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ὁσίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θεῖον θέσπισμα ἐν τῇ Καλχηδονέων πόλει συναθροισθείσης, τουτέστι,

Πασχασίνου καὶ Λουκηνσίου τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος, καὶ

Ἀνατολίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως, καὶ τῶν λοιπῶν ὁσιωτάτων καὶ εὐλαβεστάτων ἐπισκόπων, τουτέστι,

Μαξίμου Ἀντιοχείας Συρίας,
Ἰουβεναλίου Ἱεροσολύμων,
Κυιντίλλου Ἡρακλείας Μακεδονίας, ἐπέχοντος τὸν τόπον Ἀναστασίου ἐπισκόπου Θεσσαλονίκης,
Θαλασσίου Καισαρείας Καππαδοκίας,
Στεφάνου Ἐφέσου,
Λουκιανοῦ Βύζης, ἐπέχοντος τὸν τόπον Κυριακοῦ Ἡρακλείας Θρᾴκης,
Εὐσεβίου Ἀγκύρας Γαλατίας,
Διογένους Κυζίκου,
Πέτρου Κορίνθου,
Φλωρεντίου Σάρδεων, καὶ τῶν λοιπῶν.

A

ACTIO SEXTA Chalcedonensis concilii.

Consulatu domini nostri Marciani perpetui Augusti, & qui fuerit nuntiatus, octavo Kal. Novembris, in Chalcedone secundum jussionem divinissimi & piissimi domini nostri Marciani perpetui Augusti: conveniente in sanctissima ecclesia sanctæ & [a] bonæ victricis martyris Euphemiæ sancta & universali synodo, quæ secundum divinam sanctionem in Chalcedonensium civitate congregata est, id est,

[a] al. bene

Paschasino & Lucentio reverentissimis episcopis, & Bonifatio reverentissimo presbytero, locum tenentibus sanctissimi & Deo amicissimi archiepiscopi senioris Romæ Leonis, &

B

Anatolio sanctissimo archiepiscopo splendidissimæ Constantinopolis (novæ Romæ,) & reliquis sanctissimis & reverentissimis episcopis, id est,

Maximo Antiochiæ Syriæ,
Juvenale Hierosolymorum,
Quintillo Heracleæ Macedoniæ, tenente locum Anastasii episcopi Thessalonicensis;
Thalassio Cæsareæ Cappadociæ,
Stephano Ephesi,
Luciano Byziæ, tenente locum Cyriaci episcopi Heracleæ Thraciæ;
Eusebio Ancyræ Galatiæ,
Diogene Cyzici,
Petro Corinthi,
Florentio Sardium,
Eunomio Nicomediæ,
Anastasio Nicææ,
Eleutherio Chalcedonensi,
Juliano civitatis Coënsis, tenente & ipso locum Apostolicæ sedis senioris Romæ Leonis;
Basilio Seleuciæ Isauriæ,
Meletio Larissæ, tenente locum Domni episcopi Apameæ Syriæ,
Amphilochio Sidæ,
Theodoro Tarsi,
Cyro Anazarbi,
Constantino Bostrensi,
Photio Tyri,
Theodoro Damasci,
Stephano Hierapoleos,
Nonno Edessæ,
Symeone Amidæ,
Epiphanio episcopo Pergæ, tenente locum Olympii episcopi Constantiæ;
Joanne Sebastiæ,
Seleuco Amasiæ,
Constantino Melitenæ,
Patricio Tyanensi,
Petro Gangrensi,
Apragmonio Tii, tenente locum Galogeri episcopi Claudiopolis,
Atarbio Trapezuntis, tenente locum Dorothei episcopi Neocæsareæ,
Photino archidiacono, tenente locum Theoctisti episcopi Pissinuntis;
Romano Myrensi,
Critoniano Aphrodisiadis Cariæ,
Nunechio Laodiceæ Phrygiæ,
Mariniano Synnadæ,
Onesiphoro Iconii,
Pergamio Antiochiæ Pisidiæ,
Epiphanio Pergensi,
Attico Nicopolis veteris Epiri,
Martyrio Gortynæ,
Luca Dyrrhachii,
Vigilantio Larissæ Thessaliæ,
Francione Philippopolis,
Sebastiano Berœæ,

Basilio Traianopolis,
Tryphone Chii,
Theoctisto Berrhœæ Syriæ,
Gerontio Seleuciæ,
Eusebio presbytero, tenente locum Macarii episcopi Laodiceæ Syriæ,
Eusebio Dorylæi,
Saba Palti,
Petro Gabalæ,
Sophronio Constantinæ,
Patricio Neocæsareæ Augustæ Euphratesiæ,
Mara Anasarthæ,
Romulo Chalcidis,
Eustathio Beryti,
Leontio Ascalonæ,
Aniano Capitoliadis,
Zebenno Pellæ,
Joanne Tiberiadis,
Antiocho [a] Archelaidis,
Beryllo Ailæ,
Aretha Elusæ,
Musonio [b] Zoaræ,
Rufino Bybli,
Pancratio Lybiadis,
Zosimo Minoidis,
Natira Gazæ,
Polychronio Antipatridis,
Joanne Gadaræ,
Paulo Anthedonis,
Photino Lyddæ,
Heraclio Azoti,
Marciano [c] Gerræ,
Stephano Jamniæ,
Epicteto Diocletianopolis,
Romano Eudoxiopolis,
Theodoro Claudiopolis Isauriæ,
Juliano Celenderitis,
Tyranno Germanicopolis,
Joanne Diocæsareæ,
Acacio Antiochiæ,
Epiphanio Cestriæ,
Aeliano Selenuntis,
Ammonio Iotapis,
Megalo Philadelphiæ,
Marco Arethusæ,
Timotheo Balaneorum,
Eusebio Seleucobeli,
Eutychiano Epiphaniæ,
Paulo Mariamnis,
Lampadio Rhaphanæorum,
Alexandro Sebastiæ,
Philippo Adanæ,
Hypatio Zephyrii,
Theodoro Augustæ,
Chrysippo Malli,
Juliano Rhosi,
Polychronio Epiphaniæ,
Joanne Flaviadis,
Indimo [d] Hermopolis,
Sophronio chorepiscopo, tenente locum Bassiani episcopi Mopsuestiæ;
Proclo Adranæ,
Eulogio Philadelphiæ Arabiæ,
Theodosio Canothæ,
Hormisda Philippopolis,
Damiano Sidonis,
Theodoro Tripolis,
Olympio Paneadis,
Paulo Ptolemaidis,
Paulo Aradi,

[a] Div. & Corb. Archis.
[b] Corb. & Div. Sigut.
[c] Parif. & Corb. Getatum,
[d] Iernopolis, mss.

A Thoma Porphyrionis,
Phosphoro Orthosiadis,
Porphyrio archidiacono, tenente locum Uranii episcopi Emissæ;
Joseph Æliopolis Phœniciæ,
Jordano Abilæ,
Valerio Laodiceæ Phœniciæ,
Thoma Evoreæ Phœnicis,
Theodoreto Cyri,
Rufino Samosateno,
Joanne Germaniciæ,
Timotheo Dolichis,
Evoltio Zeugmatis,
Athanasio Pergæ,
B Caiuma Marcopolis,
Joanne Carrhensium,
Abraamio Circisii,
Joanne Saracenorum,
Noë Cepha castelli,
Callinico Apameæ Bithyniæ,
Leucadio [a] Thinniensi,
Joanne Polemonii,
Gratidiano Cerasuntis,
Juliano Tabiæ,
Meliphthongo Juliopolis,
[b] Hypericio Asponensium,
Acacio Cinnæ,
Euphrasio [c] Laciniæ,
C Cecropio Sebastopolis,
Joanne Nicopolis Armeniæ,
Dorotheo presbytero, tenente locum [d] Anatolii episcopi Satalorum;
Attico Zelorum,
Antiocho Sinopis,
Euchario diacono, tenente locum Paralii Andraponensis;
Paulo presbytero, tenente locum Uranii episcopi [e] Himerorum;
Acacio Ariarathiræ,
Heraclio Comanorum,
Adelphio chorepiscopo, tenente locum Adolii episcopi Arabissi,
D Euphronio presbytero, tenente locum Domni episcopi Cucusi,
Otreio presbytero, tenente locum Joannis episcopi Arcensis,
Theodosio Nazianzeno,
Aristomachio Coloniæ,
Rheno Iunopolis,
Epiphanio presbytero, tenente locum Ætherii episcopi Pompeiopolis;
Philotimo presbytero, tenente locum Themistii episcopi Amastridis;
Theodoro Heracleæ,
Eulogio presbytero, tenente locum Genethlii episcopi Cratiæ;
E Pelagio presbytero, tenente locum Theophili episcopi Hadrianopolis;
Helpidio Thermensis,
Aquila Eudoxiadis,
Mysterio Amorii,
Longino Orcisti,
Docimasio Maroneæ,
Sereno Maximianopolis,
Ætherico Smyrnæ,
Eusebio Clazomenensi,
Cyriaco Ægensi,
Mama Anineti,
Leontio Magnesiæ Mæandri,
Quinto Phocææ,

[a] al. Gnidi,
[b] al. Hyperechio
[c] Parif. Laganiæ.
[d] Andreæ, supra, pag. 313. in Græco.
[e] Corb. Iberotanai.

ANNO CHRISTI 451.

Proclo Argissæ,
Thoma [a] Alalcomensi,
Olympio Theodosiopoleos,
Philippo Novæ aulæ,
Rufino Briuleno,
Marcellino Metropolis,
Isaïa Elaitano,
Paulino Theodosiopolis Asiæ,
Juliano Hypæpæ,
Hesperio Pitanæ,
Proterio [b] Myrrhinæ,
Basilico Palæopolis,
Mæonio Nyssæ,
Petro Dardani,
Thalassio Parii,
Davide Adrianæ,
[c] Eulalio Pioniæ,
Pionio Troadis,
Stephano [d] Prymnesiæ,
[e] Theosebio Ilii,
Hermia Abydi,
Daniele Lampsaci,
Patricio Adrianotheron,
Menecrate Cerassorum,
Cossinio Hierocæsareæ, & tenente locum Argei Salgon,
Helia Blandi,
Polycarpo Gabalorum,
Patricio Actassu,
Paulo Tripolis Lydiæ,
Amachio [f] Septoriorum,
Leucio Apollinis fani,
Gemello Stratoniciæ,
Alcimede Silandi,
Dionysio Attaliæ,
Nicolao Acarassæorum, & tenente locum Stephani episcopi Limyræ,
Zenodoto Telmessi,
Frontone Phaselidis,
Philippo [g] Liburnæ,
Theodoro Antiphelli,
Leontio Araxorum,
Antipatro Cauni,
Andrea Sectoriorum,
Paulo [h] Tlogorum,
Romano Buboneorum,
Nicia Megarorum,
Athanasio Opuntis,
Domnino Plateæ,
Onesimo Argorum,
Marco Euriæ,
Peregrino Phœnicis,
Eutychio Hadrianopoleos,
Claudio [i] Anchiaxi,
Sotericho Corcyræ,
Dionysio Antiochiæ,
Joanne Alindæ,
Flacillo Iassi,
Papia Erizorum,
Dionysio Heracleæ Latmi,
Menandro Heracleæ Salbacis,
Eupithio Stratoniciæ,
Joanne Amyzonis,
Tynchanio Apolloniadis,
Theodoreto Alabandorum,
Joanne Gnidi,
Juliano presbytero, tenente locum Calandionis episcopi Halicarnassi,
Daniele Cadorum,
Modesto Sebastæ,

a al. Aulioconæ,
b al. Myrrenis,
c Eulogio, Paris. Div. Corb.
d al. Poemanenensi,
e mss. Theodosio,
f mss. Septon.
g mss. Balbuscon,
h mss. Tlosoo,
i al. Anchiasmi,

ACTIO SEXTA.

A Paulo Aristii,
Eulalio Sibliæ,
Charitone Dionysiopolis,
Joanne Trapezopolis,
Gennadio Acmoneorum,
Thoma Theodosiopoleos,
Gennadio Mossynorum,
Euandro Diocliæ,
Gerontio Basiliopolis,
Alphio Myndi,
Theoctisto presbytero, tenente locum Diogenis episcopi Orthosiæ;
Philotheo presbytero, tenente locum Zotici episcopi [a] Arpasensis;
B Myro Eulandrensi,
Luciano Ipsensi,
Philippo Lysiadis,
Epiphanio Midæi,
Abercio Hierapoleos,
Cyriaco Eucarpiæ,
Eustochio Docimii,
Aquila Aurocrorum,
Basilio Nacoliæ,
Strategio Polyboti,
Neoptolemo Cornensi,
Paulo Derbis,
Plutarcho Lystrensi,
Eugenio Cannorum,
C Rufo Hydæ,
Tyranno Homonadum,
Acholio Larandæ,
Eutropio Adadorum,
Paulo Philomelii,
Paulino Apameensi,
Theotecno [b] Tyræi,
Eorticio Metropoleos,
Cyro Siniandi,
Libanio [c] Parii Lycaoniæ,
Alexandro Seleuciæ,
Olympio Sozopoleos,
Fonteiano Sagalassi,
Adilo chorepiscopo, tenente locum Messalini episcopi Laodiceæ,
D [d] Bassona Neapoleos,
Florentio Hadrianopolis,
[e] Maiano Limerorum,
Zebenno Martyropolis,
Euelpisto chorepiscopo, tenente locum Florentii episcopi Tenedi;
Sotere Theodosiadis, tenente locum Heliodori episcopi Amathuntis, & Proëchii Arsinoæ;
Epaphrodito Tamassii, tenente locum Didymi episcopi civitatis Lapethi;
Dionysio diacono, tenente locum Photini episcopi Chytrorum;
Joanne Messenæ,
E Ophelimo Tegeæ,
Irenæo Naupacti,
Cyrillo Subritis,
Gennadio Gnossi,
Eusebio Apolloniensi,
Demetrio [f] Lappensi,
Euphratæ Eleuthernensi,
Chrysogono presbytero, tenente locum Pauli episcopi [g] Candiæ;
Sozonte Philipporum,
Constantino Demetriadis,
Eusebio [h] Topiris,
Maximino Serres,
Nicolao Stoborum,

a al. Actassi,
b Div. Tytani.
c al. Parian
d al. Bassiola, al. Basso Neaspoleos
e al Musonio Limeniæ, al. Limena.
f al. Lampæ,
g al. Cantani
h al. Duberorum,

ACTIO SEXTA.

Dardanio Bargalæ,
Joanne Parthicopoleos,
Honorato Thassi,
Theophilo [a] Orci,
Neone [b] Psyllii,
Diodoro Lysineorum,
Paulo [c] Puglorum,
Mara [d] Cordilusorum,
Marcellino Isindorum,
Macedonio Magydensi,
Eudoxio Etennorum,
Eugenio Cotennorum,
Marcellino Coralliæ,
Obrimo Coracesii,
Petro Echinæorum,
Eustathio gentis Saracenorum;
Aurelio Afro,
[e] Resticiano Afro,

[a] al. Ariassi
[b] al. Silbii
[c] mss. Poglon
[d] al. Codrylorum,
[e] al. Resticiano

Καὶ τῶν λοιπῶν ὁσιωτάτων καὶ εὐλαβεστάτων ἐπισκόπων παραγενόμενος ἐν τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ὁ θειότατος καὶ εὐλαβέστατος ἡμῶν δεσπότης Μαρκιανὸς ὁ αἰώνιος Αὔγουστος, ἅμα τοῖς μεγαλοπρεπεστάτοις καὶ ἐνδοξοτάτοις ἄρχουσι, τουτέστι, τῷ ἐνδοξοτάτῳ στρατηλάτῃ, ἀπὸ ὑπάτων καὶ πατρικίῳ Ἀνατολίῳ, καὶ τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῶν ἱερῶν πραιτωρίων Παλλαδίῳ, καὶ τῷ μεγαλοπρεπεστάτῳ ἐπάρχῳ τῆς βασιλίδος Κωνσταντινουπόλεως, νέας Ῥώμης, Τατιανῷ, καὶ λοιποῖς τοῖς μεγαλοπρεπεστάτοις ἄρχουσι.

Et reliqua sancta synodo: Adveniens in eadem sanctissima ecclesia divinissimus & piissimus dominus noster Marcianus perpetuus Augustus, (præsente ex divino zelo ac fervore fidei etiam piissima & Christianissima regina Augusta Pulcheria) una cum magnificentissimis & gloriosissimis judicibus, id est, gloriosissimo magistro militum & exconsule ac patricio Anatolio, & gloriosissimo præfecto sacrorum prætoriorum Palladio, & magnificentissimo præfecto regiæ Constantinopolitanæ urbis novæ Romæ Tatiano, & gloriosissimo magistro sacrorum officiorum Vincomalo, & viris magnificentissimis & magistris Martiali & Placito, & viro magnificentissimo comite domesticorum Sporacio, & viro magnificentissimo comite [a] sacrorum privatorum Genethlio, & viro magnificentissimo comite domesticorum & sacrorum stabulorum Aëtio, & viro magnificentissimo primicerio clarissimorum tribunorum & notariorum Leontio: super his etiam amplissimo senatu, id est, gloriosissimo expræfecto & exconsule ac patricio Florentio, & gloriosissimo exconsule ac patricio Senatore, & gloriosissimo exmagistro & exconsule ac patricio Nomo, & gloriosissimo expræfecto & exconsule ac patricio Protogene, & viro magnificentissimo expræfecto & patricio Eugato, & viro magnificentissimo expræposito Romano, & viro magnificentissimo expræfecto Zoilo, & viro magnificentissimo expræfecto urbis Theodoro, & viro magnificentissimo expræfecto Apollonio, & viro magnificentissimo expræfecto urbis Antiocho, & viro magnificentissimo expræfecto urbis Anysio, & viro magnificentissimo expræfecto Illyrici Theodoro, & viro magnificentissimo expræposito [b] Artaxerse, & viro magnificentissimo expræfecto Constantino, & viro magnificentissimo expræfecto [c] Parmasio, & viro magnificentissimo expræfecto Illyrici Eulogio, & viris magnificentissimis exquæstoribus, Apollodoro, Theodoro & Menna, & viro magnificentissimo [d] & comite privatorum Severo, & viro magnificentissimo [e] & comite largitionum Basilio, & viro magnificentissimo [f] & comite privatorum Juliano, & viro magnificentissimo expræfecto Tryphone, & viro magnificentissimo exquæstore Polychronio, & viro magnificentissimo excomite Constantino, & viro magnificentissimo excomite Severiano, & viro magnificentissimo excomite Heracliano;

Quæ sunt inclusa parenthesi, sunt etiam in ms. nostro.

ANNO CHRISTI 451

[a] al. sacrorum privatarum
[b] al. Artaxe
[c] al. Parnasio
[d] al. excomite privatarum
[e] al. excomite
[f] al. excomite privatarum

παρόντων δὲ καὶ τοῖς περιβλέπτοις κόμησι, καὶ τριβούνοις νοταρίοις· προσεφώνησε τὰ ὑποτεταγμένα, πρότερον Ῥωμαϊστί, καὶ τὴν Ῥωμαϊκὴν προσφώνησιν, Ἑλληνιστί.

super his etiam spectabilibus comitibus & tribunis notariis; allocutus est quæ subsequuntur, primum Latine, & postmodum Græce: [g] cujus allocutionis virtus est ista.

[g] al. Dominus noster Marcianus perpetuus Augustus allocutus est sanctam synodum ita.

ADLOCUTIO MARCIANI IMPERATORIS.

Ex ms. cod. Collegii Paris. Soc. Jesu.

Interpretatio Latina adlocutionis.

Divinissimus & piissimus dominus noster Marcianus perpetuus Augustus, virtutem præscriptæ adlocutionis & Græce adlocutus est ita:

UBi primum divino judicio ad imperium sumus electi, inter tantas necessitates reipublicæ nulla nos magis causa constrinxit, quam ut orthodoxa & vera fides Christiana, quæ sancta atque pura est, indubitata omnium animis insideret. Constat autem, avaritia vel pravis studiis quorumdam, per media tempora nonnullis diversis sentientibus, & pro voluntate sua, non prout veritas atque doctrina patrum postulat, populos seducentibus, in errorem quamplurimos esse deductos. Qua de re sanctam synodum hoc videlicet proposito fieri studuimus, & vobis laborem indixisse videmur; quatenus omni errore atque caligine detersa, prout se divinitas hominibus manifestare voluit, & doctrina patrum ostendit, religio nostra, quæ pura atque sancta est, universorum mentibus insinuata, suæ virtutis luce fulgescat: nec

Ἑρμηνεία τῆς Ῥωμαϊκῆς προσφωνήσεως.

Ὁ θειότατος καὶ εὐλαβέστατος ἡμῶν δεσπότης Μαρκιανὸς ὁ αἰώνιος Αὔγουστος τὴν δύναμιν τῆς [g] προτεταγμένης προσφωνήσεως καὶ Ἑλληνιστὶ προσεφώνησεν οὕτως.

[g] Forte, προτεταγμένης

ΕΝ προοιμίοις τῆς ἡμετέρας βασιλείας, θείᾳ ψήφῳ ἐπ' αὐτὴν αἱρεθέντες, παρὰ τῶν ἄλλων ἁπασῶν καὶ ἀναγκαιοτάτων φροντίδων, οὐδὲν οὕτω καὶ βουλῆς καὶ σπουδῆς ἄξιον ἐνομίσαμεν, ὡς τὸ περὶ ὀρθοδόξου πίστεως, ἁγίας καὶ ἀληθῶς τυγχανούσης, ὁμογνώμονας ἅπαντας εἶναι, καὶ μηδὲν περὶ αὐτὴν ἀμφίβολον ταῖς τῶν ἀνθρώπων ὑπεισελθεῖν ψυχαῖς. Εὕρηται γὰρ ὁ μέσος χρόνος, τινῶν τοῦτο μὲν χρημάτων ἐπιθυμίαις, τοῦτο δὲ φαύλαις σπουδαῖς φρονούντων διάφορα, καὶ παρὰ τὴν τῶν ἁγίων πατέρων πίστιν τε καὶ διδασκαλίας τοῖς πλήθεσιν ἐκτιθέμενα, πλείους γέμειν ἐπιβλαβείας. Ταύτην ἰάσασθαι βουλόμενοι, τὴν ἁγίαν ὑμῶν ἠθροίσαμεν σύνοδον, διὰ τῆς ὑμετέρας μόχθων ἀποπλήσομεν μέγιστον ἔσεσθαι πιστεύσαντες τὴν τῆς ἀληθοῦς θρησκείας βεβαίωσιν, ὥστε τὴν ἐπισυμβᾶσαν ἀχλὺν ταῖς τῶν ἀνθρώπων τῶν πεπλανημένων ἐννοίαις ἀναιρεθῆναι· καὶ καθὼς αὐτὸ τὸ θεῖον τοῖς ἀνθρώποις εἰκὼν βουληθὲν ἑαυτὸ κατέστησε φανερόν, καὶ ὡς ἡ τῶν ἁγίων πατέρων διδασκαλία τὴν καθαρωτάτην καὶ ἀληθινὴν ταῖς ἁπάντων ψυχαῖς ἐκλάμπουσαν πίστιν ἐξέθετο, οὕτω τὸ ἀνθρώπινον θρησκεύειν θέλος,

καὶ τὸ

Anno Christi 451.

Actio sexta.

καὶ τὸ λοιπὸν πάντας περιαιρεθῆναι τοὺς τολμῶντας αὐθάδειαν περὶ τῆς γεννήσεως τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἑτέρως τι φρονεῖν ἢ διαλογίζεσθαι, παρὰ τὰ κηρυχθέντα μὲν παρὰ τῶν ἁγίων ἀποστόλων, παραδοθέντα δὲ νῦν συμφώνως παρὰ τῶν τριακοσίων δεκαοκτὼ ἁγίων πατέρων ἡμῶν τῶν ἐν Νικαίᾳ· ὃν τρόπον καὶ ἡ τοῦ θεοφιλεστάτου Λέοντος τοῦ τῆς βασιλίδος Ῥώμης ἀρχιεπισκόπου, τοῦ τὸν ἀποστολικὸν θρόνον κυβερνῶντος, ἐπιστολὴ διαπεμφθεῖσα πρὸς τὸν τῆς ὁσίας μνήμης Φλαβιανὸν ἐπίσκοπον τῆς νέας βασιλίδος Ῥώμης γενόμενον, σημαίνει. ἀναιρουμένης τοίνυν πάσης ἀνθρωπίνης σπουδῆς, ἐκβαλλομένης τε ἁπάσης προστασίας, καὶ τῆς ἀπληστίας χώραν ἐχούσης οὐδεμίαν, ἡ ἀλήθεια πᾶσιν ὑμῶν ἐκθέσει φανερωθήτω. ἡμεῖς γὰρ βεβαιότητι τῆς πίστεως προσελθόντες, οὐ δυνάμεως ἐπίδειξιν ποιούμενοι, παρεῖναι τῇ συνόδῳ ἐδοκιμάσαμεν, ὑπόδειγμα ποιούμενοι τὸν τῆς μακαρίας λήξεως Κωνσταντῖνον· ὥστε τῆς ἀληθείας εὑρεθείσης, μὴ περαιτέρω τὰ πλήθη ὑποσυρόμενα φαύλαις τισὶ διδασκαλίαις διχονοεῖν. πολλοὶ γὰρ ἁπλότητι διανοίας πληθέντες ὑπό τινων περιττὰ καὶ σεσοφισμένα ἐπιχειρούντων, εἰκότως ἠπάτηνται. ἃ ἔστι μὲν γὰρ ἀμφίβολον, ὡς ἁπλῶς καὶ [a] μοχθηρῶς ἐξηγοῦνται, αἵ τε διχόνοιαι καὶ πολλαὶ ἀναφύονται αἱρέσεις. τῇ δὲ ἡμετέρᾳ γαληνότητι σπουδαῖόν ἐστι, τοὺς δήμους ἅπαντας μίαν καὶ τὴν αὐτὴν περὶ τὸ θεῖον ἔχοντας γνώμην, τὴν ἀληθῆ καὶ καθολικὴν θρησκείαν τε καὶ πίστιν σέβειν, ἣν αὐτῆς κατὰ τὰ παραδοθέντα παρὰ τῶν ἁγίων πατέρων δόγματα ἐξηγήσασθε. ἔργον τοίνυν γενέσθω τῆς ὑμετέρας εὐλαβείας, ἵνα ὁμογνώμονι ψυχῇ, καθάπερ ἐν τῇ Νικαέων ἁγιωτάτῃ τῶν πατέρων συνόδῳ φανερωθεῖσα ἡ πίστις, πλάνης μὲν ἠλευθέρωσε τοὺς ἀνθρώπους, εἰς τοὺς δὲ παραχθεῖσα, πᾶσιν ἐγνώσθη· παραπλησίως καὶ νῦν διὰ τῆς ὑμετέρας συνόδου τὸ μὲν ἀμφίβολον ἐν τῷ ὀλίγῳ τούτῳ χρόνῳ τεχθέν, καθὼς εἴπομεν, φαυλότητί τινων καὶ ἀπληστίᾳ, περιαιρεθῇ, εἴ ποτε δὲ τὰ παρ᾽ ὑμῶν διαγνωσθέντα φυλαχθῇ. ἔσται δὲ τῆς θείας προνοίας, τοῦθ᾽ ὅπερ ὁσιωτάτῃ γνώμῃ προσθεῖναι σπουδάζομεν, εἰς τὸ διηνεκὲς ἐπὶ τῇ παρ᾽ ὑμῶν ὠφελείᾳ φυλαχθῆναι βέβαιον. [b]

in posterum quisquam audeat de nativitate Domini & Salvatoris nostri Jesu Christi aliter disputare, quam Apostolica prædicatio, & instituta trecentorum decem & octo sanctorum Patrum eidem convenientia, posteritati tradidisse noscuntur: sicut etiam sancti Leonis Papæ urbis Romæ, qui sedem Apostolicam gubernat, missa ad sanctæ memoriæ Flavianum Constantinopolitanæ urbis episcopum scripta testantur. Remotis itaque studiis, ablatis patrociniis, cessante avaritia, cunctis veritas innotescat. Nos enim ad fidem confirmandam, non ad potentiam aliquam exercendam, exemplo religiosi principis Constantini, synodo interesse voluimus, ne vel ulterius populi pravis suasionibus separentur. Facile enim simplicitas quorumdam hactenus nonnullorum ingeniis atque superflua verbositate decepta est: & constat, diversorum pravis insinuationibus dissensiones & hæreses natas. Studium autem nostrum est, ut omnis populus per veram & sanctam doctrinam unum sentiens, in eamdem religionem redeat, & veram fidem catholicam colat, quam secundum institutiones patrum exponere concordantibus æque animis religio vestra festinet: quatenus sicut a Nicæna synodo usque ad proximum tempus, erroribus amputatis, vera fides cunctis innotuit; ita & nunc per hanc sanctam synodum remotis caliginibus, quæ in his paucis annis, sicut superius dictum est, pravitate atque avaritia quorumdam emersisse videntur, perpetuo, quæ statuta fuerint, conserventur. Erit autem divinæ majestatis, id quod sancto animo fieri desideramus, in æternum firmiter custodire.

Πάντες ἐβόησαν· Μαρκιανῷ νέῳ Κωνσταντίνῳ. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τῆς Αὐγούστης. τῶν ὀρθοδόξων πολλὰ τὰ ἔτη. Μαρκιανῷ τῷ φιλοχρίστῳ. διὰ βίου ἡ ὑμῶν βασιλεία, ἄξιοι τῆς ὀρθοδοξίας. φιλόχριστοι, ἄφθονα ὑμῖν. Ἀέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· ἐπειδὴ τῇ ῥοπῇ τῆς ἄνωθεν χάριτος, καὶ τῷ φιλοχρίστῳ ζήλῳ τῆς γαληνότητος ὑμῶν τῶν εὐσεβεστάτων καὶ πιστοτάτων, τῶν ἐκ Θεοῦ εἰληχότων τὸ πάντων κρατεῖν βασιλέων, ἡ κατὰ θέσπισμα ὑμέτερον συνειλεγμένη ἁγία αὕτη καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, μετὰ πλείστης ὅσης ἐκ πολλῶν ἡμερῶν σπουδῆς, καὶ θείας ἐμμελείας, πᾶσαν μὲν ἐν τῷ παρεληλυθότι ὁπωσοῦν ἀναφυεῖσαν κατὰ τῆς ὀρθῆς καὶ ἀμωμήτου καθολικῆς ἡμῶν πίστεως διχόνοιαν ἐκ μέσου πεποίηκε, τῷ τῆς ἀληθείας λόγῳ πᾶσαν ἀπελάσασα καινοφωνίαν, καθὰ καὶ τὰ ἐγγράφως ἐφ᾽ ἑκάστῳ τῶν παρακολουθησάντων πεπραγμένα δηλοῖ· ὅρον δὲ νῦν ἐξεφώνησεν ἀπλανῆ, τῇ τῆς θείας χάριτος ὀχυρωθεῖσα δυνάμει, καὶ τῶν ἁγίων καὶ μακαριωτάτων πατέρων ἐν αὐτῷ διατηρήσασα τὴν διάνοιαν, πρὸς γνῶσιν μὲν ἀκριβῆ τῶν εἰλικρινῶς ἀναγινωσκόντων, ἀγήρω δὲ στέφανον τῆς ὑμετέρας εὐσεβοῦς βασιλείας· [c] ἐπέχων νῦν μετὰ χεῖρας, εἰ παρίσταται νεύματι τῆς ὑμετέρας ἡμερότητος, ἀναγνώσομαι. ἀνάγνωθι. [d] Ἀέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως, νέας Ῥώμης, ἀνέγνω.

Omnes clamaverunt: Marciano novo Constantino. Multos annos. Imperatori. Multos annos. Augustæ. Orthodoxis multos annos. Marciano amatori Christi. Vestrum nobis duret Imperium, digni ex orthodoxa fide. Ab amatoribus Christi procul invidia sit. Et post has voces, Aëtius archidiaconus Constantinopolitanæ urbis, dixit: Quoniam nutu supernæ gratiæ, & divino zelo serenitatis vestræ piissimæ & fidelissimæ, quibus a Deo datum est omnibus imperare, hæc magna & sancta & universalis synodus, per præceptum vestrum congregata, summo studio & divina diligentia per multos dies omnem discordiam, quæ in præterito quoquo modo adversus rectam & immaculatam catholicam nostram fidem exorta est, expulit; per verbum veritatis omnem novam vocem abjiciens, sicut scripta per singula quæ contigerunt gesta manifestant: definitionem autem nunc ab omni errore alienam prædicavit, divinarum scripturarum virtute munita, servatque in ea sanctorum & beatissimorum patrum sententiam; ad certam quidem scientiam sincere legentium, & ad perpetuam coronam vestri pii imperii: hanc præ manibus habens, si placet, annuente vestra serenitate recitabo. Divinissimus & piissimus dominus Imperator dixit: Lege. Aëtius archidiaconus Constantinopolis novæ Romæ legit:

Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, Οὐαλεντινιανοῦ καὶ Μαρκιανοῦ Αὐγούστων, συναχθεῖσα ἐν τῇ Καλχηδονέων μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος Εὐφημίας, ὥρισε τὰ ὑποτεταγμένα. ὁ κύριος ἡμῶν καὶ σωτὴρ Ἰησοῦς Χριστός. καὶ τὰ ἑξῆς.

Sancta & magna & universalis synodus, quæ secundum Dei gratiam & sanctionem piissimorum Christianissimorumque Imperatorum nostrorum Valentiniani & Marciani Augustorum, congregata est apud Chalcedonem metropolim Bithyniæ provinciæ, in basilica sanctæ & venerabilis martyris Euphemiæ, definivit subter annexa. Dominus noster & Salvator Jesus Christus notitiam fidei, &c.

Τὰ ἑξῆς γέγραπται ἐν τῇ πρὸ τῆς πράξεως ταύτης πράξει, ἤτοι τῇ πέμπτῃ.

Reliqua descripta sunt in proxima superiore actione; id est, quinta [a].

Πασχασῖνος ἐπίσκοπος, ἐπέχων τὸν τόπον τοῦ δεσπότου μου τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ τῆς οἰκουμενικῆς ἐκκλησίας ἐπι-

Paschasinus episcopus, vicarius domini mei beatissimi atque Apostolici universalis ecclesiæ Papæ urbis

[a] Forte, μοχθηρῶς διαφέρων

[b] In mſ. Παραμυθεῖ.

[c] Forte, ἔχων

[d] In mſ. Παραμυθεῖ.

[a] Supra, pag. 451.

Romæ Leonis, synodo præsidens, statui, consensi, & subscripsi.

Lucentius episcopus civitatis ecclesiæ Asculanæ, vicarius domini mei beatissimi atque Apostolici viri universalis ecclesiæ Papæ urbis Romæ Leonis, in synodo Græce relecta subscripsi.

Bonifacius presbyter urbis Romæ, vicarius domini mei beatissimi & Apostolici viri universalis ecclesiæ Papæ urbis Romæ Leonis, [a] cum universa synodo consensi & subscripsi.

Anatolius episcopus Constantinopolis novæ Romæ, definiens subscripsi.

Maximus episcopus Antiochiæ, statuens subscripsi.

Juvenalis episcopus Hierosolymorum, statuens subscripsi.

Quintillus episcopus Heracleæ, tenens locum Anastasii sanctissimi episcopi Thessalonicensium, statuens subscripsi.

Thalassius episcopus Cæsareæ Cappadociæ, definiens subscripsi.

Stephanus episcopus Ephesi definiens subscripsi.

Lucianus episcopus Byzæ, habens locum Cyriaci religiosissimi episcopi Heracleæ Thraciæ, definiens subscripsi.

Eusebius episcopus Ancyræ, definiens subscripsi.

Diogenes episcopus Cyzici, definiens subscripsi.

Petrus episcopus Corinthi, definiens subscripsi.

Florentius episcopus Sardium, definiens subscripsi.

Anastasius episcopus Nicææ, definiens subscripsi.

Eunomius episcopus Nicomediæ, definiens subscripsi.

Julianus minimus episcopus & [b] legatus sedis Apostolicæ, definiens subscripsi.

Eleutherius episcopus Chalcedonensis, definiens subscripsi.

Basilius misericordia Dei episcopus Seleuciæ metropolis Isauriæ, definiens subscripsi.

Meletius episcopus Larissæ, sermonem faciens & pro sanctissimo domino episcopo Apameæ Syriæ secundæ, & pro me, definiens subscripsi.

Amphilochius episcopus Sidæ, definiens subscripsi.

Theodorus episcopus metropolis Tarsi, definiens subscripsi.

Cyrus episcopus Anazarbi civitatis sanctæ Dei ecclesiæ, definiens subscripsi.

Constantinus episcopus Bostrensium metropolis, definiens subscripsi.

Photius episcopus Tyri metropolis, definiens subscripsi.

Theodorus episcopus Damasci, definiens subscripsi.

Stephanus episcopus Hierapolis, definiens subscripsi.

Nonnus episcopus Edessenorum civitatis, definiens subscripsi.

Symeon episcopus Amidæ metropolis, definiens subscripsi per Petrum presbyterum.

Olympius episcopus metropolis Constantiæ, definiens subscripsi per Epiphanium episcopum.

Joannes miseratione Dei episcopus Sebastiæ, definiens subscripsi.

Seleucus Dei gratia episcopus Amasiæ metropolis, definiens subscripsi.

Constantinus miseratione divina episcopus Melitenæ, definiens subscripsi.

Patricius episcopus Tyanorum metropolis, definiens subscripsi.

Petrus episcopus metropolis Gangrorum, definiens subscripsi.

Calogerus episcopus metropolis Claudiopolis, definiens subscripsi per Apragmonium episcopum Tii.

Dorotheus episcopus Neocæsareæ, definiens subscripsi per Atarbium episcopum Trapezuntis.

[a] *Paris.* in Concilio his quæ Græce lecta sunt subscripsi.

[b] *Annotatio Rustici.* Nota quia non vicarium, sed legatum se dicit. *Et tamen supra quamquam nominatur inter vicarios.*

σκόπου πόλεως Ῥώμης Λέοντος, ἐν τῇ συνόδῳ τῆς Ἑλληνικῇ ἀναγνωσθείσῃ ὑπέγραψα.

Λουκήντιος ἐπίσκοπος πόλεως ἐκκλησίας Ἀσκουλάνων, ἐπέχων τὸν τόπον τοῦ δεσπότου μου τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ τοῦ ἀνδρὸς πάσης ἐκκλησίας ἐπισκόπου πόλεως Ῥώμης Λέοντος, ἐν τῇ συνόδῳ τῆς Ἑλληνικῇ ἀναγνωσθείσῃ ὑπέγραψα.

Βονιφάτιος πρεσβύτερος πόλεως Ῥώμης, ἐπέχων τὸν τόπον τοῦ δεσπότου μου τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἀνδρὸς τῆς οἰκουμενικῆς ἐκκλησίας, ἐπισκόπου πόλεως Ῥώμης Λέοντος, ἐν τῇ συνόδῳ τῆς Ἑλληνικῇ ἀναγνωσθείσῃ ὑπέγραψα.

Ἀνατόλιος ἐπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, ὁρίσας ὑπέγραψα.

Μάξιμος ἐπίσκοπος Ἀντιοχείας, ὁρίσας ὑπέγραψα.

Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων, ὁρίσας ὑπέγραψα.

Κυίντιλλος ἐπίσκοπος Ἡρακλείας, ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου Θεσσαλονικέων Ἀναστασίου, ὁρίσας ὑπέγραψα.

Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας, ὁρίσας ὑπέγραψα.

Στέφανος ἐπίσκοπος Ἐφέσου, ὁρίσας ὑπέγραψα.

Λουκιανὸς ἐπίσκοπος Βύζης, ἐπέχων τὸν τόπον Κυριακοῦ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἡρακλείας Θρᾴκης, ὁρίσας ὑπέγραψα.

Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας, ὁρίσας ὑπέγραψα.

Διογένης ἐπίσκοπος Κυζίκου, ὁρίσας ὑπέγραψα.

Πέτρος ἐπίσκοπος Κορίνθου, ὁρίσας ὑπέγραψα.

Φλωρέντιος ἐπίσκοπος Σάρδεων, ὁρίσας ὑπέγραψα.

Ἀναστάσιος ἐπίσκοπος Νικαίας, ὁρίσας ὑπέγραψα.

Εὐνόμιος ἐπίσκοπος Νικομηδείας, ὁρίσας ὑπέγραψα.

Ἰουλιανὸς ὁ ἐλάχιστος ἐπίσκοπος καὶ πρεσβευτὴς τοῦ ἀποστολικοῦ θρόνου, ὁρίσας ὑπέγραψα.

Ἐλευθέριος ἐπίσκοπος Καλχηδόνος, ὁρίσας ὑπέγραψα.

Βασίλειος ἐλέῳ Θεοῦ ἐπίσκοπος Σελευκείας τῆς μητροπόλεως Ἰσαυρίας, ὁρίσας ὑπέγραψα.

Μελέτιος ἐπίσκοπος Λαρίσσης, ποιούμενος τὸν λόγον καὶ ὑπὲρ τοῦ ὁσιωτάτου Δόμνου ἐπισκόπου Ἀπαμείας Συρίας δευτέρας, καὶ ὑπὲρ ἐμοῦ, ὁρίσας ὑπέγραψα.

. . . .

Θεόδωρος ἐπίσκοπος τῆς μητροπόλεως Ταρσοῦ, ὁρίσας ὑπέγραψα.

Κῦρος ἐπίσκοπος τῆς ἐν Ἀναζάρβῳ τῇ πόλει ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Κωνσταντῖνος ἐπίσκοπος Βόστρων μητροπόλεως, ὁρίσας ὑπέγραψα.

Φώτιος ἐπίσκοπος τῆς Τύρων μητροπόλεως, ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐπίσκοπος Δαμασκοῦ, ὁρίσας ὑπέγραψα.

Στέφανος ἐπίσκοπος Ἱερᾶς πόλεως, ὁρίσας ὑπέγραψα.

Νόννος ἐπίσκοπος τῆς Ἐδεσσηνῶν πόλεως, ὁρίσας ὑπέγραψα.

Συμεώνης ἐπίσκοπος Ἀμίδης τῆς μητροπόλεως, ὁρίσας ὑπέγραψα διὰ Πέτρου πρεσβυτέρου.

Ὀλύμπιος ἐπίσκοπος τῆς μητροπόλεως Κωνσταντίας, ὁρίσας ὑπέγραψα διὰ Ἐπιφανίου ἐπισκόπου.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκοπος Σεβαστείας, ὁρίσας ὑπέγραψα.

Σέλευκος χάριτι Θεοῦ ἐπίσκοπος μητροπόλεως Ἀμασείας, ὁρίσας ὑπέγραψα.

Κωνσταντῖνος ἐλέῳ Θεοῦ ἐπίσκοπος Μελιτηνῆς, ὁρίσας ὑπέγραψα.

Πατρίκιος ἐπίσκοπος τῆς Τυάνων μητροπόλεως, ὁρίσας ὑπέγραψα.

Πέτρος ἐπίσκοπος τῆς μητροπόλεως Γαγγρῶν, ὁρίσας ὑπέγραψα.

Καλόγερος ἐπίσκοπος τῆς μητροπόλεως Κλαυδιουπόλεως, ὁρίσας ὑπέγραψα διὰ Ἀπραγμονίου ἐπισκόπου.

Δωρόθεος ἐπίσκοπος τῆς Νεοκαισαρείας, ὁρίσας ὑπέγραψα διὰ Ἀταρβίου ἐπισκόπου Τραπεζοῦντος.

Θεόκτιστος ἐπίσκοπος τῆς Πισσινουντίων μητροπόλεως, ὁρίσας ὑπέγραψα διὰ Φωτεινοῦ ἀρχιδιακόνου.

Ῥωμανὸς ἐπίσκοπος τῆς μητροπόλεως Μύρων, ὁρίσας ὑπέγραψα.

Κριτωνιανὸς ἐπίσκοπος Ἀφροδισιάδος Καρίας, ὁρίσας ὑπέγραψα.

Νουνέχιος ἐπίσκοπος Ἀφροδισιάδος Καρίας, ὁρίσας ὑπέγραψα.

Μαρινιανὸς ἐπίσκοπος Συννάδων τῆς μητροπόλεως, ὁρίσας ὑπέγραψα.

Ὀνησιφόρος ἐπίσκοπος μητροπόλεως Ἰκονίου, ὁρίσας ὑπέγραψα.

Περγάμιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας, ὁρίσας ὑπέγραψα.

Ἐπιφάνιος ἐπίσκοπος Πέργης τῆς μητροπόλεως Παμφυλίας, ὁρίσας ὑπέγραψα.

Ἀττικὸς ἐπίσκοπος Νικοπόλεως τῆς κατὰ τὴν παλαιὰν Ἤπειρον, ὁρίσας ὑπέγραψα.

Μαρτύριος ἐπίσκοπος Γορτύνης τῆς Κρητῶν μητροπόλεως, ὁρίσας ὑπέγραψα.

Λουκᾶς ἐπίσκοπος Δυρραχηνῶν μητροπόλεως, ὁρίσας ὑπέγραψα.

& reliqua sancta & universali synodo, quæ per decretum divinissimi & piissimi domini nostri Marciani in Chalcedone civitate collecta est: & residentibus omnibus ante cancellos sanctissimi altaris, ingressus Ibas reverentissimus, qui fuit Edessenæ civitatis episcopus, dixit: Injustitiam ab Eutyche & falsa figmenta perpessus, absens a quadraginta mansionibus, & condemnatus, huc adveni impetrare clementiam: & adii sacrum & immortalem verticem: & jussit vestram magnificentiam, cum sancta hac & universali synodo, quæ adversum me sunt gesta perquirere. Deprecor igitur vos, ut cognoscatis quoniam falsam accusationem pertuli, & calumniam a quibusdam clericis. Jubete ea quæ judicata sunt a Photio & Eustathio reverentissimis episcopis, relegi. Uranius enim episcopus Himerorum in gratiam Eutychis omnia agens, præparavit ut quidam clerici accusarent me, & judicium sibi prædictisque transmitteretur: & inventus sum innocens a blasphemiis quæ mihi illatæ sunt: & judicatum datum est a præfatis reverentissimis episcopis; accusationes quidem adversum me per calumniam factas arguens, testificans autem me esse catholicum. Jubete igitur omnia quæ per absentiam meam in Epheso sub Dioscoro gesta sunt, evacuari; & justitiam mihi servari, qui in nullo culpabilis sum; & reddi mihi episcopatum pariter & ecclesiam. Nam & omnes clerici Edesseni per quæ scripserunt præfatis episcopis testantur me esse catholicum: & alienus

sum a nefaria blasphemia quæ mihi infertur. Magnificentissimi & gloriosissimi judices dixerunt: Postulatione Ibæ reverentissimi declarata, quid sanctæ synodo videtur? ᵃ Paschasinus & Lucentius & Julianus reverentissimi episcopi, & Bonifacius presbyter, vicarii sedis Apostolicæ per Paschasinum dixerunt: Ea quæ gesta sunt, quorum memoriam fecit reverentissimus Ibas, & semetipsum mundum ab omni accusatione in episcoporum judicio significavit, proferantur in medium, ut eorum lectione aut quid judicandum sit, aut quid definiri oporteat, cognoscamus. Et porrecta ea sententia ab Iba reverentissimo, Beronicianus devotissimus secretarius divini consistorii relegit:

ᵃ d. Latine

Judicatum Photii & Eustathii pro Iba.

» Post consulatum Flavii Zenonis & Postumiani » virorum clarissimorum consulum, sub die quin- » to Kalendar. Martiarum, in colonia Tyro clarissima » metropoli consulari, anno quingentesimo septuagesi- » mo quarto, mensis Peritii die decima, secundum Ro- » manos autem Februarii quinta & vicesima, indictione » prima, Photius episcopus Tyriorum metropolis, & » Eustathius Berytiorum pulcræ civitatis, interlocuti » sumus ea, quæ sunt subjecta. Magnificentissimus & » gloriosissimus tribunus & notarius Damascius, adve- » niens in Phœnicum provinciam, pias litteras nobis de- » dit per omnia piissimi & amatoris Christi Imperatoris » nostri, quæ juberent auditores nos esse cum religiosissi- » mo Uranio episcopo civitatis Himeriæ, capitulorum » eorum quæ moventur adversus Dei amantissimum I- » bam Edessenæ civitatis episcopum, a Samuele & Cyro » & Mara & Eulogio reverentissimis; & formam, quæ » nobis videretur, justissimam proferre. His ergo quæ » pie sancita sunt, satisfacientes, audientiam proposui- » mus: & partibus nobis adductis per præfatum strenuis- » simum & spectabilem tribunum & notarium Damas- » cium, ab eodem strenuissimo viro depositione facta, » manifestante Imperatoris nostri piissimi sanctionem, » necessarie hortabamur, accusatorum personam haben- » tes, docere quæ vellent. His ergo dantibus capitula » quædam, & rogantibus ut horum fieret subtilis inqui- » sitio, incumbentes nos capitulis, & invenientes in his » accusationem quamdam adversus Ibam religiosissimum » episcopum, quasi non recte saperet, sed alia præter » piam doctrinam doceret; necessario hujus prius inqui- » sitionem cum magna diligentia facere sumus impulsi. » Præcepimus igitur accusatoribus dicere, quænam a re- » ligiosissimo episcopo Iba dogmata dicta essent, a pieta- » te (sicut ipsi dicebant) aliena. Cum illi certa quædam » dixissent, & multa mota fuissent, quæ in actis inserta » sunt; nos audientium ordinem ad modicum relinquen- » tes, & ad sanctarum ecclesiarum communem utilita- » tem respicientes, pro judicibus, pacis mediatores eis » partibus nosmetipsos effecimus: & multis usi conciliis, » pietatem ubique præponentes, & inquirentes, præpa- » ravimus religiosissimum Ibam episcopum (quod & ip- » se amplexus est) ad satisfactionem eorum qui læsi dice- » bantur, ex scripto dare quod sentit vel sapit de pia no- » stra fide: quod & fecit. Ex abundanti autem prædictus » religiosissimus vir promisit & in suæ civitatis ecclesia » alloqui, & manifeste anathematizare malignæ impieta- » tis principem Nestorium, & eos qui sicut ille sapiunt, » & qui vel libris vel codicibus ejus utuntur. Confessus » autem sic se credere, sicut continent litteræ conventio- » nis factæ inter Dei amantissimum & sanctissimæ me- » moriæ virum Joannem maximæ Antiochenæ civitatis » episcopum, & Cyrillum maximæ Alexandrinorum ci- » vitatis episcopum, quibus ministravit beatæ memoriæ » Paulus Emisenorum civitatis episcopus, ex quibus uni- » versalis concordia facta est. Consentire autem & omnibus quæ nuper gesta sunt a sancta synodo, quæ conve-

In edit. Crabbi dicitur, Ibæ Edisseni episcopi libellus quærulosus.

εἶμι τῆς ἐπενεχθείσης μοι ἀθεμίτου βλασφημίας. οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· τῆς διδασκαλίας Ἴβα τοῦ εὐλαβεστάτου δήλης γενομένης, τί παρίσταται τῇ ἁγίᾳ συνόδῳ; ᵃ Πασχασῖνος καὶ Λουκίνσιος καὶ Ἰουλιανὸς οἱ εὐλαβέστατοι ἐπίσκοποι ἰβόντες σὺν Βονιφατίῳ πρεσβυτέρῳ· τὰ πεπραγμένα, ὧν τὴν μνήμην ἐποιήσατο ὁ εὐλαβέστατος Ἴβας, καὶ ἑαυτὸν καθαρὸν ἀπὸ πάσης κατηγορίας ἐν τῷ τῶν ἐπισκόπων κριτηρίῳ κατεσήμανε, προκομισθήτω ἐν τῷ μέσῳ· ἵνα ἐκ τῆς τούτων ἀναγνώσεως ἢ δικάσωμεν, ἢ εἴ τι ὁρίσαι χρὴ, ἐπιγνῶμεν. καὶ ἐπιδοθείσης τῆς ἀποφάσεως παρὰ Ἴβα τοῦ εὐλαβεστάτου, Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω.

ᵃ In mſ. Παρκωσι.

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

Μετὰ τὴν ὑπατίαν Φλαυΐου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων, πρὸ πέντε καλανδῶν μαρτίων, ἐν κολωνίᾳ Τύρῳ λαμπροτάτῃ μητροπόλει ὑπατικῇ, ἔτους τετάρτου ἑβδομηκοστοῦ πεντακοσιοστοῦ, μηνὸς Περιτίου δεκάτῃ, κατὰ Ῥωμαίους Φεβρουαρίου πέμπτῃ καὶ εἰκάδι, ἰνδικτιῶνος πρώτης, Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου μητροπόλεως, καὶ Εὐστάθιος τῆς Βηρυτίων καλλιπόλεως, διελαλήσαμεν τὰ ὑποτεταγμένα. ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος τριβοῦνος καὶ νοτάριος Δαμάσκιος ἐπιδημήσας τῇ Φοινίκων ἐπαρχίᾳ, εὐσεβῆ γράμματα ἡμῖν ᵇ δέδωκε τοῦ πάντα εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν, προσκελευόμενα, ὥστε ἀκροατὰς ἡμᾶς γενέσθαι ἅμα τῷ θεοσεβεστάτῳ ἐπισκόπῳ τῆς Ἱμερίων πόλεως Οὐρανίῳ, τῶν κινουμένων πρὸς τὸν θεοσεβέστατον ἐπίσκοπον τῆς Ἐδεσσηνῶν πόλεως Ἴβαν παρὰ Σαμουήλου καὶ Κύρου καὶ Μάρα καὶ Εὐλογίου τῶν εὐλαβεστάτων· καὶ τύπον τὸν ἡμῖν φαινόμενον δικαιότατον προενεγκεῖν. τοῖς οὖν εὐσεβῶς θεσπισθεῖσι τὸ ἱκανὸν ποιοῦντες, ᶜ προτεθείκαμεν τὴν ἀκρόασιν· καὶ τῶν μερῶν προσαχθέντων ἡμῖν διὰ τοῦ προειρημένου ἐνδοξοτάτου καὶ περιβλέπτου τριβούνου καὶ νοταρίου Δαμασκίου, καὶ καταθέσεως γενομένης παρὰ τοῦ αὐτοῦ ἐνδοξοτάτου ἀνδρὸς, δηλούσης τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν τὸ θέσπισμα, ἀναγκαίως ἐπετρέψαμεν οἱ τῶν κατηγόρων τὸ πρόσωπον ἔχοντες διδάσκειν, ἃ ἔχουσιν. ἐπιδεδωκότων δὲ αὐτῶν κεφάλαιά τινα, καὶ ἀξιούντων τούτων ἀκριβῆ γενέσθαι τὴν ἐξέτασιν, ἐντυχόντες ἡμεῖς τοῖς κεφαλαίοις, καὶ ἐν τούτοις εὑρόντες ἔλεγχον τινὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἴβα, ὡς οὐκ ὀρθῶς φρονοῦντος, ἀλλ' ἕτερα παρὰ τὸν τῆς εὐσεβείας λόγον διδάσκοντος, ἀναγκαίως τούτου πρότερον τὴν ἐξέτασιν μετὰ πολλῆς τῆς ἐπιμελείας ποιήσασθαι κατηπείχθημεν. ἐπετρέψαμεν τοιγαροῦν τοῖς κατηγόροις εἰπεῖν, τίνα ἐστὶν, ἃ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἴβα εἴρηται τῆς εὐσεβείας, ὡς ἔφασκον, ἀλλότρια δόγματα. εἰπόντων δὲ αὐτῶν φανερά τινα, καὶ πολλῶν κινηθέντων, ἅπερ ἐμφέρεται τοῖς ὑπομνήμασιν, ἡμεῖς τὴν τῶν ἀκροατῶν τάξιν πρὸς μικρὸν καταλιπόντες, εἰς τὸ κοινωφελὲς τῶν ἁγίων ἐκκλησιῶν ἀπιδόντες, ἀντὶ δικαστῶν, εἰρήνης μεσίτας τοῖς μέρεσιν ἑαυτοὺς κατεστήσαμεν· καὶ πολλαῖς χρησάμενοι ταῖς συμβουλαῖς, τῆς εὐσεβείας πανταχοῦ προτιμωμένης καὶ ἐξεταζομένης, ᵈ παρεκαλέσαμεν τὸν θεοφιλέστατον ἐπίσκοπον Ἴβαν, καὶ αὐτὸν τοῦτο ἀρεσάμενον εἰς πληροφορίαν τῶν λεγόντων βεβλάφθαι, ἐγγράφως ἐπιδοῦναι, ὅπως ἔχει τι καὶ φρονεῖ περὶ τῆς εὐσεβοῦς ἡμῶν πίστεως· ὅπερ καὶ πεποίηκεν. ἐκ περιουσίας δὲ ὁ προειρημένος θεοφιλέστατος ἀνὴρ ὑπέσχετο, καὶ ἐν τῇ ἑαυτοῦ πόλει διαλέγεσθαι πρὸς τὴν ἐκκλησίαν, καὶ φανερῶς ἀναθεματίζειν τὸν τῆς πονηρᾶς δυσσεβείας ἔξαρχον Νεστόριον, καὶ τοὺς ἢ λόγοις ἢ βίβλοις αὐτοῦ κεχρημένους· ὁμολογεῖν δὲ οὕτως πιστεύειν, ὡς τὰ γράμματα περιέχει τὰ τῆς συμβάσεως τῆς γενομένης μεταξὺ τῶν θεοφιλεστάτων καὶ ὁσιωτάτων τὴν μνήμην, Ἰωάννου τε τῆς μεγίστης Ἀντιοχέων πόλεως ἐπισκόπου, καὶ Κυρίλλου τε τῆς Ἀλεξανδρέων μεγίστης πόλεως ἐπισκόπου, οἷς διηκονήσατο ὁ τῆς μακαρίας μνήμης ἐπίσκοπος τῆς Ἐμισηνῶν πόλεως Παῦλος· ἐξ ὧν ἡ οἰκουμενικὴ συνεκροτήθη ὁμόνοια· στοιχεῖν δὲ καὶ πᾶσι τοῖς πραχθεῖσιν ἔναγχος παρὰ τῆς συνελθούσης ἁγίας

ᵇ Forte, ἐπιδέδωκε

ᶜ Forte, προτεθείκαμεν

ᵈ Forte, παρεκαλέσαμεν

ANNO CHRISTI 451.

ACTIO NONA.

συνόδου ἐν τῇ βασιλευούσῃ καὶ φιλοχρίστῳ Κωνσταντινουπόλει· ἔχειν δὲ τὰ δόξαντα ἐν τῇ Ἐφεσίων μητροπόλει ἅπαντα, ὡς παρὰ συνόδου ὑπὸ ἁγίου πνεύματος κινηθείσης· ἴσην τε αὐτὴν ἡγεῖσθαι τῇ ἐν Νικαίᾳ συγκροτηθείσῃ, καὶ μηδεμίαν διαφορὰν νομίζειν αὐτῆς πρὸς ταύτην. καὶ σφόδρα αὐτοῦ τὴν θεοσέβειαν ἐπῃνέσαμεν, ἁρπάσαντος προθύμως τὸ θεραπεῦσαι τοὺς ἐξ ὑπονοίας, ἢ ἄλλως βεβλαμμένους περὶ τὴν ὑπόληψιν τῆς αὐτοῦ διδασκαλίας. τούτων δεχθέντων καὶ ἐπαγγελθέντων, καὶ μεσοτοίχου τῆς ἔχθρας σὺν Θεῷ καταλυθέντος, ἐπείγασμεν τὴν συναγαγεῖν ἡμᾶς, καὶ συνάψαι πρὸς εἰρήνην καὶ ὁμόνοιαν καὶ ἀγάπην τῇ κεφαλῇ τὰ διεστῶτα μέλη. διαλεχθέντες τοιγαροῦν ὅσαπερ ἔδει, πεπείκαμεν τὸν θεοφιλέστατον ἐπίσκοπον Ἴβαν, ἔχειν τοὺς προειρημένους ὡς ἴδια τέκνα, καὶ θάλπειν, καὶ συγκροτεῖν, ἁπάσης ἀμνηστίας παρεχομένης, τῷ Θεῷ τὸ κριτήριον αὐτοῦ προθέντας. πεπείκαμεν δὲ καὶ αὐτοὺς τοὺς προειρημένους συνελθεῖν ὡς πατρὶ τῷ αὐτῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἴβᾳ, καὶ πᾶσαν ἐπαγγείλασθαι εὔνοιαν, καὶ διάθεσιν, ὡς τῶν λυπηρῶν ἁπάντων σὺν Θεῷ πεπαυμένων. πρὸς [a] πόσι ἀπῃτήσαμεν ἡμεῖς [b] λόγον τὸν θεοσεβέστατον ἐπίσκοπον Ἴβαν, ὡς πᾶσι τοῖς ἐν τῷ παρόντι πράγματι λυπήσασιν αὐτόν, ἢ δόξασιν αὐτὸν προσκεκρουκέναι, ἀμνηστίαν δωρεῖσθαι· καὶ οὐδένα λυπεῖν, οὔτε μὴν ἐπιστερεῖν βαθμοῦ, οὐδὲ τοὺς ἐλάττονας προτιμᾶν τῶν ὑπερβεβηκότων διὰ τὴν γεγενημένην λύπην· ἀλλὰ πάντας, εἴτε κληρικοὶ εἶεν, εἴτε μονάζοντες, ἢ λαϊκοί, ὡς ἴδια ἔχειν τέκνα, οὐδεμίαν διαφορὰν ἑκάστου πρὸς τὸν ἄλλον ποιούμενος, ἀλλὰ πᾶσι τὸ δίκαιον φυλάττων ἔν τε ταῖς τιμαῖς, καὶ ταῖς θεραπείαις, καὶ τοῖς βαθμοῖς. περὶ δὲ τῆς ἐκκλησιαστικῆς προσόδου, καὶ τῶν ἐξ οἱασδήποτε αἰτίας προσπελαζομένων τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, κινηθέντων τινῶν, ἔδοξε τῷ αὐτῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἴβᾳ, ἐξ οἰκείας γνώμης ἐπαγγείλασθαι, ὅτι δὴ τὸ λοιπὸν κατὰ τύπον τὸν ἐν τῇ μεγίστῃ τῶν Ἀντιοχέων ἐκκλησίᾳ διοικεῖσθαι τὰ πράγματα διὰ οἰκονόμων ἐκ τοῦ κλήρου προβαλλομένων ὑπὸ τῆς αὐτοῦ θεοσεβείας. ἔδοξε δέ, ὡς εἴ ποτε δόξας δικαίως λυπεῖσθαι ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας, βουληθείη ἐπιτιμῆσαί τινι τῶν προειρημένων εὐλαβεστάτων, Σαμουήλῳ, Κύρῳ, Μάρᾳ, Εὐλογίῳ, μὴ ἐξ αὐθεντίας ἰδίας ἐπιτιμᾷ αὐτοῖς, ἀλλὰ ὥστε ποιεῖν γνώμῃ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου πατρὸς καὶ ἀρχιεπισκόπου Δόμνου, διὰ τὴν φθάσασαν εἰς αὐτοὺς γενέσθαι μικροψυχίαν. ἐγυμνάσθη δὲ καὶ ἕτερά τινα κεφάλαια [c] ἀχάρως, ἅ τινα καὶ ἐποίησεν καὶ ἔστερξεν ἀμφότερα τὰ [d] παρ' ἡμῶν δοκιμασθέντα.

[a] Forte, τούτῳ
[b] Forte, ὅρκῳ ex Latino.
[c] Forte, ἐγχάρως.
[d] Forte, μέρη τὰ

nit in regia & Christiana Constantinopoli civitate: habere autem omnia quæ placuerunt in Ephesina metropoli, ut a concilio, quod a Spiritu sancto movebatur: æqualem autem eam judicare illi, quæ in Nicæa habita est, & nullam differentiam arbitrari ejus ad illam. Et valde ejus religiositatem laudavimus, quod prompte anticipaverit curare eos, qui vel suspicione, vel alio quolibet modo læsi erant de opinione ejus doctrinæ. His ergo placitis & promissis, & medium parietem inimicitiarum Dei ope solventes, necessarium fuit congregare nos, & conjungere ad pacem & concordiam & dilectionem cum capite membra divisa. Docentes igitur quæcumque decebat: persuasimus reverentissimo episcopo Ibæ, ut præfatos sicut filios proprios haberet & foveret & contineret, omni injuriarum oblivione prævia, Dei judicium ei proponentes. Persuasimus autem & eisdem prædictis, ut convenirent cum eodem religiosissimo episcopo Iba tamquam cum patre, & omnem præberent benignitatem pariter & affectum; omnibus quæ tristitiam commoverunt, Deo juvante, cessantibus. Super hæc nos exegimus sacramentum a religiosissimo episcopo Iba, ut omnibus qui eum in præsenti negotio contristassent, vel visi fuissent aliquid adversus eum egisse, oblivionem donaret, & nullum penitus contristaret, neque gradu fraudaret, neque minores majoribus propter præfatam contristationem præferret: sed omnes sive clerici, sive monachi, vel laïci essent, tamquam proprios filios haberet, nullam differentiam uniuscujusque ad alium faciendo, sed omnibus servaret justitiam in honoribus & [a] obsequiis & gradibus. De ecclesiastico vero reddito, & ex quacumque causa acquisitis sanctissimæ ecclesiæ, motis aliquibus, placuit eidem religiosissimo episcopo Ibæ ex propria voluntate promittere, quod de cetero secundum formam Antiochenæ maximæ [b] civitatis gubernarentur res per œconomos ex clero ordinatos ab ejus [c] religiositate. Placuit autem, ut si aliquando juste visus contristari religiosissimus Ibas episcopus voluerit corripere aliquem præfatorum venerabilium, Samuelis, Cyri, Maræ, Eulogii, non ex auctoritate propria corripiat eos, sed ex sententia religiosissimi & sanctissimi patris & archiepiscopi Domni hoc faciat, propter præcedentem, quæ inter eos accidit, offensionem. Sunt autem agitata & alia quædam ex non scripto capitula, quæ & disposita sunt, & rata partes ambæ habuerunt, quæ a nobis sunt probata.

[a] al. consuetudinibus.
[b] Græce, ecclesiæ gubernarentur.
[c] al. sanctitate

ΑἹ ὙΠΟΓΡΑΦΑΊ.

Φώτιος ἐπίσκοπος τῆς Τυρίων πόλεως ἐπέκρινα.
Εὐστάθιος ἐπίσκοπος τῆς Βηρυτίων καλλιπόλεως ἐπέκρινα.

Σαμουῆλος πρεσβύτερος στέργω τὰ ἐπικριθέντα.

SUBSCRIPTIONES.

Photius episcopus Tyri decrevi.
Eustathius episcopus Berytiorum pulcræ civitatis decrevi.
Samuel presbyter rata habeo quæ decreta sunt.
Maras presbyter rata habeo quæ decreta sunt.
Cyrus presbyter rata habeo quæ decreta sunt.
Eulogius presbyter rata habeo quæ decreta sunt.

Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· ἤκουσε τῶν ἀναγνωσθέντων ἡ ἁγία σύνοδος. τὸ τοίνυν παριστάμενον [e] αὐτῷ λεγέτω. Πασκασῖνος καὶ οἱ λοιποὶ εὐλαβέστατοι διὰ τοῦ [f] πρεσβυτέρου τοῦ ἀποστολικοῦ θρόνου εἶπον· οἱ ἁγιώτατοι ἐπίσκοποι, οἵτινες ἰδίᾳ ψήφῳ ἄμεμπτον καὶ πάσης κατηγορίας ἐλεύθερον Ἴβαν τὸν εὐλαβέστατον ἐδήλωσαν, τὴν ἰδίαν ἐπίκρισιν, εἰ ἐπιγινώσκουσιν, εἰπάτωσαν. Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τύρου εἶπε· καὶ ἡμετέρα ἐστὶν ἡ ἐπίκρισις. Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· ἐμὴ ἐστὶν ἡ ὑπαγορεία. Πασκασῖνος καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· ἤκουσεν ἡ ὑμετέρα μακαριότης, τί περιέχει καὶ ἡ τῶν ἁγιωτάτων ἐπισκόπων ἐπίκρισις· ὁμοίως καὶ τῇ ὑμετέρᾳ ἁγνότητι περὶ τῆς στάσεως Ἴβα τί φαίνεται, ἀποφήνασθαι καταξιώσατε. καὶ σιωπώντων πάντων τῶν εὐλαβεστάτων ἐπισκόπων, οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· τῇ

[e] Forte, αὐτῇ
[f] Forte, Βονιφατίου πρεσβυτέρου

Magnificentissimi & gloriosissimi judices dixerunt: Audivit sancta synodus quæ relecta sunt; quid igitur ei videatur, edicat. Paschasinus & reliqui reverentissimi episcopi per Bonifacium presbyterum Apostolicæ sedis dixerunt: Sanctissimi episcopi, qui decreto proprio inculpabilem & ab omni accusatione liberum Ibam reverentissimum declararunt, si propriam sententiam recognoscant, edicant. Photius reverentissimus episcopus Tyri dixit: Etiam nostrum est [d] judicatum. Eustathius reverentissimus episcopus Beryti dixit: Mea est & [e] dictatio. Paschasinus & reliqui episcopi sedis Apostolicæ dixerunt: Audivit vestra beatitudo quid contineat & sanctissimorum episcoporum decretum: similiter & vestræ [f] puritati de statu Ibæ quid videatur, declarare dignemini. Et tacentibus omnibus reverentissimis episcopis, magnificentissimi judices dixerunt: Sub-

[d] al. decretum
[e] al. subscriptio.
[f] Legit in Græco interpres ἁγνότητι, pro ἁγιότητι Sanctitati.

sequenti die suam sententiam sanctissima synodus efficiet manifestam.

ἑξῆς τὴν ἑαυτῆς γνώμην ἡ ἁγία σύνοδος φανερὰν καταστήσει.[a]

. *In cod. Divion. seu Bobierriano*: Explicit actio IX. incipit X. Contuli Græca: Kal. Aprilis. In codice Acumetensium sic jacet, VI. Actio Chalcedonensis. Et incipit: Similiter &c.

[a] *In ms.* Ῥωμαϊστί, ἀνέγνων, ἀνέγνωμεν, ἀνέγνω.

ACTIO DECIMA Chalcedonensis Concilii.

Similiter sexto Kalend. Novembris, eodem Consulatu, in eadem sanctissima ecclesia sanctæ martyris Euphemiæ, præsidentibus eisdem magnificentissimis & gloriosissimis judicibus, & eadem sancta & universali synodo secundum jussionem divinissimi & piissimi domini nostri Marciani perpetui Augusti, ingressus prædictus reverentissimus Ibas episcopus dixit: Deprecor magnificentiam vestram, & sanctam hanc & universalem synodum. Eutyches adversus me pro fide quædam falsa confinxit, nec me in synodum introire permisit: per quadraginta mansiones per diversos ad invicem succedentes ordines direxit me: viginti amplius carceres mutavi, tamquam non esset carcer in Antiochia in ordine Comitianorum: dicunt mihi, quia damnatus es. Si videtur ergo magnificentiæ vestræ & sanctæ vestræ synodo, quæ sine judicio in absentia mea adversum me acta sunt, infringere; in vestra erit potestate. Ob hoc etenim, sicut jam docui, adii sacrum & immortalem verticem; & jussit vestram magnificentiam & sanctam synodum audire, quæ adversum me gesta sunt. Et cognovistis ex decreto, quia in nullo culpabilis sum repertus. Magnificentissimi & gloriosissimi judices dixerunt: Pridem dilatione facta, ut sancta synodus quæ ei viderentur ediceret de Iba reverentissimo, quæ ei placent, manifeste declaret. Reverentissimi episcopi clamaverunt: Absentem nemo condemnat. Ibas reverentissimus dixit: Exoro vos; absens condemnatus sum, non aderam: non obtinui me defendendi locum, [a] non mihi permissum est facere verbum. Reverentissimi episcopi clamaverunt: Male fecerunt, qui eum præter canones dudum damnaverunt. Quæ adversus absentem facta sunt, vacuentur. Hæc omnes dicimus. Nullus condemnat absentem. Patricius reverentissimus episcopus Tyanensis dixit: Pridem relecta est sententia eorum qui tunc judices fuerunt deputati, (dico autem Photii & Eustathii reverentissimorum episcoporum) & decreverunt eum sacerdotem esse. Omnes ergo eorum definitioni consentimus, & eum esse volumus sacerdotem. Orientales reverentissimi episcopi clamaverunt: Justum est hoc decretum. Quidam reverentissimi episcopi clamaverunt: Contradicitur. Sunt accusatores ejus foris, & jubeantur ingredi. Magnificentissimi & gloriosissimi judices dixerunt: Ingrediantur qui Ibam reverentissimum episcopum accusare volunt. Et ingressis Theophilo diacono, & Euphrasio, & Abraamio, & Antiocho, Theophilus dixit: Rogamus, quæ super Iba in Beryto gesta sunt, relegi, ut discatis quia juste damnatus est. Magnificentissimi & gloriosissimi judices dixerunt: Accusaturus Ibam reverentissimum advenisti, an pro fide certaturus gesta relegi quæris? Theophilus diaconus dixit: Accusatores manifesti sunt, & hic non sunt. Ego diaconus sum, & scio violentiam civitatis. Et si accuso, & testes non adsunt, denegat. Magnificentissimi & gloriosissimi judices dixerunt: Scriptas probationes de re aliqua præstare potes? Theophilus diaconus dixit: Habeo monimenta, quæ super eo gesta in Beryto, & quæ in Epheso. Ecce & domnus Thalassius religiosissimus episcopus novit: ipse, qui suscepit relationes, adest. Interrogetur ipse, ob quam causam damnationem fecit. Et domnus Eusebius adest, & novit. Eusebius reverentissimus episcopus Ancyræ Galatiæ dixit: Ego relationem non suscepi: dum autem in Epheso relegeretur, audivi; & est versuum charta multorum, & multorum

[a] *al.* non meæ defensionis facere verbum.

A ΠΡΑ͂ΞΙΣ ΔΕΚΆΤΗ τῆς ἐν Καλχηδόνι ἁγίας συνόδου.

Ὁμοίως τῇ πρὸ [b] πέντε καλανδῶν Νοεμβρίων, ὑπατείᾳ τῇ αὐτῇ, ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας μάρτυρος Εὐφημίας, προκαθεζομένων τῶν αὐτῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων, καὶ τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, εἰσελθὼν ὁ προλεχθεὶς εὐλαβέστατος Ἴβας εἶπε· δέομαι τῆς μεγαλοπρεπείας ὑμῶν, καὶ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου. Εὐτυχής με διὰ τὴν πίστιν συνεσκευάσατο· οὐ συνεχώρησέ μοι εἰσελθεῖν εἰς τὴν σύνοδον· ἀπὸ τεσσαράκοντα B μονῶν δι' ἀμοιβαίων τῶν τάξεων παρέπεμψέ με· εἴκοσι ἢ καὶ πλείους [c] φυλακὰς ἤμειψα, [d] ὡς εἰμὶ ἐν φυλακῇ ἐν Ἀντιοχείᾳ ὑπὸ τὴν κομητιακὴν τάξιν, λέγουσί μοι· ὅτι καθῃρέθης. εἰ παρίσταται τῇ μεγαλοπρεπείᾳ ὑμῶν καὶ τῇ ἁγίᾳ ὑμῶν συνόδῳ, τὰ ἀκρίτως ἐπ' ἐμοὶ ἀπόντι γεγενημένα ἀνατραπῆναι, τῆς ὑμετέρας ἐστὶν ἐξουσίας. περὶ γὰρ τούτου, ὡς ἤδη ὑμᾶς ἐδίδαξα, προσῆλθον τῇ θείᾳ καὶ ἀθανάτῳ κορυφῇ· καὶ ἐκέλευσε τὴν ὑμετέραν μεγαλοπρέπειαν, καὶ τὴν ἁγίαν σύνοδον, ἀκοῦσαι τῶν κατ' ἐμέ. καὶ ἔγνωτε ἀπὸ τῆς ἐπικρίσεως, ὅτι ἐν οὐδενὶ αἴτιος εὑρέθην. Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τῇ προτεραίᾳ ὑπερθέσεως γενομένης εἰς τὸ τὴν ἁγιωτάτην σύνοδον τὰ δοκοῦντα αὐτῇ εἰπεῖν περὶ Ἴβα τοῦ εὐλαβεστάτου, τὰ δόξαντα αὐτῇ φανερὰ καθιστάτω. οἱ C εὐλαβέστατοι ἐβόησαν· ἀπόντα οὐδεὶς κατακρίνει. Ἴβας εὐλαβέστατος εἶπε· δέομαι ὑμῶν· ἀπὼν κατεκρίθην· οὐ παρήμην· οὐκ ἔτυχον ἀπολογίας· οὐκ ἠξιώθην λόγου. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· κακῶς ἐποίησαν οἱ παρὰ τοὺς κανόνας κατακρίναντες αὐτόν· τὰ κατὰ ἀπόντος γενόμενα ἀργείτω. ταῦτα πάντες λέγομεν· οὐδεὶς ἀπόντα κατακρίνει. Πατρίκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Τυάνων εἶπε· πρώην ἀνεγνώσθη ἡ ψῆφος τῶν τότε δικαστῶν τεθέντων, φημὶ δὴ, Φωτίου καὶ Εὐσταθίου τῶν εὐλαβεστάτων ἐπισκόπων· καὶ ἔκριναν αὐτὸν ἱερέα εἶναι. πάντες οὖν συναινοῦμεν τῷ ὅρῳ ἐκείνων, καὶ βουλόμεθα αὐτὸν εἶναι ἱερέα. οἱ ἀνατολικοὶ ἐπίσκοποι ἐβόησαν· αὕτη δικαία κρίσις. τινὲς τῶν ἐπισκόπων ἐβόησαν· ἀντιλέγεται. εἰσὶν D οἱ κατήγοροι. θέλοντες Ἴβα τοῦ εὐλαβεστάτου ἐπισκόπου. καὶ εἰσελθόντων Θεοφίλου διακόνου, καὶ Εὐφρασίου, καὶ Ἀντιόχου, καὶ Ἀβραμίου, Θεόφιλος διάκονος εἶπε· ἀξιοῦμεν τὰ ἐπὶ Ἴβᾳ πεπραγμένα ἐν Βηρυτῷ ἀναγνωσθῆναι, ἵνα μάθητε, ὅτι δικαίως καθῃρέθη. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· κατηγορήσων Ἴβα τοῦ εὐλαβεστάτου ἐπισκόπου εἰσελήλυθας, ἢ ὡς ὑπὲρ τῆς πίστεως ἀγωνιζόμενος, τὰ πεπραγμένα ζητεῖς ἀναγνωσθῆναι; Θεόφιλος διάκονος εἶπεν· οἱ κατήγοροι δῆλοί εἰσι, καὶ οὐκ εἰσὶν ἐνταῦθα. ἐγὼ διάκονός εἰμι, καὶ οἶδα τὴν βίαν τῆς πόλεως· καὶ εἰ κατηγορῶ, οὐ πάρεισι μάρτυρες, καὶ ἀρνεῖται. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· E [e] ἐγγεγράφους ἀποδείξεις περί τινος δύνασαι παρασχεῖν; Θεόφιλος διάκονος εἶπεν· ἔχω τὰ ὑπομνήματα τὰ ἐπ' αὐτῷ πεπραγμένα ἐν Βηρυτῷ, καὶ τὰ ἐν Ἐφέσῳ. ἰδοὺ καὶ ὁ κύριος ὁ θεοφιλέστατος ἐπίσκοπος Θαλάσσιος οἶδεν· αὐτὸς δεξάμενος τὰς ἀναφορὰς, πάρεστιν· αὐτὸς ἐρωτηθῇ· αὐτὸς καὶ τὴν καθαίρεσιν αὐτοῦ ἐποίησε διὰ ποῖον πρᾶγμα. καὶ ὁ κύριος Εὐσέβιος πάρεστι, καὶ οἶδεν. Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· ἐγὼ ἀναφορὰς οὐκ ἐδεξάμην· ἤκουσα δὲ ἀναγινωσκομένης αὐτῆς ἐν Ἐφέσῳ· καὶ ἔστι πολυστιχὸς ὁ χάρτης, καὶ πολ-

[b] ἓξ *in Latino.*

[c] *In Latino,* φυλακὰς

[d] *Forte,* ὡσεὶ μὴ ἔτι φυλακή

[e] *Forte,* ἐγγράφους.

λεῖν ἀνθρώπων καταθέσεις ἔχων. εἰ δὲ ἔχει ὑπομνήματα, ὡς [a] ἐν δίκῃ, αὐτὸ δεῖξαι. ἐγὼ γὰρ μετὰ πλήθους ἀκροατὴς ἤμην. Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· μετὰ πάντων ἠκροασάμεθα. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· παρῆν τηνικαῦτα Ἴβας ὁ εὐλαβέστατος τῇ ὑμετέρᾳ ἀκροάσει; Θαλάσσιος καὶ Εὐσέβιος οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· οὐ παρῆν. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ἀπόντα οὐδεὶς κατακρίνει. Θεόφιλος διάκονος εἶπεν· ἡ ἀλήθεια δειχθῇ ἐπὶ τῆς ἁγίας συνόδου. καὶ ὁ κύριος Εὐστάθιος λέγει ὅτι εἰσήνεγκαν τρεῖς, καὶ ἕξ, καὶ δώδεκα μάρτυρας διὰ τὴν λέξιν ἣν εἶπε, τὴν οὐ φθονῶ τῷ Χριστῷ γενομένῳ Θεῷ. ἐπειδὴ ἔστι Φώτιος ὁ ἐπίσκοπος· προτεθῇ αὐτῷ τὸ εὐαγγέλιον. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· πεπειραμένος ὁ εὐλαβέστατος ἐπίσκοπος Φώτιος τῆς κρίσεως τῆς συνόδου, τὴν δικαιοσύνην, ἣν ἐπὶ τοῦ ἰδίου πράγματος εὗρε, φυλάξαι καὶ νῦν σπουδασάτω, διηγούμενος ἡμῖν, ὡς ἔχει τὸ κατὰ Ἴβαν τὸν εὐλαβέστατον πρᾶγμα. [b] Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Τυρίων πόλεως εἶπε· τὸ ἀληθὲς λέγω· οὔτε γὰρ πρέπει ἐν οἱῳδήποτε πράγματι ψεύσασθαι· πολλῷ δὲ μᾶλλον ἐπὶ τοιούτῳ καὶ τοσούτῳ, καὶ ζητουμένῳ παρὰ τῆς ὑμετέρας ἐξουσίας καὶ τῆς οἰκουμενικῆς συνόδου φανερῶς. ἐπὶ αὐτὸν ἐλθόντες ἀπὸ Μεσοποταμίας πρεσβύτεροι καὶ μονάζοντες, ἔλεγον περὶ αὐτοῦ· εἶτα αὐτὸς ἠρνεῖτο, ἡμεῖς ὡς ἐμεσιτευόμεθα, καὶ ἀπὸ τοῦ ὄγκου τῶν δυσφημιῶν, καὶ ἀπὸ τῆς ὀχλήσεως τῶν μοναζόντων καὶ πρεσβυτέρων, [c] προετρέψαμεν ἐξελθεῖν αὐτοὺς ἀπὸ Τύρου. ἐσκανδαλίζετο γὰρ ἡ πόλις, μηδέποτε τοιοῦτόν τι [d] νοήσασα, μήτε ἀκούσασα. μετὰ ταῦτα αὐτοῦ ὀμνύοντος, μηδὲν εἰρῆσθαι παρ' αὐτοῦ, ἐδεξάμεθα ἡμεῖς ἀφορμάς, ὥστε εἰρηνεῦσαι τοὺς ἀμφοτέρους, κοινωνῆσαι [e] αὐτοῖς· παρῆν δέ, νομίζω, καὶ ὁ κύριος ὁ διάκονος Εὐλόγιος ἀπὸ Κωνσταντινουπόλεως· ἡμεῖς φίλους αὐτοὺς ἐποιήσαμεν. οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· ἠλέγχθη τοίνυν Ἴβας ὁ εὐλαβέστατος παρὰ τῶν κατηγορησάντων αὐτοῦ; Φώτιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὔ. ἔλεγε δέ· [f] ἐλθόντες τινές, συνόντες αὐτοῖς τοῖς κληρικοῖς, τρεῖς, ὑβρίζουσι καὶ ἀτιμάζουσι, καὶ μαχομένοις πρὸς αὐτόν, μαρτυρεῖν· ἡμεῖς εἴπομεν, ὅτι οὐκ ἔστι τοὺς συνόντας τοῖς ἐχθροῖς δεκτοὺς εἶναι εἰς μαρτυρίαν· ἐποιήσαμεν οὖν αὐτοὺς φίλους· τὰ ἅγια δῶρα αὖθις ἐν τῷ ἐπισκοπείῳ ἐκοινώνησαν μετ' ἀλλήλων αὐτὸς καὶ οἱ πρεσβύτεροι. Θεόφιλος διάκονος εἶπε· τὴν σωτηρίαν τῶν βασιλέων, καὶ τὴν νίκην αὐτῶν, ἀναγνωσθῇ τὰ ἐπ' αὐτῷ πεπραγμένα. οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· ἀναγνωσθήτω τὰ ἐπὶ Ἴβᾳ τῷ εὐλαβεστάτῳ ἐν τῇ Τυρίων λεγόμενα πεπρᾶχθαι. [g] καὶ ἐπιδοθέντων αὐτῶν, Κωνστάντιος ὁ καθωσιωμένος μαγιστριανὸς ἀνέγνω.

hominum depoſitiones habens. Si autem habet monimenta, tamquam ad petitionem geſta, ejus eſt probare. Ego enim cum multitudine auditor fui. Thalaſſius reverentiſſimus epiſcopus Cæſareæ Cappadociæ dixit: Cum omnibus audiebamus. Magnificentiſſimi & glorioſiſſimi judices dixerunt: Aderat tunc Ibas reverentiſſimus in veſtra audientia? Thalaſſius reverentiſſimus epiſcopus Cæſareæ Cappadociæ, & Euſebius reverentiſſimus epiſcopus Ancyræ Galatiæ, dixerunt: Non aderat. Orientales & Pontici reverentiſſimi epiſcopi clamaverunt: Abſentem nullus addicit. Theophilus diaconus dixit: Veritas in ſancta ſynodo demonſtretur. Et domnus Euſtathius dixit: Quia introduxerunt tres, & ſex, & duodecim teſtes propter dictionem quam dixit; hoc eſt: *Non invideo Chriſto facto Deo.* Hic eſt Photius epiſcopus. Proponatur ei Evangelium. Magnificentiſſimi & glorioſiſſimi judices dixerunt: Expertus reverentiſſimus epiſcopus Photius ſententiam ſynodi, juſtitiam quam in propria cauſa invenit, cuſtodire nunc quoque feſtinet, narrans nobis quomodo ſe habuit Ibæ negotium. Photius reverentiſſimus epiſcopus Tyri dixit: Vere dico; neque enim decet in quacumque cauſa mentiri; multo magis in tali & tanta, & quæ a veſtra poteſtate requiritur, & ab univerſali ſynodo aperte. Quæſtione quadam de eo mota adverſus cum venientes preſbyteri & monachi a Meſopotamia, dicebant de ipſo: iſte vero negabat. Nos tamquam mediatores, & pro mole blaſphemiarum, & pro importunitate monachorum & preſbyterorum, juſſimus egredi eos a Tyro. Scandalizabatur enim civitas, quæ nunquam tale aliquid vel cogitaverat, vel audierat. Poſt hæc eo jurante, nihil tale a ſe dictum, occaſionem percepimus ut pacificaremus ambos, & communicarent ſibi, (aderat autem, ut puto, & domnus diaconus Eulogius Conſtantinopolitanus) & nos amicos eos fecimus. Glorioſiſſimi judices dixerunt: Ibas igitur reverentiſſimus a ſuis accuſatoribus eſt convictus? Photius reverentiſſimus epiſcopus Tyri dixit: Non. Dicebat autem: Venerunt quidam tres cohabitatores ipſis clericis injuriantibus, & litigantibus contra eum, dicere teſtimonium. Nos diximus quia non poſſunt cohabitantes inimicis ſuſceptibiles ad teſtimonium comprobari. Fecimus ergo eos amicos: ſancta munera [a] rurſum in epiſcopio communicaverunt invicem preſbyteri & ipſe. Theophilus diaconus dixit: Per ſalutem Imperatorum, eorumque victoriam, legantur quæ ſuper eo geſta ſunt. Magnificentiſſimi & glorioſiſſimi judices dixerunt: Relegantur ea quæ ſuper Ibam reverentiſſimum in Tyro geſta dicuntur. Et his oblatis, Conſtantinus vir devotus magiſtrianus, & adjutor ſacri conſiſtorii legit:

Ὑπομνηστικὸν Δαμασκίῳ τῷ περιβλέπτῳ τριβούνῳ καὶ νοταρίῳ [h] πραιτωριανῷ.

Εἰδότες τὴν πρόθεσιν τῆς σῆς θαυμασιότητος, καὶ ἐπιστάμενοι ὅσην ἔχεις σπουδὴν εἰς τὸ παραστῆσαι ἑαυτὸν τῷ Θεῷ καὶ τῇ ἡμετέρᾳ εὐσεβείᾳ, ἐδοκιμάσαμεν, [i] ὡς τὸ ἀπελθεῖν ἅμα Οὐρανίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ τῆς Ἱμεραίων πόλεως εἰς τὰ μέρη τῆς ἀνατολῆς, καὶ συντρεχόντων τῶν κατὰ τόπον ἀρχόντων, παρασκευάσαι Ἴβαν τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ἐδεσσηνῶν πόλεως, καὶ Δανιὴλ τὸν εὐλαβέστατον ἐπίσκοπον Θεοδοσιουπόλεως, εἰς τὴν Φοινίκων ἀπελθεῖν ἐπαρχίαν, κἀκεῖσε κινηθῆναι τὰ κινούμενα παρὰ τῶν εὐλαβεστάτων κληρικῶν τῶν προειρημένων πόλεων, ἐπί τε τοῦ προειρημένου θεοσεβεστάτου Οὐρανίου, καὶ Φωτίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυρίων πόλεως, καὶ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βηρυτίων πόλεως, κατὰ τῶν μνημονευθέντων θεοσεβεστάτων ἐπισκόπων. σπούδασον τοίνυν κατὰ τὰ παραστάντα τῇ ἡμετέρᾳ θειότητι, ἀπελθεῖν εἰς τὰ μέρη τῆς ἀνατολῆς, καὶ παρασκευάσαι τοὺς προειρημένους εὐλαβεστάτους ἐπισκόπους εἰς τὴν Φοινίκων παραγενέσθαι, κἀκεῖσε πάντα τὰ κινούμενα κεφάλαια

Commonitorium Damaſcio ſpectabili tribuno & notario Prætorianorum.

Scientes admirationis tuæ propoſitum, & cognoſcentes quantum habeas ſtudium, ut teipſum Deo & noſtræ pietati commendes, viſum nobis eſt ut tu pergas cum Uranio reverentiſſimo epiſcopo Himerorum civitatis ad partes Orientales, & cooperantibus per ſingula loca judicibus, inducas reverentiſſimum Ibam Edeſſenæ civitatis epiſcopum, & Danielem reverentiſſimum Carrhenorum civitatis epiſcopum, & Joannem reverentiſſimum Theodoſiopolitanum epiſcopum, in Phœnicum provinciam properare, & ibi inquiri quæ moventur a reverentiſſimis prædictarum civitatum clericis, tam abud prædictum religioſiſſimum Uranium, & Photium reverentiſſimum epiſcopum Tyri, metropolis, quam Euſtathium reverentiſſimum Berytiorum civitatis epiſcopum, adverſus ſupra memoratos religioſiſſimos epiſcopos. Feſtina igitur ſecundum ea quæ noſtræ divinitati viſa ſunt, pergere ad partes Orientales, & inducere præfatos reverentiſſimos epiſcopos in Phœniciam advenire, & ibi omnia capita quæ moventur

[a] Forte, ἐν διέσει αὐτῷ.
[b] In mſ. Pariſi.
[c] Forte, πρεσβυτέρων al. προετρέψαμεν ſive προσετάξαμεν ἐξελθ.
[d] Forte, νοήσασα.
[e] Forte, αὐτοῖς ex Lat.
[f] Forte, ἦλθον ex Lat.
[g] In mſ. Pariſi, ἀνέγνω, ἀνέγνωσαν, ἀνέγνωσμένον, ἀνέγνω.
[h] Forte, πραιτωριανῶν ex Lat.
[i] Forte, ὥστε

[a] Corb. ſine ſum.

a venerabilibus clericis Edessenæ (& Carrhensis & Theodosiopolitanæ) civitatis, inquiri subtiliter apud memoratos religiosissimos episcopos: & quæ ab iis fuerint definita, effectui mancipare. Data sexto Kalendas Novembris, Constantinopoli.

Berytensis synodus habita in causa Ibæ Edesseni episcopi, relecta Chalcedone.

POst Consulatum Flavii Zenonis & Postumiani virorum clarissimorum, Kalendis Septembris, indictione secunda, in colonia Christi amica Beryto, considentibus Photio & Eustathio & Uranio religiosissimis episcopis in novo episcopio Beryti sanctissimæ novæ ecclesiæ, præsente & Damascio spectabili tribuno & notario divini palatii, & Eulogio religiosissimo diacono Christi amantissimæ Constantinopolis sanctissimæ ecclesiæ, præsentibus religiosissimis episcopis, Iba, Joanne, Daniele; stantibus autem Samuele, & Cyro, & Eulogio, & Mara, & Ablavio, & Joanne, & Anatolio, & Caiuma, & Abibo: vir spectabilis Damascius dixit: Cum præsentes reverentissimi clerici adiissent piissimum & divinissimum dominum nostrum Imperatorem, & accusassent reverentissimum & Deo amantissimum Ibam episcopum, & reverentissimum Joannem episcopum, & reverentissimum Danielem episcopum; pietas ejus sanxit (sicut continent & piæ sacræ litteræ, quæ ad vestram datæ sunt sanctitatem) ut ii qui accusati sunt, ab Osroëna provincia ad Phœniciam advenirent, & ad illata crimina apud vestram religiositatem responderent. Et deputatus sum eos deducere, & quæ a vobis fuerint definita, exsecutioni mandare. Adsunt ambæ partes ad hoc quod vobis placuerit. Religiosissimi episcopi Photius & Eustathius & Uranius dixerunt: Pium commonitorium dignetur tua magnificentia demonstrare, ut per omnia intentionem piissimi & Christianissimi Imperatoris nostri sequamur: præfulgere etenim debet his gestis. Quo facto, Eulogius diaconus Constantinopolis dixit: Adeuntibus reverentissimis clericis, Samuele, Cyro, Eulogio, Mara, Ablavio, Joanne, & Anatolio, & Caiuma, & Abibo, Deo amantissimum & sanctissimum archiepiscopum nostrum Flavianum in sanctissima ecclesia regiæ Constantinopolis novæ Romæ, & accusantibus Ibam, Joannem, & Danielem reverentissimos episcopos, approbavit ejus sanctitas vestram religiositatem audire negotium: & de hoc litteras detuli, & dedi vestræ sanctitati. Et adsunt partes ad hoc quod vobis videtur. Reverentissimi episcopi dixerunt: Quoniam dubitamus, quomodo proferre interrogationes aut responsiones debeamus his qui personam accusatorum obtinent, Deo amantissimus episcopus Ibas nos doceat, si quid adversus eos actum est in sancta & magna synodo, quæ in Antiochena pridem facta est civitate. Samuel dixit: Rogamus ut ea quæ dicuntur, Syra lingua dicantur propter sanctissimum episcopum Uranium: quoniam integre novit ea quæ scripta sunt Deo amantissimo & sanctissimo archiepiscopo Flaviano a Deo amantissimo & sanctissimo archiepiscopo Domno, de nobis; adfuit enim apud Constantinopolim. Deo amantissimi episcopi dixerunt: Adsit unus eorum, qui possit interpretari Deo amantissimo episcopo Uranio. Notarii dixerunt: Adest Maras, qui potest interpretari Deo amantissimo episcopo Uranio. Deo amantissimi episcopi dixerunt: Jam interrogationem intulimus tibi religiosissimo episcopo Ibæ, quatenus nos doceres, si quid de his stantibus actum est in sancto magnoque concilio, quod est pridem in Antiochia Christo amantissima congregatum, ut congrue eis nos inferamus interrogationes, sive responsa. Religiosissimus episcopus Ibas dixit: Isti quatuor qui stant, libellos obtulerunt religiosissimo episcopo Domno: & dignata est ejus sanctitas mandare nobis, ut occurreremus. Et quoniam Quadragesima erat, post diem nos jussit occurrere. Qui

A παρὰ τῶν εὐλαβεστάτων κληρικῶν τῆς Ἐδεσσηνῶν πόλεως ἀκριβῶς ζητηθῆναι ἐπὶ τῶν μνημονευθέντων θεοσεβεστάτων ἐπισκόπων, καὶ τὰ ὁριζόμενα παρ' αὐτῶν πέρατι παραδοθῆναι. ἐδόθη τῇ πρὸ ἑπτὰ καλανδῶν Νοεμβρίων ἐν Κωνσταντινουπόλει.

Τὰ ἐν Βηρυτῷ πεπραγμένα ἐπὶ Ἴβᾳ.

ΜΕτὰ τὴν ὑπατείαν Φλαβίου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων, καλάνδαις Σεπτεμβρίαις, ἰνδικτιῶνος δευτέρας, ἐν κολωνίᾳ φιλοχρίστῳ Βηρυτῷ συνεδρευόντων Φωτίου, Εὐσταθίου, Οὐρανίου, τῶν θεοφιλεστάτων ἐπισκόπων, ἐν τῷ νέῳ ἐπισκοπείῳ τῆς ἐν Βηρυτῷ ἁγιωτάτης νέας ἐκκλησίας, παρόντος καὶ Δαμασκίου τοῦ περιβλέπτου τριβούνου B καὶ νοταρίου τοῦ θείου παλατίου, καὶ Εὐλογίου τοῦ θεοφιλεστάτου διακόνου τῆς κατὰ τὴν φιλόχριστον Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας, παρόντων τῶν θεοφιλεστάτων ἐπισκόπων, Ἴβα, Ἰωάννου, Δανιήλου, ἑστώτων δὲ Σαμουήλου, Κύρου, Εὐλογίου, Μάρα, Ἀβλαβίου, Ἰωάννου, Ἀνατολίου, Καϊούμου, καὶ Ἀβίβου, ὁ περίβλεπτος Δαμάσκιος εἶπε· τῶν παρόντων εὐλαβεστάτων κληρικῶν προσελθόντων τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ ἡμῶν δεσπότῃ, καὶ αἰτιασαμένων τὸν εὐλαβέστατον ἐπίσκοπον Ἴβαν, καὶ τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην, καὶ τὸν εὐλαβέστατον ἐπίσκοπον Δανιήλ, ἐθέσπισεν ἡ αὐτοῦ εὐσέβεια, ὡς περιέχουσι καὶ αἱ πρὸς τὴν ὑμετέραν θεοσέβειαν ἀποσταλεῖσαι θεῖαι συλλαβαί, τοὺς αἰτιαθέντας ἀπὸ τῆς Ὀσροηνῶν τὴν Φοινίκην καταλαβεῖν, τοῦ πρὸς τὰ ἐπαγόμενα αὐτοῖς ἐπὶ τῆς C ὑμετέρας θεοσεβείας ἀπολογήσασθαι· καὶ προσετάχθην αὐτοὺς παραγαγεῖν, καὶ τὰ παρ' ὑμῶν ὁριζόμενα ἐκβιβασμῷ παραδοῦναι. πάρεισιν ἀμφότερα τὰ μέρη εἰς τὸ παριστάμενον. οἱ θεοφιλέστατοι ἐπίσκοποι Φώτιος καὶ Εὐστάθιος καὶ Οὐράνιος εἶπον· τὸ εὐσεβὲς κομμονιτώριον καταξιώσῃ ἡ σὴ μεγαλοπρέπεια ἐπιδεῖξαι, ἵνα τῷ σκοπῷ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως διὰ πάντων ἀκολουθήσωμεν· προλάμπειν γὰρ ὀφείλει τῶνδε τῆς πράξεως. τούτου γενομένου, Εὐλόγιος διάκονος εἶπε· προσελθόντων τῶν εὐλαβεστάτων κληρικῶν, Σαμουήλου, Κύρου, Εὐλογίου, Μάρα, Ἀβλαβίου, Ἰωάννου, Ἀνατολίου, Καϊούμου, καὶ Ἀβίβου, τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ ἡμῶν Φλαβιανῷ τῷ κατὰ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν νέαν Ῥώμην ἁγιωτάτης ἐκκλησίας, καὶ αἰτιασαμένων Ἴβαν καὶ D Ἰωάννην καὶ Δανιήλ τοὺς θεοσεβεστάτους ἐπισκόπους, ἐδοκίμασεν ἡ αὐτοῦ ἁγιότης, τὴν ὑμετέραν θεοσέβειαν ἀκοῦσαι τῆς ὑποθέσεως· καὶ περὶ τούτου γράμματα ἐκόμισα, καὶ ἀποδέδωκα τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. καὶ πάρεστι τὰ μέρη πρὸς τὸ παριστάμενον. οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· ἐπειδὴ ἀποροῦμεν, ὅπως προσαγάγωμεν τὰς πεύσεις καὶ τὰς ἀποκρίσεις τοῖς τὸ πρόσωπον τῶν κατηγόρων ἐπέχουσι, διδασκέτω ἡμᾶς ὁ θεοφιλέστατος Ἴβας ἐπίσκοπος, εἴτι κατ' αὐτῶν πέπρακται ἐπὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς κατὰ τὴν μεγαλόπολιν Ἀντιόχειαν πρῴην συγκροτηθείσης. Σαμουῆλος εἶπε· παρακαλοῦμεν τὰ λεγόμενα Συριστὶ λεχθῆναι, διὰ τὸν ὁσιώτατον ἐπίσκοπον Οὐράνιον. ἐπειδὴ ἀκριβῶς οἶδε, τίνα ἐπὶ τὰ χαρτία τῷ θεοφιλεστάτῳ καὶ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Φλαβιανῷ παρὰ τοῦ E θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Δόμνου περὶ ἡμῶν· παρῆν γὰρ ἐν Κωνσταντινουπόλει. οἱ θεοφιλέστατοι ἐπίσκοποι ἐβόησαν· παρέστω τῶν δυναμένων ἑρμηνεῦσαι εἷς τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Οὐρανίῳ. οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· καὶ ἤδη πεῦσιν προσηγάγομεν σοὶ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἴβᾳ, ὥστε διδάξαι ἡμᾶς, εἴτι περὶ τῶν ἑστώτων ἐπράχθη ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, τῇ πρῴην συναχθείσῃ κατὰ τὴν φιλόχριστον Ἀντιόχειαν· ὥστε ἁρμοδίως προσαγαγεῖν ἡμᾶς αὐτοῖς τὰς πεύσεις καὶ ἀποκρίσεις. ὁ θεοφιλέστατος ἐπίσκοπος Ἴβας εἶπεν· οὗτοι οἱ τέσσαρες οἱ ἑστῶτες λιβέλλους ἐπιδεδώκασι τῷ θεοσεβεστάτῳ ἐπισκόπῳ κυρίῳ Δόμνῳ· καὶ κατηξίωσεν ἡ αὐτοῦ ἁγιωσύνη δηλῶσαι ἡμῖν ἀπαντῆσαι. καὶ ἐπειδὴ τεσσαρακοστὴ ἦν, ἐκέλευσε μετὰ τὴν ἡμέραν ἀπαντῆσαι ἡμᾶς,

ANNO CHRISTI 451.

ACTIO DECIMA

γράψας ἐμοὶ, ὥστε ἀπολυθῆναι αὐτοὺς τῆς ἀκοινωνησίας· ἦσαν γάρ μοι ἀκοινώνητοι. ἐγὼ τὸ πᾶν ἐπέτρεψα τῇ γνώμῃ τοῦ ἀρχιεπισκόπου. ὁ ἀρχιεπίσκοπος διὰ τὴν ἑορτὴν ἀπέλυσεν αὐτοὺς τῆς ἀκοινωνησίας, ἐπὶ τῷ ὅρῳ τούτῳ, ἐπὶ τῷ μὴ ἐξελθεῖν Ἀντιόχειαν, ἕως ἂν τότε λάβῃ τὰ κατὰ τὸ πρᾶγμα. ἐὰν δὲ ἐξέλθωσι πρὶν τότε δέξηται τὸ πρᾶγμα, ὑποκεῖσθαι αὐτοὺς μείζονι ἐπιτιμίῳ τῆς καθαιρέσεως. Σαμουῆλος καὶ Κῦρος, πρὸ τοῦ ἡμᾶς ἐπιστῆναι τῇ πόλει, κατασιγήσαντες, ἀνεχώρησαν εἰς τὸ κομιτᾶτον· ἔμεινε δὲ Μάρας καὶ Εὐλόγιος. εἶτα ὡς συνεκροτήθη ἡ ἁγία σύνοδος· ἦσαν γὰρ οὐκ ὀλίγοι ἐπίσκοποι ἐκεῖ· ἐκέλευσεν ἀναγνωσθῆναι τοὺς λιβέλλους. ἀνεγνώσθησαν οἱ λίβελλοι· ἐνέφερον ὀνόματα τεσσάρων κατηγόρων· εἱστήκεισαν δὲ οἱ δύο. ἤρετο αὐτούς· ποῦ εἰσιν οἱ ᵃ ἕτεροι ὑμῶν; οἱ δὲ εἶπον· οὐκ οἴδαμεν. ὡς δὲ ἠκούσαμεν, ἐν Κωνσταντινουπόλει ἀπῆλθον. οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· ἡ σὴ θεοσέβεια παροῦσα τότε τὸν σκοπὸν ὀφείλει εἰδέναι τῆς ἁγίας ἐκείνης καὶ μεγάλης συνόδου, εἴτε τελείως καθεῖλεν, εἴτε ἐπ' ἀμφιβόλῳ πως τὸν ὅρον ἐξεφώνησε· δῆλον γάρ ἐστιν, ὡς οὐκ ἂν εἴποι ἡ σὴ ὁσιότης τὰ μὴ παρὰ τῆς ἁγίας ἐκείνης συνόδου πραχθέντα, ὡς πεπραγμένα εἰπεῖν· ἐνὶ καὶ ῥᾴδιον καταλαβεῖν τὴν ἀλήθειαν. ὁ θεοσεβέστατος ἐπίσκοπος Ἴβας εἶπε· τὰ κρυπτὰ εἰδέναι οὐ δύναμαι. ἐγὼ νομίζω, ὅτι τελείαν καθαίρεσιν αὐτῶν ἐποιήσατο. εἰ δὲ φαίνεται ὑμῖν ἀπὸ τῆς ἀποφάσεως αὐτῶν τὴν καθαίρεσιν αὐτῶν μὴ πεποιηκέναι, ὑμέτερόν ἐστι κρῖναι. οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· λαβόντες οἱ νοτάριοι, ἐκεῖνο τὸ μέρος τὸ περὶ τῶν ἀπολειφθέντων διέλθωσιν, ἵνα γνῶμεν τὰ πεπραγμένα. Σαμουῆλος εἶπε· πᾶσαν δικαιολογίαν ἡμῖν ἁρμόζουσαν κατὰ τῆς καθαιρέσεως τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἴβα, καὶ κατὰ τῶν κελευσθέντων ἀναγνωσθῆναι, φυλαχθῆναι τῷ ἡμετέρῳ μέρει, παρακαλοῦμεν δικαίως τὴν ὑμετέραν εὐλάβειαν. οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· εἰς πρόκριμα σὸν ᵇ οὐκ εἴπομεν τὴν ἀνάγνωσιν γενέσθαι. Σαμουῆλος εἶπεν· ἐπειδὴ τὰ πραττόμενα ἀκολούθως πράττεται, καὶ πολλάκις ᶜ ἐπείγει ἡμᾶς ἕτερα κινεῖν, καὶ οὐ ταῦτα· ἠξιώσαμεν ᵈ δὲ φυλαχθῆναι ἡμῖν δικαιολογίαν, καὶ περὶ τούτου ἀγωνιζόμεθα καὶ δεικνύομεν, ὅτι οὐκ ἐσμὲν ὑπεύθυνοι τῇ καθαιρέσει, οὐδὲ τῇ ἀκοινωνησίᾳ. ἀλλὰ τὸ γενόμενον, μετὰ ἀταξίας γέγονε καὶ παρὰ τοὺς κανόνας, παρὰ τοῦ ἐπισκόπου ἡμῶν Ἴβα. οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· ἀναγνωσθήτω τὸ μέρος τῶν ὑπομνημάτων, τὸ περὶ τῶν ἀπολειφθέντων ἐν τῇ ἀκροάσει τῇ κατὰ τὴν μεγίστην Ἀντιόχειαν γεγενημένῃ.

ᵃ Lege, ἑταῖροι, ut in Latino.

ᵇ Lege οὐκ, ut in Latino.

ᶜ Forte, ἐπείγει

ᵈ Forte οὖν

scripsit mihi ut ab excommunicatione eos absolverem. Erant enim a me excommunicati: Ego omnia sententiæ archiepiscopi dereliqui. Qui archiepiscopus propter festivitatem ab excommunicatione eos absolvit; sub ea tamen definitione, ut non excederent Antiochiam, donec sententiam causa perciperet. Si autem exirent antequam finem causa perciperet, majori pœnæ essent damnationis obnoxii. Samuel & Cyrus, antequam adveniremus in civitatem, deserentes in comitatum profecti sunt: Maras autem & Eulogius remanserunt. Deinde ubi collecta est sancta synodus, (erant autem illic non pauci episcopi) jussit libellos relegi. Relecti libelli sunt: continebantur nomina quatuor accusatorum: stabant autem duo. Interrogavit autem eos: Ubi sunt vestri sodales, qui vobiscum obtulerunt libellos? Illi autem dixerunt: Nescimus; tamen sicut audivimus, Constantinopolim perrexerunt. Religiosissimi episcopi dixerunt: Tua religiositas, quæ tunc præsens fuit, debet scire intentionem sancti illius & magni concilii, utrum integre damnasset, an in dubio hanc sententiam protulisset. Manifestum est enim, quia non patietur tua sanctitas, quæ a sancto illo non sunt gesta concilio, dicere quasi gesta. Nam & facile percipitur veritas. Religiosissimus episcopus Ibas dixit: Occulta nosse non possum. Ego puto, quia perfectam horum damnationem fecit. Si autem videtur vobis ex sententia eorum damnationem eorum non fecisse, vestrum est judicare. Reverentissimi episcopi dixerunt: Ea quæ gesta sunt in sancto illo conventu, tua sanctitas præ manibus habet? Religiosissimus episcopus Ibas dixit: Habeo, & adjacent. Reverentissimi episcopi dixerunt: Suscipientes notarii, illam partem gestorum percurrant, quæ continet de his qui se subtraxerunt; ut quæ de his gesta sunt, agnoscamus. Samuel dixit: Omnem allegationem nobis congruam adversus depositionem reverentissimi episcopi Ibæ, & adversus ea quæ jussa sunt relegi, reservari nostræ parti, sicut justum est, vestram sanctitatem statuere quæsumus. Deo amantissimi episcopi dixerunt: Ad præjudicium tuum non diximus nunc fieri lectionem. Samuel dixit: Quoniam ea quæ aguntur, consequenter aguntur: & forte imminet nobis, ut non hæc, sed alia moveantur: rogavimus autem reservari nobis allegationem, & ob hoc certamus, & ostendimus, quia non subjacemus damnationi, neque excommunicationi: sed hoc quod factum est, sine ordine & præter regulas a reverentissimo episcopo nostro Iba factum est. Deo amantissimi episcopi dixerunt: Relegatur pars illa gestorum, quæ de his qui se de audientia subtraxerunt, pridem in maxima Antiochia sunt confecta.

PARS CONCILII ANTIOCH.

Ἡ ἁγία σύνοδος εἶπε· ποῦ εἰσιν οἱ ἅμα ὑμῖν ἐπιδεδωκότες τοὺς λιβέλλους; Μάρας καὶ Εὐλόγιος πρεσβύτεροι εἶπον· τὰς συσκευὰς αὐτοῦ μαθόντες, ὡς καὶ ἡμεῖς ἐμάθομεν, οὐκ οἴδαμεν πῶς ἐκεῖνοι ἀνεχώρησαν. ἡ ἁγία σύνοδος εἶπε· ποῦ δὲ νῦν εἰσι; Μάρας πρεσβύτερος εἶπεν· οὐκ οἴδαμεν ἀκριβῶς· ὡς δὲ ἀκούομεν, ἐν Κωνσταντινουπόλει ὥδευσαν· οὔτε δὲ γράμματα αὐτῶν ἐδεξάμεθα, οὔτε οἴδαμεν ἀκριβῶς. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Δόμνος εἶπε· ποίας ὑφεωρῶντο συσκευάς; καὶ μὴν ἐμοῦ γράψαντος τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἴβα περὶ τούτου, ἀντέγραψεν, ἐμοὶ διδοὺς τὸ πᾶν· καὶ ἐλύθησαν ἅμα ὑμῖν τοῦ ἐπιτιμίου τῆς ἀκοινωνησίας ἐπὶ ὅρῳ τοιούτῳ, ἐπὶ τῷ ἔχειν μὲν ὑμᾶς τὴν κοινωνίαν· ἐὰν δέ τις ὑμῶν ὑπολειφθείη πρὸ πέρατος τῆς ὑποθέσεως, ἐκκλησιαστικῷ ὑποβληθήσεται ἐπιτιμίῳ. δῆλοι τοίνυν εἰσὶν ἀπολειφθέντες, καὶ τῆς ἀκοινωνησίας καὶ τοῦ ἀποστολικοῦ τούτου θρόνου καταφρονήσαντες, καὶ ἑαυτοὺς ὑποβαλόντες καὶ τῷ μείζονι τῆς καθαιρέσεως ἐπιτιμίῳ. Σαμουῆλος εἶπεν· ἀξιῶ τὰς ὑπογραφὰς τῶν εὑρεθέντων ἐκεῖ ἐπισκόπων καὶ ὑπογραψάντων ἀναγνωσθῆναι, καὶ ἐνταγῆναι τοῖς πραττομένοις. οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· ἀναγνωσθήτωσαν αἱ ὑπογραφαὶ τῶν θεοφιλεστάτων καὶ ἁγιωτάτων ἐπισκόπων τῶν ἐγκειμένων τοῖσδε τοῖς ὑπομνήμασι· καὶ ὑποτιθῶσι.

Sanctum concilium dixit: Ubi sunt qui vobiscum obtulerunt libellos? Maras & Eulogius presbyteri dixerunt: Ejus calumnias agnoscentes, sicut & nos didicimus, nescimus quomodo illi discesserint. Sanctum concilium dixit: Nunc autem ubi sunt? Maras presbyter dixit: Nescimus integre: sicut autem audivimus, Constantinopolim sunt profecti. Neque vero litteras eorum suscepimus, neque scimus integre. Sanctissimus Domnus archiepiscopus dixit: Quas calumnias metuebant, cum ego utique scripsissem religiosissimo Ibæ ob hoc, & rescripserit, relinquens mihi omnia; & absoluti vobiscum sunt ab excommunicationis pœna, sub hac definitione, ut vos quidem haberetis communionem: si quis autem vestrum causam desereret ante finem, ecclesiasticæ disciplinæ subjaceret? Manifesti sunt igitur desertores, & excommunicationem & apostolicum hunc thronum contemnentes, & semetipsos submittentes majori damnationis supplicio. Samuel dixit: Rogo subscriptiones eorum episcoporum, qui ibidem reperti sunt & subscripserunt, relegi, & inseri monimentis. Reverentissimi episcopi dixerunt: Relegantur subscriptiones religiosissimorum & sanctissimorum episcoporum, qui in his inserti sunt monimentis, pariter & subdantur.

SUBSCRIPTIONES.

Domnus episcopus Antiochiæ interlocutus sum.
Symeonius episcopus Amidæ hæc eadem interlocutus sum.
Stephanus episcopus Hierapolitanus hæc eadem interlocutus sum.
Constantinus episcopus Bostræ sanctissimæ Dei ecclesiæ, hæc eadem interlocutus sum.
Theoctistus episcopus Berrhœæ hæc eadem interlocutus sum.
Thomas episcopus [a] Mompsuestiæ hæc eadem interlocutus sum.
[b] Placcus episcopus Gerasenæ sanctæ ecclesiæ hæc eadem decrevi.
[c] Evoltius episcopus Zeugmatis hæc eadem interlocutus sum.
Daniel episcopus [d] Carrhensium hæc eadem interlocutus sum.
Dadas episcopus Batneorum hæc eadem interlocutus sum.

Deo amantissimi episcopi dixerunt: Manifesta est interlocutio reverentissimi & sanctissimi patris nostri & archiepiscopi Domni. Libelli igitur, qui heri oblati sunt, relegantur, & gestis [e] addantur.

Sanctissimis per omnia & Deo amantissimis episcopis, Photio & Eustathio & Uranio, petitio oblata a Samuele, Cyro, Eulogio, Mara, presbyteris sanctissimæ ecclesiæ Edessenæ.

Nos equidem optabamus per omne tempus vitæ sine litigio vivere. Quoniam autem ea quæ audacter gesta sunt adversus nostram ecclesiam & sanctorum nostrorum patrum fidem, a venerabili episcopo nostro Iba, per summam injustitiam, compulerunt nos ad hanc accusationem descendere, tam ejus, quam ejus fratris Danielis, qui idem episcopus est Carrhensium civitatis; consequenter & secundum canones adeuntes concilium tam Orientale, quam Occidentale, oportuit nos & piissimum atque Christianissimum Principem nostrum pro his deprecari. Ex hoc ergo & sanctissimo nostro archiepiscopo Flaviano pariter decernente, & cum piissimo nostro Principe disponente, a vestra sanctitate nostrum exerceri negotium, advenimus parati nobis adesse. Adimus igitur per hos nostros deprecantes libellos, ut jubeatur a vestra sanctitate inchoari negotium.

Samuel presbyter libellos obtuli cum collegis.

Cyrus presbyter porrexi libellos cum collegis.
Eulogius presbyter porrexi hos libellos cum sociis.

Maras presbyter obtuli libellos cum sociis.

Samuel dixit: Rogamus hoc nobis licitum exsistere a vestra justitia, ut hæc eadem Syra lingua dicantur Deo amantissimo & sanctissimo episcopo Uranio; quoniam aderat Constantinopoli, quando litteræ de hoc scriptæ ab archiepiscopo Domno ad archiepiscopum Flavianum, relectæ sunt: & iterum adfuit in Antiochia, quando de hoc moturi eramus sermonem. Et de hoc qualia ei locutus sit, & quid ei dixerit, rogamus ut dicat. Photius & Eustathius reverentissimi episcopi dixerunt: Omnia quæ expetisti, is qui adest religiosissimo episcopo Uranio propria interpretabitur lingua. Et postquam interpretata sunt, Deo amantissimi Photius & Eustathius episcopi dixerunt: Edoceat nos ve-

ΑἹ ὙΠΟΓΡΑΦΑΊ.

Δόμνος ἐπίσκοπος Ἀντιοχείας διελάλησα.
Συμεώνης ἐπίσκοπος Ἀμίδης τὰ αὐτὰ διελάλησα.

. . . .

Κωνσταντῖνος ἐπίσκοπος Βόστρης τὰ αὐτὰ διελάλησα.

Θεόκτιστος ἐπίσκοπος Βεῤῥοίας τὰ αὐτὰ διελάλησα.

Θωμᾶς ἐπίσκοπος Μοψουεστίας τὰ αὐτὰ διελάλησα.

Πλάκκος ἐπίσκοπος τῆς κατὰ Γέρασαν ἁγίας ἐκκλησίας τὰ αὐτὰ ἐψηφισάμην.
Εὐόρκιος ἐπίσκοπος τῆς Ζεύγματος τὰ αὐτὰ διελάλησα.

Δανιῆλος ἐπίσκοπος πόλεως Βεῤῥοίων τὰ αὐτὰ διελάλησα.

Δάδας ἐπίσκοπος Βάτνων τὰ αὐτὰ διελάλησα.

Οἱ θεοφιλέστατοι ἐπίσκοποι εἶπον· δήλη ἐστὶν ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Δόμνου. ἐπαναγνωσθῶσιν οἱ λίβελλοι ἐπιδοθέντες χθὲς ἀναγνωσθήτωσαν, καὶ ἐνταχθήτωσαν τοῖς πεπραγμένοις.

ΟἹ ΚΑΤᾺ ΤΟΥ͂ ἼΒΑ ΛΊΒΕΛΛΟΙ.

Τοῖς ἁγιωτάτοις καὶ πάντα ὁσιωτάτοις καὶ θεοφιλεστάτοις ἐπισκόποις, Φωτίῳ, Εὐσταθίῳ καὶ, Οὐρανίῳ, ἱκεσία παρὰ Σαμουήλου, Κύρου, Εὐλογίου, Μάρα, πρεσβυτέρων τῆς κατὰ Ἔδεσσαν ἁγιωτάτης ἐκκλησίας.

Ἴβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· καὶ ἤδη ἐγγράφως ἀναθεμάτισα Νεστόριον καὶ τὸ δόγμα αὐτοῦ, καὶ νῦν ἀναθεματίζω αὐτὸν μυριάκις. τὸ γὰρ ἅπαξ μετὰ πληροφορίας γενόμενον, κἂν μυριάκις γένηται, οὐ λυπεῖ. καὶ ἀνάθεμα καὶ αὐτῷ Νεστορίῳ, καὶ Εὐτυχεῖ, καὶ τῷ λέγοντι μίαν φύσιν. καὶ πάντα δὲ τὸν μὴ φρονοῦντα ὡς φρονεῖ ἡ ἁγία σύνοδος αὕτη, ἀναθεματίζω.

Magnificentissimi & gloriosissimi judices dixerunt: Quæ judicata sunt a sancto concilio de Iba reverentissimo episcopo, propriam [b] vim retinebunt.

Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· τὰ δικαιώματα παρὰ τῆς ἁγίας συνόδου περὶ Ἴβα τοῦ εὐλαβεστάτου ἐπισκόπου, τὴν ἰδίαν ἰσχὺν ἕξει.*

b al. fortitudinem

* In ms. Par. κρίσει, ἀπόγνωσιν, ἀπόγνωμήν, ἀπόγνωσιν.

P. Labbei observatio.

In codice Divion. sive Bohieriano. Constantinopoli, v. Kalend. Aprilis Ind. XIII. feria v. In Acumetensium codice post hanc subsequitur, & de beato Theodoreto. In alio codice Græco &c. Deo gratias. Explicit actio X. incipit XI.

Vide supra, pag. 49?.

In codice eodem Boh. sequens de Domno actio collocatur supra, in tio 7. actionis, ut monuimus. In editione vero Crabbi subjungitur eidem actioni septima. In eadem editione Crabbi subjiciuntur actioni X. hæc verba: Constantinopoli VI. Kalendas Aprilis, indictione XIII. feria sexta, *quæ hactenus molestiam plurimam creavere lectoribus, idcoque a Romana aliisque editionibus expuncta, quæ nos Rustico S. R. E. diacono ope codicis Bohieriani vindicavimus. Baluzius legit, invitis (ut fatetur) codicibus antiquis,* Contuli VI. Kal.

ACTIO DE DOMNO ANTIOCHENO.

c *Anastasio Rustico diacono.* Actio de Domno Antiocheno, quam inveni in codice Patriciæ Julianæ membranaceo novo, transcriptam ex codice vetusto chartaceo, quem dixit ipse fuisse Proculi & Albini germanorum scholasticorum. *Habent hanc actionem & Vaticani codd. tres: quorum unus decitur annorum fere mille: habent & Corbeiensis, Divionensis, & alii. Hanc tamen in suis codicibus non viderunt Evagrius & Liberatus.*

[c] CONsulatu D. N. Marciani perpetui Augusti, & qui fuerit nuntiatus, sexto Kalendarum Novembrium, Chalcedone secundum præceptum divinissimi & clementissimi domini nostri Imperatoris, convenientibus in sancta ecclesia sanctæ martyris Euphemiæ, magnificentissimo & gloriosissimo magistro militum & exconsule ordinario & patricio Anatolio: & magnificentissimo & gloriosissimo præfecto sacri consistorii Palladio: & magnificentissimo & gloriosissimo sacrorum officiorum magistro Vincomalo: convenientibus etiam Paschasino & Lucentio reverentissimis episcopis, & Bonifacio reverentissimo presbytero, vicariis sanctissimi archiepiscopi senioris Romæ Leonis: & Anatolio reverentissimo archiepiscopo maximi nominis Constantinopolis, & Maximo reverentissimo archiepiscopo Antiochiæ Syriæ, & Juvenale reverentissimo episcopo Hierosolymitano, & cetera sancta synodo, quæ ex sanctione divinissimi & clementissimi domini nostri Marciani Imperatoris in Chalcedonensi civitate congregata est, quorum nomina infra sunt scripta: Et residentibus universis ante cancellos sancti altaris, Ma-

D ximus reverentissimus episcopus Antiochiæ dixit: Deprecor magnificentissimos & gloriosissimos judices, & sanctam hanc & universalem synodum, ut humanitatem exercere in Domnum, qui fuit Antiochiæ episcopus, dignemini, & statuere ei certos sumptus de ecclesia quæ sub me est.

Paschasinus & Lucentius reverentissimi episcopi, & Bonifatius presbyter, vicarii sedis Apostolicæ, per Paschasinum reverentissimum episcopum dixerunt: Sanctus & beatissimus Papa, qui episcopatum sancti ac venerabilis maximi episcopi Antiochenæ ecclesiæ confirmavit, justo satis ju- E dicio ejus meritum approbasse videtur; si quidem memoratus reverentissimus episcopus Maximus suo arbitrio Domno voluerit esse consultum, ut sumptus ei de sua ecclesia, miserationis intuitu, prout æstimaverit, largiatur; ut contentus alimoniis, quiescat in posterum. Quæ confessio Græce per Beronicianum virum devotissimum, secretarium sacri consistorii, translata est. Anatolius reverentissimus episcopus Constantinopolitanus dixit: Laudo & ego condo-

a al. compassionem.
b al. preces
c al. exclamavit:

a condolentiam beatissimi episcopi Antiochiæ Maximi, in quibus spontanea voluntate ipse tales b precatorias obtulit, ut sumptus præstaret Domno, qui fuit episcopus ecclesiæ sanctæ quæ sub eo est, præter hoc prædicto nihil requirente.

Juvenalis episcopus Hierosolymitanus dixit: Amplector & ego consilium sancti episcopi Antiochiæ Maximi. Universa sancta synodus c vociferata est: Laudabiles merito sunt benevolentiæ archiepiscopi. Omnes cogitatum ejus laudamus. Hic decet ejus existimationem humanus cogitatus pontificis. Magnificentissimi judices dixerunt: Amplectente sancta synodo arbitrium Maximi viri religiosi episcopi Antiochensium, quod de Domno probavit, & nos eidem consentimus, ejus arbitrio derelinquentes quæ sunt de Domni honorificentia. *Et alia manu:* Edantur.

ΠΡΑ͂ΞΙΣ ἙΝΔΕΚΆΤΗ τῆς ἐν Καλχηδόνι ἁγίας συνόδου.

Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ τεσσάρων καλανδῶν Νοεμβρίων, ἐν Καλχηδόνι, κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου συνελθόντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας μάρτυρος Εὐφημίας, τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου, ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βινκομάλου· συνελθόντων τε Πασχασίου καὶ Λουκηνσίου, τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος, καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας, καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας, ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Θεσσαλονικέων Ἀναστασίου, καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας, καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου, καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Καλχηδονέων πόλει συναθροισθείσης, καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου θυσιαστηρίου, εἰσελθὼν Βασσιανὸς ὁ εὐλαβέστατος, ὁ πρώην γενόμενος ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως, a συνόντων αὐτῷ καὶ b Βασσιανοῦ τοῦ εὐλαβεστάτου πρεσβυτέρου, εἶπε· Βίαν παθὼν, προσῆλθον τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ, καὶ ἐδεήθην αὐτοῦ· καὶ κατέπεμψε θεῖον γράμμα πρὸς τὴν ἁγιωτάτην καὶ μεγάλην καὶ οἰκουμενικὴν σύνοδον, ὥστε ἀκουσθῆναί με. καὶ ἐπειδὴ πάντα τὰ γινόμενα ἐν τῇ ἁγίᾳ συνόδῳ ἐκέλευσεν ἡ θεία κορυφὴ παρούσης τῆς ὑμετέρας μεγαλοπρεπείας ἐξετασθῆναι, παρακαλῶ τὴν ὑμετέραν ἐξουσίαν καὶ τὴν ἁγίαν σύνοδον, ὥστε τὸ θεῖον γράμμα ἀναγνωσθῆναί μοι, καὶ τὰ c δίκαιά μοι φυλαχθῆναι. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγινωσκέσθω τὸ θεῖον γράμμα. καὶ ἐπιδοθέντος αὐτοῦ, Βερονικιανὸς ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κωνσιστωρίου, ἀνέγνω.

a Forte, συνόντος.
b Forte, Κασσιανοῦ ex Latino.
c Forte, ἐγκλήματά μου

Αὐτοκράτορες Καίσαρες Οὐαλεντινιανὸς καὶ Μαρκιανὸς, νικηταὶ, τροπαιοῦχοι, τῇ ἁγίᾳ συνόδῳ, τῇ κατὰ θεῖον ἡμῶν θέσπισμα ἐν Καλχηδόνι συναθροισθείσῃ.

Βασσιανὸς ὁ εὐλαβέστατος πολλὰ ἄτοπα ὑπομεμενηκὼς, ἅ τινα ταῖς αὐτοῦ δεήσεσι ταῖς τῷ θείῳ ἡμῶν γράμματι ὑποτεταγμέναις περιέχεται, ἠξίωσε, παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ταῦτα γυμνασθῆναι. φιλοπονησάτω τοίνυν ἡ ὑμετέρα εὐλάβεια, δεξαμένη παρὰ ἡμῶν τὰ θεῖα γράμματα, ζητῆσαι τὰ τοῦ πράγματος, καὶ τύπον δοῦναι τὸν ὑμῖν παριστάμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· καὶ αἱ ὑποτεταγμέναι δεήσεις ἀναγινωσκέσθωσαν. ὁ αὐτὸς ἀνέγνω.

ACTIO UNDECIMA Chalcedonensis concilii.

Apud Evagrium, & in cod. mss Paris. actio hæc duodecima est.

Consulatu domini nostri Marciani perpetui Augusti, & qui fuerit nuntiatus quarto Kalendarum Novembris, in Chalcedona secundum jussionem divinissimi & piissimi domini nostri Imperatoris, convenientibus in sanctissima ecclesia sanctæ martyris Euphemiæ, magnificentissimo & gloriosissimo magistro militum & exconsule & patricio Anatolio, & magnificentissimo & gloriosissimo præfecto sacrorum prætoriorum Palladio, & magnificentissimo & gloriosissimo magistro sacrorum officiorum Vincomalo: convenientibus etiam Paschasino & Lucentio reverentissimis episcopis, & Bonifacio reverentissimo presbytero, tenentibus locum sanctissimi ac beatissimi episcopi Romæ Leonis: & Anatolio reverentissimo episcopo magni nominis Constantinopolis novæ Romæ, & Maximo reverentissimo episcopo Antiochiæ Syriæ, & Quintillo reverentissimo episcopo Heracleæ Macedoniæ, tenente locum sanctissimi Anastasii Thessalonicensium episcopi, & Thalassio reverentissimo episcopo Cæsareæ Cappadociæ, & Stephano reverentissimo episcopo Ephesi, & reliquo sancto & universali concilio, ex divali decreto in Chalcedonensium civitate congregato: & residentibus omnibus ante cancellos sancti altaris, ingressus Bassianus reverentissimus pridem factus episcopus in Ephesiorum metropoli, adhærente sibi etiam Cassiano reverentissimo presbytero, a dixerunt: Violentiam passus, adii piissimum nostrum Imperatorem, eique supplicavi; & direxit divinas litteras ad sanctum & magnum & universale concilium, ut me audiat. Et quoniam omnia quæ moventur in sancto concilio, divinus apex præsente vestra magnificentia præcepit examinari; rogo vestram potestatem, sanctumque concilium, ut litteræ divinæ legantur, & ego audiar, & mihi quæ sunt b justa, serventur. Gloriosissimi judices dixerunt: Litteræ divinæ legantur. Quibus traditis, Veronicianus vir devotus, magistrianus & secretarius divini consistorii, legit:

a Div. dixit.
b al. justitiæ.

Imperatores Cæsares Valentinianus & Marcianus, victores & triumphatores maximi, semper colendi Augusti, sancto concilio, quod sacro nostro decreto in Chalcedone collectum est.

Bassianus reverentissimus multa incongrua passus, contenta in precibus ejus, quæ his nostris divinis litteris subditæ sunt, petit a vestra sanctitate hæc discuti. Festinet igitur vestra reverentia, has nostras suscipiens litteras, causam discutere; & formam quæ vobis visa fuerit, proferre.

Gloriosissimi judices dixerunt: Et preces quæ subjectæ sunt, relegantur. Idem relegit:

Anno Christi 451.

Bassiani episcopi litteræ ad Valentinianum & Marcianum Imperatores supplicatoria pro causa sua, ex editione Crabbi.

A

Terræ marisque & totius humani generis dominis Flaviis Valentiniano & Marciano perpetuis Augustis, supplicatio & deprecatio a Bassiano humili & pusillo episcopo.

OMnis salus violentiam patientium, post Deum vestra tranquillitas est, præcipue autem sacerdotum Christi. Quapropter & ego ad has preces veni provolutus vestigiis vestris, ut mei misereamini. Nam quæ in me præsumpta sunt, lacrymis & gemitibus plena, & inenarrabilia esse noscuntur. Sed ut breviter pietati vestræ suggeram, quidam eorum qui sacerdotio funguntur, nec non & alii, crudelia & interdicta legibus in me, B sicut dictum est, facere præsumpserunt; & talia, quæ neque a barbaris sunt aliquando commissa. Spernentes enim Dei timorem, & immaculatorum virtutem mysteriorum, quam ex humillimis manibus meis Dei misericordia susceperunt, postquam a nobis mysteriorum perfectio celebrata est, repente apprehendentes me, & abripientes de sancta ecclesia, [a] plagis afficiebant, ducentes & portantes in foro; aliquando vero & recludentes, gladiis me subjecerunt. In iis itaque dum ipsius vitæ periculum sustinerem, furentes & abripientes pallium sacerdotii mei, in sede posuerunt quemdam ex iis, qui & ipse præsumpserat ea quæ in me incongrue facta sunt, & in locum meum. Et post hæc, quascumque res habueram mobiles vel immobiles, abstulerunt, & sicut C voluerunt, sibi partiti sunt. Super hæc etiam, multos hominum meorum diversis plagis morti tradiderunt, ita ut funera ante januas sanctæ Dei ecclesiæ quidam exponerent. Quia ergo (Deo mihi teste, & hominibus potentibus & venerabilibus) in nullo culpabilis exstiti ex iis quæ in me dicta sunt, atque in me præsumpta: supplico vestræ pietati, & provolvor divinis vestris sacratisque vestigiis, quatenus sancire dignetur vestra cælestis potestas, sacra vestra subnotatione missa ad sanctum concilium, ut cognitio fiat inter me miserrimum, & eos qui in me talia præsumpserunt, ac dicunt aliquid se adversum me habere. Hoc insuper sancire vestram [b] divinitatem exoro, ut nulli liceat [c] vexationem aliquam mihi inferre, donec ad finem perveniant ea quæ D inter me & adversarios meos aguntur. Nam consuetudo illorum est hoc facere, ne in eos videar prævalere, & ea quæ mihi ab eis inferuntur, vel a me dicuntur, coram sacerdotibus in sancto concilio, vestris sacratissimis auribus referre: & ut detur nobis, qui debeat quæ ab eis definita fuerint, effectui mancipare: [d] ut his potitus, consuetas orationes referam incessanter Deo pro perpetuo vestræ potestatis Imperio.

Gloriosissimi judices dixerunt: Dicat Bassianus reverentissimus nomina eorum qui ab eo sunt accusati. Bassianus reverentissimus episcopus dixit: Multi quidem sunt; princeps tamen horum ipse est, qui nunc episcopus est Stephanus. Hic enim & sedem meam tenet, & res: & rogo omnia examinari. Necessarium est enim E potius sacerdotium, quam possessiones. Quæratur enim si quid peccavi: inquirant patres nostri, & sicut volent, decernant. Gloriosissimi judices dixerunt: Stephanus reverentissimus episcopus ad ista respondeat. Stephanus reverentissimus episcopus dixit: Sunt hic episcopi Asianæ diœcesis: veniant, [e] & probamus quæ nostra sunt. Est episcopus Magnesiæ Leontius, Mæonius episcopus Nyssæ, Proterius episcopus Smyrnæ, & ceteri qui hic sunt. Gloriosissimi judices dixerunt: Interim tu responde. Stephanus reverentissimus episcopus Ephesi dixit: Iste neque ordinatus est in Epheso, sed vacante sancta ecclesia, colligens seditiosorum turbam cum gladiis, & aliis quibusdam [f] arenariis, supergressus est, &

[a] al. verberibus

[b] al. tranquillitatem

[c] al. exactionem

[d] al. &

[e] al. & nosipsos defendemus.

[f] Corb. hetanatiis. Colb. & Pamf. etanatiis. Div. erinatiis.

Actio XI.

Τῆς γῆς καὶ θαλάσσης καὶ παντὸς ἀνθρώπων ἔθνους καὶ γένους δεσπόταις, Φλαυΐῳ Οὐαλεντινιανῷ καὶ Μαρκιανῷ, τοῖς αἰωνίοις Αὐγούστοις, δέησις καὶ ἱκεσία παρὰ Βασσιανοῦ ταπεινοῦ καὶ ἐλαχίστου ἐπισκόπου.

ΠΑσι ἡ σωτηρία [a] μετὰ τὸν Θεὸν ἡ ὑμετέρα γαληνότης ὑπάρχει, ἐξαιρέτως δὲ τῶν ἱερέων τοῦ Χριστοῦ. διὸ κἀγὼ ἐπὶ τάσδε τὰς δεήσεις ἐλήλυθα, προσκυλινδούμενος τοῖς ὑμετέροις ἴχνεσιν, ἐν τούτοις με κατελεηθῆναι. τὰ γὰρ εἰς ἐμὲ τολμηθέντα, δακρύων καὶ στεναγμῶν ἀνάμεστα ὑπάρχει, καὶ ἀδιήγητα. ἀλλ' ἵνα διὰ συντομίας ἀναδιδάξω τὴν ὑμετέραν εὐσέβειαν, τινὲς τῶν ἐν τῷ τάγματι τῆς ἱερατείας, B καὶ ἄλλοι τινὲς πεπαρῴνηται δεινὰ καὶ ἀπηγορευμένα τοῖς νόμοις εἰς ἐμὲ, ὡς εἴρηται, τετολμήκασι ποιῆσαι, οἷα οὔτε ὑπὸ βαρβάρων τετόλμηταί ποτε. καταφρονήσαντες γὰρ τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν τῶν ἀχράντων μυστηρίων δύναμιν, ἥνπερ ἐκ τῶν, ἐλέῳ Θεοῦ, ταπεινοῦ χειρῶν μου ἐδέξαντο, μετὰ τὸ τὴν τῶν ἀχράντων μυστηρίων τελέσαι ἡμᾶς λειτουργίαν, παρ' αὐτὰ χειρωσάμενοί με, ἁρπάσαντες ἀπὸ τῆς ἁγίας ἐκκλησίας πληγαῖς ᾐκίζοντό με, ἄγοντες καὶ φέροντες ἐν τῇ ἀγορᾷ· ποτὲ δὲ καὶ ἐγκατάκλειστον ποιοῦντες, ξίφει με κατέβαλον. ἐν τούτοις τοίνυν εἰς αὐτὸ τὸ ζῆν κινδυνεύοντός μου, μανέντες ἐνυβρίζοντες, ἁρπάσαντες τὸ περιβόλαιον τῆς ἐμῆς ἱερωσύνης, ἕνα τινὰ, καὶ αὐτὸν ἐξ αὐτῶν τῶν τολμησάντων τὰ εἰς ἐμὲ γεγονότα ἀτοπήματα, εἰς τὸν τόπον τὸν ἐμόν. καὶ λοιπὸν καὶ ὅσαπερ ὑπῆρχέ μοι πράγματα ἔν C τε κινητοῖς καὶ ἀκινήτοις, ἀφείλοντο, καὶ ὡς ἠβουλήθησαν, εἰς ἑαυτοὺς κατεμερίσαντο. πολλοὺς δὲ καὶ τῶν διαφερόντων μοι ἀνθρώπων θανάτῳ καὶ πληγαῖς διαφόροις κατέβαλον· ὥστε καὶ τὰ λείψανα πρὸ τῶν θυρῶν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τινὰς ἀποθεῖναι. ἐπεὶ οὖν ἐν οὐδενὶ, τοῦ Θεοῦ μοι μαρτυροῦντος, καὶ ἀνθρώπων δὲ δυνατῶν καὶ ἀξιολόγων, παραίτιος εὑρέθημεν ἐπὶ τούτοις τοῖς εἰρημένοις καὶ τολμηθεῖσι παρ' αὐτῶν εἰς ἐμὲ, δέομαι τῆς ὑμετέρας εὐσεβείας, καὶ προσκυλινδοῦμαι τῶν θείων ὑμῶν καὶ ἀχράντων ἰχνῶν, ὅπως θεσπίσαι καταξιώσῃ τὸ ὑμῶν οὐράνιον κράτος διὰ θείας ὑμῶν ὑποσημειώσεως καταπεμπομένης πρὸς τὴν ἁγίαν σύνοδον, διάγνωσιν συγκροτηθῆναι μεταξὺ αὐτοῦ τε τοῦ ἐλεεινοῦ καὶ αὐτῶν τῶν ταῦτα διαπραξαμένων εἰς ἐμὲ, καὶ λεγόντων ἔχειν τι πρὸς ἐμέ. θεσπίσαι δὲ καὶ τοῦτο ἱκετεύω τὴν ὑμετέραν D θειότητα, ὥστε μὴ ἐξεῖναί τινι, ἐπάγειν μοι μεθοδείαν, ἄχρις ἂν πέρατος [b] ἀξιωθῆναι τὰ μεταξὺ ἐμοῦ τε καὶ τῶν ἐμῶν διαδίκων πραττόμενα· ἐπειδὴ ἔθος αὐτοῖς ἐστι τοῦτο ποιεῖν, πρὸς τὸ μὴ ἐλεγχθῆναί με αὐτῶν, καὶ τὰ παρ' αὐτῶν ἐπιφερόμενά μοι, καὶ παρ' ἐμοῦ λεγόμενα ἐπὶ τῶν ἀρχιερέων ἐν τῇ ἁγίᾳ συνόδῳ, ἐπὶ τὰς θείας ὑμῶν ἀκοὰς ἀναγαγεῖν· δοθῆναι δὲ ἡμῖν τὸν ὀφείλοντα τὰ παρ' αὐτῶν ἐπικριθέντα εἰς πέρας ἀγαγεῖν. καὶ τούτου τυχὼν, τὰς συνήθεις εὐχὰς τῷ Θεῷ ἀναπέμψω ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους διὰ παντός.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· λεγέτω Βασσιανὸς ὁ εὐλαβέστατος τὰς προσηγορίας τῶν παρ' αὐτοῦ αἰτιαθέντων. Βασσιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· πολλοὶ μέν εἰσιν· ὁ δὲ ἀρχηγὸς τῶν γεγενημένων αὐτός ἐστιν ὁ ἄρτι ἐπίσκοπος Στέφα-E νος. οὗτος γὰρ τὸν θρόνον μου κατέχει, καὶ τὰ πράγματα· καὶ παρακαλῶ δοκιμασθῆναι πάντα. ἀναγκαιοτέρα ἐστὶν ἡ ἱερωσύνη τῶν κτημάτων. ζητηθῇ, ἐάν τι ποτε ἡμάρτηκα· δοκιμάσωσιν οἱ πατέρες ἡμῶν, καὶ ὡς θέλουσιν, ὁρίσουσιν. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀποκρινάσθω πρὸς ταῦτα Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος. Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος ἀπεκρίνατο· εἰσὶν ἐνταῦθα οἱ ἐπίσκοποι τῆς Ἀσιανῆς διοικήσεως· καὶ ἐλθέτωσαν, καὶ συνιστάμεθα ἑαυτοῖς. ἔστιν ὁ ἐπίσκοπος Μαγνησίας Λεόντιος, Μαιόνιος ἐπίσκοπος Νύσσης, Πρωτέριος ἐπίσκοπος [c] Μυρρίνης, καὶ λοιποὶ οἱ ὄντες ἐνταῦθα. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τέως ἀπόκριναι αὐτοῖς. Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· οὗτος οὔτε ἐχειροτονήθη ἐν τῇ Ἐφέσῳ, ἀλλὰ σχολαζούσης τῆς ἁγίας ἐκκλησίας, συναγαγὼν ὄχλον ἄτακτον μετὰ ξιφῶν καὶ ἄλλων τινῶν, [d] ἐργαταρίων, ἐπεισῆλθε, καὶ

[a] Forte, τῶν βίαν πασχόντων, ex Lat.

[b] Forte, ἀξιωθῇ

[c] Forte, Σμύρνης, ut in Lat.

[d] Forte, ἀρηναρίων,

ἐκαθίσθη ἐν αὐτῇ. εἰ τοίνυν κρίνει ἡ ὑμετέρα μεγαλοπρέπεια εἶναι ἐπίσκοπον, ἄλλος λόγος ἐστί. τούτου ἐξωσθέντος κατὰ κανόνας, καὶ ῥιφέντος ἀξίως, ἐμὲ τεσσαράκοντα ἐπίσκοποι τῆς Ἀσίας ψήφῳ καὶ τῶν λαμπροτάτων, καὶ τῶν λογάδων, καὶ τοῦ εὐλαβεστάτου παντὸς κλήρου, καὶ τῶν λοιπῶν πάντων τῆς πόλεως πάσης, ἐχειροτόνησαν. σήμερον γὰρ πεντήκοντα ἔτη ἔχω ἐν τῷ κλήρῳ Ἐφέσου. Βασσιανὸς ὁ εὐλαβέστατος εἶπε· μὴ περιτρέχε με. ἐγὼ καὶ κανονικῶς ἐγενόμην καὶ δείκνυμι τοῦτο· οὔτε καθῃρέθην παρά τινος, ἀλλ' ἐκ νέας ἡλικίας ζῶν [a] τοῖς πτωχοῖς, καὶ πτωχεῖον ἐποίησα, καὶ ἔθηκα εἰς αὐτὸ ἑβδομήκοντα κράββατα, καὶ πάντας τοὺς νοσοῦντας καὶ τετραυματισμένους ἐξένιζον. Μέμνων δὲ ὁ γενόμενος ἐπίσκοπος Ἐφέσου, φθονήσας τούτοις, ἐπειδὴ ἠγαπώμην παρὰ πάντων, πάντα ἐποίησεν ἐπὶ τῷ ἐκδιωχθῆναί με τῆς πόλεως· καὶ ἐπέβαλε τὰς χεῖρας αὐτοῦ ἐπὶ τῷ χειροτονῆσαί με ἐπίσκοπον Εὐάζων· καὶ τοῦτο ἐποίησεν· ἐγὼ δὲ οὐ κατεδεχόμην, ἀλλ' ἀπὸ ὥρας τρίτης ἕως ἕκτης ἐπὶ τοῦ θυσιαστηρίου με ᾐκίσατο· καὶ τὸ ἅγιον εὐαγγέλιον ἐγεμίσθη αἱμάτων, καὶ τὸ θυσιαστήριον. τούτου δὲ οὕτω γεγονότος, ἐγὼ ἔμεινα οὕτω, μήτε εἰς τὴν πόλιν ἀπελθὼν, μήτε αὐτὴν τὴν πόλιν εἰδώς· ἔμεινα δὲ οὕτω. καὶ συνέβη τὸν αὐτὸν Μέμνονα τέλει τοῦ βίου χρήσασθαι. μετὰ ταῦτα ἐχειροτονήθη Βασίλειος· οὗτος δὲ μετακαλεσάμενος τὴν σύνοδον τῆς ἐπαρχίας, καὶ μαθὼν παρ' αὐτῶν τὴν βίαν ἣν ἔπαθεν, ὅτι [b] σκευὴ ἦν, ἐχειροτόνησεν ἐν τῇ πόλει ἐκείνῃ ἄλλον ἐπίσκοπον, ἐμοὶ δὲ ἀπέδωκε τὴν κοινωνίαν καὶ τὸν τόπον τῆς ἐπισκοπῆς. συνέβη δὲ τοῦτον πάλιν τέλει τοῦ βίου χρήσασθαι, ἐμὲ δὲ μετὰ πολλῆς ἀνάγκης καὶ βίας ἐνθρονίζουσιν εἰς τὴν αὐτὴν πόλιν Ἔφεσον ὁ λαὸς, καὶ ὁ κλῆρος, καὶ οἱ ἐπίσκοποι· ὧν εἷς Ὀλύμπιος ὁ ἐπίσκοπος ἐνταῦθά ἐστι. γνοὺς δὲ ταῦτα ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς, εὐθὺς τοῦτο αὐτὸ ἐβεβαίωσε· καὶ διὰ θείου ὑπομνηστικοῦ ἐδήλωσεν ἐν φανερῷ, βεβαιῶν τὴν ἐπισκοπήν· μετὰ ταῦτα ἀπέστειλε σάκραν πάλιν διὰ Εὐσταθίου τοῦ σιλεντιαρίου, βεβαιοῦσαν τὴν ἐπισκοπήν. ἦλθον δὲ ἐν τῇ βασιλευούσῃ Κωνσταντινουπόλει· καὶ λαβόμενος ἡμᾶς ὁ αὐτὸς δεσπότης, ἐμέ τε καὶ τὸν γενόμενον τῆς αὐτῆς βασιλευούσης πόλεως ἐπίσκοπον Πρόκλον, φίλους ἡμᾶς ἐποίησε. καὶ ἐκοινώνησα μετ' [c] αὐτοῦ, καὶ μετὰ πάντων τῶν κατὰ καιρὸν εὑρεθέντων. καὶ συνοδικὰ ποιήσας ὁ αὐτὸς ὁσιώτατος Πρόκλος, ἀπέστειλε καὶ τῇ πόλει, καὶ τοῖς ἐπισκόποις, καὶ τοῖς κληρικοῖς. ἔμεινα δὲ οὕτως ἐγὼ τετραετῆ χρόνον· ὡς καὶ δέκα ἐπισκόπους με χειροτονῆσαι, καὶ πολλοὺς κληρικούς. καὶ ἐν εἰρήνῃ ἡμῶν διαγόντων, ὅπερ καὶ δι' ἀναφορῶν ἐγνώρισαν οἱ αὐτοὶ ὁσιώτατοι ἐπίσκοποι καὶ ὁ εὐλαβέστατος κλῆρος τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ, καὶ τῇ αἰωνίᾳ Αὐγούστῃ, ἀσμένως δεξαμένη ἡ αὐτῶν εὐσέβεια, εὐθὺς ἀντέγραψεν ἐμοί τε καὶ αὐτοῖς τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ τοῖς κληρικοῖς· καὶ ἀπέστειλαν διὰ σιλεντιαρίου. ἀναγνωσθεισῶν δὲ τῶν θείων συλλαβῶν, πάντες ἐδοξάσαμεν τὸν Θεὸν, ὅτι οὕτως φροντίζει ἡ αὐτῶν εὐσέβεια περὶ τῆς εἰρήνης τῶν ἐκκλησιῶν. τῇ δὲ αὔριον ἡμέρᾳ λειτουργησάντων πάντων ἐμοῦ, ἀπὸ τῆς λειτουργίας αὐτόχειρες γενόμενοι, κατέκλεισάν με ἔνδοθεν· καὶ μετὰ βίας ἀφαιρήσαντές μου τὸ περιβόλαιον τῆς ἱερωσύνης, καὶ πάντα τὰ ὑπάρχοντά μοι, καὶ λαβόντες ἕνα αὐτῶν τοῦτον τὸν Στέφανον, ἐποίησαν αὐτὸν ἐπίσκοπον. Στέφανος ὁ εὐλαβέστατος εἶπε· κελεύσῃ ἡ ὑμετέρα ἐξουσία· ἐνταῦθά εἰσιν οἱ ἐπίσκοποι· ἐλθῶσιν ἐπὶ τῷ φανῆναι τὴν ἀλήθειαν ἐπὶ τῆς μεγαλοπρεπείας τῆς ὑμετέρας. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐπὶ τίνι καλεῖς τοὺς εὐλαβεστάτους ἐπισκόπους; Στέφανος ὁ εὐλαβέστατος εἶπεν· ἐπὶ τῷ καταθέσθαι αὐτοὺς τὰ γεγονότα πάντα, ἐπειδὴ αὐτὸς ἐπεισῆλθε τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μετὰ ξιφῶν, καὶ ἀρεναρίων, καὶ [d] ἄλλων τινῶν, καὶ ἐκαθίσθη ἐπὶ τὸν θρόνον. ἐξώσθη παρὰ τοῦτο παρὰ τῶν ἁγίων πατέρων, παρά τε τοῦ ὁσιωτάτου τῆς βασιλευούσης Ῥώμης Λέοντος, καὶ τοῦ μακαριωτάτου Φλαβιανοῦ τοῦ ἐν ὁσίοις, τῆς βασιλευούσης Κωνσταντινουπόλεως, καὶ παρὰ τοῦ ἐν Ἀλεξανδρείᾳ, καὶ παρὰ τοῦ ἐν Ἀντιοχείᾳ· παρὰ τούτων ἐξώσθη κρίσει βασιλικῇ, κατέστη δὲ ἡ ἐμὴ βραχύτης. ἔμαθον πάντες, συνέ-

A sedit ibi. Si hunc ergo judicat vestra magnificentia esse episcopum, alia ratio est. Hoc ergo expulso secundum canones, & projecto ut merebatur, me quadraginta episcopi Asiani, suffragio & nobilium & plebis, & totius reverentissimi cleri, & omnis civitatis ordinaverunt. Hodie enim quinquaginta annos habeo in Ephesino clero. Bassianus reverentissimus episcopus dixit: Noli me circumvenire. Ego & canonice factus sum episcopus, & ostendo hoc, & a nullo depositus sum, nec accusatus ab aliquo, neque culpatus. Sed & ego a juvenili ætate mea vixi pauperibus, & ptochium feci, & in eo posui septuaginta lectos, & omnes languentes & ulceratos hospitio suscipiebam. Memnon autem qui B fuit episcopus Ephesi, invidiam habens in istis, quoniam diligebar ab omnibus, nihil non egit ut expellerer a civitate: & immisit manus suas ut me ordinaret episcopum Evazotum, & hoc fecit. Ego autem non acquiescebam, sed ab hora tertia usque ad sextam coram altari me plagis afflixit: & sanctum evangelium & altare sanguine est impletum. His igitur ita gestis ego sic permansi, neque ad civitatem vadens, neque penitus ecclesiæ illi communicans, in qua nominatus fueram, neque penitus ipsam civitatem videns. Mansi ergo sic, & contigit ipsum Memnonem finem vitæ suscipere. Post hæc ordinatus est Basilius. Is autem evocans concilium provinciæ, & agnoscens ab eis violentiam quam fueram passus, & quoniam machinatio fuerat; alium in illa ci- C vitate ordinavit episcopum, mihi vero reddidit communionem & locum episcopatus. Contigit iterum & hunc finem vitæ suscipere, me autem cum multa necessitate & vi inthronizaverunt in eadem civitate Ephesi populus & clerus & episcopi, quorum unus episcopus Olympius hic est. Agnoscens autem hæc piissimus noster Imperator, repente hoc confirmavit, & continuo per commonitorium aperte declaravit, confirmans episcopatum. Postea direxit iterum sacram per * Eustathium Silentiarium, quæ confirmaret episcopatum. Veni autem in regiam Constantinopolim: & suscipiens nos idem rerum dominus, id est, me & eum qui erat in ipsa regia civitate, episcopum Proclum, D amicos nos fecit: & communicavi cum eo, & cum omnibus episcopis qui per singula tempora sunt reperti. Et faciens synodicam idem sanctissimus Proclus, direxit & civitati & episcopis & clericis. Mansi itaque sic quatuor annis, ita ut decem episcopos ordinarem, & multos clericos. Et cum in pace degeremus, (quæ etiam per relationem suam manifestaverunt ipsi sanctissimi episcopi & reverentissimus clerus piissimo nostro Imperatori, & perpetuæ Augustæ;) placida voluntate suscipiens eorum pietas, repente rescripsit mihi & ipsis sanctissimis episcopis & clericis, & direxerunt per Silentiarium. Relectis autem divinis syllabis, omnes nos glorificavimus Deum, quia eorum pietas de ecclesiarum pace adeo curam gerit. Crastinâ autem die mis- E sas celebravimus omnes simul: & post missas, manus injicientes incluserunt me, & cum vi abripuerunt pallium sacerdotii mei, & omnia bona mea: & sumentes unum ex ipsis hunc Stephanum, fecerunt eum episcopum. Stephanus reverentissimus episcopus Ephesi dixit: Jubeat vestra potestas, episcopos qui sunt hic, venire, ut appareat veritas coram vestra magnificentia. Gloriosissimi judices dixerunt: Pro qua re vocas reverentissimos episcopos? Stephanus reverentissimus episcopus Ephesi dixit: Ut testentur de universis quæ gesta sunt, quandoquidem ipse superintravit in sanctam ecclesiam cum gladiis & arenariis & aliis quibusdam, & sedit in sede. Et pro hoc expulsus est a sanctis patribus, & a sanctissimo regiæ civitatis Romæ Leone, & a beatissimo sanctæ memoriæ Flaviano Constantinopolitanæ urbis, & ab Alexandrino & Antiocheno; ab his enim expulsus est. Ecclesiastico enim judicio mea humilitas constituta est. Cognoverunt omnes, & con-

[a] Forte, πτωχοῖς, καὶ τοῖς

[b] Forte, σκευὴ

[c] Forte, αὐτοῦ, ex Lat.

[d] Forte, ἄλλων

* f. Eustathium.

senserunt, & sanctæ memoriæ Theodosius Imperator, A & universa synodus. Pro his enim misit sanctæ memoriæ Imperator Theodosius Eustathium primicerium Silentiariorum, ut cognosceret inter eum & clerum, & pauperes, qui ab eo injustitiam fuerant passi. Venit in Epheso beatæ memoriæ Eustathius, tres menses exegit cognoscendo. Quæ cognovit, manifesta fecit: & terminum quem decrevit beatæ memoriæ Eustathius, suscepit, & confessiones exposuit: & clericis & pauperibus & ecclesiæ hæc manifesta sunt. Sunt hic episcopi: veniant huc, & fateantur si aliter dico. Jubeat vestra magnificentia venire eos. Numquid cum eis ordinatus est ibi? Superintravit ibi, hodie quatuor anni sunt: & Romanus episcopus eum deposuit, & Alexandrinus eum damnavit. Videat vestra magnificentia epistolam [a] scriptam a beatissimo papa Leone. Gloriosissimi judices dixerunt: Confiteris reverentissimum Bassianum quatuor annis obtinuisse sanctam Ephesiorum civitatis ecclesiam, velut episcopum? Stephanus reverentissimus episcopus Ephesi dixit: Velut tyrannus, non ut episcopus. Quomodo enim obtinere poterat, qui per manus impositionem constitutus non est, sed cum gladiis est ingressus, & sedit [b] ibi? Jubeat vestra magnificentia episcopos ingredi. Gloriosissimi judices dixerunt: Ostendat Bassianus reverentissimus, si per synodum reverentissimorum episcoporum, & consueta ordinationis lege episcopus Ephesiorum metropolis est constitutus. Bassianus reverentissimus episcopus dixit: Evazorum ego neque umquam factus sum, neque profectus illuc; sed vim passus, denominatus sum episcopus. Canones manifesti sunt. Dicant patres, si præjudicium est ordinari, nec proficisci. Ipsi dicant: noverunt regulas. Supplico ut audiar. Interim præsumptio declaretur, quia auctoritate usi capientes clauserunt me; & tunc de sacerdotio quærimus. Violentia primo quæratur. Stephanus reverentissimus episcopus Ephesi dixit: Supplico ut canones relegantur, qui dicunt ut is qui in alia civitate ordinatus est, constitui non possit in altera. Gloriosissimi judices dixerunt: Relegantur hi canones. Leontius reverentissimus episcopus Magnesiæ ex codice [c] relegit, regula nonagesima quinta.

ρεσαν, καὶ ὁ ἐν ἁγίοις βασιλεὺς Θεοδόσιος, καὶ ἡ σύνοδος πᾶσα. ἐπὶ τούτοις ἔπεμψεν ὁ ἐν ἁγίοις βασιλεὺς Θεοδόσιος Εὐστάθιον τὸν πριμικήριον τῶν σιλεντιαρίων, διαγνῶναι μεταξὺ αὐτοῦ καὶ τοῦ κλήρου καὶ τῶν πτωχῶν τῶν ἀδικηθέντων παρ᾽ αὐτοῦ. ἦλθεν ἐν τῇ Ἐφεσίων ὁ μακάριος Εὐστάθιος, τρεῖς μῆνας ἐποίησε διαγινώσκων. ἃ διέγνω, φανερὰ κατέστησε· καὶ τὸν ὅρον, ὃν ἐξήνεγκεν ὁ μακάριος Εὐστάθιος, κατεδέξατο, καὶ ὁμολογίας ἐξέθετο· καὶ τῷ κλήρῳ, καὶ τῇ ἐκκλησίᾳ φανερὰ ταῦτά ἐστιν. εἰσὶν ἐνταῦθα οἱ ἐπίσκοποι. εἰσέλθωσιν, ἐὰν ἄλλως ἐρῶ. κελεύσῃ ἡ μεγαλοπρέπεια ὑμῶν, ἐλθεῖν αὐτούς. μὴ σὺν αὐτοῖς ἐχειροτονήθη ἐκεῖ; ἐπεισῆλθεν ἐκεῖ σήμερον ἀπὸ τεσσάρων ἐτῶν· καὶ ὁ Ῥώμης αὐτὸν καθεῖλε, καὶ ὁ Ἀλεξανδρείας B αὐτὸν καθεῖλεν. ἴδῃ τὴν ἐπιστολὴν τὴν γραφεῖσαν παρὰ τοῦ μακαριωτάτου πάπα Λέοντος τὸ ὑμέτερον μέγεθος. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ὁμολογεῖς, Βασσιανὸν τὸν εὐλαβέστατον τέσσαρα ἔτη κατεσχηκέναι τὴν ἁγιωτάτην τῆς Ἐφεσίων πόλεως ἐκκλησίαν, ὡς ἐπίσκοπον; Στέφανος ὁ εὐλαβέστατος εἶπε· τυραννήσας, οὐχ ὡς ἐπίσκοπος. πῶς γὰρ εἶχε κρατῆσαι, ὁ μὴ χειροτονηθεὶς, ἀλλὰ μετὰ ξιφῶν εἰσελθὼν, καὶ καθισθεὶς ἑαυτῷ; κελεύσῃ ἡ μεγαλοπρέπεια ὑμῶν, εἰσελθεῖν τοὺς ἐπισκόπους. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· δειξάτω Βασσιανὸς ὁ εὐλαβέστατος, εἴ γε ἀπὸ συνόδου εὐλαβεστάτων ἐπισκόπων, καὶ μετὰ τὸν εἰωθότα θεσμὸν εἰς χειροτονίαν ἐπίσκοπος κατέστη τῆς Ἐφεσίων μητροπόλεως [c]. Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· Εὐάζων C ποτὲ ἐγὼ οὔτε ἐγενόμην, οὔτε ἀπῆλθον, ἀλλὰ βιασθεὶς ὠνομάσθην ἐπίσκοπος. οἱ κανόνες φανερὰ ἔχουσιν. οἱ πατέρες, ἐὰν πρόκριμά ἐστι τὸ χειροτονηθῆναι, καὶ μὴ ἀπελθεῖν. αὐτοὶ εἰπάτωσαν· οἴδασι τοὺς κανόνας. παρακαλῶ, ἀκουσθῆναί μου. τέως φανερωθῇ ἡ τόλμα, ὅτι αὐθεντήσαντες, καὶ λαβόντες ἀνέκλεισάν με· καὶ τότε περὶ τῆς ἱερωσύνης ζητοῦμεν. ἡ βία ζητηθῇ. Στέφανος ὁ εὐλαβέστατος εἶπεν· ἀξιῶ τοὺς κανόνας ἀναγνωσθῆναι τοὺς λέγοντας· ὥστε ἐν ἑτέρᾳ πόλει τὸν χειροτονηθέντα μὴ δύνασθαι ἐν ἑτέρᾳ καθίστασθαι. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγνωσθήτωσαν οἱ κανόνες. Λεόντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαγνησίας ἀνέγνω. Καν. ϟε΄.

Si quis episcopus vacans super ecclesiam vacantem semetipsum injiciens, subripuerit sedem præter perfectum D *concilium; hunc expellendum esse, licet omnis populus quem arripuit, eum elegerit. Perfecta vero synodus illa est, cui interest & metropolitanus episcopus.*

Εἴ τις ἐπίσκοπος σχολάζων ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἑαυτὸν ἐπιῤῥίψας, ὑφαρπάζοι τὸν θρόνον δίχα συνόδου τελείας, τοῦτον ἀπόβλητον εἶναι, κἂν εἰ πᾶς ὁ λαὸς, ὃν ὑφήρπασεν, ἕλοιτο αὐτόν· τελείαν δὲ εἶναι σύνοδον ἐκείνην, ᾗ συμπάρεστι καὶ ὁ τῆς μητροπόλεως.

Idem reverentissimus Leontius episcopus ex eodem codice legit, regula nonagesima sexta.

Ὁ αὐτὸς εὐλαβέστατος Λεόντιος ἐπίσκοπος ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ βιβλίου. Καν. ϟϛ΄.

Si quis episcopus ordinationem acceperit episcopatus, & populo præesse decretus, non acquieverit ordinationi, neque ei persuasum fuerit proficisci ad ecclesiam sibi commissam; hunc excommunicatum esse, donec coactus acquiescat, aut quidquam de eo episcoporum provincia synodus perfecta definiat.

Εἴ τις ἐπίσκοπος χειροτονίαν λαβὼν ἐπισκόπου, καὶ ὁρισθεὶς προεστάναι λαοῦ, μὴ καταδέξοιτο τὴν χειροτονίαν, μηδὲ πείθοιτο ἀπιέναι εἰς τὴν ἐγχειρισθεῖσαν αὐτῷ ἐκκλησίαν, τοῦτον εἶναι ἀκοινώνητον, ἕως ἂν ἀναγκασθεὶς καταδέξηται, ἢ ὁρίσει τι περὶ αὐτοῦ ἡ τελεία σύνοδος τῶν κατὰ τὴν ἐπαρχίαν ἐπισκόπων.

Gloriosissimi judices dixerunt: Reverentissimus episcopus Bassianus edoceat, quis eum fecit episcopum. Bassianus reverentissimus episcopus dixit: Unus eorum E qui me inthronizaverunt, hic est Olympius, nescio alios: hunc recordor. Lucianus reverentissimus episcopus Byziæ dixit: Qui habuit jus, suscepit eum bonæ memoriæ Proclus, & suscepit eum beatæ memoriæ Theodosius piissimus Imperator, & vocans eos, amicos eos effecit: sed tamen cur est expulsus? Stephanus reverentissimus episcopus Ephesi dixit: Beatus sanctæ memoriæ Flavianus expulit eum. Gloriosissimi judices dixerunt: Quoniam memoria facta est Olympii reverentissimi episcopi, tamquam is inthronizaverit Bassianum reverentissimum episcopum; prædictus Olympius, si hæc ita sunt, nos edoceat. Olympius reverentissimus episcopus Theodosiopolis dixit: Post mortem Basilii episcopi, qui illo tempore fuit in civitate, in qua ordinatus sum episcopus Theodosiopolis, in ea degebam. [d] Mandaverunt mihi clerici ejusdem civitatis

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· διδαξάτω Βασσιανὸς ὁ εὐλαβέστατος, τίς αὐτὸν κατέστησεν ἐπίσκοπον. Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· εἷς ἐκ τῶν ἐνθρονισάντων με οὗτός ἐστιν Ὀλύμπιος. οὐκ οἶδα ἄλλους· τοῦτον μνημονεύω. Λουκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βύζης εἶπεν· ὁ ἔχων τὸ κῦρος, ἐδέξατο αὐτόν· ὁ μακαρίτης Πρόκλος ἐδέξατο αὐτὸν, καὶ ὁ μακαρίτης Θεοδόσιος ὁ εὐσεβέστατος βασιλεύς· καὶ καλέσας αὐτοὺς, φίλους αὐτοὺς ἐποίησεν. ἀλλὰ ὅμως διὰ τί ἐξεβλήθη; Στέφανος ὁ εὐλαβέστατος εἶπεν· ὁ μακάριος ἐν ἁγίοις Φλαβιανὸς ἐξεώσατο αὐτόν. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐπειδὴ μνήμη γέγονεν Ὀλυμπίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, ὡς ἐνθρονίσαντος Βασσιανὸν τὸν εὐλαβέστατον, ὁ προλεχθεὶς εὐλαβέστατος Ὀλύμπιος, εἰ ταῦτα οὕτως ἔχει, διδασκέτω. Ὀλύμπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Θεοδοσιουπόλεως εἶπε· μετὰ τὸν θάνατον τοῦ κατὰ καιρὸν ἐπισκόπου Βασιλείου ἐν τῇ πόλει, ἐν ᾗ κεχειροτόνημαι ἐπίσκοπος Θεοδοσιουπόλεως, ἐν αὐτῇ διῆγον. δηλοῦσί μοι οἱ κληρικοὶ αὐτῆς τῆς πόλεως

[a] Non exstat.

[b] al. sibi

Vide Hincmar. opusc. 55. capitul. cap. 21.

[c] Cod. 95. Antiquam collectionem Canonum intelligit certis numeris definitam. Est Can. 16. Concilii Antiocheni alterius versionis quam Dionysii aut Isidori.

Canon 17. ejusdem Concilii Antiocheni. Cod. 96.

[c] In ms. Pamaresi, ἀνέγνω, ἀνέγνωμεν, ἀνέγνω.

[d] al. Significaverunt

ANNO CHRISTI 451.

Ἐφέσου, λέγοντες· παραγενοῦ ἐνταῦθα, ἵνα κανονικῶς χειροτονίαν δέξηται ἡ πόλις, ἐπειδὴ ἐκοιμήθη ὁ τῆς ὁσίας μνήμης Βασίλειος, ὁ γενόμενος ἐπίσκοπος. ἐγὼ δὲ δεξάμενος τὰ γράμματα ταῦτα, παρεγενόμην, ὑπολαβὼν, ὅτι καὶ ἄλλοι εὐλαβέστατοι ἐπίσκοποι ἐκλήθησαν. πρὸ τριῶν δὲ ἡμερῶν τοῦ μέλλειν εἰσιέναι εἰς τὴν ἐκκλησίαν τοῦτον, καὶ ἐνθρονίζεσθαι, καταχθεὶς ἔν τινι ὁσπιτίῳ, προσέμενον καὶ τοὺς ἑτέρους εὐλαβεστάτους ἐπισκόπους, ὥστε γενέσθαι κανονικὴν τὴν χειροτονίαν κατὰ τὸ ἔθος. ὡς δὲ καὶ μίαν, καὶ δευτέραν, καὶ τρίτην ἡμέραν ἔμεινα ἐν τῷ ὁσπιτίῳ, καὶ ἄλλος οὐχ εὑρέθη θεοφιλέστατος ἐπίσκοπος, τελευταῖον ἐλθόντες τινὲς τῶν εὐλαβεστάτων κληρικῶν, λέγουσί μοι· ἄλλοι ἐπίσκοποι οὐκ εἰσὶν ἐνταῦθα, τί δεῖ γενέσθαι; εἶπον ἐγώ· τί δύναμαι ποιῆσαι; ἐπειδὴ ἔξω τῆς ἀκριβείας τῶν κανόνων ἐστὶ, μόνον ἐπίσκοπον διοικεῖν ἐκκλησίαν, καὶ μάλιστα τοιαύτης περιφανοῦς μητροπόλεως. ὡς δὲ ταῦτα ἐλάλουν μετ' ἐμοῦ, περιεκύκλωσαν τὸ οἴκημα, ἔνθα ἤμην, πλῆθος ἄπειρον, καὶ οὐκ οἶδα ποῦ γέγονα· καὶ ἐπὶ τοσαύτης ἐξουσίας, καὶ ἐπὶ τοῦ θυσιαστηρίου, τις ποτε γυμνώσας παραμήριον Ὁλοσήρικος, τοῦτο ὄνομα αὐτῷ, κομενταρήσιος τάχα ὢν, ἦλθε καὶ αὐτὸς, καὶ τὸ πλῆθος ἅπαν, καὶ βαστάσαντές με, ἀπήγαγον εἰς τὴν ἐκκλησίαν. καὶ οὕτω μετὰ διακοσίων ἢ τριακοσίων ἀνθρώπων, καὶ ἐμὲ καὶ αὐτὸν ἀνήγαγον εἰς τὸν θρόνον, καὶ ἐγένετο ὁ ἐνθρονιασμός. μέχρι τούτου τὸ ὅπως γέγονεν, οἶδα. Βασσιανὸς ὁ εὐλαβέστατος εἶπεν· ἐψεύσατο. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· εἰ Πρόκλος ὁ τῆς ὁσίας μνήμης, ὁ γενόμενος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, ἐδέξατο αὐτὸν Βασσιανὸν τὸν εὐλαβέστατον ἐπίσκοπον, καὶ ἐκοινώνησεν αὐτῷ ὡς ἐπισκόπῳ τῆς Ἐφεσίων μητροπόλεως, ὁ εὐλαβέστατος κλῆρος τῆς ἁγίας Κωνσταντινουπόλεως ἐκκλησίας διδασκέτωσαν. * Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας εἶπεν· ὡς ἐπὶ Θεοῦ, καὶ ἐδέξατο αὐτὸν ὁ ἐν ἁγίοις Πρόκλος κοινωνικὸν, καὶ συνοδικοῖς γράμμασι τιμήσας αὐτὸν, ἀπέλυσεν ἐπὶ τὴν Ἔφεσον· καὶ ἐν τοῖς διπτύχοις ἔταξεν αὐτοῦ τὸ ὄνομα, καὶ ἐλέγετο ἕως πρὸ ὀλίγου καιροῦ. πάντες οἱ εὐλαβέστατοι κληρικοὶ τῆς Κωνσταντινουπολιτῶν ἁγιωτάτης ἐκκλησίας εἶπον· καὶ ἡμεῖς τὰ αὐτὰ λέγομεν. ἐδέξατο γὰρ αὐτὸν, καὶ ἐκοινώνησεν αὐτῷ ὁ μακάριος Πρόκλος, καὶ ἐποίησε συνοδικὰ γράμματα, καὶ εἰς τὰ δίπτυχα αὐτὸν ἔταξεν.

* In ms. Pamelii, ἀνέγνων, ἀνέγνωμεν, ἀνέγνων.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· νῦν Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος λεγέτω, ὅπως ἐπίσταται Βασσιανὸν τὸν εὐλαβέστατον ἀποκινηθέντα τῆς ἐπισκοπῆς, καὶ εἰ αὐτὸς παρὰ τῆς συνόδου ἐχειροτονήθη. Στέφανος ὁ εὐλαβέστατος εἶπεν· ἀνηνέχθη παρὰ τῷ ἐπισκόπῳ τῆς Ἀλεξανδρέων πόλεως, τοῦ ἐν ἁγίοις Θεοδοσίου τοῦ βασιλέως γράψαντος ἐκεῖ· ἠνέχθη δὲ γράμματα καὶ παρὰ τοῦ μακαριωτάτου πάπα τοῦ ἐν Ῥώμῃ ἁγιωτάτου ἐπισκόπου, ὥστε τοῦτον μὴ δεῖν εἶναι ἐπίσκοπον· καὶ φανερά ἐστι τὰ γράμματα. κελεύσατε ἐλθεῖν τοὺς νοταρίους ἐπὶ τῷ φανερωθῆναι ποίῳ τρόπῳ ἀπεκινήθη, καὶ ποίῳ τρόπῳ ἐξεβλήθη, καὶ ποίῳ τρόπῳ ἐγὼ κατέστην. ἡμεῖς διὰ τὴν πίστιν ἤλθομεν. μὴ οὖν ᾔδειν, ὅτι τοῦτο εἶχεν ἀνακύψαι; ἅπαξ πέρας ἔλαβε τὸ πρᾶγμα. ἦλθεν ὁ σιλεντιάριος ἐκεῖ· τρεῖς μῆνας ἐποίησε διαγινώσκων μεταξὺ αὐτοῦ καὶ τῶν κληρικῶν· φανερά ἐστι τὰ ὁρισθέντα. Βασσιανὸς ὁ εὐλαβέστατος εἶπε· Στέφανος πρεσβύτερός μου ἦν· τέσσαρα ἔτη μετ' ἐμοῦ ἐλειτούργει, μετ' ἐμοῦ ἐκοινώνει· καὶ ἐκοινώνει παρ' ἐμοῦ, ὡς παρ' ἐπισκόπου. καὶ αὐτῇ τῇ ἡμέρᾳ, ᾗ ἐνέκλεισάν με, καὶ ταῦτα ἔπαθον, μὰ τὰς δυνάμεις τοῦ Θεοῦ, ὕδωρ ἐζήτησα, καὶ οὐκ ἔδωκαν μοι. ἐπὶ τρίμηνον εἶχόν με ἐγκατάκλειστον. οἱ δὲ παρ' ἐμοῦ ἐπίσκοποι χειροτονηθέντες, αὐτοὶ καὶ τοῦτον ἐχειροτόνησαν ἐπίσκοπον, ὄντος μου ἐγκατακλείστου. ἐὰν μὴ εἰμὶ ἐγὼ ἐπίσκοπος, οὐδὲ οἱ παρ' ἐμοῦ χειροτονηθέντες ὀφείλουσιν εἶναι ἐπίσκοποι, οὐδὲ οἱ κληρικοί.

ACTIO XI.

Ephesi, dicentes: Veni huc ut canonice ordinationem suscipiat civitas, quoniam obdormivit sanctæ memoriæ Basilius, qui fuit episcopus. Ego vero has litteras accipiens, adveni, credens quia & alii reverentissimi episcopi vocati essent. Ante tres autem dies quam ingressus essem ecclesiam, ut inthronizaretur, dum applicassem in quodam hospitio, sustinebam etiam reverentissimos episcopos, ut canonice secundum morem ordinatio proveniret. Ut ergo primam & secundam & tertiam sustinuissem diem in hospitio, & alter nullus Deo amicissimorum est inventus episcopus; tandem venientes quidam e reverendis clericis, dicunt mihi: Alii episcopi non sunt hic, quid facto est opus? Dicebam ego: Solus quid possum facere? Quoniam extra rationem canonum est, solum episcopum disponere ecclesiam, & maxime tantæ metropolis. Cum ergo hæc loquerer mecum, circumdedit mansionem, in qua eram, innumera multitudo: & nescivi ubi essem, & coram tanta potestate, & coram altari, quidam enudans gladium, Holosericus nomine, qui, puto, comitianus est, venit & ipse & omnis multitudo, & portantes me, profecti sunt in ecclesiam. Et ita cum ducentis aut trecentis hominibus & me & ipsum levaverunt ad sedem, & inthronizatio celebrata est. Usque ad hoc, quemadmodum factum est, novi. Bassianus reverentissimus episcopus dixit: Mentitus est: Gloriosissimi judices dixerunt: Si Proclus sanctæ memoriæ, qui fuit archiepiscopus regiæ Constantinopolis, suscepit Bassianum reverentissimum episcopum, & communicavit ei tamquam episcopo Ephesiorum metropolis, reverentissimus clerus sanctæ Constantinopolitanæ ecclesiæ nos edoceat. Theophilus reverentissimus presbyter Constantinopolis sanctæ ecclesiæ dixit: Ut coram Deo, & suscepit eum sanctæ memoriæ Proclus communicantem, & synodalibus litteris honorans dimisit eum ad Ephesum, & in diptychis posuit nomen ejus, & recitabatur usque ad modicum ab hinc tempus. Omnes reverentissimi clerici sanctæ Constantinopolitanæ ecclesiæ dixerunt: Et nos hæc ipsa dicimus. Suscepit enim eum, & communicavit ei beatæ memoriæ Proclus, & fecit synodicas litteras, & in diptychis eum posuit.

Gloriosissimi judices dixerunt: Nunc Stephanus reverentissimus episcopus dicat, quemadmodum novit Bassianum reverentissimum episcopum ab episcopatu remotum, & si ipse per synodum ordinatus est. Stephanus reverentissimus episcopus Ephesi dixit: Relatum est [a] episcopo Alexandrinæ civitatis, sanctissimæ memoriæ Theodosio principe scribente illuc: allatæ sunt etiam litteræ a beatissimo & sanctissimo papa Romano, quatenus istum esse non oporteret episcopum; & manifestæ sunt [b] litteræ. Jubete venire notarios, ut declaretur quomodo remotus est, & quomodo est ejectus, & quomodo ego sum ordinatus. Nos propter fidem venimus. Numquid ergo sciebam, quoniam hoc potuisset emergere? Semel finem accepit causa. Venit Silentiarius illuc, tres menses fecit cognoscens inter eum & clericos. Clarent ea quæ definita sunt. Bassianus reverentissimus dixit: Stephanus presbyter meus fuit: quatuor annis mecum missas celebrabat, mecum communicabat, & communicabatur mihi tamquam episcopo. Et ipsa die qua recluserunt me, simul communicavimus; & arripuit me, & inclusit me: & ista sum passus: per virtutes Dei, aquam quæsivi, & non mihi dederunt. Tribus mensibus habuerunt me clausum. Episcopi autem qui a me ordinati sunt, ipsi & hunc ordinaverunt episcopum, dum essem inclusus. Si non sum ego episcopus, neque illi qui a me sunt ordinati, esse debent episcopi, neque clerici.

[a] Corb. & Colb. ad episcopum.

[b] Non exstant.

Κασσιανὸς πρεσβύτερος, συνὼν Βασσιανῷ τῷ εὐλαβεστάτῳ, εἶπε· τῇ μέσῃ ἑβδομάδι κατειλήφασιν ἡμᾶς, καὶ εἰσήνεγκαν ἐν τῷ βαπτιστηρίῳ, Στέφανος ὁ εὐλαβέστατος ἐπί-

Cassianus presbyter, qui fuit cum Bassiano reverentissimo, dixit: Media hebdomada coëgerunt nos, & introduxerunt in baptisterio, Stephanus reverentissi-

mus episcopus, & Mæonius; & dederunt mihi Evangelium, & conjuraverunt me, & dixerunt: Veni, jura non discedere ab illo, sed vivere cum eo, & mori cum eo, & non tradere eum. Dixi: Hodie viginti quinque annis communico, Constantinopoli negotium agens: & Deus est qui novit, quia numquam juravi alicui: & nunc dum presbyter sum, cogitis me jurare? Qui sumentes Evangelium dederunt mihi, & juravi eis. Et quinta feria de sancto pascha tollentes, & ipsum incluserunt, & me ceciderunt, & debilem fecerunt calcibus. Et adduxerunt tres subdiaconos, & vespere tulerunt, & duxerunt me in domum meam, & posuerunt me semivivum, & phlebotomaverunt me. Ut ergo non pejerarem, hodie quatuor annos habeo errando & mendicando Constantinopoli, ut non pejerarem nomen Filii Dei. Lucianus reverentissimus episcopus Byziæ transiens in medium, dixit: Obstrinxerunt nos reliqui episcopi nobiscum residentes, ut unusquisque quod novit in veritate, & ad pietatem tendere, dicat. Et licet ex nobisipsis bonum esset hoc facere, veruntamen dicimus, quoniam quatuor annis operatus est in sede sine contentione, sine contradictione, & ordinavit decem episcopos, & clericos multos, & communicavit ei qui nunc est episcopus Stephanus, cum esset ejus presbyter, & omnes reliqui clerici. Et quomodo possibile est nunc Bassianum expelli præter consequentiam regularem, cum præcipue beatissimus Proclus regiæ Constantinopolis episcopus ei communicaverit, & per synodicas litteras firmaverit ejus episcopatum? Meliphthongus reverentissimus episcopus Heliopolis transiens in medium, dixit: Oportebat eum qui quatuor annis sine contentione episcopatum obtinuit, aut accusari, aut ita sine judicio non jactari. Et quoniam & ego conjuratus sum ab episcopis juxta me sedentibus, quatenus transiens in medium dicam ea quæ cunctos movent; tamquam os effectus reliquorum prope me residentium episcoporum, ex persona cunctorum hæc refero & sancto concilio & vestræ potestati, quæ Lucianus reverentissimus episcopus dixit. Stephanus reverentissimus episcopus dixit: Sanctissimus archiepiscopus Romanus Leo hunc damnavit, quoniam præter regulas factus est. Cecropius reverentissimus episcopus Sebastopolis dixit: Domne Stephane; cognosce quantum potest Flavianus beatæ memoriæ etiam post mortem. Reverentissimi episcopi & clerici Constantinopolitani clamaverunt: Veritas sic habet: omnes hæc ipsa dicimus. Flaviano æterna memoria: orthodoxi æterna memoria. Ecce ultio, ecce veritas. Flavianus post mortem vivit: martyr pro nobis oret. Flavianus post mortem fidem exposuit. Flavianus hic est: orthodoxus hic est. Multos annos Imperatori. Flavianus nobiscum judicat.

Gloriosissimi judices dixerunt: Omnibus examinatis de Bassiano & Stephano reverentissimis, relectis etiam canonibus, dicat sancta synodus, de episcopatu Ephesio quid eis videatur. Reverentissimi episcopi clamaverunt: Justitia Bassianum vocat: regulæ valeant. Gloriosissimi judices dixerunt: Nobis quidem videtur, neque Bassianum reverentissimum dignum existere ut sit Ephesiorum civitatis episcopus, quoniam ex invasione violenta episcopatum sibimet vindicavit; neque Stephanum reverentissimum episcopum, qui per conjurationes & tales adinventiones episcopatum sibimet acquisivit: Justum vero esse, ut eligatur alius, qui & fidem integre sciat, & vita noscatur ornatus, ut esse possit episcopus. Totum autem concilio sancto relinquimus, quatenus sententiam, quæ in hac causa fuerit visa, depromat. Sancta synodus clamavit: Hæc justa sententia est: hoc Dei judicium est: Christus judicavit causam: Deus per vos judicat: hæc sententia Christi est. Canones & leges vos custoditis. Multos annos Imperatoribus, multos annos judicibus, multos annos concilio.

A σκοπος, καὶ Μαιόνιος· καὶ ἐπέδωκάν μοι τὸ εὐαγγέλιον, καὶ ὥρκωσάν με, καὶ λέγουσί μοι· δεῦρο, ὄμοσον μὴ ἀναχωρῆσαι ἐξ αὐτοῦ, ἀλλὰ ζῆν μετ' αὐτοῦ, καὶ ἀποθανεῖν μετ' αὐτοῦ, καὶ μὴ προδοῦναι αὐτόν. λέγω· σήμερον εἰκοσιπέντε ἔτη εἰμὶ [a] κοινωνός, εἰς Κωνσταντινούπολιν πραγματευόμενος· καὶ Θεός ἐστιν ὁ εἰδώς, οὐδέποτε ὤμοσά τινι· καὶ νῦν πρεσβυτέρου μου ὄντος, καταναγκάζετέ με ὀμόσαι; λαβόντες τὸ ἅγιον εὐαγγέλιον, ἔδωκάν μοι, καὶ ὤμοσα αὐτοῖς· καὶ τῇ πέμπτῃ τοῦ ἁγίου πάσχα λαβόντες, καὶ αὐτὸν ἀπέκλεισαν, καὶ ἐμὲ ἐκρότησαν, καὶ ἀσθενῆ με ἐποίησαν διὰ λακτισμάτων· καὶ ἤνεγκαν τρεῖς ὑποδιακόνους, καὶ ὀψὲ ἦραν, καὶ ἀπήνεγκάν με ἐν τῷ οἴκῳ μου, καὶ ἔθηκαν ἡμιθανῆ, καὶ ἐφλεβοτόμησάν με. ἵνα οὖν μὴ ἐπιορκήσω, σήμερον [b] τεσσαράκοντα ἔτη πλαζόμενος ἐπαιτῶ ἐν Κωνσταντινουπόλει, ἵνα μὴ B ἐπιορκήσω τὸ ὄνομα τοῦ υἱοῦ Θεοῦ. Λουκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Βύζης παρελθὼν ἐν τῷ μέσῳ, εἶπεν· ἐνεφίμωσαν ἡμᾶς οἱ λοιποὶ ἐπίσκοποι οἱ μεθ' ἡμῶν καθεζόμενοι, ὥστε ἕκαστον, ὃ οἶδεν ἀληθῶς καὶ πρὸς εὐσέβειαν συντεῖνον, εἰπεῖν. καὶ εἰ καὶ ἐξ αὐτῶν καλὸν ἦν ἡμᾶς τοῦτο ποιῆσαι, πλὴν λέγομεν· ὅτι τετραετίαν ἐνήργησεν ἐν τῷ θρόνῳ ἀμάχως, δίχα ἀντιῤῥήσεως, καὶ ἐχειροτόνησε δέκα ἐπισκόπους καὶ κληρικοὺς πολλούς, καὶ ἐκοινώνησεν αὐτῷ αὐτὸς ὁ νῦν ἐπίσκοπος Στέφανος, πρεσβύτερος αὐτοῦ ὤν, καὶ πάντες οἱ λοιποὶ κληρικοί. καὶ πῶς οἷόν τέ ἐστι νῦν Βασσιανὸν ἐξωθεῖσθαι παρὰ τὴν τῶν κανόνων ἀκολουθίαν, τῷ καὶ μάλιστα τὸν μακαριώτατον Πρόκλον τὸν τῆς βασιλευούσης ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως κεκοινωνηκέναι αὐτῷ, καὶ διὰ συνοδικῶν γραμμάτων βεβαιῶσαι τὴν τούτου ἐπισκοπήν; Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος C [c] Ἰλιουπόλεως παρελθὼν εἰς τὸ μέσον, εἶπεν· ἐχρῆν τὸν τετραετῆ χρόνον κατεσχηκότα τὴν ἐπισκοπὴν ἀμάχως, ἢ μεμφθῆναι, ἢ οὕτως ἀκρίτως μὴ ῥιφθῆναι. καὶ ἐπειδὴ κατηναγκάσθην παρὰ τῶν ἐγγὺς καθεζομένων κἀμοῦ ἐπισκόπων, ὥστε με παρελθόντα εἰπεῖν τὰ κινοῦντα πάντας, οἷα στόμα γενόμενος τῶν ἐγγύς μου λοιπῶν ὄντων ἐπισκόπων, ἐκ προσώπου πάντων ταῦτα ἀναφέρω τῇ τε ἁγίᾳ συνόδῳ καὶ τῇ ὑμετέρᾳ ἐξουσίᾳ, ἅπερ Λουκιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε. Στέφανος ὁ εὐλαβέστατος εἶπεν· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων ὁ Ῥώμης τοῦτον καθεῖλεν, ἐπειδὴ παρὰ κανόνας ἐγένετο. Κεκρόπιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβαστουπόλεως εἶπε· κύριε Στέφανε, πόσα δύναται Φλαβιανὸς καὶ ὁ μακάριος, καὶ μετὰ θάνατον; πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι καὶ οἱ κληρικοὶ Κωνσταντινουπόλεως εἶπον· ἡ ἀλήθεια D οὕτως ἔχει· πάντες τὰ αὐτὰ λέγομεν. Φλαβιανοῦ αἰωνία ἡ μνήμη· τοῦ ὀρθοδόξου αἰωνία ἡ μνήμη. ἰδοὺ ἐκδίκησις, ἰδοὺ ἀλήθεια. Φλαβιανὸς μετὰ θάνατον ζῇ. ὁ μάρτυς ὑπὲρ ἡμῶν εὔξεται. Φλαβιανὸς μετὰ θάνατον τὴν πίστιν ἐξέθετο. Φλαβιανὸς ὧδέ ἐστιν· ὁ ὀρθόδοξος ὧδέ ἐστιν. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. Φλαβιανὸς ἡμῖν συνδικάζει.

Οἱ [d] ὀρθοδοξότατοι ἄρχοντες εἶπον· πάντων ἐξετασθέντων περὶ τῶν ἐπὶ Βασσιανῷ καὶ Στεφάνῳ τοῖς εὐλαβεστάτοις πεπραγμένων, ἀναγνωσθέντων δὲ καὶ τῶν κανόνων, λεγέτω ἡ ἁγία σύνοδος αὐτῆς περὶ τῆς κατ' Ἔφεσον ἐπισκοπῆς, τί αὐτῇ παρίσταται. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· τὸ δίκαιον Βασσιανὸν καλεῖ· οἱ κανόνες κρατείτωσαν. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἡμῖν μὲν φαίνεται οὔτε Βασσιανὸς ὁ εὐλαβέστατος ἄξιος E ἂν ἐπίσκοπος εἶναι τῆς Ἐφεσίων πόλεως, ἐπειδήπερ ἐξ ἐφόδου βιαίας ἑαυτῷ ταύτην ἐξεδίκησεν· οὔτε Στέφανος ὁ εὐλαβέστατος, ἐκ συνωμοσιῶν καὶ τοιαύτης περινοίας τὴν ἐπισκοπὴν ἑαυτῷ περιποιήσας· δίκαιον δὲ εἶναι ἐπιλεχθῆναι ἕτερον, τήν τε πίστιν ἀκριβῶς ἐπιστάμενον, καὶ βίῳ κεκοσμημένον, τὸν ἐπίσκοπον εἶναι ὀφείλοντα. τὸ πᾶν δὲ τῇ ἁγιωτάτῃ συνόδῳ καταλιμπάνομεν, ὥστε δοκιμάσαι τὸ παριστάμενον αὐτῇ τούτων ἐπὶ τῷ πράγματι. ἡ ἁγία σύνοδος ἐβόησεν· αὕτη δικαία κρίσις· αὕτη Θεοῦ κρίσις· ὁ Χριστὸς ἐδίκασε τῇ ὑποθέσει· ὁ Θεὸς δι' ὑμῶν δικάζει· αὕτη ἡ ἀπόφασις τοῦ Θεοῦ ἐστι. τοὺς κανόνας καὶ τοὺς νόμους ὑμεῖς φυλάττετε· πολλὰ τὰ ἔτη τῶν βασιλέων· πολλὰ τὰ ἔτη τῶν ἀρχόντων· πολλὰ τὰ ἔτη τῆς συνόδου.

[a] Forte, κοινωνῶ.

[b] Forte, τέσσαρα ex Latino.

[c] Forte, Ἡλιουπόλεως ex Latino.

[d] Forte, ἐνδοξότατοι.

ANNO CHRISTI 451.

ACTIO XI.

Πασκασῖνος καὶ Λουκήνσιος οἱ εὐλαβέστατοι ἐπίσκοποι, ἐπέχοντες τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, εἶπον· δῆλα τὰ παρὰ πάσης τῆς συνόδου λεχθέντα. τί περὶ τούτου τοῦ πράγματος ἢ τῶν προσώπων δοκεῖ, καὶ ἡμῶν καὶ τούτων ἐστὶ τὴν ἀπόφασιν βεβαιῶσαι. Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, εἶπε· τοὺς ἀθέσμως ἑαυτοὺς ἁρμόσαντας τῇ τοῦ Χριστοῦ νύμφῃ, τῇ κατ' Ἔφεσόν φημι ἁγιωτάτῃ ἐκκλησίᾳ, τούτους εἰκότως οἱ νόμοι ἑαυτῆς ἀπέβαλε. Ἠρεμείτω οὖν, ὅ, τε ἐπιπηδήσας τῷ θρόνῳ Βασσιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος, καὶ ὁ μετ' ἐκεῖνον ἑαυτὸν ἐπιβαλὼν ἀτάκτως Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος, τὴν ἡσυχίαν ἀγέτωσαν, πεπαυμένοι τῆς κατ' ἐκείνην τὴν ἐκκλησίαν ἐνεργείας. δοθήσεται δὲ τῇ Ἐφεσίων μητροπόλει ἐπίσκοπος, ὁ παρὰ Θεοῦ ἀναδεδειγμένος, καὶ παρὰ πάντων τῶν μελλόντων ποιμαίνεσθαι ψηφιζόμενος, εἰς τὴν τῆς ἐκκλησίας τῆς ἐκεῖ χειροτονίαν, ὀρθοτομῶν τὸν λόγον τῆς ἀληθείας· τῶν μνημονευθέντων δηλονότι ἐχόντων μόνον τὴν ἀξίαν τῆς ἐπισκοπῆς, καὶ τὴν κοινωνίαν, καὶ παραμυθίας τῆς προσηκούσης ἀπὸ ταύτης τῆς ἁγιωτάτης ἐκκλησίας ἀξιουμένων.

Ἡ ἁγία σύνοδος εἶπεν· αὕτη δικαία ψῆφος, αὕτη δικαία κρίσις.

Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· ἡ ἔφοδος τοῦ εὐλαβεστάτου Βασσιανοῦ ἀνατροπὴν ἔχει τῶν κανόνων, καὶ ἡ ἀτάκτως γενομένη ἐπὶ Στεφάνῳ χειροτονία. ὅθεν, εἰ δοκεῖ, ἀμφοτέρους μὲν σχολάζειν τῆς ἐπισκοπῆς τῆς Ἐφεσίων μητροπόλεως, χειροτονηθῆναι δὲ κανονικὸν ἐπίσκοπον τῇ προειρημένῃ μητροπόλει, βίῳ καὶ πίστει κεκοσμημένον. οἱ τῆς Ἀσίας εὐλαβέστατοι προσπεσόντες τῇ ἁγιωτάτῃ συνόδῳ τῶν πατέρων, εἶπον· ἐλεήσατε ἡμᾶς. ἡμεῖς παρακαλοῦμεν τὴν ἁγίαν σύνοδον, ὥστε κατελεῆσαι τὰ παιδία ἡμῶν. μὴ δι' ἡμᾶς καὶ τὰς ἁμαρτίας ἡμῶν ἀποθάνῃ· ὥστε φιλανθρωπίας δοθῆναι τούτοις, καὶ δοθῆναι ἡμῖν κἂν Βασσιανὸν εἰς κοινοῦ ἀναίρεσιν· ἐπεὶ, εἴ τις ὧδε χειροτονηθείη, καὶ τὰ παιδία ἡμῶν ἀποθνήσκει, καὶ ἡ πόλις ἀπόλλυται. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐπειδὴ κατὰ τὰς φωνὰς τῆς ἁγίας συνόδου οὔτε Βασσιανὸς, οὔτε Στέφανος, οἱ εὐλαβέστατοι, ἄξιοί εἰσιν ἐπίσκοποι εἶναι τῆς Ἐφεσίων πόλεως, οἱ δὲ τῆς Ἀσιανῆς ἐπίσκοποι οἱ ἐνταῦθα εὑρεθέντες φασὶν, εἰ ἐνταῦθα χειροτονηθείη ἕτερος ἐπίσκοπος, ἐν θορύβῳ γίνεσθαι τὴν Ἐφεσίων πόλιν· λεγέτω ἡ ἁγία σύνοδος, ποῦ βούλονται οἱ κανόνες τὸν τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας χειροτονηθῆναι ἐπίσκοπον. οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· ἐν τῇ ἐπαρχίᾳ. Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπε· τὸ ἔθος ὧδε ἔχει. εἰ ἐγένετο ἀπὸ Κωνσταντινουπόλεως ἐπίσκοπος, οὐκ εἶχε ταῦτα γίνεσθαι. ἐκεῖ σαλγαμαρίους χειροτονοῦσι, καὶ διὰ τοῦτο ἀνατροπὴ γίνεται. Λεόντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Μαγνησίας εἶπεν· ἀπὸ τοῦ ἁγίου Τιμοθέου μέχρι νῦν εἰκοσιεπτὰ ἐπίσκοποι ἐγένοντο, πάντες ἐν Ἐφέσῳ ἐχειροτονήθησαν. μόνος Βασίλειος κατὰ βίαν ὧδε ἐγένετο, καὶ σφαγαὶ ἐγένοντο. Φίλιππος ὁ εὐλαβέστατος πρεσβύτερος τῆς κατὰ Κωνσταντινούπολιν ἁγίας μεγάλης ἐκκλησίας εἶπεν· ὁ ἐν ἁγίοις Ἰωάννης ἐπίσκοπος Κωνσταντινουπόλεως δεκαπέντε ἐπισκόπους καθεῖλεν, ἀπελθὼν ἐν Ἀσίᾳ, καὶ ἐχειροτόνησεν ἄλλους ἀντ' αὐτῶν· καὶ Μέμνων ὧδε ἐβεβαιώθη. Ἀέτιος ἀρχιδιάκονος τῆς Κωνσταντινουπόλεως εἶπε· καὶ Κάστινος ὧδε ἐχειροτονήθη Ἡρακλείδης, καὶ ἄλλοι μετὰ γνώμης τοῦ ὧδε ἀρχιεπισκόπου ἐχειροτονήθησαν· καὶ Βασίλειον ὁμοίως ὁ μακάριος Πρόκλος ἐχειροτόνησε· καὶ ὁ μακάριος Θεοδόσιος ὁ βασιλεὺς [a] συνήργησε τῇ τοιαύτῃ χειροτονίᾳ, καὶ ὁ μακάριος Κύριλλος ὁ ἐπίσκοπος Ἀλεξανδρείας. οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· οἱ κανόνες κρατείτωσαν. ταῖς φωναῖς τῷ βασιλεῖ. οἱ κληρικοὶ Κωνσταντινουπόλεως ἐβόησαν· τὰ τῶν πατέρων τῶν ρν΄. κρατείτω. τὰ προνόμια Κωνσταντινουπόλεως μὴ ἀπόληται. ἡ χειροτονία κατὰ τὸ ἔθος ὑπὸ τοῦ ὧδε ἀρχιεπισκόπου γινέσθω. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· συνορῶμεν ὅτι ἐπισκέψεως δεῖται ἡ ἁγία σύνοδος περὶ τῆς χειροτονίας τῆς κατ' Ἔφεσον ἐπισκοπῆς. ὅθεν, εἰ δοκεῖ, τῇ ἑξῆς τοῦτο τελειοτέρως τυπωθήσεται. [b]

[a] *Forte,* συνηγόρει

[b] *In mss.* Ρωμαιστὶ, αἰνῶν, αἰνοῦμεν, αἰνοῦ.

Paschasinus & Lucentius reverentissimi episcopi, obtinentes locum Apostolicæ sedis veteris Romæ, dixerunt: Clarent quæ ab universo concilio dicta sunt; quid de hac causa sive de personis videatur, & nostrum & horum est confirmare sententiam. Anatolius reverentissimus archiepiscopus Constantinopolis novæ Romæ dixit: Eos qui se contra legem sponsæ Christi sanctissimæ Ephesinæ ecclesiæ conjunxerunt, hos decenter legibus suis expellit. Igitur & qui insilivit sedi Bassianus reverentissimus episcopus, & qui post illum inordinate semetipsum immisit Stephanus reverentissimus episcopus, quietem habeant, cessantes ab operatione ejusdem ecclesiæ. Dabitur autem Ephesiorum metropoli episcopus a Deo monstratus, & ab omnibus qui pascendi sunt, eligendus ad ordinationem illius episcopatus, qui & recte prædicet verbum veritatis: memoratis scilicet dignitatem tantummodo episcopatus habentibus & communionem, necessariaque salaria, quæ a sanctissima hac consequentur ecclesia.

Sancta synodus exclamavit: Hæc justa sententia, hoc justum judicium est.

Eusebius reverentissimus episcopus Dorylæi dixit: Invasio reverentissimi Bassiani eversionem habet regularum, & extra regulas etiam inordinate facta ordinatio in Stephano. Unde, si videtur, ambo debent Ephesiorum metropolis episcopatu vacare. Ordinari autem regulariter debet episcopus prædictæ metropoli, vita & fide compositus. Asiani reverentissimi episcopi prostrati ante sanctissimam synodum patrum dixerunt: Miseremini nostri; nos supplicamus sancto concilio, ut misereatur filiorum nostrorum, ne forte propter nos & propter peccata nostra moriantur, ut nobis clementia condonetur: nam si Bassiano successorem suadeat aliquis hic ordinari, & filii nostri moriuntur, & civitas deperit. Gloriosissimi judices dixerunt: Quoniam secundum voces sancti concilii neque Bassianus, neque Stephanus reverentissimi, digni sunt qui in Ephesiorum civitate sint episcopi, Asiani autem episcopi hic reperti dicunt: Si hic ordinetur alter episcopus, Ephesiorum conturbari civitatem: dicat sancta synodus, ubi volunt canones episcopum Ephesinæ sanctissimæ ecclesiæ ordinari. Reverentissimi episcopi clamaverunt: In provincia. Diogenes reverentissimus episcopus Cyzici dixit: Consuetudo [a] hic habet; si factus fuisset a Constantinopolitano episcopo, [b] non habuerunt hæc agi. Ibi enim salgamarios ordinant, & propterea [c] eversio fit. Leontius reverentissimus episcopus Magnesiæ dixit: A sancto Timotheo usque nunc viginti septem episcopi facti, omnes in Epheso sunt ordinati. Solus Basilius violenter hic factus est, & multæ cædes hinc ortæ sunt. Philippus reverentissimus presbyter Constantinopolitanæ sanctissimæ magnæ ecclesiæ dixit: Sanctæ memoriæ Joannes episcopus Constantinopolitanus [d] quindecim episcopos deposuit, profectus in Asiam, & pro eis alios ordinavit, & Memnon [e] hic ordinatus est. Aëtius archidiaconus Constantinopolis dixit: Et Castinus hic ordinatus est, Heraclides, & alii cum voluntate nostræ urbis archiepiscopi ordinati sunt. Basilium similiter beatæ memoriæ Proclus ordinavit, & beatæ memoriæ quidem Theodosius Imperator hujuscemodi ordinationi cooperatus est, & beatæ memoriæ Cyrillus Alexandrinus episcopus. Reverentissimi episcopi clamaverunt: Canones obtineant. [f] Voces Imperatori. Clerici Constantinopolitanæ ecclesiæ clamaverunt: Ea quæ sanctorum patrum centum quinquaginta sunt, teneant: privilegia Constantinopolis non depereant. Ordinatio secundum morem ab archiepiscopo nostro fiat. Gloriosissimi judices dixerunt: Perspicimus quia hic deliberatione opus habet sanctum concilium, de ordinatione episcopatus Ephesinæ ecclesiæ. Unde, si videtur, cras hoc perfectius disponatur.

[a] *hoc est, ut Constantinopoli ordinetur.*

[b] *hoc est, non ista accidissent.*

[c] *Paris. & Div. mutatio.*

[d] *Sex tantum, si fides Palladio.*

[e] *al. confirmatus est.*

[f] *Hæc in nullis mss. leguntur, nisi quæ in vet. edit.*

In cod. Boh. contuli die altero a Kalendis Aprilis.

Apud Evagrium, & in ms. cod. Parif. actio hæc tertiadecima est.

ACTIO DUODECIMA Chalcedonensis Concilii.

SImiliter tertio Kalendarum Novembrium, eodem Consulatu, in eadem sanctissima ecclesia residentibus suprascriptis magnificentissimis & gloriosissimis judicibus, & eodem sancto & generali concilio, gloriosissimi judices dixerunt: Solicitudo necessaria reipublicæ negligitur, nobis propter fidem in sancto concilio continuo occupari a divino apice jussis. Quia ergo multum nos a necessariis reipublicæ causis abduci non est possibile, velocem quæstionibus solutionem imponere festinantes, primo ordine dicere sanctam synodum petimus, si quid majus deliberavit de sanctissima Ephesiorum ecclesia, utrum alium ei episcopum oporteat ordinari, an certe Bassianum reverentissimum episcopum recipere episcopatum, an Stephanum reverentissimum episcopum esse. Omnia enim quæ ad eos pertinent, sicut novit eadem sancta synodus, hesterno die sufficienter examinata noscuntur.

Anatolius reverentissimus archiepiscopus Constantinopolitanus dixit: Mihi placet, si etiam sancto concilio videtur, neutrum horum illius esse civitatis episcopum, sed alium debere ordinari, eo quod præter canones sibimet episcopatum usurparunt: habere autem eos & a sancta pascendos ecclesia.

Paschasinus reverentissimus episcopus, obtinens locum Apostolicæ sedis, dixit: Bassianus vel Stephanus episcopi, sicut cognitio manifestavit, non bono ordine uterque Ephesiorum ecclesiam detinuisse noscuntur. Hac ergo gratia, si omnis sanctissima synodus consentit, his remotis, alter regulariter ordinetur.

Lucensius reverentissimus episcopus, obtinens locum Apostolicæ sedis, dixit: Non est canonicum ambos esse.

Rusticus admonet hoc loco Bonifacium presb. non apparere.

Julianus reverentissimus Coënsium civitatis episcopus, & ipse vicarius cum Romanis Apostolicæ sedis, dixit: Non: debent ambo projici.

Gloriosissimi judices dixerunt: Quoniam sæpe nobis interloquentibus, & poscentibus proferri sententiam de episcopatu sanctæ ecclesiæ in Epheso constitutæ, perfecta responsio ab omnibus non est data, venerabile & immaculatum Evangelium in medio proferatur. Et allato sanctissimo Evangelio in medio, gloriosissimi judices dixerunt: Similem petitionem sanctæ synodo rursus offerimus, propositis sanctis Evangeliis, adhortantes vos, neque duorum quemquam lædere, si forte quisquam eorum dignus est, ut in memorata sanctissima ecclesia episcopatum debeat obtinere; sive si uterque indignus est, declarare. Unde secundum Deum, & secundum quod dignum est atque decens ac utile sanctæ ecclesiæ, quæ justa sunt decernite.

Anatolius reverentissimus episcopus Constantinopolitanus dixit: Et dudum dixi: mihi videtur, si etiam sanctissimo concilio placet, ut neuter eorum sit Ephesiorum civitatis episcopus, sed alius ex electione omnium qui pascendi sunt, ordinetur ad gubernandum episcopatum, eo quod ambo præter regulas sibimet episcopatum usurpaverint: habere autem eos & dignitatem episcopi, & communionem, & ab ecclesia esse pascendos.

Paschasinus reverentissimus episcopus, obtinens locum sedis Apostolicæ, dixit: Hæc ipsa quæ semel disposui, & in præsenti dispono de memoratis, quorum uterque nullo ordine Ephesiorum suscepit ecclesiam: & propterea si consentit omnis synodus, debet, his remotis, alter secundum canonum statuta decerni.

ΠΡΑΞΙΣ ΔΩΔΕΚΑΤΗ τῆς ἐν Καλχηδόνι ἁγίας συνόδου.

Ὁμοίως τῇ πρὸ τριῶν καλανδῶν Νοεμβρίων, ὑπατείᾳ τῇ αὐτῇ, ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ προκαθεζομένων τῶν προγεγραμμένων μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων, καὶ τῆς αὐτῆς ἁγιωτάτης καὶ οἰκουμενικῆς συνόδου, οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἡ τῶν δημοσίων φροντὶς ἀναγκαία τυγχάνουσα τὰ πλεῖστα ῥᾳθυμεῖται, ἡμῶν διὰ τὴν πίστιν τῇ ἁγίᾳ συνόδῳ συνεχῶς οὕτω προσεδρεύειν ὑπὸ τῆς θείας κορυφῆς προσταχθέντων· ἐπειδὴ δὲ ἐπὶ πολὺ τῶν ἀναγκαίων τῇ πολιτείᾳ πραγμάτων ἀφέλκεσθαι ἡμᾶς οὐ δυνατὸν, ταχεῖαν ἐπὶ τοῖς ζητήμασι λύσιν ἐπιτεθῆναι σπουδάζοντες, ἐν πρώτῃ τάξει λέγειν τὴν ἁγίαν σύνοδον ἐξαιτοῦμεν, εἴ τι πλέον ἐβουλεύσατο περὶ τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας, πότερον χρὴ χειροτονηθῆναι ἕτερον αὐτῇ ἐπίσκοπον, ἢ Βασσιανὸν τὸν εὐλαβέστατον ἀναλαβεῖν τὴν ἐπισκοπὴν, ἢ Στέφανον τὸν εὐλαβέστατον ἐπίσκοπον εἶναι. πάντα γὰρ τὰ κατ' αὐτοὺς, ὡς ἐπίσταται ἡ αὐτὴ ἁγία σύνοδος, τῇ χθὲς ἡμέρᾳ ἱκανῶς ἐξητάσθη.

Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· ἐμοὶ ἀρέσκει, εἰ καὶ τῇ ἁγίᾳ συνόδῳ παρίσταται, μηδέτερον αὐτῶν τῆς πόλεως ἐκείνης εἶναι ἐπίσκοπον, ἀλλ' ἕτερον χειροτονηθῆναι, διὰ τὸ τούτους παρὰ κανόνας ἑαυτοῖς τὴν ἐπισκοπὴν ἁρπάσαι· ἐχόντων αὐτῶν δηλονότι τὴν τοῦ ἐπισκόπου ἀξίαν, καὶ ἀπὸ τῆς ἐκκλησίας ἀποτρεφομένων.

Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπέχων τὸν θρόνον τῆς ἀποστολικῆς καθέδρας, εἶπε· Βασσιανὸς ἢ Στέφανος ἐπίσκοποι, καθὼς ἡ [a] διάγνωσις ἐφανέρωσεν, οὐκ ἀγαθῇ τάξει ἀμφότεροι τὴν Ἐφεσίων κεκρατηκέναι γινώσκονται ἐκκλησίαν. τούτου οὖν χάριν [b] ἡ πᾶσα ἁγιωτάτη σύνοδος συναινεῖ, τούτων ἀποκινηθέντων, [c] ἄλλος κατὰ κανόνας ψηφισθῆναι.

Λουκένσιος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου, εἶπε· κανονικὸν οὐκ ἔστιν ἀμφοτέρους κρατεῖν.

Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κῶ, τοποτηρητὴς καὶ αὐτὸς ἅμα τοῖς Ῥωμαίοις τοῦ ἀποστολικοῦ θρόνου, εἶπεν· οὐκ, ὀφείλουσιν οἱ δύο ῥιφῆναι.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐπειδὴ πολλάκις ἡμῶν διαλαλησάντων, καὶ ἐξαιτησάντων ψῆφον ἐξενεχθῆναι περὶ τῆς ἐπισκοπῆς τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας, τελεία ἀπόκρισις παρὰ πάντων οὐκ ἐδόθη, τὸ σεπτὸν καὶ ἄχραντον εὐαγγέλιον μέσον κομιζέσθω. καὶ ἐνεχθέντος τοῦ ἁγίου εὐαγγελίου, οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὴν ὁμοίαν αἴτησιν προσφέρομεν τῇ ἁγίᾳ συνόδῳ, προκειμένων τῶν σεβασμίων εὐαγγελίων, προτρέποντες αὐτὴν, μήτε τῶν δύο τινὰ βλάψαι, εἴ γε ἄξιός ἐστί τις αὐτῶν τῆς ἐπισκοπῆς ἀντέχεσθαι, μήτε τὴν μνημονευθεῖσαν ἐκκλησίαν, εἴ γε ἑκάτερος ἀνάξιός ἐστιν· ἀλλὰ κατὰ Θεὸν, καὶ κατὰ τὸ ἄξιον, καὶ πρέπον, καὶ συμφέρον τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, τὰ δίκαια ψηφίσασθαι. [d]

Ἀνατόλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπε· καὶ ἤδη εἶπον· ἐμοὶ παρίσταται, εἰ καὶ τῇ ἁγίᾳ συνόδῳ δοκεῖ, ὥστε μηδένα αὐτῶν τῆς Ἐφεσίων πόλεως εἶναι ἐπίσκοπον, ἀλλ' ἕτερον, ἐξ ἐπιλογῆς πάντων τῶν μελλόντων ποιμαίνεσθαι ψηφιζόμενον, διοικεῖν τὴν ἐπισκοπὴν ἁρπάσαι· ἔχειν δὲ αὐτοὺς καὶ τὴν ἀξίαν τοῦ ἐπισκόπου, καὶ τὴν κοινωνίαν, καὶ ἀποτρέφεσθαι ἀπὸ τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας.

Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, εἶπε· τὰ αὐτὰ, ἅπερ ἅπαξ κατεθέμην, καὶ ἐπὶ τοῦ παρόντος τυπῶ. τῶν μνημονευθέντων ἑκάτερος τὴν Ἐφεσίων ἀτάκτως ἐκκλησίαν κατείληφε· καὶ διὰ τοῦτο πᾶσα ἡ σύνοδος συναινεῖν ὀφείλει, τούτων ἀποκινηθέντων, ἄλλον κατὰ τοὺς κανόνας ψηφισθῆναι.

[a] *Forte*, διάγνωσις.
[b] *Forte*, εἰ *ex Lat.*
[c] *Forte*, ἄλλον, *ex Lat.*
[d] *In ms. Parisiensi*, ἀναγνωσθέντων, ἀνεγνώσθη, ἀνέγνω.

Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Συρίας εἶπε· παρὰ κανόνας ἀμφότεροι ἀπὸ τῆς χθὲς ἐξετασθείσης τὴν ἐπισκοπὴν κατέχον. τίς δὲ αὐτῶν ἄξιός ἐστι μεῖναι ἐν τῇ πόλει κατὰ φιλανθρωπίαν, τῶν τῆς ἐπαρχίας ἐστὶ θεοφιλεστάτων ἐπισκόπων εἰπεῖν.

Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· εἰ συνορᾷ ἡ ἁγία σύνοδος, τρέφεσθαι αὐτοὺς ἀπὸ τῆς ἐκκλησίας τῆς Ἐφεσίων, ἕτερον δὲ χειροτονηθῆναι κανονικῶς.

Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· συντίθεμαι τοῖς διαλαληθεῖσι παρὰ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων πατέρων.

Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας εἶπε· τοῖς ἀποφηναμένοις πατράσι συναινῶ.

Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Κῶ, καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου, εἶπε· κατὰ μὲν κανόνας οὐδεὶς ὀφείλει εἶναι· κατὰ δὲ φιλανθρωπίαν, ἡ σύνοδος Ἀσιανὴ ἐπιλέξεται, τίς ὀφείλει εἶναι.

Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπε· πίστευσον, παρὰ κανόνας οἱ δύο ἐγένοντο.

Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπε· τὰ κατὰ αὐτοὺς πλέον ἴσασιν οἱ τῆς ἐπαρχίας θεοφιλέστατοι ἐπίσκοποι. ὥστε λεγέτωσαν ἐκεῖνοι κατὰ τὴν προσοῦσαν αὐτοῖς εὐλάβειαν εἰς τὸν φόβον τοῦ Θεοῦ, τίνα προσήκει κρατεῖν τὴν Ἐφεσίων, διὰ τὸ μὴ στασιασθῆναι τὴν πόλιν.

Ῥωμανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Μύρων τῆς Λυκίας εἶπε· συντίθεμαι τοῖς παρὰ τῶν ἁγίων πατέρων τυπωθεῖσι.

Εὐνόμιος ὁ εὐλαβέστατος * Νικομηδείας εἶπε· κἀγὼ συναινῶ τοῖς τυπωθεῖσι παρὰ τῶν πρὸ ἐμοῦ ἁγιωτάτων ἐπισκόπων.

* Forte deest ἐπίσκοπος

Μαρινιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Συνάδων εἶπε· κανονικῶς οὐδὲ εἷς αὐτῶν ὀφείλει εἶναι.

Ἐλευθέριος ὁ εὐλαβέστατος ἐπίσκοπος Καλχηδόνος εἶπεν· ἐδίδαξεν ἡμᾶς ἡ διάγνωσις ἡ κατὰ τοὺς ἐπισκόπους, ὅτι οὐδὲ εἷς αὐτῶν κανονικῶς κατέσχε τὴν ἐπισκοπὴν τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀρέσκει τῇ ἁγίᾳ συνόδῳ ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀνατολίου, καὶ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Πασχασίνου ἐπέχοντος τὸν τόπον τοῦ Ῥώμης ἀποστολικοῦ θρόνου, ἡ λέγουσα, τοὺς μὲν δύο ὀφείλειν ἀποκινηθῆναι, ὡς παρὰ κανόνας γενομένους, ἕτερον δὲ χειροτονηθῆναι· τοὺς δὲ προειρημένους, ἔχοντας τὴν τοῦ ἐπισκόπου ἀξίαν, ἀπὸ τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας ἀποτρέφεσθαι.

Ἡ ἁγία σύνοδος ἐβόησεν· αὕτη εὐσεβὴς διαλαλιά· αὕτη κατὰ κανόνας ἐστί.

Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπε· τῶν ἄλλων αὕτη βελτίων ἐστί. πάντες ἐβόησαν· αὕτη δικαία κρίσις· αὕτη πᾶσιν ἀρέσκει· οἱ δύο παρὰ κανόνας ἐγένοντο· τὰ τῶν κανόνων ἐπ' αὐτοῖς κρατείτω.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐπειδὴ πᾶσιν ἀρέσκει ἡ διαλαλιὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς βασιλευούσης Κωνσταντινουπόλεως Ἀνατολίου, καὶ τοῦ εὐλαβεστάτου ἐπισκόπου Πασχασίνου ἐπέχοντος τὸν τόπον Λέοντος τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης, παρακελευομένη, διὰ τὸ ἀμφοτέρους ἀκανονίστως γεγονέναι, μηδέτερον αὐτῶν χρηματίσαι, μήτε μὴν ἡγεῖσθαι τῆς κατ' Ἔφεσον ἁγιωτάτης ἐκκλησίας· καὶ πᾶσα δὲ ἡ ἁγία σύνοδος ἀκανονίστως τούτους κεχειροτονῆσθαι ἐδίδαξε, καὶ ταῖς διαλαλιαῖς τῶν εὐλαβεστάτων ἐπισκόπων συνῄνεσεν· ἀποκινηθήσονται μὲν τῆς κατ' Ἔφεσον ἁγίας ἐκκλησίας Βασσιανὸς καὶ Στέφανος οἱ εὐλαβέστατοι, ἕξουσι δὲ τὴν ἀξίαν τοῦ ἐπισκόπου, καὶ ἀπὸ τῶν προσόδων τῆς μνημονευθείσης ἁγιωτάτης ἐκκλησίας, τροφῆς ἕνεκα καὶ παραμυθίας, καθ' ἕκαστον ἐνιαυτὸν ἀνὰ διακοσίους χρυσίνους λαμβανέτωσαν· ἕτερος δὲ χειροτονηθήσεται κατὰ τοὺς κανόνας τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐπίσκοπος.

Maximus reverentissimus Antiochiæ Syriæ dixit: Absque regulis ambo, ex his quæ heri cognita sunt, episcopatum obtinuerunt. Quis autem eorum dignus est esse in civitate per clementiam, a sanctissimis provinciæ episcopis est dicendum.

Juvenalis reverentissimus episcopus Hierosolymorum dixit: Si perspicit sancta synodus, pasci quidem eos ab Ephesiorum ecclesia, alium vero regulariter ordinari.

Thalassius reverentissimus episcopus Cæsareæ Cappadociæ dixit: Consentio interlocutionibus sanctissimorum patrum.

Eusebius reverentissimus episcopus Ancyræ Galatiæ dixit: His quæ a patribus sunt decreta, consentio.

Julianus reverentissimus episcopus Coënsium, & vicarius Apostolicæ sedis, dixit: Secundum regulas quidem neuter esse debet: per clementiam vero synodus Asiana eligat, qui possit esse.

Eusebius reverentissimus episcopus Dorylæi dixit: Crede, absque regulis ambo sunt facti.

Diogenes reverentissimus episcopus Cyzici dixit: Qualis quisque eorum sit, plus sciunt Dei amantissimi episcopi provinciæ. Dicant ergo illi secundum reverentiam, quam de Dei timore habent, episcopatum Ephesi quem oporteat obtinere, ne in civitate seditio generetur.

Romanus reverentissimus episcopus Myrorum Lyciæ dixit: Consentio his quæ a sanctis patribus sunt ordinata.

Eunomius reverentissimus episcopus Nicomediæ dixit: Et ego consentio his quæ a sanctissimis patribus ante me definita sunt.

Marinianus reverentissimus episcopus Synnadorum dixit: Regulariter neuter eorum esse debet.

Eleutherius reverentissimus episcopus Chalcedonensis dixit: Docuit nos cognitio quæ de episcopis facta est, quia nullus eorum regulariter episcopatum sanctissimæ Ephesiæ detinuit ecclesiæ.

Gloriosissimi judices dixerunt: Placet sancto concilio interlocutio Deoamantissimi archiepiscopi Anatolii, & reverentissimi episcopi Paschasini obtinentis locum Romanæ Apostolicæ sedis: qua declaratum est, ambos quidem esse removendos, tamquam præter regulas factos, alterum vero ordinari debere; prædictos autem habere episcopi dignitatem, & a sanctissima Ephesia ecclesia nutriendos.

Sancta synodus exclamavit: Hæc pia interlocutio, hæc secundum regulas est.

Diogenes reverentissimus episcopus Cyzici dixit: Aliarum hæc melior est. Omnes clamaverunt: Hæc justa sententia, hæc omnibus placet. Ambo absque regulis facti sunt. Quæ canonica sunt, in his obtineant. Interlocutiones episcoporum teneant.

Gloriosissimi judices dixerunt: Quoniam placuit universis interlocutio Deoamantissimi archiepiscopi regiæ Constantinopolis Anatolii, & reverentissimi episcopi Paschasini obtinentis locum Leonis Dei amantissimi archiepiscopi senioris Romæ, præcipiens, eo quod uterque contra regulas factus est, neutrum eorum denominari, neque præesse sanctissimæ Ephesiorum ecclesiæ; & omnis sancta synodus contra regulas eos ordinatos edocuit, & interlocutionibus reverentissimorum episcoporum consensit; removebuntur quidem a sancta Ephesiorum ecclesia Bassianus & Stephanus reverentissimi; habeant autem dignitatem episcopi, & ex redditibus memoratæ sanctissimæ ecclesiæ, nutrimenti gratia & consolationis, annis singulis solidos aureos ducentos accipiant: alter vero secundum regulas ejusdem sanctissimæ ecclesiæ episcopus ordinabitur.

Actio decimatertia. *Anno Christi 451.*

Omnis sancta synodus exclamavit: Hæc justa sententia, hæc justa forma, hæc bene habent.

Bassianus reverentissimus episcopus dixit: Quæ mihi abrepta sunt, jubete restitui.

Gloriosissimi judices dixerunt: Si quid Bassiano reverentissimo episcopo ex rebus illi competentibus direptum est, sive a Stephano reverentissimo episcopo, sive ab aliis quibuscumque personis, hoc ei post judiciales probationes, ab his qui abstulerunt, vel causa læsionis fuerunt, restituetur.

Πᾶσα ἡ ἁγία σύνοδος ἐβόησεν· αὕτη δικαία κρίσις· οὗτος ὁ δίκαιος τύπος· ταῦτα καλῶς ἔχει.

Βασσιανὸς ὁ εὐλαβέστατος εἶπε· τὰ ἁρπαγέντα μοι ἀποκατασταθῆναι κελεύσατε.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· εἴ τι Βασσιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος ἐκ τῶν αὐτῷ διαφερόντων ἀφῃρέθη, εἴτε παρὰ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου, εἴτε παρὰ ἑτέρων οἱωνδήποτε προσώπων, τοῦτο αὐτῷ μετὰ τοὺς [a] ἐνδικαστηρίοις ἐλέγχους παρὰ τῶν ἀφελομένων, ἢ αἰτίων τῆς βλάβης γενομένων, ἀποκατασταθήσεται.[b]

[a] Forte, ἐν δικαστηρίοις

[b] In mſ. Παμήσει, ἀπήγαγον, ἀπογινομένων, ἀπήγαγον.

ACTIO DECIMATERTIA Chalcedonensis Concilii.

ΠΡΑ͂ΞΙΣ ΤΡΙΣΚΑΙΔΕΚΑ'ΤΗ τῆς ἐν Καλχηδόνι ἁγίας συνόδου.

Ex versione nova, editorum Romanæ.

Consulatu domini nostri Marciani perpetui Augusti, & qui fuerit nuntiatus, tertio Kalendarum Novembris, Chalcedone secundum jussionem divinissimi & piissimi domini nostri Imperatoris, congregatis in sanctissima ecclesia sanctæ martyris Euphemiæ, magnificentissimo & gloriosissimo magistro militum & exconsule ordinario & patricio Anatolio: & magnificentissimo & gloriosissimo præfecto sacrorum prætoriorum Palladio: & magnificentissimo & gloriosissimo magistro sacrorum officiorum Vincomalo: convenientibus etiam Paschasino & Lucentio reverentissimis episcopis, & Bonifacio reverentissimo presbytero, tenentibus locum sanctissimi archiepiscopi veteris Romæ Leonis, & Anatolio reverentissimo episcopo magni nominis Constantinopolis, & Maximo reverentissimo archiepiscopo Antiochiæ Syriæ, & Juvenali reverentissimo archiepiscopo Hierosolymorum, & reliquo sancto universalique concilio per divinam sanctionem in civitate Chalcedonensium congregato; & residentibus omnibus ante cancellos sancti altaris; Eunomius reverentissimus episcopus Nicomediensium dixit: Preces obtuli piissimo orbis terrarum domino, postulans, ut privilegia metropolis Nicomediæ secundum canones qui antiquitus obtinuerunt, atque consuetudines, conserventur: & jussit vestram magnificentiam simul cum sancto concilio cognoscere, & causæ terminum dare. Rogo itaque, ut cognoscatis preces meas, & causam meam audiatis, & mihi quæ sunt justa, servetis. Gloriosissimi judices dixerunt: Relegantur preces. Veronicianus vir devotus, magistrianus & secretarius divini consistorii, legit:

Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ τριῶν καλανδῶν Νοεμβρίων, ἐν Καλχηδόνι κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου δεσπότου ἡμῶν, συνελθόντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας μάρτυρος Εὐφημίας, τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου, ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βικομάλου· συνελθόντων δὲ καὶ Πασχασίνου καὶ Λουκηνσίου, τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος, καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως, καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας Συρίας, καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἱεροσολύμων, καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Καλχηδονέων πόλει συναθροισθείσης, καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου, Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπε· δέησις ἐπιδέδωκα τῷ εὐσεβεστάτῳ δεσπότῃ τῆς οἰκουμένης, παρακαλῶν τὰ κανονικὰ τῆς μητροπόλεως Νικομηδείας, κατὰ τοὺς κρατήσαντας ἀρχῆθεν κανόνας καὶ ἔθη, φυλαχθῆναι· καὶ ἐκέλευσε τὴν ὑμετέραν μεγαλοπρέπειαν ἅμα τῇ ἁγίᾳ συνόδῳ ἀκοῦσαι, καὶ τέλος δοῦναι τῷ πράγματι. παρακαλῶ τοίνυν ἀναγνωσθῆναι τὰς δεήσεις μου, καὶ τὸ πρᾶγμα ἀκουσθῆναι, καὶ τὰ δίκαιά μοι φυλαχθῆναι. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγνωσθήτωσαν αἱ δεήσεις. Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου, ἀνέγνω.

Terræ marisque & totius gentis hominum dominis, Flaviis Valentiniano & Marciano perpetuis Augustis, supplicatio & postulatio ab Eunomio episcopo, & omni clero Nicomediensis metropolis sanctæ Dei ecclesiæ catholicæ.

[c] Τῆς γῆς καὶ θαλάσσης καὶ παντὸς ἀνθρώπων ἔθνους καὶ γένους δεσπόταις, Φλαυΐοις Οὐαλεντινιανῷ καὶ Μαρκιανῷ, τοῖς αἰωνίοις Αὐγούστοις, δέησις καὶ ἱκεσία παρὰ Εὐνομίου ἐπισκόπου, καὶ παντὸς τοῦ κλήρου τῆς κατὰ Νικομήδειαν μητρόπολιν ἁγίας τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας.

[c] Forte, Τοῖς

Deus vobis regnum & omnium rerum imperium, ut omnes gubernaretis ad salutem orbis terrarum, & pacem sanctarum ecclesiarum, juste donavit. Quapropter ante omnia & per omnia, piissimi & Christi amantissimi Principes, pro orthodoxæ & saluberrimæ fidei dogmatibus cogitatis, tam hæreticorum fremitus extinguentes, quam pia dogmata ad lucem deducentes. Unde prosternimus nos majestatis vestræ vestigiis, ut jubeatis arceri injustitiam quæ adversum nos a reverentissimo episcopo Nicæno Anastasio est præsumpta; quatenus valeamus, congrua Christianis pace fruentes, sine intermissione mysteria divina perficere. Memoratus enim reverentissimus Anastasius, neque timorem Dei præ oculis sumens, neque leges pietatis vestræ reveritus, confundit & conturbat in Bithyniorum provincia absque consuetudine formas & ecclesia-

Θεὸς τὸ βασιλεύειν ὑμῖν καὶ κρατεῖν τῶν ὅλων ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης, καὶ εἰρήνῃ τῶν ἁγίων ἐκκλησιῶν, δικαίως δεδώρηται. διὸ δὴ πρὸ πάντων τε καὶ μετὰ πάντων, εὐσεβέστατοι καὶ φιλόχριστοι βασιλεῖς, τῶν τῆς ὀρθοδόξου πίστεως καὶ ὑγιοῦς δογμάτων φροντίζετε, τὰ μὲν τῶν αἱρετικῶν φρυάγματα σβεννύντες, τὰ δὲ τῶν εὐσεβῶν δογμάτων εἰς φῶς ἀγαγόντες δικαίως. προσπίπτομεν τοίνυν τοῖς ἴχνεσι τοῦ ὑμετέρου κράτους, κελεῦσαι κωλυθῆναι τὴν καθ' ἡμῶν παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Νικαίων Ἀναστασίου τολμηθεῖσαν ἀδικίαν, ὡς δυνηθῆναι ἡμᾶς τῆς πρεπούσης Χριστιανοῖς εἰρήνης ἀπολαύοντας, ἀδιαλείπτως τὰς τοῦ Θεοῦ λειτουργίας ἐκτελεῖν. ὁ γὰρ μνημονευθεὶς εὐλαβέστατος Ἀναστάσιος, μήτε τὸν τοῦ Θεοῦ λαμβάνων πρὸ ὀφθαλμῶν φόβον, μήτε τοὺς τῆς εὐσεβείας ὑμῶν ἐντρεπόμενος νόμους, συγχέει καὶ [d] καταρράσσει ἐν τῇ Βιθυνῶν ἐπαρχίᾳ παρὰ τὴν

[d] Forte, ταράττει

τοὺς κρατήσαντας ἐν ταῖς ἐκκλησίαις βασιλικούς τε καὶ κανονικοὺς τύπους, ἁρπάζων τὰ ἡμῖν παρὰ τῶν νόμων τῆς εὐσεβείας ὑμῶν, καὶ τὰ παρὰ τῶν ἐκκλησιαστικῶν θεσμῶν ὑπάρξαντα δίκαια· ἅπερ οὐδείς ποτε τῶν πρὸ αὐτοῦ ἐπισκόπων παρασαλεύειν ἢ κινεῖν ἐπεχείρησε· μόνος δὲ οὗτος πλεονεκτεῖν ἡμᾶς καὶ ταράσσειν ἤρξατο, τὸ ἐπὶ κακοῖς ἰσχύειν δόξαν λογιζόμενος· ὡς τούτου ἕνεκα τῆς αἰτίας καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ λιβέλλους ἐπιδοῦναι ἡμᾶς. ἀλλ' ἐπειδὴ τὰ τῆς ἀκροάσεως εἰς ὑπέρθεσιν χωρεῖ, καὶ δεδοίκαμεν, μή πως λυθείσης τῆς συνόδου ἀργήσῃ τὰ ἡμέτερα δίκαια, δεόμεθα, νεύματι τοῦ ὑμετέρου κράτους ἀνυπερθέτως γενέσθαι τὴν ἀκρόασιν. τυχόντες γὰρ ὧν ἐδεήθημεν, τὰς συνήθεις εὐχὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους τῷ δεσπότῃ Χριστῷ ἀναπέμψομεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τί πρὸς ταῦτα ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀναστάσιος δικαιολογεῖται; Ἀναστάσιος ἐπίσκοπος τῆς Νικαέων πόλεως εἶπεν· ᾐτιάσατό με, ὅτι ἐγὼ ἐκαινοτόμησα ἐν τῷ μεταξὺ, ἢ ἐβιασάμην. ἓν δειξάτω, ὧν λέγει. ἐγὼ δὲ τὸ ἐναντίον ἔχω δεῖξαι, ὅτι καὶ ἥρπασέ μου παροικίας, καὶ πολλὰ ἃ οὐκ ἔστιν ἔθος ποιεῖν τὸν Νικομηδείας, ἐποίησεν ἐπ' ἐμοῦ, καὶ ὑπέσχημαι πανταχοῦ, ἱκετεύων τῷ ἀρχιεπισκόπῳ, καὶ ἀξιῶν τὰ δίκαιά μου γυμνασθῆναι κατὰ τὴν ἀρχαιότητα καὶ τοὺς κανόνας· οὐδὲ γὰρ ἐγὼ πλέον τι ζητῶ. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἰδικῶς λεγέτω ὁ θεοφιλέστατος ἐπίσκοπος Νικομηδείας Εὐνόμιος, κατὰ τί ἠδίκηται παρὰ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου. Εὐνόμιος Νικομηδείας εἶπε· κατὰ τὸ κρατῆσαν ἔθος ἐπὶ τῶν πρὸ ἐμοῦ, καὶ ἐπὶ τῶν πρὸ αὐτοῦ, ὑποτεταγμένας ἔχω τὰς ἐν τῇ Βιθυνῶν ἐπαρχίᾳ ἐκκλησίας. ὁ δὲ εὐλαβέστατος ἐπίσκοπος Ἀναστάσιος κληρικοὺς ἐκκλησίας τῆς ἐν Βασιλινουπόλει, τῆς ὑποτελοῦς ἐμοὶ, ἀκοινωνήτους ἐποίησεν· ὅπερ τοῖς κανόσιν ἀπείρηται. Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικαίας εἶπε· πρῶτον δειξάτω, ὅτι καὶ Βασιλινούπολις ὑπ' αὐτόν ἐστι, καὶ ὅτι ἐγὼ κληρικοὺς ἀκοινωνήτους ἐποίησα. τὰ δύο δειξάτω· ἐγὼ δὲ δείκνυμι Βασιλινούπολιν ἀεὶ ὑπὸ Νίκαιαν γενομένην· καὶ γὰρ ῥεγεὼν ἦν αὐτῆς· τοῦτο τὰ βουλευτήρια οἶδε· καὶ εἰπάτω, ὑπὸ τίνα ἦν Βασιλινούπολις, εἰ μὴ ῥεγεὼν ἦν Νικαίας. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· κατὰ ποῖον τρόπον ἀποδεικνύναι ἐπαγγέλλῃ, τὴν κατὰ Βασιλινούπολιν ἁγιωτάτην ἐκκλησίαν ὑπὸ Νίκαιαν εἶναι; πότερον κατὰ τοὺς κανόνας, ἢ ἐκ συνηθείας τινός; Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικαίας εἶπεν· ὥσπερ Ταττάιος καὶ Δωρὶς ῥεγεῶνές εἰσιν ὑπὸ τὴν Νίκαιαν, οὕτως ἦν πρὸ τούτου καὶ Βασιλινούπολις ὑπὸ τὴν Νίκαιαν. βασιλεὺς τις Ἰουλιανὸς, ἢ οὐκ οἶδα τίς πρὸ αὐτοῦ, ἐποίησεν αὐτὴν πόλιν· καὶ λαβὼν ἀπὸ Νικαίας πραγματευομένους, κατέστησεν ἐκεῖ· καὶ τὸ ἔθος ἀπὸ τότε ἕως νῦν ἤδη κρατεῖ. ἐὰν λείψῃ ἐν Βασιλινουπόλει πραγματευόμενος, ἀπὸ Νικαίας πέμπεται ἐκεῖ· καὶ πάλιν ἀπὸ Βασιλινουπόλεως μεθίσταται ἐν Νικαίᾳ· καὶ ἡ πρότερον οὖσα ῥεγεὼν, πάλιν μετὰ ταῦτα ἐγένετο πόλις. ἐξ ἐκείνου φαίνεται ὁ Νικαίας ἐπίσκοπος χειροτονήσας ἐκεῖ καὶ ἅπαξ, καὶ δεύτερον· καί εἰσιν ἐπιστολαὶ τοῦ μακαρίου Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως πρὸς τὸν Νικαίας ἐπίσκοπον, ὥστε ἀπελθεῖν, καὶ διορθώσασθαι τὴν ἐκκλησίαν, ὡς αὐτῷ προσήκουσαν. ἔχω γράμματα πρὸς τὸν μακάριον Πρόκλον. δείκνυμι ἐγὼ, πόσοι ἀπὸ Νικαίας ἐχειροτονήθησαν· καὶ δειξάτω καὶ οὗτος, πόσοι ἀπὸ Νικομηδείας ἐχειροτονήθησαν. Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· οὐ δύναται δεῖξαι χειροτονίας ποιήσας· εἰ δὲ καὶ ἐποίησε καθ' ὑφαρπαγὴν ἅπαξ, ἐμοὶ οὐδὲν κατὰ τοὺς κανόνας προκριθῆναι δύναται. Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὐκ ἐγὼ, ἀλλ' ὁ πρὸ ἐμοῦ ἐποίησεν. Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἅπαξ ἐποίησεν, ὡς λέγεις, ἢ πολλάκις; εἰ ἅπαξ ἐποίησε καθ' ὑφαρπαγήν τινα, ἢ συμβαίη, ὅτε οὐκ εἶχε τηνικαῦτα ἐπίσκοπον ἡ μητρόπολις Νικομήδεια, καὶ ἐδέησε παρὰ τοῦ Νικαίας γενέσθαι, οὐδὲν πρόκριμα ἐμοὶ κατὰ τοὺς κανόνας. δύναμαι γὰρ ἐγὼ δεῖξαι, πολλοὺς μὲν ἀπὸ Νικομηδείας χειροτονηθέντας, σὺ δὲ οὐκ οἶδα εἰ δυνήσῃ κἂν ἕνα δεῖξαι. Ἀναστάσιος ὁ εὐλαβέστατος

A stícas & imperiales, quæ hactenus tenuisse noscuntur in ecclesiis; invadendo jura quæ nobis pietatis vestræ legibus & ecclesiasticis sanctionibus sunt collata, quæ nullus aliquando prædecessorum ejus episcoporum * jubere aut movere tentavit. Solus autem hic per cupiditatem opprimere nos & conturbare cœpit, in malis victorem ac superiorem esse, gloriam credens; ita ut hujus rei gratia huic sancto & universali concilio libellos cogeremur offerre. Sed quoniam audientia in dilationem cedit; & formidamus, ne forte dimisso concilio jura nostra vacuentur: suppplicamus nutu vestræ majestatis audienriam nostram sine dilatione fieri: ut dum impetraverimus quæ poscimus, consuetas orationes Domino Deo pro æterna vestra potestate solvamus.

* *Forte, turbare.*

B Gloriosissimi judices dixerunt: Quid ad hæc reverentissimus Anastasius allegat? Anastasius reverentissimus episcopus Nicænæ ecclesiæ dixit: Accusavit me, quasi ego aliquas novitates inter hæc introduxissem, aut violentiam fecerim: unum ex his quæ dicit, ostendat. Ego autem [a] diversa monstratutus sum, quoniam abripuit parochias meas, & multa quæ non est consuetudo facere Nicomediensem, fecit in me, & passus sum [b] in omnibus: supplicans archiepiscopo, & jura mea examinari deposcens secundum antiquitatem & regulas; nec enim ego aliquid amplius volo. Gloriosissimi judices dixerunt: [c] Proprie dicat Dei amantissimus Eunomius episcopus, in quo injustitiam ab Anastasio reverentissimo episcopo passus est. Eunomius reverentissimus episcopus Nicomediæ dixit: Secundum consuetudinem quam tenebant superiores mei & ejus, subjectas habeo in provincia Bithyniorum ecclesias: reverentissimus autem episcopus Anastasius clericos ecclesiæ Basilinopolis mihi [d] subjectos excommunicavit, quod canonibus prohibetur. Anastasius reverentissimus episcopus Nicææ dixit: Prius ostendat, quia & Basilinopolis sub ipso est, & quia ego clericos ecclesiæ suæ excommunicatos effeci; hæc duo probet. Ego autem ostendam Basilinopolim sub Nicæa [e] jam olim fuisse; nam regio fuit ejus: id curia novit; & dicat curia, sub quo fuit Basilinopolis, si non fuit regio Nicææ. Gloriosissimi judices dixerunt: Quomodo te monstrare D promittis, Basilinopolis sanctissimam ecclesiam sub Nicæa esse? utrum secundum canones, an ex aliqua consuetudine? Anastasius reverentissimus episcopus Nicææ dixit: Sicut [f] Tacteus & [g] Dotis regiones sunt sub Nicæa, sic fuit ante hoc Basilinopolis sub Nicæa. Imperator quidam Julianus (aut nescio quis ante eum) fecit eam civitatem; & sumens ex Nicæa curiales, ibi constituit; & consuetudo ex tunc hactenus observatur. Et si forte defuerit in Basilinopoli curialis, de Nicæa mittitur ibi, & rursus de Basilinopoli transfertur in Nicæam. Quæ cum prius fuisset regio, postea civitas effecta est; ex illo perspicuum est ab episcopo Nicæno ibidem episcopatum fuisse ordinatum & semel & secundo. Et sunt epistolæ beati Joannis episcopi Constanti- E nopolitani ad Nicænum episcopum, ut iret & emendaret ecclesiam, tamquam sibimet competentem. Habeo litteras ad beatæ memoriæ Proclum. Ostendo ego, quot a Nicæa ordinati sunt: & ostendat hic quoque quot a Nicomedia sunt ordinati. Eunomius reverentissimus episcopus Nicomediæ dixit: Neque quidem potest ostendere ordinationem se fecisse: quod etsi fecit semel per subreptionem, secundum canones nequaquam mihi præjudicare potest. Anastasius reverentissimus episcopus dixit: Non ego, sed decessor meus fecit. Eunomius reverentissimus episcopus dixit: Semel fecit, sicut dicis, an frequenter? Si semel fecit per subreptionem, vel contigit forte, ut tunc non haberet episcopum metropolis Nicomedia, & indiguit a Nicæno fieri; hinc nullum mihi præjudicium secundum regulas generatur. Possum enim ego monstrare, multos quidem a Nicomedia ordinatos: tu vero nescio si possis vel unum ostendere. Anastasius reverentissimus episcopus

[a] *al.* contrarium.
[b] *al.* ubique.
[c] *al.* Peculiariter
[d] *al.* subjectas
[e] *al.* semper
[f] *al.* Tattaïus
[g] *al.* Doris

dixit: Quando civitas facta est Basilinopolis, quis A prius ordinavit? Eunomius reverentissimus episcopus dixit: Quia excommunicavit clericos Basilinopolis mihi subjectos, possum ostendere. Testem voco sanctissimum [a] magnæ Constantinopolis archiepiscopum, qui suscepit eos, & reddidit eis communionem. Anastasius reverentissimus episcopus dixit: Non vere dicis. Eunomius reverentissimus episcopus dixit: Do epistolam domni archiepiscopi, ubi reddidit eis communionem, & ubi scripsit tibi: quod præter canones fecisti. Ostendo decreta Basilinopolitanorum, ubi rogaverunt de episcopo: tu ostende ubi rogaverunt Nicænum, ut eis daret episcopum. Anastasius reverentissimus episcopus dixit: Jubete me probare paululum. Obtuli libellos archiepiscopo qui fuit, rogans eum ut vocaret domnum Eunomium episcopum, & audiret inter jura nostra. Dedit litteras & ad me & ad eum, scribens ambobus, B ac dicens: Nullus vestrum introducat aliquam novitatem, sed consistite in rebus antiquis. Ego enim novi, quomodo debeam metropoles honorare. Et habeo hujusmodi litteras & ego, & ipse. Accepi ego, sicut dixi, tales litteras, sciunt hoc & notarii: dicant & alii. Venerunt Basilinopolitani clerici, adeuntes me adversus episcopum suum. Ego custodiens mandata archiepiscopi, dixi: Non vos suscipio, sed abite ad archiepiscopum: & si mihi jusserit, audiam. Et relinquentes illi & me & ipsum, venerunt ad sanctitatem domni Eunomii: dederunt ei libellos adversus episcopum suum. Misit ipse repente, præsentans episcopum Basilinopolis: confugit episcopus Basilinopolis ad me. Gloriosissimi judices dixerunt: Canones legantur. Veronicianus vir devotus, magistrianus & secretarius divini consistorii, ex codice dato ab Eunomio reverentissimo episcopo legit capitulum sextum:

[a] Megalopolis, Paris. & Dav.

εἶπεν· ὅτε πόλις ἐγένετο ἡ Βασιλινούπολις, τίς * πρῶτον ἐχειροτόνησεν; Εὐνόμιος ὁ εὐλαβέστατος εἶπεν· ὅτι ἀφώρισε κληρικοὺς Βασιλινουπόλεως ἐμοὶ ὑποκειμένους, δύναμαι δεῖξαι. μάρτυρα καλῶ τὸν ἁγιώτατον ἀρχιεπίσκοπον τῆς μεγαλοπόλεως, ὅστις ἐδέξατο αὐτοὺς, καὶ ἀπέδωκεν αὐτοῖς τὴν κοινωνίαν. Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· οὐ λέγεις ἀληθῶς. Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· δὸς τὴν ἐπιστολὴν τοῦ κυροῦ τοῦ ἀρχιεπισκόπου, ὅπου ἀπέδωκεν αὐτοῖς τὴν κοινωνίαν, καὶ ὅπου ἔγραψέ σοι, ὡς παρὰ κανόνας πεποίηκας. δείκνυω ψηφίσματα Βασιλινουπολιτῶν, ὅπου παρεκάλεσαν περὶ ἐπισκόπου· σὺ δεῖξον, ποῦ παρεκάλεσαν Νικαεῖς, ὥστε δοῦναι αὐτοῖς ἐπίσκοπον. Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· κελεύσατέ με διδάξαι μικρόν. ἐπέδωκα λιβέλλους τῷ ἀρχιεπισκόπῳ γενομένῳ, ἀξιῶν αὐτὸν καλέσαι τὸν κύριον Εὐνόμιον τὸν ἐπίσκοπον, καὶ ἀκοῦσαι μεταξὺ τῶν δικαίων ἡμῶν. δέδωκε γράμματα καὶ πρὸς ἐμὲ καὶ πρὸς αὐτὸν, γράψας ἀμφοτέροις, B ὅτι μηδεὶς ὑμῶν μηδὲν καινοτομείτω, ἀλλὰ στοιχεῖτε τοῖς ἀρχαίοις. οἶδα γὰρ ἐγὼ, πῶς ὀφείλω τὰς μητροπόλεις τιμᾷν. καὶ ἔχω τοιαῦτα γράμματα καὶ ἐγὼ, καὶ αὐτός. λαμβάνω, ὡς εἶπον, τὰ τοιαῦτα γράμματα. ἴσασι καὶ οἱ νοτάριοι· εἴπωσι καὶ ἄλλοι. ἔρχονται οἱ Βασιλινουπόλεως κληρικοὶ ἐντυχεῖν μοι κατὰ τοῦ ἐπισκόπου αὐτῶν. φυλάττων ἐγὼ τὰς παραγγελίας τοῦ ἀρχιεπισκόπου, λέγω· οὐ δέχομαι ὑμᾶς. ἀλλ' ἀπέλθετε πρὸς τὸν ἀρχιεπίσκοπον· καὶ ἐὰν κελεύσῃ μοι, ἀκούω. καὶ ἐάσαντες ἐκεῖνοι καὶ ἐμὲ καὶ αὐτὸν, ἔρχονται πρὸς τὴν ἁγιωσύνην τοῦ κυροῦ Εὐνομίου. διδόασιν αὐτῷ λιβέλλους κατὰ τοῦ ἐπισκόπου τοῦ ἰδίου. πέμπει αὐτὸς εὐθὺς, παριστῶν τὸν ἐπίσκοπον Βασιλινουπόλεως· προσφεύγει ὁ ἐπίσκοπος Βασιλινουπόλεως πρὸς ἐμέ. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγνωσθήτωσαν οἱ κανόνες. Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος ἀπὸ βιβλίου ἐπιδοθέντος παρὰ Εὐνομίου τοῦ εὐλαβεστάτου ἀνέγνω·

CAPUT VI.

ΚΕΦΑΛ. ϛʹ.

C

Episcopum oportet quidem præcipue ab omnibus episcopis provincialibus ordinari: si vero hoc difficile est, aut propter imminentem necessitatem, aut propter itineris longitudinem: ex omnibus ad hoc ipsum tribus una congregatis, & in uno decernentibus, & absentibus per litteras consentientibus, ordinationem fieri. Potestas autem gestorum uniuscujusque provinciæ metropolitano episcopo competit.

Est canon IV. concilii Nicæni; cur autem hic sextus appelletur, diximus tomo I. pag. 814.

Ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπων καθίστασθαι· εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι. τὸ δὲ κῦρος τῶν γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ.

Anastasius reverentissimus episcopus dixit: Consentio canoni: Si non sum metropolitanus, nec ego illic habeo potestatem. Gloriosissimi judices dixerunt: Ostende quemadmodum jura metropolitani habes. Anastasius reverentissimus episcopus dixit: Supplico relegi D legem. Gloriosissimi judices dixerunt: Legatur. Et dante Anastasio reverentissimo episcopo, Constantinus vir devotus, magistrianus & secretarius divini consistorii, legit:

Ἀναστάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικαίας εἶπε· στοιχῶ τῷ κανόνι. εἰ μή εἰμι μητροπολίτης, οὐκ ἔχω μέρος οὐδὲ ἐγὼ ἐκεῖ. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐπίδειξον κατὰ ποῖον τρόπον τὰ τοῦ μητροπολίτου δίκαια ἔχεις. Ἀναστάσιος ὁ εὐλαβέστατος εἶπεν· ἀξιῶ ἀναγνωσθῆναι τὸν νόμον. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγνωσθήτω. καὶ ἐπιδοθέντος αὐτοῦ παρὰ Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστορίου, καὶ μαγιστριανὸς, ἀνέγνω.

Interpretatio legis.

Ἑρμηνεία νόμου.

Imperatores Cæsares Flavius Valentinianus & Valens, pii, felices, Augusti, perpetui victores, salutem dicunt Nicænis.

Αὐτοκράτορες Καίσαρες Φλαύιοι Οὐαλεντινιανὸς καὶ Οὐάλης, εὐτυχεῖς, εὐσεβεῖς, σεβαστοὶ, αἰώνιοι νικηταὶ, λέγουσι Νικαεῦσιν.

Licet studium nostrum ex illo manifestum atque E clarum sit cunctis, ex quo regni sublimitatem & publicam gubernationem Dei voluntate suscepimus; verumtamen & super principatum hujus felicitatis adjicimus, quoniam vestra civitas sub initium completa gaudio, & exsultans super nostra felicitate, gratiæ atque lætitiæ omni populo causa facta est. Propterea licet metropolitana olim est nominata, & hoc leges antiquæ continent, tamen legem nobis proferentibus, nulla dubitatio esse poterit, eo quod hæc immota & firma permaneant, & temporibus futuris augenda: & de cetero

Εἰ καὶ ἡ σπουδὴ ἡ ἡμετέρα δήλη πᾶσι καὶ περιφανὴς γέγονεν, ἐξ οὗ τῆς βασιλείας τὸ ὑπερανεστηκὸς, καὶ τῶν δημοσίων τοὺς οἴακας βουλήσει τοῦ κρείττονος ὑπεδεξάμεθα, ὅμως πρὸς τούτοις ἀποστέργομεν καὶ εἰς τὴν ἀρχὴν αὐτῆς τῆς εὐτυχίας· ὅτι γε ἡ ὑμετέρα πόλις συμπεπληρωθεῖσα, καὶ γαυρωθεῖσα ἐπὶ τῇ ἡμετέρᾳ εὐτυχίᾳ, χαρᾶς καὶ εὐφροσύνης παντὶ δήμῳ αἰτία γέγονε. διὸ δὴ ἐπειδὴ μητρόπολις πάλαι ὠνομάσθη, καὶ τοῦτο νόμοι παλαιοὶ περιέχουσι, τὰ αὐτὰ ἄρτι Νικαεῦσι νομοθετούντων ἡμῶν ὑπάρξειν, οὐδεμίαν ἀμφιβολίαν ἔχειν δύναται, τὸ ἀσάλευτα καὶ ἰσχυρὰ μένειν, καὶ εἰς τὸ ἑξῆς αὐξηθησόμενα· καὶ εἰς τὸ ἑξῆς

* Forte, πρῶτος

αὐτὴν στέψαντες, ἐν τῇ ὑμετέρᾳ πόλει προϊέναι ἐθεσπίσαμεν. διαμενέτω τοίνυν εἰς τὸ διηνεκὲς ἡ συνήθεια αὕτη, καὶ ἡ πόλις ὑμῶν μητρόπολις ἔστω, τῆς συνηθείας τῆς ἐπὶ τῇ προόδῳ τοῦ Βιθυνιάρχου διαμενούσης· οὐδεὶς ἀφαιρεῖται τι τῶν ἄλλων. βουλήσει τοῦ κρείττονος αὐξηθείη τῆς ὑμετέρας πόλεως τὸ ἀξίωμα. χαίροντες τοίνυν τὰς εὐχὰς διπλασιάζετε, καὶ ἥδεσθε ἐφ' οἷς αὕτη ἡ τιμὴ ὑμῖν παρέχεται, πάσης ἀμφιβολίας εἰς τὸ ἑξῆς σχολαζούσης· συνορῶντες, ὅπως αἰωνίου εἰρήνης καὶ προνοίας ἐκ τῶν ἡμετέρων θεσπισμάτων τετυχήκατε.

Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἀξιῶ τὴν ὑμετέραν μεγαλοπρέπειαν κελεῦσαι ἀναγνωσθῆναι τὸν νόμον τὸν παρασχεθέντα Νικομηδεῦσι μετὰ ταῦτα. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγινωσκέσθω. καὶ ἐπιδοθέντος αὐτοῦ παρὰ Εὐνομίου τοῦ εὐλαβεστάτου ἐπισκόπου, Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κωνσιστωρίου ἀνέγνω.

Οὐαλεντινιανὸς εὐσεβὴς, εὐτυχὴς, Αὔγουστος, Νικομηδεῦσι χαίρειν.

Η περὶ τὰ πριβιλέγια τῆς πόλεως τῆς ὑμετέρας πάλαι ὑπάρξασα ἀρχαία συνήθεια φυλαχθήσεται. οὔτε γὰρ προσθήκη τῆς τιμῆς τῶν Νικαιέων πόλεως τὸ δίκαιον τὸ ὑμέτερον δύναται βλάψαι, ὁπότε ἐπαύξεται τὸ ἀξίωμα τῆς Νικομηδέων, εἴπερ ἐκείνη, ἡ ἐν δευτέρῳ τόπῳ οὖσα, μητροπόλεως ὀνόματι καλεῖται.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· οὐδὲ ἓν μὲν θεῖον γράμμα περὶ ἐπισκόπων διαλέγεται· ἑκάτερον δὲ τὴν τιμὴν τῆς μητροπόλεως περιέχει. τὸ δὲ θεῖον γράμμα τῆς θείας λήξεως Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος, τηνικαῦτα τῇ Νικαιέων παρασχὸν τὸ μητροπολιτικὸν δίκαιον, ἰδικῶς παρακελεύεται τῶν ἄλλων μηδὲν ὑφαιρεῖσθαι πόλεων· καὶ ὁ κανὼν τῶν ἁγίων πατέρων περὶ ἑνὸς μητροπολίτου καθ' ἑκάστην τῶν ἐπαρχιῶν διαγορεύει. τί τοίνυν τῇ ἁγίᾳ συνόδῳ παρίσταται περὶ τούτου; ἡ ἁγία σύνοδος ἐβόησεν· οἱ κανόνες κρατείτωσαν· τοῖς κανόσι τὸ ἱκανὸν γινέσθω. Ἀττικὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ἠπείρου εἶπεν· ὁ κανὼν οὕτως διαγορεύει, ὥστε ἐν μιᾷ ἑκάστῃ τῶν ἐπαρχιῶν τὸ κῦρος ἔχειν τὸν τῆς μητροπόλεως, καὶ αὐτὸν καθιστᾶν πάντας τοὺς ὑπὸ τὴν αὐτὴν ἐπαρχίαν ὄντας ἐπισκόπους· καὶ αὕτη ἐστὶν ἡ διάνοια τοῦ κανόνος. τὸν δὲ τῆς Νικομηδείας, ἐπειδὴ ἐξ ἀρχαίου αὕτη μητρόπολις ἐστι, κεχειρίσθαι πάντας τοὺς ὑπὸ τὴν ἐπαρχίαν αὐτοῦ ὄντας ἐπισκόπους χρεωστεῖ. ἡ ἁγία σύνοδος εἶπε· ταῦτα πάντες βουλόμεθα· ταῦτα πάντες δεόμεθα· ταῦτα πανταχοῦ κρατείτω. ταῦτα πᾶσιν ἀρέσκει. Ἰωάννης, Κωνσταντῖνος, Πατρίκιος, καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι τῆς Ποντικῆς διοικήσεως εἶπον· οἱ κανόνες ἴσασιν ἕνα μητροπολίτην τὸν ἀρχαιότερον. καὶ δῆλον, ὡς τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Νικομηδείας διαφέρουσιν αἱ χειροτονίαι· καὶ ἐπειδὴ καὶ αἱ νομοθεσίαι, ὡς συνεῖδε καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια, ὀνόματι μητροπόλεως μόνῳ ἐτίμησαν τὴν Νικαίαν, προτιμᾶται δὲ τῶν λοιπῶν ἐπισκόπων τῆς ἐπαρχίας τῇ τιμῇ μόνῃ. ἡ ἁγία σύνοδος εἶπε· κανονικῶς ἐδίδαξαν· καλῶς ἐδίδαξαν· πάντες τὰ αὐτὰ λέγομεν.

Ἀέτιος ἀρχιδιάκονος τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως εἶπεν· ὑποβάλλομεν τῇ ὑμετέρᾳ μεγαλοπρεπείᾳ, παρακαλοῦντες, ὥστε μηδὲν πρόκριμα τῷ Κωνσταντινουπόλεως ἁγιωτάτῳ θρόνῳ γενέσθαι τὰ νῦν διαλαλούμενα παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων, τῆς Νικομηδέων πόλεως Εὐνομίου, καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Νικαιέων Ἀναστασίου, ἢ τὰ ἐπ' αὐτοῖς τυπούμενα. ὁ γὰρ ἁγιώτατος τῆς Κωνσταντινουπόλεως θρόνος ἢ τὴν χειροτονίαν αὐτὸς ἐνεργεῖ ἐν τῇ Βασιλινουπόλει μετὰ τῶν λοιπῶν, ἢ ἐπιτρέπει γενέσθαι, καθὼς καὶ τὰ φοιτῶντα γράμματα, ἢ φοιτήσαντα πολλάκις, δεῖξαι δυνάμεθα. καὶ ἀξιοῦμεν τὰς ἐπιστολὰς προβληθῆναι. ἡ ἁγία σύνοδος εἶπεν· οἱ κανόνες κρατείτωσαν· τοῖς κανόσι τὸ ἱκανὸν γινέσθω. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὴν μὲν αὐθεντίαν τοῦ μητροπολίτου ἐν ταῖς κατὰ Βιθυνίαν ἐκκλησίαις ὁ Νικομηδείας εὐλαβέστατος ἐπίσκοπος ἕξει, τοῦ Νικαίας τὴν τιμὴν μόνην τοῦ μητροπολίτου

hunc etiam in vestra civitate exornantes, procedere sancivimus. Permaneat igitur in perpetuum ista consuetudo, & civitas vestra sit metropolitana, consuetudine tamen in processu Bithyniæ judicis permanente. Nullus enim aufert aliquid aliorum. Ergo voluntate Dei vestræ civitatis dignitas augeatur. Gaudentes itaque, orationes vestras duplicate: & lætamini in his, in quibus hic vobis præbetur honor, omni dubietate in futurum vacante; conspicientes quemadmodum perpetuam pacem & providentiam ex nostris sanctionibus impetrastis.

Eunomius reverentissimus episcopus Nicomediæ dixit: Rogo vestram magnificentiam, ut jubeatis legi legem Nicomediensibus post hæc concessam. Gloriosissimi judices dixerunt: Legatur. Et dante Eunomio reverentissimo episcopo: Veronicianus vir devotus secretarius divini consistorii, legit:

Valentinianus pius, felix, Augustus, Nicomediensibus salutem.

Circa privilegia civitatis vestræ, quæ olim fuerint, prisca consuetudo servabitur. Neque enim honoris adjectio Nicænorum civitatis jus vestium lædere poterit; cum augeatur dignitas Nicomediensium civitatis, quando illa quæ secundo loco est, metropolis nomine vocatur.

Gloriosissimi judices dixerunt: Nullæ quidem ex his divinæ literæ de episcopatu loquuntur: utræque enim de honore referuntur metropolitanarum urbium. Sacræ autem litteræ divinæ memoriæ Valentiniani & Valentis, quæ tunc Nicænæ civitati præbuerunt metropoliticum jus, proprie præcipiunt ab aliis civitatibus nihil auferri: & regula sanctorum patrum de uno metropolita in unaquaque provincia decrevit. Quid igitur concilio sancto videtur? Sancta synodus clamavit: Canones teneant: Canonibus satisfiat. Atticus reverentissimus episcopus Nicopolis veteris Epiri dixit: Regula ita præcipit, ut in unaquaque provincia metropolitanus habeat potestatem, & ipse constituat omnes qui in ea provincia sunt, episcopos: & hic est sensus regulæ. Nicomediensis autem episcopus, quoniam ab initio hæc metroplis est, debet omnes episcopos qui in eadem provincia sunt, ordinare. Sancta synodus dixit: Hæc omnes volumus, hæc omnes supplicamus, hæc ubique teneant, hæc omnibus placent. Joannes, Constantinus, Patricius, Petrus & reliqui reverentissimi episcopi Ponticæ diœcesis, per unum ipsorum Joannem, dixerunt: Canones unum sciunt metropolitam antiquiorem: & manifestum est, quoniam religiosissimo episcopo Nicomediæ ordinationes competunt, & quia leges etiam (sicut perspexit & vestra magnificentia) nomine metropolis solummmodo honoraverunt Nicænum; & præponitur reliquis episcopis provinciæ honore solummodo. Sancta synodus dixit: Regulariter docuerunt, bene docuerunt: omnes hæc ipsa dicimus.

Aëtius archidiaconus splendidissimæ Constantinopolis dixit: Suggerimus vestræ magnificentiæ, rogantes ut nullum præjudicium Constantinopolitanæ sanctissimæ sedi fiat ex his quæ nunc proferuntur a sanctissimis archiepiscopis, vel quæ moventur inter Dei amantissimum episcopum Nicomediensium Eunomium, & Dei amantissimum episcopum Nicænum Anastasium, aut quæ inter eos ordinantur. Sanctissima enim Constantinopolitana sedes aut ordinationem ipsa facit in Basilinopoli cum reliquis, aut eam permittit fieri; sicut litteris quæ fiunt, vel factæ sunt sæpius, ostendere possumus. Et rogamus ut epistolæ proponantur. Sancta synodus clamavit: Canones teneant: Canonibus satisfiat. Gloriosissimi judices dixerunt: Auctoritatem quidem metropolitani inter ecclesias provinciæ Bithyniæ, Nicomediensis reverentissimus habebit episcopus, Nicæno habente honorem metropolitani tan-

ACTIO QUARTADECIMA.

tummodo, subjacente autem ad exemplum aliorum episcoporum provinciæ Nicomediensi. Hoc enim visum est etiam sancto concilio. Quæcumque autem sedi Constantinopolitanæ sanctissimæ ecclesiæ de ordinationibus provinciæ competunt, hæc suo ordine coram sancto concilio examinabuntur. Eunomius reverentissimus episcopus Nicomediæ dixit: Gratias ago justitiæ judicii magnificentiæ vestræ, & diligo archiepiscopum splendidissimæ Constantinopolis, obtinentibus [a] utique regulis. Gloriosissimi judices dixerunt: Quæ dixisti, conscripta sunt.

[a] *al. antiquis.*

ἔχοντος, ὑποκειμένου δὲ κατὰ μίμησιν τῶν ἄλλων ἐπισκόπων τῆς ἐπαρχίας τῇ τῆς Νικομηδείας· τοῦτο γὰρ καὶ τῇ ἁγίᾳ παρέστη συνόδῳ. ὅσα δὲ τῷ θρόνῳ τῆς κατὰ τὴν μεγαλώνυμον Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας περὶ τοῦ χειροτονεῖν ἐν ταῖς ἐπαρχίαις ἁρμόζει, ταῦτα κατὰ τάξιν οἰκείαν ἐπὶ τῆς ἁγίας γυμνασθήσεται συνόδου. Εὐνόμιος ὁ εὐλαβέστατος ἐπίσκοπος Νικομηδείας εἶπεν· εὐχαριστῶ τῇ δικαιοκρισίᾳ τῆς μεγαλοπρεπείας ὑμῶν, καὶ ἀγαπῶ τὸν ἀρχιεπίσκοπον τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως, κρατούντων τῶν κανόνων. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἃ εἴρηκας, γέγραπται. [a]

[a] *In mss. Parmensi, ἀίγνων, ἀίγνων, ἀίγνωμ. ἀίγνω.*

ANNO CHRISTI 451.

ACTIO QUARTADECIMA Chalcedonensis concilii.

Consulatu domini nostri Marciani perpetui Augusti, & qui fuerit nuntiatus, sub die pridie Kalendas Novembris, Chalcedone secundum jussionem divinissimi & piissimi Principis, convenientibus in sanctissima ecclesia sanctæ martyris Euphemiæ, magnificentissimo & gloriosissimo magistro militum, & exconsule ac patricio Anatolio, & magnificentissimo & gloriosissimo præfecto sacrorum prætoriorum Palladio, & magnificentissimo & gloriosissimo magistro divinorum officiorum Vincomalo: convenientibus etiam Paschasino & Lucentio reverentissimis episcopis, & Bonifacio reverentissimo presbytero, vicariis archiepiscopi veteris Romæ Leonis, & Anatolio reverentissimo episcopo magni nominis Constantinopolis, & Maximo reverentissimo episcopo Antiochiæ Syriæ, & Juvenali reverentissimo episcopo Hierosolymorum, & Quintillo reverentissimo episcopo Heracleæ Macedoniæ, tenente locum sanctissimi episcopi Thessalonicensium Anastasii; & Thalassio reverentissimo episcopo Cæsareæ Cappadociæ, & Stephano reverentissimo episcopo Ephesi, & reliquo sancto universalique concilio, quod in Chalcedonensium civitate divali sanctione collectum est: & residentibus omnibus ante cancellos sancti altaris, Sabinianus reverentissimus episcopus dixit: Abrepta mihi injuste episcopatus mei sede, libellos supplices obtuli sacro & immortali vertici, & jussit vestram magnificentiam una cum sancto & universali hoc concilio causam meam inquirere. Habeo autem & petitionem ad sanctum hoc concilium: & supplico præcipere vestram magnificentiam, & petitionem meam legi & preces meas, & mihi quæ sunt justa reservari. Gloriosissimi judices dixerunt: Legantur preces & oblata petitio a Sabiniano reverentissimo episcopo. Constantinus vir devotus, adjutor divini consistorii, legit:

In sequentibus Græcis codicibus & Latinis quos habemus, Stephanus adhuc nominatur episcopus Ephesi, cum tamen in act. 12. ab illo episcopatu dejectus fuerit.

ΠΡΑ͂ΞΙΣ ΙΔ. τῆς ἐν Καλχηδόνι ἁγίας συνόδου.

Ὑπατείας τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, καὶ τοῦ δηλωθησομένου, τῇ πρὸ μιᾶς καλανδῶν Νοεμβρίων, ἐν Καλχηδόνι κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου Μαρκιανοῦ τοῦ αἰωνίου Αὐγούστου, συνελθόντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ τῆς ἁγίας μάρτυρος Εὐφημίας, τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου, ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου, καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βικομάλου· συνελθόντων δὲ καὶ Πασχασίνου καὶ Λουκεντίου τῶν εὐλαβεστάτων ἐπισκόπων, καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, ἐπεχόντων τὸν τόπον τοῦ ἀρχιεπισκόπου πρεσβυτέρας Ῥώμης Λέοντος, καὶ Ἀνατολίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως, καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας Συρίας, καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων, καὶ Κυιντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡρακλείας Μακεδονίας, ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῶν Θεσσαλονικέων Ἀναστασίου, καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας Καππαδοκίας, καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου, καὶ τῆς λοιπῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θέσπισμα τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου ἐν τῇ Καλχηδονέων πόλει συναθροισθείσης· καὶ καθεσθέντων πάντων πρὸ τῶν καγκέλλων τοῦ ἁγίου θυσιαστηρίου, Σαβινιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἀφαιρεθεὶς ἀδίκως τὸν θρόνον τῆς ἐπισκοπῆς, δεήσεις ἐπιδέδωκα τῇ θείᾳ καὶ αἰωνίᾳ κορυφῇ· καὶ ἐκέλευσε τὴν ὑμετέραν μεγαλοπρέπειαν, ἅμα τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, τὸ κατ' ἐμὲ πρᾶγμα ζητῆσαι. ἔχω δὲ καὶ διδασκαλικὸν πρὸς τὴν ἁγίαν ταύτην σύνοδον· καὶ παρακαλῶ τὴν ὑμετέραν μεγαλοπρέπειαν, κελεῦσαι καὶ τὸ διδασκαλικὸν ἀναγνωσθῆναι, καὶ τὰς δεήσεις, καὶ τὰ δίκαιά μοι φυλαχθῆναι. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀναγινωσκέσθωσαν αἱ δεήσεις καὶ τὸ προσκομιζόμενον διδασκαλικὸν παρὰ Σαβινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου. Κωνσταντῖνος ὁ καθωσιωμένος βοηθὸς τοῦ θείου κονσιστωρίου ἀνέγνω.

Piissimis & Christi amantissimis, & digne a Deo omnium honoratis Augustis, Valentiniano & Marciano, preces & supplicatio a Sabiniano episcopo.

Dominus omnium videns apostolicam & orthodoxam fidem a dissimulatoribus interim fatigari, & omnem mundum seditione vexari, suscitavit vestram pietatem, universum mundum regere atque gubernare, & tumultus qui a nefariis hominibus exorti sunt adversus sanctorum doctrinam reprimere, & claritatem atque soliditatem recti dogmatis confirmare. Unde juste de vestra etiam tranquillitate vobis dixerit Deus: Exaltavi electum de plebe mea: inveni David servum meum, oleo sancto meo unxi eum: manus enim mea suscipiet eum, & brachium meum confortabit eum. *Credens itaque, nutu divino super omnium principatum ac dominationem*

Psalm. 88.

Τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις, καὶ ἀξίως παρὰ τοῦ Θεοῦ τῶν ὅλων τετιμημένοις Αὐγούστοις, Οὐαλεντινιανῷ καὶ Μαρκιανῷ, δέησις καὶ ἱκεσία παρὰ Σαβινιανοῦ ἐπισκόπου.

Ὁ τῶν ὅλων κύριος ἰδὼν τὴν ἀποστολικὴν ὀρθόδοξον πίστιν ἀπὸ τῶν ῥᾳθύμων τέως χειμαζομένην, καὶ πάντα τὸν κόσμον ἐν ἀταξίᾳ κινδυνευόμενον, ἤγειρε τὴν ὑμετέραν εὐσέβειαν ἰθῦναι καὶ κυβερνῆσαι τὴν οἰκουμένην, καὶ τὰς ὑπὸ τῶν μοχθηρῶν ἐπιφυείσας τῇ διδασκαλίᾳ τῶν ἁγίων ταραχὰς καταστεῖλαι, καὶ τὸ λαμπρὸν καὶ βέβαιον τῆς ὀρθοδοξίας κυρῶσαι. καὶ εἰκότως ἐπὶ τῆς ὑμετέρας γαληνότητος εἴποι καὶ ὑμῖν ὁ Θεός· ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου· εὗρον Δαυὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν· ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. [b] πιστεύω σου νεύματι θείῳ εἰς τὴν τῶν ὅλων ἀρχὴν καὶ δεσποτείαν

[b] *Forte, πιστεύων, ex Lat.*

Anno Christi 451.

Actio quartadecima.

ἐπιστῆναι ὑμῶν τὴν θειότητα, πάρειμι λιπαρῶν καὶ καθικετεύων ὑμῶν τὴν εὐσέβειαν, κελεῦσαι, πρόνοιάν μου γενέσθαι, καὶ ζητηθῆναι τὰ κατὰ τὴν ἐμὴν ὑπόθεσιν. ἐγὼ γὰρ ἤμην παιδόθεν ἀσκητηρίου οἰκονομῶν, πολυάνθρωπον μοναστήριον, οὐδὲν περὶ ἐπισκοπῆς ἐνθυμούμενος, μή τί γε προσπηδῶν τινι τούτου τοῦ ἀξιώματος ἕνεκεν. τῇ οὖν ἐπιμελείᾳ τῶν μοναχῶν ὄντος μου, ἐφίσταταί μοι ἀφνίδιον ὁ κατ' ἐκεῖνο καιροῦ τῆς μητροπόλεως ἐπίσκοπος μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων, καὶ χειροτονεῖ με ἐπίσκοπον Πέρρης, ἐξ ἧς καθῃρέθη Ἀθανάσιος, ἐγγράφως ἐπὶ βαρυτάτοις κεφαλαίοις κατηγορηθείς, καὶ μὴ δυνηθείς ποτε ἀπολογήσασθαι πρὸς τὰ ἐπαγόμενα αὐτῷ ἐγκλήματα. ἀλλὰ ποτὲ μὲν παραιτούμενος τὴν ἐπισκοπήν, ποτὲ δὲ διαφόρως περιϊὼν τὰς κλήσεις τῶν καλούντων αὐτὸν εἰς κρίσιν συνόδων διετέλει. οὗτος ἐν τῇ κατ' Ἔφεσον συνόδῳ ἐξ ἐπιτάγματος τοῦ τῆς Ἀλεξανδρέων προέδρου τῇ ἐμῇ ἐπεισελήλυθεν ἐκκλησίᾳ. ἐγὼ δὲ παρὰ γνώμην χειροτονηθείς, ἐκβέβλημαι· καὶ ταῦτα τῶν οἰκούντων ἐκείνην τὴν πόλιν ὀδυρμοῖς καὶ θρηνοῖς χρησαμένων ἐπὶ τῇ ἐμῇ ἐξόδῳ. ἱκετεύω τοίνυν τὸ ὑμέτερον κράτος, κελεῦσαι, καὶ τὴν κατ' ἐμὲ ὑπόθεσιν παρούσης ὑμῶν τῆς εὐσεβείας ἐξετασθῆναι, καὶ τὸ πρέπον πέρας λαβεῖν· ἵνα κἀγὼ μετὰ τῶν ἄλλων ἁπάντων τὰς συνήθεις εὐχὰς ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους ποιῶμαι δεσπόται, εὐσεβέστατοι καὶ καλλίνικοι βασιλεῖς. Σαβινιανὸς ἐπίσκοπος ὑπηγόρευσα· καὶ ὑπογράψας ἐπιδίδωμι τῇ ὑμετέρᾳ εὐσεβείᾳ.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τὴν διδασκαλίαν ἀνέγνω.

A consistere vestram divinitatem, adsum supplicans atque rogans vestram pietatem, ut mei providentiam fieri, & causam meam examinari praecipiatis. Ego enim a puero eram in monasterio dispensator asceterii multorum virorum, nihil de episcopatu cogitans, nedum rogans quemquam hujus gratia dignitatis. Dum ergo essem in monachorum [a] providentia constitutus adsistit, mihi repente illius temporis metropolitanus episcopus cum provincialibus episcopis, & me Perrha ordinavit episcopum, de qua dejectus est Athanasius, ex scripto de gravissimis capitulis accusatus: nec valens umquam pro illatis sibi criminibus reddere rationem, nunc quidem episcopatum repudiabat, nunc vero citationes synodorum vocantium eum ad judicium varie declinabat. Is enim in Ephesia synodo, ex B praecepto Alexandrini praesulis, in meam ecclesiam superingressus, & ego praeter voluntatem meam ordinatus, expulsus sum. Et hac quidem acta sunt, habitatoribus illius civitatis dolentibus & lugentibus meam expulsionem. Supplico igitur vestra potentia, ut jubeatis & meam causam sub praesentia vestrae pietatis examinari, & placitum terminum dari, ut & ego cum cunctis aliis consuetas orationes pro perpetua vestra potentia semper exsolvam, piissimi atque victores Principes. Sabinianus episcopus dictavi & subscripsi, & offero vestrae pietati.

[a] al. cura Paris. & Div.

Veronicianus vir devotus, secretarius divini consistorii, petitionem legit:

Τοῖς τὰ πάντα θεοφιλεστάτοις καὶ ἁγίοις πατράσι καὶ ἀρχιεπισκόποις, Λέοντι, Ἀνατολίῳ, Μαξίμῳ, καὶ πάσῃ τῇ λοιπῇ ἁγίᾳ συνόδῳ, δέησις καὶ ἱκεσία παρὰ Σαβινιανοῦ ἐπισκόπου.

Per omnia Dei amantissimis & sanctissimis patribus & archiepiscopis, Leoni, Anatolio, Maximo, & omni sancto concilio, C petitio & deprecatio data a Sabiniano episcopo.

Πολλαὶ μὲν καὶ διάφοροι αἱ περὶ τὸ γένος τῶν ἀνθρώπων τοῦ δεσπότου Χριστοῦ εὐεργεσίαι· ἡ δὲ ἐν τῷ παρόντι καιρῷ περὶ τὰς αὐτοῦ ἁγίας ἐκκλησίας γινομένη κηδεμονία, ἰδικήν τινα τυγχάνει καὶ ἐξαίρετος, καθὼς τὰ πράγματα βοᾷ. συνήθροισε γὰρ τὴν ὑμετέραν ἀγγελικὴν σύνοδον διὰ τῶν ὡς ἀληθῶς εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, ἐπὶ τῷ τὴν πλάνην ἰδεῖν, καὶ τὴν μὲν πρὸ τούτων τῶν ἐνιαυτῶν δύο, μικρῷ πρὸς ἐν Ἐφέσῳ γενομένην σύγχυσίν τε καὶ ἀκαταστασίαν καταργῆσαι, τὴν δὲ ἀλήθειαν καὶ δικαιοσύνην φωτίσαι. ὅθεν κἀγὼ τῆς ζάλης ἐκείνης καὶ τῶν κλυδώνων πειραθείς, ἐπὶ τὸν ὑμέτερον καταφεύγω εὔδιον λιμένα· διδάσκων, ὡς Διόσκορος ὁ τῆς Ἀλεξανδρέων, αὐθεντίᾳ, ἔτι δὲ καὶ τυραννίδι ἐμὲ μὲν τῆς ἐγχειρισθείσης μοι κατὰ κανόνας τῶν Περρηνῶν ἐκκλησίας διὰ τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ μητροπολίτου ἡμῶν Στεφάνου, ἐξέωσεν, ἀντεισήγαγε δὲ Ἀθανάσιον, ἄνδρα καθαιρεθέντα ἐν τῇ Ἀντιοχέων μεγαλοπόλει ὑπὸ πλείστων θεοφιλεστάτων ἐπισκόπων. οἷα τοίνυν καὶ τὰ μετὰ ταῦτα γέγονε, καὶ ὅπως πᾶσα ἡ πόλις μετὰ πικρῶν δακρύων καὶ ὀδυρμῶν περιχυθεῖσα, δυσαποσπάστως εἶχε περὶ ἐμέ, καὶ τὴν ἐμὴν ἐπένθει βιαίαν ἐκβολήν, περιττὸν ἐμὲ λέγειν. διὸ παρακαλῶ καὶ καθικετεύω τὴν ὑμετέραν φιλοθεΐαν, μὴ περιϊδεῖν τὴν κατ' ἐμοῦ γενομένην ἀδικίαν· ἀλλὰ κελεῦσαι, τῶν δικαίων με τυχεῖν· ὅπως καὶ ἐν τούτῳ αἰνῆται ὁ φιλάνθρωπος Θεός, διὰ τῆς ὑμετέρας ἀγγελικῆς καὶ θεοτιμήτου συνόδου καταργήσας μὲν τὴν πλάνην, φωτίσας δὲ τὴν ἀλήθειαν. Σαβινιανὸς ἐπίσκοπος ἐπιδέδωκα ὑπαγορεύσας καὶ ὑπογράψας τήνδε τὴν δέησιν.

Multa quidem atque diversa sunt circa genus humanum Domini Christi beneficia: hac autem in praesenti tempore circa sanctas ejus ecclesias cura propria quadam exsistit atque praecipua, sicut ipsa res clamant. Congregavit enim vestrum angelicum concilium per piissimos revera & Christianissimos nostros Imperatores, ad errorem perspiciendum, & confusionem atque seditionem qua ante hos paulo plus duos annos in Epheso facta est destruendam, & veritatem atque justitiam declarandam. Unde & ego illam tempestatem & fluctuationem expertus, ad vestrum confugi tranquillis-D simum portum: suggerens, quia Dioscorus Alexandrinus auctoritate sua, insuper & tyrannide, me quidem a Perrhenorum ecclesia, commissa mihi secundum canones a sanctissimo episcopo metropolis nostrae Stephano, expulit; e diverso autem introduxit Athanasium, virum depositum in Antiochiensium splendidissima civitate a multis Dei amantissimis episcopis. Qua vero post hac gesta sunt, & quomodo civitas universa cum amaris lacrymis atque gemitibus circumfusa a me agre separabatur, & violentam meam lugebat exclusionem, me dicere, puto, superfluum est. Unde rogo & supplico vestra pietati, ut injustitiam quam passus sum, nullatenus despiciatis; sed etiam jubeatis, me impetrare qua justa sunt: quatenus etiam in hoc Dei clementia collaudetur, qui per vestram angelicam & a Deo honoratam synodum destruxit quidem errorem, & luci reddidit veritatem. Sabinianus episcopus obtuli hanc petitionem a me dictatam atque subscriptam.

Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· ἀποκρινάσθω Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πέρρης. Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπε· τὸ ἐμὸν πρᾶγμα ἀπὸ μακροῦ χρόνου κατῆρκται· καὶ τούτου ἤκουσαν οἱ τῆς μακαρίας μνήμης Κύριλλός τε καὶ Πρόκλος, καὶ φανεροὺς τύπους ἔγραψαν τῷ Ἀντιοχείας γενομένῳ ἐπισκόπῳ Δόμνῳ· συνέθετο ἐκεῖνος πληρῶσαι ταῦτα. αἰσθόμενος τοῦ θανάτου τοῦ μακαρίου Κυρίλλου, ἀνεπήδησε, καὶ ἐκάλει εἰς κρίσιν· ἐγὼ δὲ * ἀντέστρεψα· ὡς, εἰ μὲν βούλεται ἐμμεῖναι τοῖς τύποις τοῖς δοθεῖσι παρὰ

* Forte, ἀντέγραψα, ex Lat.

E Gloriosissimi judices dixerunt: Respondeat Athanasius reverentissimus episcopus. Athanasius reverentissimus episcopus Perrhae dixit: Mea causa a longo tempore inchoata est: & hanc audierunt beatae memoriae Cyrillus & Proclus, & certas formas scripserunt Domno, qui fuit Antiochenus episcopus; promisitque ille eas complere. Et cum cognovisset mortem beati Cyrilli, resiliit, & ad judicium me vocavit. Ego rescripsi, quia si vellet permanere in datis sententiis ab

archiepiscopis, paratus essem: si vero vellet aliud aliquid, non audire me ejus citationem. Semel enim præcedentes episcopi rem certissimam decreverunt. Accusavi autem eos qui adversum me machinati sunt: & jusserunt non interesse judicio eos qui a me fuerant accusati. Rogo itaque, si videtur vestræ potestati, archiepiscoporum litteræ relegantur. Gloriosissimi judices dixerunt: Litteræ Procli & Cyrilli reverentissimæ memoriæ relegantur. Et tradita scheda ab Athanasio reverentissimo episcopo, Veronicianus vir devotus secretarius divini consistorii legit:

A τῶν ἀρχιεπισκόπων, ἕτοιμός εἰμι· εἰ δὲ ἕτερόν τι βούλεται, οὐκ ἐπακούω τῇ κλήσει. ἅπαξ γὰρ οἱ προλαβόντες ἅγιοι ἐπίσκοποι φανερῶς ἐτύπωσαν. ᾐτιασάμην δὲ καὶ αὐτοὺς συσκευασαμένους με· καὶ ἐκέλευσαν μὴ παρεῖναι τῇ κρίσει αὐτοὺς τοὺς αἰτιαθέντας παρ᾽ ἐμοῦ. ἀξιῶ, εἰ παρίσταται τῇ ὑμετέρᾳ ἐξουσίᾳ, τὰ γράμματα τῶν ἀρχιεπισκόπων ἀναγνωσθῆναι. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὰ γράμματα Πρόκλου καὶ Κυρίλλου τῶν τῆς εὐλαβοῦς μνήμης ἀναγνωσθήσονται. καὶ ἐπιδοθέντος χαρτίου παρὰ Ἀθανασίου τοῦ ἐπισκόπου, Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος ἀνέγνω.

Rescriptum synodicarum litterarum.

Ἀντίγραφον συνοδικοῦ γράμματος.

Domino meo dilectissimo fratri & consacerdoti Domno, Cyrillus in Domino salutem.

B Κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ Δόμνῳ, Κύριλλος ἐν κυρίῳ χαίρειν.

Condolere nos fratribus necessarium est, quando quidam consacerdotum aliqua se passos affirmant, & hoc a propriis clericis, quos erat necessarium subdere tanquam patribus cervicem, & esse subjectos secundum placitum Dei, & ecclesiæ regulas talia decernentes. Hoc ergo præsumi, quovis modo turpissimum est. Tanta namque passum se dicit reverentissimus episcopus Athanasius, ut etiam congregata in regia civitate synodus lacrymas daret. Ait enim, quosdam clericos qui sub eo constituti sunt, in tantam audaciam prosiliisse, ut quod attinet ad præsumptionis vim, & expellerent eum a sacerdotio, & super eum damnationis sententiam ferrent. Volunt enim œconomos ecclesiæ, aut certe ecclesiasticarum rerum dispensatores ejicere, & quosdam alios sibi propria auctoritate constituere: super hac autem etiam de sacris diptychis nomen ejus auferre, & alia quadam absurda, & sceleribus plena perpetrare, qua subjectorum libellorum virtus noscitur continere. Quia vero nimis incongruum est, præsumi talia a clericis adversus episcopos proprios: & hæc despicere nos impossibile est: dignetur tua sanctitas (si ab Antiochia longe est civitas, cujus gubernationem sortitus est memoratus religiosissimus episcopus Athanasius) quibusdam per proprias litteras audientiam delegare: quatenus evocati hi qui accusati sunt, respondeant: & si inventi fuerint accusationibus rei, a sacro ministerio [a] decidant. Quod enim ipsi adversus patrem proprium præsumpserunt, hoc juste sustineant: quando omnem consequentiam prætermiserunt, & omnem legem transcendere præsumpserunt, & pro nihilo esse judicaverunt senectutem exhonorare patris. Dicuntur autem non modo primum tales esse cœpisse, sed jam in multis culpati sunt adhuc valde pejoribus asperioribusque [b]. Asserit autem eum se suspectum habere, qui nunc jus metropolicum provincia obtinet, ex qua est: & sicut jam dixi, nihil molesti est, si iis qui ei suspecti sunt, judicare non liceat. Dic fraternitati qua apud te est, salutem. Salutat te in Domino qua nobiscum est.

[a] al. deleantur.

[b] al. addit, præsumptionibus.

Συναλγεῖν ἡμᾶς ἀδελφοῖς ἀναγκαῖον, [a] καὶ εἴ τινες τῶν συλλειτουργῶν πεπονθέναι τι διϊσχυρίζονται, καὶ τοῦτο παρὰ κληρικῶν ἰδίων, οἷς ἦν ἀναγκαῖον ὑπέχειν, ὡς πατράσι, τὸν αὐχένα, καὶ ὑποτάττεσθαι κατὰ τὸ δοκοῦν τῷ Θεῷ, καὶ τοῖς τῆς ἐκκλησίας κανόσι διωρισμένον. τοῦτο τοίνυν τῶν αἰσχίστων ἐστὶ τολμώμενον; τοιαῦτά φησι πεπονθέναι ἑαυτὸν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος· [b] ἔδωκε καὶ [c] τῇ τῆς συναχθείσης κατὰ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν συνόδου καταστάσει δάκρυον. φησὶ γὰρ, τινὰς τῶν [d] ὑπ᾽ αὐτὸν ὄντων κληρικῶν καταθαρρῆσαι τοσοῦτον, ὡς, τό γε ἧκον εἰς ἐγχειρημάτων δύ-

C ναμιν, καὶ ἐξεῶσαι τῆς ἱερωσύνης αὐτὸν, καὶ καθαιρέσεως ψῆφον ἐπ᾽ αὐτὸν ἐξενεγκεῖν. βούλονται γὰρ τοὺς μὲν οἰκονόμους τῆς ἐκκλησίας, ἤτοι τοὺς τῶν ἐκκλησιαστικῶν πραγμάτων χειριστὰς ἐκβαλεῖν, ἑτέρους δὲ αὐτοὶ τοὺς κατὰ γνώμην ἰδίαν· καὶ πρὸς τούτοις ἔτι καὶ ἐκ τῶν ἱερῶν διπτύχων περιελεῖν αὐτοῦ τὸ ὄνομα, ἕτερά τέ τινα ἄτοπα καὶ ἀνοσιότητος γέμοντα δρᾶσαι ἃ καὶ ἡ τῶν συνεζευγμένων λιβέλλων περιέχει δύναμις. ἐπειδὴ δὲ ἐστι τῶν ἀτόπων, τοιαῦτα τολμᾶσθαι παρὰ κληρικῶν κατὰ τῶν ἰδίων ἐπισκόπων· καὶ περιιδεῖν ἀμήχανον ἡμᾶς· καταξιωσάτω ἡ σὴ ὁσιότης, εἰ τῆς Ἀντιοχέων ἐστὶ μακρὰν ἡ πόλις, ἣν διοικεῖν ἔλαχεν ὁ μνημονευθεὶς θεοσεβέστατος ἐπίσκοπος Ἀθανάσιος, τισὶ δι᾽ οἰκείων γραμμάτων ἐπιτρέψαι τὴν ἀκρόασιν· ὥστε κληθέντας τοὺς τὴν [e] αἰτίασιν ὑπομείναντας, ἀπολο-

D γήσασθαι· καὶ εἰ εὑρεθεῖεν ἔνοχοι τοῖς αἰτιάμασι, ἀπολισθῆσαι τῆς ἱερᾶς λειτουργίας. ὃ γὰρ αὐτοὶ τετολμήκασι κατὰ τοῦ ἰδίου πατρὸς, τοῦτο παθεῖν εἰσὶ δίκαιοι, πάσης ἀλογήσαντες ἀκολουθίας, καὶ πάντα θεσμὸν ὑπερβάντες, καὶ παρ᾽ οὐδὲν ποιησάμενοι τὸ ἀτιμάσαι πατέρα. λέγονται δὲ καὶ οὐ νῦν [f] πρότερον ἄρξασθαι εἶναι τοιοῦτοι, ἀλλ᾽ ἤδη κατηγορεῖσθαι καὶ ἐπὶ πολλοῖς ἔτι χείροσι καὶ θρασυτέροις ἐγχειρήμασι. φάσκει δὲ ὕποπτον [g] ἔχειν τὸν λαχόντα νῦν εἰς τὸ μητροπολιτικὸν δίκαιον τῆς ἐπαρχίας ἐξ ἧς ἐστι· καὶ ὡς ἔφην ἤδη, τὸ λυποῦν οὐδὲν, ἐξεῖναι τοῖς ἐν ὑποψίᾳ μὴ δικάζειν αὐτοῦ. πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἐμοὶ ἐν κυρίῳ προσαγορεύει.

[a] Forte, καὶ εἴ τινες

[b] Forte, ἃ ὥστε ex Lat.

[c] Forte, ἀπὸ τῆς συναχθείσης.

[d] Forte, ὑπ᾽ αὐτὸν, ex Lat.

[e] Forte, αἰτίαν

[f] Forte, πρῶτον

[g] Forte, εἶναι

Rescriptum synodicarum litterarum.

E

Ἀντίγραφον συνοδικοῦ γράμματος.

Sanctissimo & Dei amantissimo fratri & consacerdoti Domno Proclus, in Domino salutem.

Ex editione Romana, quæ habet vetera quædam & nova. In codd. Bolur. & Isyano est versio penitus barbara, quemadmodum in editione Crabbi.

Caritas sancta, Deo dilectissime, maximum in hoc est donum. Vincient enim ad concordiam magnus artifex Deus naturam quam fabricatus est, benevolentia eos conjunxit, qui ratione reguntur; ut dum alii aliorum casus proprios ducerent, ac unusquisque ex se res alterius metiretur, in insolubilem consensionis unanimitatem ea connecterentur, qua unius natura sunt. Ea enim qua affectu disjuncta sunt, necessario in mutuum exitium ruunt: qua vero voluntate unita sunt, non facile

Τῷ ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Δόμνῳ, Πρόκλος ἐν κυρίῳ χαίρειν.

Τὸ φιλάλληλον, θεοφιλέστατε, μέγιστον ἐν τούτῳ τυγχάνει δῶρον. συνδέσμῳ γὰρ εἰς ὁμογνωμοσύνην ὁ ἀριστοτέχνης Θεὸς ἣν ἐδημιούργησε φύσιν, τῇ διαθέσει τοὺς λόγῳ διοικουμένους συνέσφιγξεν· ἵν᾽ οἰκειούμενοι τὰ ἀλλήλων πάθη, καὶ ἕκαστος ἑαυτῷ τὰ τοῦ ἑτέρου μετρῶν, εἰς ἄλυτον συμπαθείας ὁμοφροσύνην συμπλέκοιτο τὰ ὁμοφυῆ. τὰ μὲν γὰρ ἀφεστῶτα κατὰ σχέσιν, πρὸς τὴν ἀλλήλων ἀναγκαίως ἐπείγεται φθοράν· τὰ δὲ ἑνούμενα κατὰ γνώμην, οὐ ῥᾳδίως

ἀπολισθαίνει

ANNO CHRISTI 451.

ἀπολισθαίνει τῆς οἰκείου ἀσφαλείας. διὸ καὶ ὁ Παῦλος τὸ πλῆθος τῶν πιστῶν, καὶ τὸ σύγκρότημα τῆς ἐκκλησίας, σώματι ἀπείκασε, λέγων· ὑμεῖς ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέλους· πάντας ἐξαγορεύων τὴν τοῦ πλήθους σύμπνοιαν, καὶ ἀπαγορεύων νόσον τὴν φιλοπόλεμον αἰτίασιν, ἐκ τῆς τῶν μελῶν συμφωνίας. περὶ τί δὲ ταῦτα γράφω, θεοφιλέστατε, μικρὸν ἀνάσχου μαθεῖν. ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς Περρηνῶν ἐκκλησίας Ἀθανάσιος ἄπιστα ὁμοῦ, καὶ πληποῦσαν οὐ μετρίως τοὺς ἀκούοντας ἀπεθρήνησε τραγῳδίαν, φήσας, τοὺς αὐτοῦ κληρικοὺς, ὥσπερ ἀποδυσαμένους τὸν λογισμὸν τῆς ὑποταγῆς, καὶ νομίσαντας ἀρκεῖν αὐτοῖς ἐκ τοῦ βούλεσθαι, καὶ εἶναι ἱεροτυράννους, ἀπώσασθαι μὲν αὐτὸν τῆς ἐκκλησίας σὺν οὐδενὶ δικαίῳ λόγῳ, καὶ τό γε ἐπ' αὐτοῖς, καὶ ὅσοι ἥκει εἰς μανίας ὑπερβολὴν, καθελεῖν, καὶ τοῖς ἔργοις πεῖσαι, ὅτι ἐν τῇ γνώμῃ τῶν [a] περιπειθομένων, ἀλλὰ μὴ ἐν τῇ ψήφῳ τῶν κανόνων, ἡ τῶν ἱερῶν κρατύνεται τάξις· οἰκονόμους τε καὶ φροντιστὰς κατ' οἰκείαν ἐπιστῆσαι τῇ ἐκκλησίᾳ, καὶ τῶν ἱερῶν δέλτων περιελεῖν τὸ ὄνομα τοῦ ἐπισκοποῦντος· καὶ συντόμως εἰπεῖν, ἀναφανδὸν ἐξορχήσασθαι τὴν ἐκκλησιαστικὴν ἀπαξίαν· προσθεὶς, ὡς ἔθρεψεν αὐτοὺς τὴν περὶ τὰ τοιαῦτα τόλμαν ἡ τῶν πάλαι παρ' αὐτοῖς αἰσχρουργηθέντων ἡ εὔλογος συγγνώμη. τοὺς γὰρ πρὸ αὐτοῦ τὰ ὅμοια πεποιηκότας, ἐδῶ τὴν ὁρμὴν τὸ χεῖρον ἐκορύφωσαν, ἐφ' οἷς μὴ πάλαι ἀξίας δεδώκασι δίκας, τοῦ μηδὲ αὖθις σωφρονῆσαι ἐχούσης ἐφόδου. ἀλλ' αὐτὸς, θεοφιλέστατε, καταξίωσον, παρ' ἡμῶν δυσωπούμενος· δύνασαι γάρ· οἰκειώσασθαι τοῦ συνιερέως τὰς ἀσθενείας, μάλιστα πειθόμενος τῷ μακαρίῳ Παύλῳ βοῶντι· εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. καὶ εἰ μακρὰν τῶν Ἀντιοχέων μεγαλοπόλεως ἡ πόλις, ἐν ᾗ ταῦτα ἐδραματουργήθη, ἀπῴκισται, τινὰς τῶν ἀσυγκρίτων καὶ ἀπροσωπολήπτων θεοφιλεστάτων ἐπισκόπων ἀκοῦσαι τῆς ὑποθέσεως. ὑφορᾶται γὰρ τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς μητροπόλεως, ὡς τῇ τῆς μανίας τῶν ἀντιπάλων φλογὶ τὴν ἐκ δυσμενείας κατ' αὐτοῦ παρεχόντα δύναμίν τε καὶ ὕλην. καὶ, εἰ ἐλεγχθεῖεν ἐφ' οἷς ᾐτιάθησαν οἱ παρ' αὐτοῦ καταβοώμενοι, καὶ εἰς ἀπόνοιαν τὸν Ἀβεσσαλὼμ ἐκεῖνον μιμησάμενοι, ἐπίσης ἐκείνῳ δέξασθαι καὶ τὴν ἐκ τοῦ παραδείγματος τιμωρίαν. οὕτω γὰρ μισεῖ ὁ Θεὸς τοὺς κατὰ πατέρων ὁπλιζομένους, ὡς ἐν πάσῃ τῇ κτίσει στηλιτεύειν τὰς πατραλοίας. οἶδα δὲ, θεοφιλέστατε, ὡς πάντας περιπτυσσόμενος ἐν σπλάγχνοις Χριστοῦ, καὶ γέμων συμπαθείας, εἰκαιώσῃ τὸν πρεσβύτην, καὶ ἀπομάξεις αὐτοῦ τὸ τῆς θλίψεως δάκρυον, καὶ χαρίσῃ αὐτῷ τὸ μισοπόνηρον, καὶ τοὺς τῆς ἱερωσύνης ἐπιβούλους, [b] μετὰ τοὺς ἐλέγχους ὀργῇ δικαίᾳ χρησάμενος καὶ ἀμύνῃ τὸ πρέπον ἐχούσῃ, παρασκευάσεις ἐκποδὼν γενέσθαι, σύντομον [c] νομὴν, τὸ κοινὸν τῆς ἱερωσύνης καταβλάπτουσαν, ἐπιστημόνως ἐκτέμνων. εἰ γὰρ δοίη τις, τοὺς τολμῶντας ἃ μὴ δεῖ, καὶ εἰς τοσοῦτο φθάνοντας θράσους, ὡς καὶ τοιούτων καταπολμᾶν, δι' ὧν ἱερωσύνην καθυβρίζουσιν, οἰκτείρειν ἀκρίτως, ἀφ' ὧν τὸν ἔλαιον περὶ ἀνομίας [d] θηρεύουσι. καὶ παρακαλεῖν· λείπεται οὐδὲν, ἢ πάντας τοὺς τῶν ἐκκλησιῶν προεστῶτας παίγνιον εἶναι καὶ τῶν διαβολικῶν ὀργάνων. ἀλλ' ὁ Θεὸς ἐπὶ τούτῳ καὶ τὴν σὴν θεοσέβειαν προεχειρίσατο, ἐπὶ τῷ καὶ παύειν ἀδικίας, καὶ τόλμας ἀναστέλλειν καὶ ἱερωσύνῃ καμνούσῃ βοηθεῖν, καὶ ταῖς οἰκείαις λοιδορίαις χώραν μὴ παρέχειν ἀλλὰ μετὰ διάγνωσιν, τῷ μὲν συκοφαντουμένῳ, εἴ γε συκοφαντεῖται, βοηθεῖν· τὸν δὲ συκοφαντοῦντα, εἴ γε ἀληθῶς συκοφαντεῖ, ἐκτέμνειν. μὴ τοίνυν νομίσῃ σου ἡ θεοσέβεια, ὡς ἐφ' ὕβρει τοῦ θρόνου τῆς μεγίστης Ἀντιοχέων πόλεως κατέλαβε τὰ τῇδε ὁ μνημονευθεὶς θεοφιλέστατος ἐπίσκοπος· ἀλλ' ὑφορώμενός τινας, ὥς φησι, τοὺς ταραχαῖς χαίροντας, καὶ οἰκείῳ πάθει στρατευομένους, δέδωκε πρὸς καιρὸν τόπον τῇ ὀργῇ· ἐπεί τοι, τὸ ἀνεξίκακον, καὶ ἥμερον, καὶ φιλοδίκαιον τῆς σῆς θεοσεβείας κηρύττων οὐ παύεται· καὶ ἄλλως ὡς αἰτιώμενος· μὴ φεύγων ἀλλὰ δυσωπῶν αἰδεσιμωτέραν γενέσθαι τὴν ὑπ' αὐτῷ μαρτυρίαν. διὸ καὶ τοῖς παροῦσιν αὐτὸν παραθέμενοι γράμμασι, θαῤῥεῖν ἔπειθον ἐγώ τε καὶ ὁ ὁσιώτατος ἐπίσκοπος καὶ συλλειτουργὸς ἡμῶν Κύριλλος, ὡς

[a] Forte, περιπειθομένων, ex Lat.

[b] Forte, καὶ

[c] Forte, γάγγραιναν, ex Lat.

[d] Forte, θηρεύοντες ἐπιτιμήσεις, ex Lat.

a firmitate propria dilabuntur. Unde & beatus Paulus multitudinem fidelium & conjunctionem ecclesiæ, corpori comparavit, dicens: Vos estis corpus Christi, & membra ex membro: omnibus prædicans multitudinis conspirationem, & ex concordia membrorum prohibens, ne contentionis morbo, cui bella sunt amica, laboremus. Cur autem hæc scribam, Dei amantissime pater, rogo paululum ut agnoscas. Dei amantissimus ecclesiæ Perrhenorum episcopus Athanasius incredibilem simul, & audientibus non mediocriter molestam pompam deflevit: dicens clericos suos velut exutos ratione subjectionis, & putantes sibi sufficere voluntatem, ut essent sacrorum tyranni, expulisse eum ab ecclesia, cum justa ratio nulla subsisteret: & quantum ad eos attinet, in tantam vesaniam exsiliisse, ut etiam damnarent eum; & operibus persuaderent, quia in voluntate procacium, & non in decreto regularum, [a] sacrorum ordo consistat: œconomos autem & curatores propria voluntate constituisse ecclesiæ Dei, & episcopi nomen de sacris diptychis abstulisse; & ut breviter dixerim, palam ecclesiasticum ordinem expulisse: adjiciens, quoniam nutrivit circa hæc istorum præsumptionem veteribus eorum & sceleratis operibus non rationabilis venia data. Nam præcessoribus ejus similia facientes, inde gradu facto, impetum suum ad pejora cumularunt, cum prius meritas pœnas non sustinuerint, aditu illis dato, ut neque in posterum sibi temperarent. Sed tu, Dei amantissime, dignare, a nobis rogatus (potes enim) consacerdotis infirmitates tibi proprias efficere, obediens præcipue beato Paulo dicenti: Si patitur unum membrum, compatiuntur omnia membra. Et si quidem longe ab urbe Antiochena civitas constituta est, in qua hæc perpetrata noscuntur, aliquos Dei amantissimorum episcoporum ipsi urbi vicinos, personas non accipientes, ad audiendum hanc causam sanctitas tua deputet. Formidat enim religiosissimum metropolitanum episcopum, tamquam vesana flamma inimicorum ejus ex odio adversus eum vim præbentem atque materiam. Et si quidem convicti fuerint in quibus accusantur, ii de quibus conqueritur, & qui superbiam Absalom imitati sunt, simili exemplo plectantur. Sic enim odit Deus eos qui adversus patres armantur, ut patrum invasores in omni mundo infamia [b] notet. Novi autem, Dei amantissime, quoniam omnes complectens in Christi visceribus, & commiseratione plenus, consolaberis senem, & lacrymas ejus tribulationis absterges, & donabis ei odium malignitatis, & sacerdotii adversarios post convictionem furori justo & competenti vindictæ subjiciens, expelles omnem pessimam voluntatem, & communis sacerdotii pestem, scienter abscindens. Nam si quis concesserit, ut præsumptoribus & inconvenienter in tantam procacitatem exsilientibus, ut Dei pontificibus contumeliam inferre audeant, misericordia illis sine judicio fiat, ex quibus oleum iniquitatis supplicationibus aucupantur: nihil est reliquum, nisi ut omnes ecclesiarum præsules in lusum & opprobrium fiant, & per hæc stabiliatur diabolicum instrumentum. Sed Deus ad hoc tuam religiositatem prærordinavit, ut & injustitias removeas, & præsumptiones comprimas, & sacerdotio laboranti succurras, & multis maledictis locum non præbeas: sed post cognitionem, ei quidem qui calumniam patitur, adjutorium feras: illum vero qui calumniam fecit, si vere est calumniatus, abscindas. Non igitur tua religiositas arbitretur, quia tamquam ad injuriam sedis Antiochenæ maximæ civitatis huc venit memoratus Dei amantissimus episcopus; sed metuens quosdam, sicut ait, seditionibus gaudentes, & passioni propriæ militantes, dedit ad tempus locum iræ: nam alioqui patientiam, & mansuetudinem, & justitiam tuæ religiositatis prædicare non cessat: nec ut accuset, (absit hoc) sed ut supplicet honestiorem in se compositionem effici. Unde & præsentibus eum litteris consolantes, consideravissimus ego atque sanctissimus episcopus & consacerdos noster Cyrillus, quod

ACTIO QUARTADECIMA.

Ephes. 5. 1. Cor. 12.

[a] al. consistunt ordines sacerdotum.

1. Cor. 12.

[b] al. notemus

ACTIO QUARTADECIMA.

propter caritatem, quæ continetur in nobis, habens reverentiam scribentibus, harum litterarum gerulum modis omnibus adjuvabis. Omnem quæ tecum est, in Christo fraternitatem plurimum saluto.

Gloriosissimi judices dixerunt: Post epistolam quid actum est? Sabinianus reverentissimus episcopus dixit: Supplico gesta legi, & ipsa vos edocebunt. Gloriosissimi judices dixerunt: Interlocutiones gestorum quæ porriguntur, legantur. Constantinus devotus secretarius divini consistorii, ex scheda illi a Sabiniano reverentissimo episcopo data, cujus initium erat disruptum, reliqua legit:

CONCILIUM ANTIOCHENUM.

IN Antiochensium sanctissima ecclesia, in porticu æstivalis secretarii, facto concilio, & residentibus sanctissimis episcopis, Domno ejusdem Antiochiæ, Theodoro Damasci, Valerio Anazarbi, Pompeiano Emesæ, Polychronio Epiphaniæ secundæ Ciliciæ, Damiano Sidonis, Iamblicho Chalcidis, Theoctisto Berrhœæ, Gerontio Seleuciæ, Josepho Heliopolis, Timotheo Dolichis, Benetio Bybli, Epiphanio [a] Arcæ, Paulo Ptolemaïdis, Stephano Epiphaniæ Syriæ secundæ, Phosphoro Orthosiadis, Thoma Mompsuestiæ, Jordane Abilæ, Paulo Antaradi, Barane Alexandriæ, Mara Urimorum, Sabba Palti, Mara Anasarthæ, Joanne Theodosiopolis, Daniele Carrhensium, Sophronio Constantiæ, Uranio Himerorum, Mariniano [b] Iotapæ, Tatianus diaconus & notarius dixit: Perrhenses clerici libellos & nunc iterum obtulerunt vestræ sanctitati adversus reverentissimum episcopum Athanasium. Quia igitur adest sanctum concilium, præ manibus habeo libellos; & si præcipit tua sanctitas, eos relego.

[a] al. Heracleæ

[b] Rhosaphæ, in mss.

Domnus episcopus Antiochiæ dixit: Ubi sunt qui libellos obtulerunt? Tatianus Diaconus dixit: Foris sunt. Domnus episcopus dixit: Ingrediantur. Tatianus diaconus dixit: Adstitit Isacius, qui libellos obtulit. Domnus episcopus dixit: Solus Isacius libellos obtulit, an alii cum eo? Tatianus diaconus dixit: Solus Isacius obtulit libellos. Domnus episcopus dixit: Dicat Isacius si ipse libellos obtulit. Isacius primicerius lectorum dixit: Etiam, quæso sanctitatem tuam. Domnus episcopus dixit: Lege illos. Et lecti sunt. Domnus episcopus dixit: Quoniam memoria facta est & Joannis subdiaconi, & ipse ingrediatur. Tatianus diaconus dixit: Adest Joannes subdiaconus. Domnus episcopus dixit: Præsentibus eis lege conjunctos libellos. Et lecti sunt. Domnus episcopus dixit: Ubi sunt ipsi libelli? Tatianus diaconus dixit: Habeo præ manibus. Domnus episcopus dixit: Lege etiam eos. Et lecti sunt. Domnus episcopus dixit: Quando delegavimus causam beatissimo Panolbio, qui tunc metropolitanus erat ejus provinciæ, ut causam audiret, quæ subsecuta sunt? Tatianus diaconus dixit: Habeo ejusdem beatissimi Panolbii epistolam, per quam edocuit quæ secuta sunt. Domnus episcopus dixit: Lege eam. Et lecta est. Domnus episcopus dixit; Habes exemplaria repudii reverentissimi episcopi Athanasii? Tatianus diaconus dixit: Præ manibus habeo & exemplaria & authentica, quæ accepi a Dei amantissimo episcopo Joanne Hierapolitanorum metropolis. Domnus episcopus dixit: Legantur authentica per ordinem. Et lecta sunt.

Theodorus episcopus Damasci dixit: Quoniam favorabilis erat circa reverentissimum episcopum Athanasium beatæ memoriæ Panolbius Hierapolitanus quondam episcopus, per proprios repudii libellos edocuit idem reverentissimus episcopus Athanasius. Manifestus est igitur litem fugiens, & neque amico proprio audientiam suam credens.

Valerius episcopus Anazarbi dixit: Manifestus est reverentissimus episcopus Athanasius tamquam sibi conscius nonnullorum, quibus accusatur, eo quod noluerit

A διὰ τὴν κρατοῦσαν ἐν ἡμῖν ἀγάπην αἰδεσθεὶς τοὺς ἐπιστείλαντας, βοηθήσεις πάντως τῷ κομίσαντι. πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα πλεῖστα προσαγορεύω.

ANNO CHRISTI 451.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· μετὰ τὰς ἐπιστολὰς τί ἐπράχθη; Σαβινιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἀξιῶ τὰ ὑπομνήματα ἀναγνωσθῆναι· καὶ ταῦτα διδάσκει ὑμᾶς. οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· αἱ [a] διδασκαλίαι τῶν προκομιζομένων ὑπομνημάτων ἀναγνωσθήτωσαν. Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου, ἀπὸ χαρτίου ἐπιδοθέντος αὐτῷ παρὰ Σαβινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου, οὗ ἡ ἀρχὴ ἐφθαρτο, τὰ ἑξῆς ἀνέγνω.

[a] Forte, διαλαλιαι. ex Latino.

B ἘΝ τῇ Ἀντιοχέων ἁγιωτάτῃ ἐκκλησίᾳ, ἐν τῷ στοᾷ τοῦ θερινοῦ σηκρέτου, συνόδου γενομένης, καὶ καθεζομένων τῶν ἁγιωτάτων ἐπισκόπων, Δόμνου τῆς αὐτῆς Ἀντιοχείας, Θεοδώρου Δαμασκοῦ, Βαλερίου Ἀναζάρβου, Πομπηϊανοῦ Ἐμέσης, Πολυχρονίου Ἐπιφανείας τῆς δευτέρας Κιλικίας, Δαμιανοῦ Σιδῶνος, Ἰαμβλίχου Χαλκίδος, Θεοκτίστου Βεῤῥοίας, Γεροντίου Σελευκείας, Ἰωσὴφ [b] Ἡλιουπόλεως, Τιμοθέου Δολίχης, Βενετίου Βίβλου, Ἐπιφανίου Ἡρακλείας, Παύλου Πτολεμαΐδος, Στεφάνου Ἐπιφανείας δευτέρας Συρίας, Φωσφόρου Ὀρθωσιάδος, Θωμᾶ Μοψουεστίας, Ἰορδάνου Ἀβίλης, Παύλου Ἀντιπάδου, Βαραίου Ἀλεξανδρείας, Μάρα Οὐρίμων, Σάββα Πάλτου, Μάρα [c] Οἰνοπάδας, Ἰωάννου Θεοδοσιουπόλεως, Δανιήλου Καρῶν, Σωφρονίου Κωνσταντίνης, Οὐρανίου [d] Οὐέρας, Μαρινιανοῦ Ῥωσαφᾶ· Τατιανὸς διάκονος καὶ νοτάριος εἶπεν· οἱ ἀπὸ Πέῤῥης ὁρμώμενοι κληρικοὶ λιβέλλους καὶ νῦν πάλιν ἐπιδεδώκασι τῇ ὑμετέρᾳ ὁσιότητι κατὰ
C τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου. ἐπειδὴ τοίνυν πάρεστιν ἡ ἁγία σύνοδος, ἔχω μετὰ χεῖρας τοὺς λιβέλλους· καὶ εἰ κελεύσειεν ἡ σὴ ὁσιότης, τούτους ἀναγνώσομαι.

[b] Ἡλιουπόλεως, in Latino.

[c] Forte, Ἀνασαρθᾶς.

[d] Ἱμέρων in Latino.

Δόμνος ἐπίσκοπος εἶπε· ποῦ εἰσὶν οἱ τοὺς λιβέλλους ἐπιδεδωκότες; Τατιανὸς διάκονος εἶπεν· ἔξω εἰσί. Δόμνος ἐπίσκοπος εἶπεν· εἰσίτωσαν. Τατιανὸς διάκονος εἶπεν· ἔστηκεν Ἰσαάκιος ὁ τοὺς λιβέλλους ἐπιδεδωκώς. Δόμνος ἐπίσκοπος εἶπε· μόνος Ἰσαάκιος δέδωκε τοὺς λιβέλλους, ἢ καὶ ἄλλοι σὺν αὐτῷ; Τατιανὸς διάκονος εἶπε· μόνος Ἰσαάκιος ἐπιδέδωκε τοὺς λιβέλλους. Δόμνος ἐπίσκοπος εἶπε· λεγέτω Ἰσαάκιος, εἰ αὐτὸς ἐπιδέδωκε τοὺς λιβέλλους. Ἰσαάκιος, ἀρχιαναγνώστης εἶπε· ναί· δέομαι τῆς ἁγιωσύνης σου. Δόμνος ἐπίσκοπος εἶπεν· ἀνάγνωθι τούτους. καὶ ἀνεγνώσθησαν. Δόμνος ἐπίσκοπος εἶπεν· ἐπειδὴ ἐμνημόνευσε καὶ Ἰωάννου ὑποδιακόνου, εἰσίτω καὶ οὗτος.
D Τατιανὸς διάκονος εἶπε· πάρεστι καὶ Ἰωάννης ὁ ὑποδιάκονος. Δόμνος ἐπίσκοπος εἶπε· παρόντων αὐτῶν, ἀνάγνωθι τοὺς συνεζευγμένους λιβέλλους. καὶ ἀνεγνώσθησαν. Δόμνος ἐπίσκοπος εἶπε· ποῦ εἰσιν αὐτοὶ οἱ λίβελλοι; Τατιανὸς διάκονος εἶπεν· ἔχω μετὰ χεῖρας. Δόμνος ἐπίσκοπος εἶπεν· ἀνάγνωθι καὶ τούτους. καὶ ἀνεγνώσθησαν. Δόμνος ἐπίσκοπος εἶπεν· ἡνίκα παρεπέμψαμεν τὴν δίκην τῷ μακαριωτάτῳ Πανολβίῳ τῷ τηνικαῦτα μητροπολίτῃ τῆς ἐπαρχίας, ὥστε διακοῦσαι τῆς ὑποθέσεως, τίνα παρηκολούθησαν; Τατιανὸς διάκονος εἶπεν· ἔχω τοῦ αὐτοῦ μακαριωτάτου Πανολβίου ἐπιστολὴν, δι' ἧς ἐδίδαξε τὰ παρακολουθήσαντα. Δόμνος ἐπίσκοπος εἶπεν· ἀνάγνωθι καὶ ταύτην. καὶ ἀνεγνώσθη. Δόμνος ἐπίσκοπος εἶπεν· ἔχεις τὰ ἀντίγραφα τῶν παραιτήσεων τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου; Τατιανὸς διάκονος εἶπεν· ἔχω μετὰ χεῖρας καὶ τὰ ἀντίγραφα καὶ
E τὰ αὐθεντικὰ, λαβὼν παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἱεραπολιτῶν μητροπόλεως. Δόμνος ἐπίσκοπος εἶπεν· ἀναγνωσθήτω τὰ αὐθεντικὰ κατὰ τάξιν. καὶ ἀνεγνώσθη.

Θεόδωρος ἐπίσκοπος Δαμασκοῦ εἶπεν· ὅτι ἐπιεικῶς διέκειτο περὶ τὸν εὐλαβέστατον Ἀθανάσιον ὁ μακαρίτης Πανόλβιος ὁ τῶν Ἱεραπολιτῶν τηνικαῦτα ἐπίσκοπος, διὰ τῶν οἰκείων παραιτήσεων ἐδίδαξεν ὁ αὐτὸς εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος. δῆλος τοίνυν ἐστὶ φυγὼν τὴν δίκην, καὶ μηδὲ τῷ φίλῳ ἑαυτοῦ τὴν κατ' αὐτὸν ἐμπιστεύσας ἀκρόασιν.

Βαλέριος ἐπίσκοπος Ἀναζάρβου εἶπε· δῆλός ἐστιν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος συνειδὼς ἑαυτῷ τινα, ἅπερ καὶ κατηγόρηται, τῷ μὴ βουληθῆναι παρὰ τῷ αὐτοῦ

Anno Christi 451.

Actio quartadecima. Concilium Antiochenum.

φίλῳ τῷ μακαριωτάτῳ Πανολβίῳ δικάσασθαι, κατὰ τὰς παρ' αὐτοῦ γραφείσας παραιτητικὰς ἐπιστολάς.

Πομπηϊανὸς ἐπίσκοπος Ἐμέσης εἶπε· φίλου τυγχάνοντος αὐτῷ τοῦ παμμακαρίου Πανολβίου τοῦ ἐπισκόπου, ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος δῆλός ἐστιν, ὡς ὑπὸ κακοῦ συνειδότος τοῦτο πεποίηκε.

Πολυχρόνιος ἐπίσκοπος Ἐπιφανείας εἶπεν· ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, οὐδὲ τῷ αὐτοῦ φίλῳ θαρρήσας τὴν κατ' αὐτοῦ κατηγορίαν, δῆλός ἐστι φαύλῳ συνειδότι φυγὼν τὴν δίκην.

Ἰάμβλιχος ἐπίσκοπος εἶπεν· εἰ ἑαυτῷ ἐθάρρει ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, οὐκ ἂν τὴν ἀκρόασιν Πανολβίου τοῦ φίλου αὐτοῦ παρῃτήσατο, ὡς αὐτὸς ἐν τοῖς παραιτητικοῖς γράμμασι τοῖς πρὸς αὐτὸν ὡμολόγησεν· ἀλλ' ἴσως ὑπὸ τοῦ συνειδότος ἐλαυνόμενος, ἔφυγε τὴν κλῆσιν τὴν ἐπὶ τοῦ προειρημένου μακαρίου Πανολβίου.

Δαμιανὸς ἐπίσκοπος Σιδῶνος εἶπε· μεγάλα ἑαυτὸν ἠδίκησε, καὶ ὑπεύθυνον κατέστησε τοῖς ἁγίοις κανόσιν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, τρίτον κληθεὶς παρὰ τοῦ τῆς εὐλαβοῦς μνήμης Πανολβίου, τοῦ τὸ τηνικαῦτα τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπισκόπου τυγχάνοντος, καὶ τρίτον παραιτησάμενος, καὶ μὴ ἀπαντήσας.

Γερόντιος ἐπίσκοπος Σελευκείας εἶπε· τὰ μέγιστα ἑαυτὸν ἠδίκησεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, μήτε τοῦ φίλου αὐτοῦ τοῦ μακαρίου Πανολβίου ἀνασχόμενος, καὶ ταῦτα κληθεὶς δικάσασθαι, φυγὼν τὴν ἀκρόασιν, ὡς καὶ αἱ παρ' αὐτοῦ τρεῖς παραιτητικαὶ ἐπιστολαὶ διηγόρευσαν.

Βενίσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βίβλου εἶπε· τὰ παραιτητικὰ γράμματα τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου ἐδίδαξεν ἡμᾶς, ὡς γνήσιος ἐτύγχανεν ὁ τότε μητροπολίτης αὐτῷ, ὁ μακάριος Πανόλβιος, παρ' ᾧ τὰς ἀποκρίσεις ἔδει ποιήσασθαι. ὅθεν οὐκ ἐχρῆν τὴν κλῆσιν φυγεῖν, εἰ μή που γε τὸ συνειδὸς αὐτῷ ἐνεπόδιζε.

Θεόκτιστος ἐπίσκοπος Βερροίας εἶπεν· εἰ εἶχε καθαρὸν τὸ συνειδὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, οὐκ ἂν παρῃτήσατο τοῦ μακαρίου Πανολβίου τὴν κλῆσιν, φίλου αὐτοῦ τυγχάνοντος.

Ἐπιφάνιος ἐπίσκοπος Ἄρκης εἶπεν· ἔδειξεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, ὡς ἑαυτὸν τῆς Περρινῶν ἐκκλησίας ἀπηλλοτρίωσε, τὴν ἐπισκοπὴν παραιτησάμενος, τρεῖς [a] ἐπέστελε, καὶ ταῦτα, φίλον ἔχων τὸν μακάριον Πανόλβιον τὸν γενόμενον τῆς Ἱεραπολιτῶν ἐπίσκοπον, δυνάμενον, εἰ μὴ ἑαυτῷ συνῄδει, τὰ κατ' αὐτὸν δεόντως ποιῆσαι.

[a] Forte, ἀπέστελε;

Μάρας ἐπίσκοπος Οὐρίμων εἶπε· τῷ φυγεῖν τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον τὴν κρίσιν τοῦ μακαρίου Πανολβίου τοῦ τὸ τηνικαῦτα τῆς Ἱεραπολιτῶν ἐπισκόπου, δῆλός ἐστιν ἐλεγχόμενος ὑπὸ τοῦ συνειδότος.

Βαράνης ἐπίσκοπος Ἀλεξανδρείας εἶπε· τὰ μέγιστα ἑαυτὸν ἠδίκησεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, μὴ ὑπακούσας τῷ τηνικαῦτα μητροπολίτῃ τῷ μακαρίῳ Πανολβίῳ, καὶ ταῦτα, φίλῳ αὐτοῦ τυγχάνοντι. ὅθεν δῆλός ἐστιν, ὡς οὐκ ὀρθῷ συνειδότι συζήσας, ἀπέφυγε τὴν τοιαύτην κρίσιν, καὶ ἐπὶ τὰς παραιτήσεις ἦλθεν.

Στέφανος ἐπίσκοπος Ἐπιφανείας εἶπε· [b] περιττὸν εἶναι μετὰ τρεῖς παραιτήσεις, καὶ ταῦτα, [c] ὅρον ἐχούσας, ἐξετάσει παραδοθῆναι τὸ πρᾶγμα τὸ κατὰ τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον. πῶς γὰρ ἂν εἵλετο παρὰ τῇ ἁγίᾳ ταύτῃ συνόδῳ δικάσασθαι, ὁπότε ἐπὶ τοῦ οἰκείου φίλου τοῦ μακαρίου Πανολβίου, ὡς αὐτὸς ἐν τοῖς παραιτητικοῖς αὐτοῦ ἐσήμανε, τὴν κρίσιν φαίνεται ἀποφυγών;

[b] Forte, περιττὸν οἶμαι μετὰ

[c] Forte, ὅρκον

Φωσφόρος ἐπίσκοπος Ὀρθωσιάδος εἶπε· τὰ παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου γραφέντα πρὸς τὸν μακάριον Πανόλβιον τὸν τηνικαῦτα ἐπίσκοπον ὄντα τῆς Ἱεραπολιτῶν, δηλοῖ, ὡς τὴν κρίσιν φεύγων, τῆς Περρινῶν ἀνεχώρησεν ἐπισκοπῆς.

Δανιῆλος ἐπίσκοπος Καρρῶν εἶπεν· ἐδήλωσε τὰ πεμφθέντα παραιτητικὰ γράμματα παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου πρὸς τὸν μακάριον ἐπίσκοπον Πανόλβιον, ὡς παραιτησάμενος τὴν κρίσιν, ἀλλότριον ἑαυτὸν τῆς ἐπισκοπῆς κατέστησεν.

apud amicum proprium Panolbium causam dicere, secundum epistolas repudii ab eo conscriptas.

Pompeianus episcopus Emisa dixit: Cum amicus ejus exsisteret beata memoria Panolbius episcopus, certum est quod reverentissimus episcopus Athanasius hoc conscientia mala fecit.

Polychronius episcopus Epiphaniæ dixit: Reverentissimus episcopus Athanasius neque suo amico committens accusationem suam, certum est prava conscientia declinasse judicium.

Iamblichus episcopus Chalcidis dixit: Si confideret reverentissimus Athanasius, audientiam Panolbii amici proprii non fugisset, sicut ipse in litteris repudii ad eum datis professus est. Sed forsan conscientia compulsus evocationem declinavit a prædicto beato Panolbio factam.

Damianus episcopus Sidonis dixit: Maxime sibiipsi nocuit, & reum se canonibus sanctis effecit reverentissimus episcopus Athanasius citatus a reverendæ memoriæ Panolbio, qui tunc erat Hierapolitanorum metropolitanus episcopus: & tertio respuens, nec occurrens.

Gerontius episcopus Seleuciæ dixit: Valde sibimetipsi nocuit reverentissimus episcopus Athanasius, neque amicum suum prædictum Panolbium passus, & præcipue evocatus ad judicium, & audientiam fugiens, sicut tria ejus repudia manifestant.

Benesius reverentissimus episcopus Bybli dixit: Lectio litterarum repudii reverentissimi episcopi Athanasii docuit nos, quia purus amicus fuit ei qui tunc metropolitanus erat, hoc est, beato Panolbio, apud quem respondere oportebat. Unde non oportuit evocationem effugere, nisi forte ejus conscientia impedisset.

Theoctistus episcopus Berrhœa dixit: Si mundam habuisset conscientiam reverentissimus episcopus Athanasius, non repudiasset audientiam beati Panolbii, cum ejus utique amicus esset.

Epiphanius episcopus Arcæ dixit: Ostendit reverentissimus episcopus Athanasius, quia semetipsum ab episcopatu Perrhenorum ecclesia fecit extraneum, repudium tertio mittens, dum utique beatum Panolbium Hierapolitanorum episcopum amicum haberet, qui posset, nisi ipse sibi conscius esset, ejus negotium bene disponere.

Maras episcopus Urimorum dixit: In eo quod reverentissimus episcopus Athanasius judicium beati Panolbii declinavit, qui tunc Hierapolitanorum erat episcopus, apparet quia conscientia sua convictus est.

Baranes episcopus Alexandriæ dixit: Maxime sibi nocuit reverentissimus episcopus Athanasius, non obediens tunc metropolitano beatæ memoriæ Panolbio, & præcipue cum ejus amicus exsisteret; unde certum est, quia non recta conscientia vivens, talem audientiam declinavit, & ad recusationes venit.

Stephanus episcopus Epiphaniæ dixit: Superfluam rem esse judico, post tria repudia, & terminum habentia, causam reverentissimi episcopi Athanasii in examinationem adduci. Quomodo enim elegit hanc a sancto concilio judicari, dum proprii amici sui beatæ memoriæ Panolbii, sicut ipse in repudiis manifestavit, videatur declinasse judicium?

Phosphorus episcopus Orthosiadis dixit: Ea quæ a reverentissimo episcopo Athanasio sunt scripta ad beatæ memoriæ Panolbium, qui tunc Hierapolitanorum erat episcopus, manifestant quoniam, judicium fugiens, reus a Perrhenorum discessit episcopatu.

Daniel episcopus Carrhensium dixit: Palam est quia directis repudii litteris reverentissimus episcopus Athanasius ad beatæ memoriæ Panolbium, qui tunc metropolitanus erat, refutando judicium, ab episcopatu semetipsum fecit extraneum.

ACTIO QUARTADECIMA. CONCILIUM ANTIOCHENUM.

Joannes episcopus Theodosiopolis dixit: Iis quæ placent sancto concilio vestro & ego consentio.

Sophronius episcopus [a] *Constantiæ dixit: Ex repudii litteris quæ relecta sunt, deprehenditur reverentissimus episcopus Athanasius, quia ad judicium venire noluit, & episcopatum quoque repudiavit.*

Joseph episcopus [b] *Iuliopolis dixit: Tertio repudiando reverentissimus episcopus Athanasius, & nolendo apud amicum suum beatæ memoriæ Panolbium, qui tunc metropolitanus erat episcopus, occurrere, & causam dicere; & semetipsum ab illatis sibi criminibus liberare, certum est quoniam conscientia mala usus sit.*

Timotheus episcopus Dolichæ dixit: Oportebat quidem reverentissimum episcopum Athanasium ab exordio, evocatum tertio a beatæ memoriæ Panolbio, qui tunc metropolitanus episcopus erat, occurrere, & allegationibus suis uti; cum secundum ea quæ nunc lecta sunt, amicum suum eum lem esse definiret. Quia igitur sæpe evocatus repudiavit, reum semetipsum illatorum sibi criminum constituit.

Paulus episcopus Aradi dixit: Tertio ad audientiam evocatus reverentissimus Athanasius a Panolbio metropolitano episcopo, & maxime ejus amico, sicut ex his quæ sunt lecta, didicimus, & tertio Perrhenorum episcopatum repudians, apparet non bona conscientia percussum declinasse judicium.

Paulus episcopus Ptolemaïdis dixit: His quæ recte ac rite a præcedentibus sanctis patribus adversus eum pronuntiata sunt, similia decerno.

Sabas episcopus Palti dixit: Tertio repudiando reverentissimus Athanasius, & conjurando alium pro se ordinari debere, quam de reliquo rationem habet de episcopatu Perrhenorum sanctæ Dei ecclesiæ nunc movere, & præcipue apud amicum suum beatæ memoriæ Panolbium causam non dixerit?

Maras episcopus Anasarthæ dixit: Integre semetipsum diligi monstravit reverentissimus episcopus Athanasius a beatæ memoriæ Panolbio metropolis episcopo, per epistolas repudii ad eum directas. Fugiens itaque audientiam ejus, apparet hoc conscientia mala fecisse.

Domnus episcopus Antiochiæ dixit: Post hæc repudia ubi degebat reverentissimus episcopus Athanasius? Isacius archidiaconus dixit: Egressus est de civitate, & in regione Samosatorum degebat apud semetipsum in proprio prædio; & denuo descendit in civitatem Samosatorum. Quoniam autem hic sunt clerici, rogo sanctum vestrum concilium ingredi eos, & dicere quæ ipsi quoque noverunt. Domnus episcopus dixit: Ingrediantur. Et illis ingressis, Tatianus diaconus dixit: Adsunt reverentissimi clerici. Domnus episcopus dixit: Stent secundum ordinem reverentissimi presbyteri & reverentissimi diaconi. Theodoretus episcopus Damasci dixit: Ubi degebat post repudia reverentissimus episcopus Athanasius? * *Domnus episcopus dixit: Quid dicunt & reliqui clerici? Theodorus episcopus dixit: Ex illo regressus est Perrhen. Domnus episcopus dixit: Quot ordinavit? Theodorus episcopus dixit: Istas ordinationes post repudia a se facta, constituis? Domnus episcopus dixit: Dicant & reliqui clerici, qui noverunt, quid postea subsecutum sit. Theodorus episcopus dixit: Vos cujus rei causa estis Hierapolim profecti? Domnus episcopus dixit: Novi & ego* [c] *domo profectum esse reverentissimum episcopum Athanasium; nam detulit mihi litteras Deo amantissimorum & sanctissimorum episcoporum, id est, domni Procli & domni Cyrilli. Theodorus episcopus dixit: Divina littera per Deo amantissimum episcopum Athanasium perlata sunt sanctissimorum archiepiscoporum: jubeat tua sanctitas has relegi coram sancto concilio. Domnus episcopus dixit: Legantur. Et lecta sunt.*

[a] Constantinæ, Corb.
[b] Div. Heliopolis.
* Desunt responsiones clericorum.
[c] al. formidasse

Ἰωάννης ἐπίσκοπος Θεοδοσιουπόλεως εἶπε· τοῖς δόξασιν ὑμῶν τῇ ἁγίᾳ συνόδῳ καὶ αὐτὸς συναινῶ.

Σωφρόνιος ἐπίσκοπος Κωνσταντίνης πόλεως εἶπε· ἐκ τῶν ἀναγνωσθέντων παραιτητικῶν γραμμάτων δῆλός ἐστιν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, εἰς κρίσιν μὴ θέλων ἐλθεῖν, καὶ τὴν ἐπισκοπὴν παραιτησάμενος.

Ἰωσὴφ ἐπίσκοπος [a] Γλίου πόλεως εἶπε· τρίτον παραιτησάμενος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, καὶ μὴ βουληθεὶς ἐπὶ τοῦ φίλου αὐτοῦ τοῦ μακαρίου Πανολβίου, τοῦ τηνικαῦτα τῆς μητροπόλεως ἐπισκόπου, ἀπαντῆσαι, καὶ δικάσασθαι, καὶ ἑαυτὸν ἐλευθερῶσαι τῶν ἐπαγομένων αὐτῷ ἐγκλημάτων, δῆλός ἐστι κακῇ συνειδήσει χρησάμενος.

Τιμόθεος ἐπίσκοπος Δολίχης εἶπε· ἔδει μὲν τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον παρὰ τὴν ἀρχήν, τρίτον κληθέντα παρὰ τοῦ τῆς μακαρίας μνήμης Πανολβίου, τοῦ τηνικαῦτα τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπισκόπου, ἀπαντῆσαι, καὶ ταῖς προσηκούσαις αὐτῷ χρήσασθαι δικαιολογίαις, ὁπότε ἀπὸ τῶν νυνὶ ἀναγνωσθέντων καὶ φίλον αὐτὸν ἑαυτοῦ ὡρίσατο. ἐπειδὴ τοίνυν πολλάκις κληθεὶς παρῃτήσατο, ὑπεύθυνον ἑαυτὸν κατέστησε τοῖς ἐπαγομένοις αὐτῷ.

Παῦλος ἐπίσκοπος Ἀράδου εἶπε· τρίτον εἰς ἀκρόασιν κληθεὶς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὑπὸ τοῦ μακαρίου Πανολβίου τοῦ τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπισκόπου, καὶ ταῦτα, φίλου αὐτοῦ τυγχάνοντος, ὡς ἀπὸ τῶν ἀναγνωσθέντων ἐμάθομεν, καὶ τρίτον παραιτησάμενος τὴν ἐπισκοπὴν τῆς Περρηνῶν ἐκκλησίας, δῆλός ἐστιν, ὡς οὐ καλῇ συνειδήσει πληττόμενος ἔφυγε τὸ κριτήριον.

Παῦλος ἐπίσκοπος Πτολεμαΐδος εἶπε· τοῖς καλῶς καὶ ὁσίως παρὰ τῶν προλαβόντων ἁγίων πατέρων ἀποφανθεῖσι κατ' αὐτοῦ, τὰ ὅμοια κατατίθημι.

Σάββας ἐπίσκοπος Πάλτου εἶπε· τρίτον παραιτησάμενος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, καὶ ὁρκώσας ἕτερον ἀντ' αὐτοῦ χειροτονηθῆναι, ποῖον λόγον ἔχει λοιπὸν περὶ ἐπισκόπου κινεῖν τῆς Περρηνῶν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ μάλιστα ἐπὶ τοῦ φίλου αὐτοῦ τοῦ μακαρίου Πανολβίου, τοῦ τηνικαῦτα τῆς μητροπόλεως ἐπισκόπου, μὴ δικασάμενος;

Μάρας ἐπίσκοπος [b] Οἰσαρθᾶς εἶπε· γνησίως φιλούμενον αὐτὸν ἔδειξεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὑπὸ τοῦ μακαριωτάτου Πανολβίου τοῦ τῆς μητροπόλεως ἐπισκόπου, διὰ τῶν [c] πρὸς αὐτὸν παραιτητικῶν ἐπιστολῶν. φυγὼν τοίνυν τὴν ἐπ' αὐτοῦ ἀκρόασιν, δῆλός ἐστι πονηρᾷ συνειδήσει τοῦτο πεποιηκώς.

Δόμνος ἐπίσκοπος εἶπε· μετὰ τὰς παραιτήσεις ταύτας ποῦ διῆγεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος; Ἰσαάκιος ἀρχιδιάκονος εἶπεν· ἐξῆλθε τὴν πόλιν, καὶ ἐπὶ τῇ χώρᾳ Σαμοσάτων διῆγε καθ' ἑαυτὸν ἐν ἰδίῳ χωρίῳ· καὶ πάλιν κατῆλθεν ἐν Σαμοσάτοις τῇ πόλει. ἐπειδὴ δὲ ἐνταῦθά εἰσι κληρικοί, παρακαλῶ τὴν ἁγίαν ὑμῶν σύνοδον, εἰσελθεῖν καὶ αὐτούς, καὶ εἰπεῖν αὐτοὺς ἅπερ καὶ αὐτοὶ οἴδασι. Δόμνος ἐπίσκοπος εἶπεν· εἰσίτωσαν. καὶ εἰσελθόντων αὐτῶν, Τατιανὸς διάκονος εἶπεν· ἑστήκασιν οἱ εὐλαβέστατοι κληρικοί. Δόμνος ἐπίσκοπος εἶπε· στήτωσαν κατὰ τάξιν οἱ εὐλαβέστατοι πρεσβύτεροι καὶ οἱ εὐλαβέστατοι διάκονοι. Θεόδωρος ἐπίσκοπος εἶπε· ποῦ διῆγε μετὰ τὰς παραιτήσεις ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος; Δόμνος ἐπίσκοπος εἶπε· τί λέγουσι καὶ οἱ κληρικοί; Θεόδωρος ἐπίσκοπος εἶπεν· ἐξ ἐκείνου ἐπανῆλθεν εἰς τὴν Πέῤῥην. Δόμνος ἐπίσκοπος εἶπε· πόσους ἐχειροτόνησε; Θεόδωρος ἐπίσκοπος εἶπε· ταύτας τὰς χειροτονίας μετὰ τὰς τρεῖς παραιτήσεις λέγεις γεγενῆσθαι παρ' αὐτοῦ; Δόμνος ἐπίσκοπος εἶπεν· εἰπάτωσαν καὶ οἱ λοιποὶ κληρικοὶ ἅπερ ἴσασι, καὶ τί μετὰ ταῦτα παρηκολούθησε. Θεόδωρος ἐπίσκοπος εἶπεν· ὑμεῖς τίνος ἕνεκεν ἀπήλθετε ἐν Ἱεραπόλει; Δόμνος ἐπίσκοπος εἶπεν· οἶδα κἀγὼ [d] ἐκδεδημηκέναι τὸν ἐπίσκοπον Ἀθανάσιον· καὶ γὰρ ἐκόμισέ μοι γράμματα τῶν θεοφιλεστάτων καὶ ἁγίων ἐπισκόπων, τοῦ κυρίου Πρόκλου φημί, καὶ τοῦ κυρίου Κυρίλλου. Θεόδωρος ἐπίσκοπος εἶπεν· ὅσα γράμματα διὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀθανασίου κεκόμισται τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, κελευσάτω σου ἡ ἁγιότης ταῦτα ἀναγνωσθῆναι ἐπὶ τῆς ἁγίας συνόδου. Δόμνος ἐπίσκοπος εἶπεν· ἀναγνωσθήτωσαν. καὶ ἀνεγνώσθη.

ANNO CHRISTI 451.

[a] Forte, Ἡλίου
[b] Forte, Ἀνασαρθᾶς
[c] Forte, πρὸς ex Lat.
[d] Forte, ἐκδεδημηκέναι

Θεόδωρος ἐπίσκοπος εἶπε· φαίνεται ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος μηδὲν ἀληθὲς διδάξας τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἀρχιεπισκόπους, τὸν κύριον Πρόκλον καὶ τὸν κύριον Κύριλλον· ὁπότε καὶ ἐπὶ τοῦ μακαρίου Πανολβίου τοῦ γενομένου αὐτοῦ μητροπολίτου, φίλου αὐτοῦ τυγχάνοντος, καθὼς ἐν τοῖς ἐπιδοθεῖσιν παρ᾽ αὐτοῦ παραιτήσεσιν, ἐγνώρισε, παρῄτηται τὴν τῆς Πέῤῥης ἐπισκοπὴν, καὶ οὐχ ὑπὸ τῶν κληρικῶν ἐξηλάθη, ὡς ἐδίδαξεν· ἀλλ᾽ αὐτὸς τρίτον παρ᾽ αὐτοῦ τοῦ μακαρίου Πανολβίου κληθεὶς, παρῃτήσατο τὴν ἀκρόασιν τῶν ἐπαγομένων αὐτῷ ἐγκλημάτων, καὶ τὴν πόλιν ἀπέλιπε. προσθεὶς καὶ τοῦτο ἐν τοῖς παραιτητικοῖς αὐτοῦ συγγράμμασιν, ὅτι δύο ἢ τριῶν ἐνιαυτῶν πάλαι παρ᾽ αὐτῷ κέκριται, τὸ ἀποστῆναι τῆς ἐπισκοπῆς.

Βασίλειος ἐπίσκοπος εἶπε· συνεῖδον κἀγὼ, ὡς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ψευδῆ ἐδίδαξε τοὺς θεοφιλεστάτους καὶ ἁγιωτάτους ἐπισκόπους Πρόκλον καὶ Κύριλλον. καὶ γὰρ καὶ οἰκείᾳ γνώμῃ τὴν ἐπισκοπὴν παρῃτήσατο ἐγγράφως· καὶ τρίτον παρὰ τοῦ μακαρίου Πανολβίου κληθεὶς, ἔφυγε τὴν κρίσιν, καὶ χρησάμενος παραιτήσει, καὶ οἰκείᾳ γνώμῃ τὴν πόλιν ἀπολιπὼν, καὶ οὐχ ὑπὸ τῶν ἰδίων κληρικῶν [a] ἐξηλάθη.

Πολυχρόνιος ἐπίσκοπος εἶπε· πρόδηλος τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀθανασίου ἡ περὶ τὸ πρᾶγμα αὐτοῦ ἀδολεσχία, συκοφαντήσαντος τοὺς τῆς ἐκκλησίας αὐτοῦ εὐλαβεστάτους κληρικούς· [b] ἑαυτοῦ γὰρ ἀναχωρήσας τῆς ἐκκλησιαστικῆς λειτουργίας, καὶ πρὸ πλείστου χρόνου εἰς ἀποδημίαν μακρὰν ἀπεληλυθὼς, ἐκείνοις τὴν αἰτίαν ἐπήγαγε.

Πομπηιανὸς ἐπίσκοπος εἶπε· τὰ αὐτὰ καὶ ἡμεῖς συνείδομεν, ὡς ἐψεύσατο ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, καὶ ἕτερα ἀνθ᾽ ἑτέρων ἐδίδαξε τοὺς θεοφιλεστάτους καὶ ἁγιωτάτους ἐπισκόπους Πρόκλον καὶ Κύριλλον.

Ἰάμβλιχος ἐπίσκοπος εἶπε· οἱ ἐπιδοθέντες λίβελλοι τῶν παραιτήσεων παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου τῷ μακαρίῳ Πανολβίῳ, τῷ τηνικαῦτα ἐπισκόπῳ τῆς μητροπόλεως τυγχάνοντι, καὶ φίλῳ αὐτοῦ ὄντι, ὡς καὶ αὐτὸς ἐδίδαξε, διδάσκουσιν ἡμᾶς, ὡς μάτην ἐσυκοφάντησε παρὰ τοῖς ἁγιωτάτοις ἀρχιεπισκόποις Πρόκλῳ καὶ Κυρίλλῳ τοὺς εὐλαβεστάτους κληρικοὺς αὐτοῦ, αὐτὸς ἀφ᾽ ἑαυτοῦ ἀπολιπὼν τὴν Περρηνῶν ἐπισκοπὴν, καὶ ὁμόσας ἕτερον ἀντ᾽ αὐτοῦ χειροτονηθῆναι ἐπίσκοπον.

Τιμόθεος ἐπίσκοπος εἶπε· τὰ αὐτὰ συνεῖδον κἀγὼ τοῖς θεοφιλεστάτοις ἐπισκόποις.

Δαμιανὸς ἐπίσκοπος εἶπεν· ἐθαύμασα, πῶς ἠνέσχετο ὁ ἐπίσκοπος Ἀθανάσιος, κληθεὶς παρὰ τοῦ τῆς μητροπόλεως ἐπισκόπου τοῦ μακαρίου Πανολβίου ἀπολογήσασθαι, καὶ παραιτησάμενος τελείως τὴν ἐπισκοπὴν, ἐνοχλεῖν τοῖς θεοφιλεστάτοις ἀρχιεπισκόποις Πρόκλῳ καὶ Κυρίλλῳ, μηδὲν ἀληθὲς διδάξας.

Γερόντιος ἐπίσκοπος εἶπε· τὰ αὐτὰ συνεῖδον κἀγὼ, ὡς μηδὲν ἀληθὲς ἐδίδαξε τοὺς ἁγιωτάτους καὶ θεοφιλεστάτους ἐπισκόπους, Πρόκλον φημὶ, καὶ Κύριλλον, ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος.

Θεόκτιστος ἐπίσκοπος εἶπε· τὰ αὐτὰ συνεῖδον κἀγὼ, ὡς ψευδῆ ἐδίδαξε τοὺς ἁγιωτάτους καὶ ὁσιωτάτους ἀρχιεπισκόπους, Πρόκλον φημὶ, καὶ Κύριλλον, ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος.

Στέφανος ἐπίσκοπος εἶπε· κἀγὼ οὕτω συνεῖδον μᾶλλον ἐψεῦσθαι καὶ ἐπὶ τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἀρχιεπισκόπων, Πρόκλου καὶ Κυρίλλου, τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον. οὔτε γὰρ παρὰ τῶν κληρικῶν φαίνεται ἀπελαθεὶς, ἀλλὰ μᾶλλον οἰκείᾳ γνώμῃ τὰς παραιτήσεις ποιησάμενος.

Βαλέριος ἐπίσκοπος Λαοδικείας εἶπε· τὰ αὐτὰ κἀγὼ συνεῖδον τῇ ἁγίᾳ συνόδῳ.

⁖ ⁖ ⁖ ⁖ ⁖ ⁖ ⁖ ⁖

⁖ ⁖ ⁖ ⁖ ⁖ ⁖ ⁖

[c] Βάρης ἐπίσκοπος εἶπε· κἀγὼ συναινῶ τῇ ἁγίᾳ συνόδῳ τῶν θεοφιλεστάτων ἐπισκόπων, κἀκεῖνα σύμφημι εἶναι, ἃ καὶ αὐτοὶ καλῶς ἔχειν ἐδοκίμασαν.

Παῦλος ἐπίσκοπος εἶπε· τὰ αὐτὰ κἀγὼ συνεῖδον τοῖς προλαβοῦσιν ἁγίοις πατράσι, σύμψηφος [d] αὐτῆς ὤν.

Ἰωσὴφ ἐπίσκοπος εἶπε· τὰ αὐτὰ συνεῖδον κἀγὼ τοῖς θεοφιλεστάτοις ἁγιωτάτοις ἐπισκόποις.

[a] Forte, ἐξελαθείς.

[b] Forte, ἀφ᾽ ἑαυτοῦ.

[c] Forte, Βαράνης.

[d] Forte, αὐτοῖς.

A *Theodorus episcopus dixit: Videtur reverentissimus episcopus Athanasius nihil verum docuisse sanctissimos & Dei amantissimos archiepiscopos dominum Proclum & dominum Cyrillum, cum etiam apud beatum Panolbium, qui fuit ejus metropolita & ejus amicus, sicut ipse in repudiis a se datis ostendit, repudiavit Perrha episcopatum, & non a clericis est expulsus, sicut edocuit: sed ipse tertio ab eodem Panolbio evocatus, audientiam illatorum sibi criminum refutavit; & propriam civitatem reliquit: adjiciens & hoc in repudii sui litteris, quoniam ante duos aut tres annos hoc apud se deliberatum fuisset, ut ab episcopatu recederet.*

Valerius episcopus dixit: Perspexi & ego, quoniam reverentissimus Athanasius falsa docuerit Dei amantissi- B *mos & sanctissimos archiepiscopos Proclum & Cyrillum. Nam & propria voluntate ex scripto repudiavit episcopatum, & tertio a beata memoria Panolbio evocatus, audientiam declinavit: usus etiam repudio, & propria voluntate civitatem deseruit, & non a propriis clericis est expulsus.*

Polychronius episcopus dixit: Manifesta est Dei amantissimi episcopi Athanasii circa causam suam argumentatio, calumniam facientis (quasi de violentia sua) reverentissimis ecclesiæ suæ clericis: qui cum a semetipso ab ecclesiastico ministerio discesserit, & ante multa tempora in profectionem longinquam abierit, causam illis adscripsit.

Pompeianus episcopus dixit: Hæc eadem & nos cognovimus, quod mentitus est reverentissimus episcopus C *Athanasius, & alia pro aliis edocuit Dei amantissimos episcopos Proclum & Cyrillum.*

Iamblichus episcopus dixit: Dati repudii libelli a reverentissimo episcopo Athanasio beatæ memoriæ Panolbio, qui tunc metropolitanus episcopus & amicus ejus erat, sicut & ipse monstravit, docent nos quia inaniter calumniam fecit apud sanctissimos & venerandissimos archiepiscopos Proclum & Cyrillum de reverentissimis suis clericis, cum ipse episcopatum Perrhenorum sponte reliquerit, & conjuraverit alium pro se ordinari episcopum.

Timotheus episcopus dixit: Hæc eadem, quæ Dei amantissimi episcopi, & ego perspexi.

[a] *Daniel episcopus dixit: Admiratus sum, quomodo passus sit reverentissimus episcopus Athanasius (evoca-* D *tus a metropolitano episcopo beatæ memoriæ Panolbio ut satisfaceret, & tertio repudians episcopatum) importunus exsistere Dei amantissimis archiepiscopis Proclo & Cyrillo, & nihil eos veri edocere.*

Gerontius episcopus dixit: Hæc eadem & ego perspexi, quia nihil veritatis edocuit sanctissimos & Dei amantissimos episcopos Proclum & Cyrillum reverentissimus episcopus Athanasius.

Theoctistus episcopus dixit: Hæc ipsa & ego perspexi; quia falsa docuerit sanctissimos & venerabilissimos Proclum & Cyrillum reverentissimus episcopus Athanasius.

Stephanus episcopus dixit: Et ego ita perspexi, quia magis mentitus est etiam apud sanctissimos & Dei aman- E *tissimos archiepiscopos Proclum & Cyrillum reverentissimus episcopus Athanasius. Nam neque a clericis videtur expulsus, sed potius propria voluntate repudia fecit.*

Valerius episcopus Laodiceæ Syriæ dixit: Et ego hæc ipsa perspexi, quæ sanctum concilium.

Epiphanius episcopus [b] *Arcæ dixit: Hæc ipsa & ego cognosco, quæ sanctum concilium.*

Baranes episcopus dixit: Et ego consentio sancto concilio Dei amantissimorum episcoporum, & illa constituo, quæ & ipsi bene se habere comprobaverunt.

Paulus episcopus dixit: Hæc ipsa & ego perspexi, quæ sanctissimi patres, & cum eis decerno.

Joseph episcopus dixit: Hæc ipsa & ego perspexi, quæ Dei amantissimi & sanctissimi archiepiscopi decreverunt.

[a] al. Damianus

[b] al. Heracleæ

Maras reverentissimus episcopus dixit : Convictus est reverentissimus episcopus Athanasius falsa docuisse Dei amantissimos episcopos.

Sabas episcopus dixit : Si quietem diligeret reverentissimus episcopus Athanasius, non eum oportuerat post repudium & jusjurandum, importunum exsistere sanctissimis patribus & archiepiscopis Proclo & Cyrillo.

Joannes episcopus dixit : Similiter & ego perspexi.

Daniel episcopus dixit : Similiter & ego perspexi.

Sophronius episcopus dixit : Præcedentibus me Dei amantissimis episcopis & ego consentio.

*Domnus episcopus dixit : Quando suscepi litteras Dei amantissimorum Procli & Cyrilli, memor sum quia & eum huc evocavi, & Dei amantissimos episcopos provinciæ, ut hæc causa examinaretur. Relege itaque ambas epistolas. Et lecta sunt. Domnus episcopus dixit : Quid rescripsit ad hæc reverentissimus episcopus Athanasius? * Domnus episcopus dixit : Lege & epistolam, quam scripsit religiosissimus Joannes Hierapolitanorum metropolis episcopus. Idem dixit : Novi, quando suscepi a reverentissimo episcopo Athanasio, quia mox convocavi sanctum concilium secundum ejus preces, mittens etiam scripta ad eum, ut adesset in hoc sancto concilio. Relege itaque a me ad eum missam epistolam. Idem dixit : Lege etiam synodicas litteras ad eum datas. Domnus episcopus dixit : Quis ei detulit hanc epistolam? Idem dixit : Quæ sunt præter hæc ex non scripto dicta a reverentissimo episcopo Athanasio? Domnus episcopus dixit : Lege etiam epistolam ab eo conscriptam sancto concilio. Tatianus diaconus dixit : Habeo & epistolas religiosissimorum episcoporum domni Ibæ & domni Andreæ, quas miserunt evocati a tua sanctitate, & occurrere non valentes. Domnus episcopus dixit : Lege & eas per ordinem. Tatianus diaconus dixit : Alios libellos obtulit sancto concilio reverentissimus Philippus subdiaconus sanctæ Dei ecclesiæ Perrhensis : & si jubet vestra sanctitas, hos quoque relego. Domnus episcopus dixit : Lege. Theodorus episcopus dixit : Ea quæ posita sunt in libellis, solus nosti, an alii simul sciunt? Philippus subdiaconus dixit : Novit hæc etiam reverentissimus presbyter [a] Fronton exœconomus. Domnus episcopus dixit : Dicat reverentissimus Fronton, quid de causa novit. Domnus episcopus dixit : Hæc dominica quæ est? Theodorus episcopus dixit : Quis scit hæc? Fronton presbyter dixit : Theodorus diaconus, qui commanebat cum ipso episcopo Athanasio. Theodorus episcopus dixit : Quid nosti in causa columnarum argentearum, si vere conscius eras illo tempore reverentissimo episcopo Athanasio? Domnus episcopus dixit : Dicant etiam isti, quorum memoriam fecit Fronton presbyter, quid noverunt. Theodorus episcopus dixit : Si hic sunt quorum memoriam fecit reverentissimus Maris presbyter, & ipsi quæ noverunt, propria voce testentur. Tatianus diaconus dixit : Adstant Maris & Theophilus diacones. Theodorus episcopus dixit : Quid nostis in causa? Qui postquam libellorum meminerant, Domnus episcopus dixit : Lege eos. Theodorus episcopus dixit : Numquid non sufficient nobis quæ jam dicta sunt atque deposita, scandalis complere omnium aures?*

Domnus episcopus dixit : Quid perspicit vestra sancta synodus fieri oportere?

Theodorus episcopus dixit : Si opinionis suæ curam habuisset Athanasius reverentissimus episcopus, non declinasset examinationem criminum sibimet illatorum; & quod majus est, audientia delegata beatæ memoriæ Panolbio, qui fuit Hierapolitanus episcopus, & ejus amicus, & circa eum valde favorabilis, sicut ipse Athanasius propriis litteris sæpius intimavit. A quo tertio ad audientiam evocatus, non obedivit, sed etiam tertio episcopatum Perrhensem ex scripto repudiavit per ea quæ ad eumdem beatæ memoriæ Panolbium scripsit, in quibus

* Desunt responsiones hic & alibi.

[a] al. Fronto & exœconomo.

Μάρας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἐλήλεγκται ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, ὡς ψευδῆ ἐδίδαξε τοὺς θεοφιλεστάτους ἐπισκόπους.

Σάββας ἐπίσκοπος εἶπεν· εἰ τὴν ἡσυχίαν ἠγάπα ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος, οὐκ ἔδει αὐτὸν μετὰ παραίτησιν καὶ ὅρκους ἐνοχλῆσαι τοῖς ἁγίοις πατράσι καὶ ἀρχιεπισκόποις Πρόκλῳ καὶ Κυρίλλῳ.

Ἰωάννης ἐπίσκοπος εἶπε· τὰ αὐτὰ κἀγὼ συνεῖδον.

Δανιῆλος ἐπίσκοπος εἶπεν· ὁμοίως κἀγὼ συνεῖδον.

Σωφρόνιος ἐπίσκοπος εἶπε· κἀγὼ τοῖς πρὸ ἐμοῦ θεοφιλεστάτοις ἐπισκόποις συναινῶ.

Δόμνος ἐπίσκοπος εἶπεν· ἡνίκα ἐδεξάμην τὰ γράμματα τῶν θεοφιλεστάτων ἐπισκόπων Πρόκλου καὶ Κυρίλλου, μέμνημαι καὶ αὐτὸν ἐνταῦθα συγκαλέσας, καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους τῆς ἐπαρχίας, ὥστε ἐξετάσαι τὰ κατὰ τὴν ὑπόθεσιν ταύτην. ἀναγινωσκέσθωσαν τοίνυν ἀμφότεραι αἱ ἐπιστολαί. καὶ ἀνεγνώσθησαν. Δόμνος ἐπίσκοπος εἶπεν· ἀναγνωσθῇ καὶ ἣν ἔγραψεν ἐπιστολὴν ὁ θεοφιλέστατος Ἰωάννης ὁ τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπίσκοπος. ὁ αὐτὸς εἶπεν· οἶδα, ἡνίκα ἐδεξάμην τὴν παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου ἐπιστολὴν, εὐθὺς συγκαλέσας με τὴν ἁγίαν σύνοδον κατὰ τὰς αὐτοῦ παρακλήσεις, ἐπιστείλας τι καὶ πρὸς αὐτὸν, ὥστε παραγενέσθαι τῆς ἁγίας συνόδου [a] συγκεκροτημένης. ἀναγνωσθῇ τοίνυν ἡ παρ' ἐμοῦ πρὸς αὐτὸν γραφεῖσα ἐπιστολή. Δόμνος ἐπίσκοπος εἶπε· τί πρὸς ταῦτα ἀντέγραψεν ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος; ὁ αὐτὸς εἶπεν· ἀναγνωσθῇ καὶ τὸ συνοδικὸν γράμμα τὸ πρὸς αὐτὸν πεμφθέν. Δόμνος ἐπίσκοπος εἶπε· τίς ταύτην αὐτῷ ἀπεκόμισε τὴν ἐπιστολήν; ὁ αὐτὸς εἶπε· τίνα δὲ τὰ ἀγράφως ῥηθέντα ὑπὸ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀθανασίου; Δόμνος ἐπίσκοπος εἶπεν· ἀναγνωσθῇ καὶ τὴν παρ' αὐτοῦ γραφεῖσαν ἐπιστολὴν πρὸς τὴν ἁγίαν σύνοδον. Τατιανὸς διάκονος εἶπεν· ἔχω καὶ ἐπιστολὰς τῶν θεοσεβεστάτων ἐπισκόπων, τοῦ κυροῦ Ἴβα καὶ τοῦ κυροῦ Ἀνδρέου, ἃς ἐπέστειλαν κληθέντες ὑπὸ τῆς σῆς ὁσιότητος, καὶ μὴ δυνηθέντες ἀπαντῆσαι. Δόμνος ἐπίσκοπος εἶπεν· ἀναγνωσθῶσι καὶ ταύτας κατὰ τάξιν. Τατιανὸς διάκονος εἶπεν· ἑτέρους λιβέλλους ἐπιδέδωκε τῇ ἁγίᾳ συνόδῳ ὁ εὐλαβέστατος ὑποδιάκονος Φίλιππος τῆς κατὰ Πέῤῥην ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. καὶ εἰ κελεύσειεν ἡ ὑμετέρα ὁσιότης, τούτους ἀναγνώσομαι. Δόμνος ἐπίσκοπος εἶπεν· ἀναγνωσθῇ. Θεόδωρος ἐπίσκοπος εἶπε· τὰ ἐγκείμενα τοῖς λιβέλλοις μόνος οἶδας, ἢ καὶ ἄλλοι συνίσασιν; Φίλιππος ὁ ὑποδιάκονος εἶπεν· οἶδε ταῦτα καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Φρόντων ὁ ἀπὸ οἰκονόμος. Δόμνος ἐπίσκοπος εἶπε· λεγέτω ὁ εὐλαβέστατος πρεσβύτερος Φρόντων, τί περὶ τῆς ὑποθέσεως οἶδε ταύτης. Δόμνος ἐπίσκοπος εἶπεν· αὕτη ἡ δεσποτικὰ [b] τίς ἐστι; Θεόδωρος ἐπίσκοπος εἶπε· τίς οἶδε ταῦτα; Φρόντων πρεσβύτερος εἶπε· Θεόφιλος διάκονος ὁ συμμείνας τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀθανασίῳ. Θεόδωρος ἐπίσκοπος εἶπε· τί οἶδας ἐν τῇ ὑποθέσει τῇ κατὰ τοὺς στύλους τοὺς ἀργυροῦς, εἴπερ ἀληθῶς [c] συνῄδεις κατ' ἐκεῖνον τὸν χρόνον τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ Ἀθανασίῳ; Δόμνος ἐπίσκοπος εἶπεν· εἰπάτωσαν καὶ οὗτοι, ὧν μνήμην ἐποιήσατο Φρόντων ὁ πρεσβύτερος, ἅπερ ἐπίστανται. Θεόδωρος ἐπίσκοπος εἶπεν· εἰ ἐνταῦθά εἰσιν, ὧν μνείαν ἐποιήσατο ὁ εὐλαβέστατος Μάρης, καὶ αὐτοὶ οἰκείᾳ φωνῇ καταθέσθωσαν ἅπερ ἐπίστανται. Τατιανὸς διάκονος εἶπεν· ἵστανται Μάρης καὶ Θεόφιλος οἱ διάκονοι. Θεόδωρος ἐπίσκοπος εἶπε· τί οἴδατε ἐν τῷ πράγματι; Δόμνος ἐπίσκοπος εἶπεν· ἀναγνωσθῶσι τούτους. Θεόδωρος ἐπίσκοπος εἶπεν· οὐχ ἱκανοῦσιν τῶν ἤδη ῥηθέντων, σκανδάλων πληρῶσαι τὰς ἁπάντων ἀκοάς.

Δόμνος ἐπίσκοπος εἶπε· τί συνορᾷ ὑμῶν ἡ ἁγία σύνοδος δεῖν γενέσθαι;

Θεόδωρος ἐπίσκοπος εἶπεν· εἰ τῆς ὑπολήψεως τῆς ἑαυτοῦ ἐφρόντιζεν Ἀθανάσιος ὁ ἐπίσκοπος, οὐκ ἂν ἔφυγε τὴν ἐξέτασιν τῶν ἐγκλημάτων τῶν ἐπαχθέντων αὐτῷ· καὶ τὸ δὲ μεῖζον, τῆς ἀκροάσεως ἀφορισθείσης τῷ μακαρίῳ Πανολβίῳ τῷ γενομένῳ τῆς Ἱεραπολιτῶν ἐπισκόπῳ, ὃν καὶ φίλον αὐτοῦ γεγενῆσθαι, καὶ ἄγαν περὶ αὐτὸν διακεῖσθαι, ὁ αὐτὸς Ἀθανάσιος δι' οἰκείων γραμμάτων πολλαχῶς ἐσήμανεν. ἀλλὰ καὶ τρίτον τὴν ἐπισκοπὴν τῆς Πέῤῥης παρῃτήσατο ἐγγράφως, δι' ὧν πρὸς τὸν αὐτὸν μακαρίτην ἐπέστειλε Πανόλβιον, ἐν οἷς

[a] Forte, συγκροτηθείσης.

[b] Forte, τίς.

[c] Forte, συνῄδεις, ex Lat.

ANNO CHRISTI 451.

παρεκάλει, διὰ τὸ ἡσυχίας ἀπολαύεσθαι, φήσας. τοῦτο δὲ οὐκ ἐποίησεν, ἀλλὰ μακρὰς ὁδοὺς στείλας, ἐνώχλησε τὰς ἀκοὰς τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἀρχιεπισκόπων, τοῦ κυρίου φημὶ Πρόκλου, καὶ τοῦ κυρίου Κυρίλλου, μηδὲν ἀληθὲς τοὺς μνημονευθέντας ἄνδρας διδάξας. ἀλλὰ καὶ μετὰ ταῦτα πολλάκις κληθεὶς, τοῦτο μὲν παρὰ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου κυρίου Δόμνου, τοῦτο δὲ καὶ παρὰ τῆς ἁγίας συνόδου, ἀποδύσασθαι τὰ ἐπαγόμενα αὐτῷ ἐγκλήματα, παραγενέσθαι οὐκ ἐβουλήθη. τί οὖν τοῖς ἐκκλησιαστικοῖς δοκεῖ θεσμοῖς, τὸν ἐπί τισιν ἀτοπίαις ἐγκαλούμενον, καὶ τρίτον καλούμενον, καὶ μὴ παραγινόμενον, ἐκπίπτειν ἧς ἔχει τιμῆς; φαίνεται δὲ ὁ μνημονευθεὶς Ἀθανάσιος οὐ τρίτον μόνον, ἀλλὰ καὶ πολλάκις κληθεὶς, καὶ μὴ ὑπακούσας, μηδὲ τοῖς ἐπαγομένοις ἐγκλήμασι βουληθεὶς ἀποκρίνασθαι. τούτου ἕνεκεν ἀλλότριον [a] ἑαυτὸν τῆς ἱερωσύνης κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς εἶναι [b] κρίνων, καὶ χρῆναί φημι τὸν θεοφιλέστατον ἐπίσκοπον τῆς Ἱεραπολιτῶν τὸν κύριον Ἰωάννην τὴν ταχίστην ἐπίσκοπον τῆς Περρηνῶν ἐνθέσμως χειροτονῆσαι· ὅπως κἂν ὀψέ ποτε ἐν εἰρηνικῇ καταστάσει ἡ αὐτὴ γένηται πόλις, ἀπαλλαγεῖσα τοῦ σάλου καὶ τοῦ θορύβου τοῦ ἐν τῷ διετεῖ τούτῳ χρόνῳ ἐν αὐτῇ γενομένου.

Βαλέριος ἐπίσκοπος εἶπεν· ἐπειδὴ φαίνεται ἄνωθεν παραιτησάμενος τὴν ἐξέτασιν τῆς ὑποθέσεως ὁ προῤῥηθεὶς Ἀθανάσιος, ἀποφυγὼν καὶ τὴν κρίσιν τοῦ μακαρίου Πανολβίου, ἔτι τε καὶ τοῦ μετὰ ταῦτα γενομένου αὐτοῦ μητροπολίτου, καὶ νῦν δὲ ἐνθέσμως κληθεὶς παρά τε τοῦ κοινοῦ πατρὸς καὶ ἀρχιεπισκόπου Δόμνου, καὶ τῆς συναθροισθείσης ἐνταῦθα ἁγίας συνόδου, ὁμοίως καὶ τὴν ἐξέτασιν ἀπέφυγε, διαφόροις ὑπερθέμενος, δῆλός ἐστιν ὀφείλων καταψηφισθῆναι. τοιγαροῦν ἀλλότριον αὐτὸν κἀγὼ τῆς ἱερωσύνης ἐδοκίμασα, καὶ τῆς τοῦ ἐπισκόπου ἀξίας. καὶ ὀφείλει ἐκ παντὸς ἐκεῖ χειροτονηθῆναι ἕτερος ἐπίσκοπος, ὡς τούτου ἅπαξ ἀλλοτριωθέντος· ὥστε παύσασθαι νῦν γοῦν τὴν ὀρφανίαν τῆς Περρηνῶν πόλεως.

Τιμόθεος ἐπίσκοπος εἶπεν· ὀρθὴ καὶ δικαία ἐξενήνεκται ψῆφος παρὰ τῆς ἐνταῦθα ἀθροισθείσης ἁγίας συνόδου κατὰ τοῦ προειρημένου Ἀθανασίου. καὶ γὰρ κληθεὶς τοσαυτάκις ἐνθέσμως καὶ ἀκολούθως, καὶ παραγενόμενος, ὑπό τε τοῦ μητροπολίτου αὐτοῦ τοῦ μακαρίου Πανολβίου, ὑπό τε τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Ἰωάννου τοῦ μητροπολίτου ἡμῶν, καὶ ὑπὸ τῆς παρούσης ἐνταῦθα ἁγίας συνόδου, οὐ μὴν ἀλλὰ καὶ ὑπὸ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου ἡμῶν Δόμνου, καὶ μὴ ὑπακούσας, διαφόροις δὲ ἀναβολαῖς χρησάμενος, ἑαυτῷ ἐπιγραφέτω τὴν παντελῆ ἀποβολὴν τῆς ἀρχιερωσύνης. τοιγαροῦν συντίθεμαι καὶ αὐτὸς τοῖς κανονικῶς καὶ ἐνθέσμως διαγνωσθεῖσιν ὑπὸ τῆς ἁγίας ὑμῶν συνόδου· καὶ παρακαλῶ, ὥστε ἐπίσκοπον χειροτονηθῆναι τῇ Περρηνῶν ἁγίᾳ ἐκκλησίᾳ, ὥστε καὶ ἡμᾶς καὶ τὴν αὐτὴν ἁγίαν ἐκκλησίαν συντριβῆς καὶ ταλαιπωρίας ἀπαλλαγῆναι.

Μάρας ἐπίσκοπος εἶπε· τὰ αὐτὰ κἀγὼ συντίθεμαι, καὶ ἀλλότριον κρίνω τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον τὸν γενόμενον Πέῤῥης ἐπίσκοπον, ἐπειδὴ πολλάκις κληθεὶς οὐχ ὑπήκουσε· καὶ παρακαλῶ, ὥστε τὴν ταχίστην ἐπίσκοπον χειροτονηθῆναι ἀντ᾽ αὐτοῦ τῇ Περρηνῶν ἐκκλησίᾳ.

Πομπηιανὸς ἐπίσκοπος εἶπε· τοῖς κανονικῶς καὶ ἐκκλησιαστικῶς διαγνωσθεῖσιν ὑπὸ τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων μητροπολιτῶν Θεοδώρου καὶ Βαλερίου, κἀγὼ συντίθεμαι δικαίως ὑπ᾽ αὐτῶν κριθεῖσι, δοκιμάσας κἀγὼ, Ἀθανάσιον τὸν γενόμενον Πέῤῥης ἐπίσκοπον, ἀλλότριον εἶναι παντάπασι καὶ τῆς ἐπισκοπῆς καὶ τῆς ἀρχιερατικῆς τιμῆς· καὶ παρακαλῶ ἄλλον ἀντ᾽ αὐτοῦ καταστῆναι ἐπίσκοπον τῆς αὐτῆς πόλεως, ἵνα κἂν νῦν ἀπαλλαγῇ ταραχῶν καὶ θορύβων ἡ αὐτὴ κατὰ Πέῤῥην ἁγία τοῦ Θεοῦ ἐκκλησία.

Ἰάμβλιχος ἐπίσκοπος εἶπε· σύμψηφος γίνομαι κἀγὼ τοῖς ἐνθέσμως καὶ κανονικῶς πεπραχθεῖσι παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων, φημὶ Θεοδώρου καὶ Βαλερίου τῶν μητροπολιτῶν, περὶ Ἀθανασίου τοῦ ποτε ἐπισκόπου τῆς Περρηνῶν. ὅθεν ἀξιῶ τὸν ἁγιώτατον ἐπίσκοπον Ἰωάννην τὸν μητροπολίτην, τούτου ἀλλοτρίου γενομένου κατὰ τὴν [c] ἡμετέραν δοκιμασίαν τῆς ἐπισκοπῆς, ἄλλον πρόεδρον δοῦναι τῇ Περρηνῶν ἁγίᾳ ἐκκλησίᾳ.

[a] Forte, αὐτὸν
[b] Forte, κρίνω
[c] Forte, ὑμετέραν, ex Lat.

ACTIO QUARTADECIMA. CONCILIUM ANTIOCHENUM.

etiam rogavit, dicens a se silentium complectendum. Sed hoc non fecit: sed longa itinera aggressus, turbavit aures sanctissimorum & Dei amantissimorum archiepiscoporum: id est, domni Procli & domni Cyrilli, nihil verum memoratos sanctissimos viros edocens: sed etiam postea sæpius evocatus tam a sanctissimo patre nostro & archiepiscopo domino Domno, quam a præsenti sancto concilio, quatenus semetipsum a criminibus sibi illatis exueret, venire non voluit. Quid ergo ecclesiasticis sanctionibus placet? eum qui pro quibusdam rebus incongruis evocatur, & tertio vocatus non venit, cadere honore quem habet. Manifestum est autem, memoratum Athanasium non solum tertio, sed etiam frequenter evocatum non obedisse, neque illatis criminibus respondere voluisse. Hujus rei gratia alienum eum a sacerdotio secundum ecclesiasticas leges esse decerno, & oportere Dei amantissimum episcopum Hierapolitanorum domnum Joannem velociter episcopum in ecclesia Perrhenorum regulariter ordinare, ut tandem aliquando in pacifica quiete eadem civitas constituatur, libera a fluctuatione atque tumultu, qui in hoc duorum annorum tempore in ea fuit.

Valerius episcopus dixit: Quoniam dudum videtur examinationem causæ repudiasse prædictus Athanasius, declinando judicium beatæ memoriæ Panolbii, insuper etiam & ejus successorit metropolitæ, & nunc etiam regulariter evocatus a communi patre & archiepiscopo Domno, & a sancto concilio, similiter examinationem fugit, frequenter differendo; certum est, quoniam debet condemnari. Igitur extraneum eum & ego sacerdotio judicavi, & ab episcopi dignitate; & debet ab omnibus illic ordinari alter episcopus, tanquam hoc semel alienato: quatenus vel nunc desinat esse [a] patre (quod violenter sustinuit) orbata Perrhenorum civitatis ecclesia.

[a] al. sine patre pupilla

Timotheus episcopus dixit: Recta & justa prolata est sententia a congregato hic sancto concilio adversus prædictum Athanasium. Nam toties consequenter & regulariter evocatus a metropolitano suo beatæ memoriæ Panolbio, & Dei amantissimo & sanctissimo episcopo Joanne metropolita nostro, & a præsenti sancto concilio, sed etiam a sanctissimo & Dei amantissimo episcopo nostro Domno; & non obaudiens, diversis vero dilationibus usus, sibimet omnem sacerdotii privationem adscribat. Igitur & ego consentio iis quæ regulariter & legitime sunt decreta a sancto vestro concilio: & supplico ut Perrhenorum sanctissima ecclesia ordinetur episcopus, ut & nos & eadem sanctissima ecclesia contritione & miseria liberemur.

Maras episcopus dixit: His eisdem & ego consentio, & alienum esse decerno ab honore episcopatus Athanasium, qui Perrhæ fuit episcopus, quoniam sæpe vocatus non obedivit: & supplico, ut velociter in Perrhenorum ecclesia ordinetur episcopus.

Pompeianus episcopus Emesæ dixit: His quæ regulariter & ecclesiastice definita sunt a sanctissimis & Dei amantissimis metropolitis Theodoro & Valerio, & ego consentio, quæ utique juste ab eis decreta sunt; approbans & ego Athanasium, qui Perrhæ fuit episcopus, esse & ab episcopatu omnimodis alienum, & ab honore pontificatus: & rogo alium episcopum pro eo constitui in eadem civitate, ut vel nunc a tumultu & seditionibus eadem Perrhenorum sancta Dei ecclesia liberetur.

Iamblichus episcopus dixit: Simul decerno & ego ea quæ regulariter & legitime constituta sunt a Dei amantissimis & sanctissimis episcopis, id est, Theodoro & Valerio metropolitis, de Athanasio, qui quondam Perrhenorum fuit episcopus. Unde & ego rogo sanctissimum Joannem episcopum hujus pridem metropolitam, isto secundum vestram approbationem alieno ab episcopatu facto, alium pontificem constituere sanctissimæ Perrhenorum ecclesiæ.

Uranius episcopus dixit : Athanasium episcopum evocatum, ut satisfaceret de illatis sibi maximis nefariisque criminibus, & non obedientem citationi canonicæ Dei amantissimi & sanctissimi archiepiscopi nostri Domni, & præsentis sancti magnique concilii, quoniam conscientia mala videtur alligatus, hunc & ego decerno indignum & extraneum omni ecclesiastico ministerio, episcopique vocabulo.

Damianus episcopus dixit : Oportebat Anastasium, qui Perrhenorum ecclesiæ fuit episcopus, in quibusdam criminibus accusatum, & evocatum a beatissimo Panolbio suo tunc metropolita, & curam ejus habente, obaudire, & suis allegationibus uti : at hoc quidem non fecit, sed per longa itinera profectus, & molestus exsistens auribus religiosissimorum episcoporum Procli & Cyrilli, & deferens litteras, quarum gratia & iterum evocatus est a sanctissimo archiepiscopo nostro Domno & sancto concilio, obaudire contempsit. Cum ergo hoc non fecerit, & ego decerno alienum eum exsistere a dignitate pontificatus, & oportere ut amantissimus Dei Joannes episcopus Hierapolitanorum metropolis episcopum consecret pro eo Perrhenorum sanctæ ecclesiæ.

Polychronius episcopus dixit : Luctus & gemitus causa nobis effectus est Athanasius quondam Perrhenorum episcopus. Diversis enim criminibus accusatus judicium declinavit, tertio evocatus a beatæ memoriæ Panolbio Hierapolitanorum episcopo, cum utique ejus amicus exsisteret, sicut ipse in repudii sui litteris declaravit ; & nunc quoque sæpius a Dei amantissimo & sanctissimo archiepiscopo Domno, & hoc congregato concilio vocatus, obedire citationi noluit, sed permansit multo tempore illudens, & fallens ecclesiasticas sanctiones. Propter hæc igitur omnia, semetipsum ab omni pontificatus ministerio denudavit, episcopique vocabulo ; & sit quoque depositus etiam meo decreto : & ordinabitur alter episcopus sanctæ Perrhensi ecclesiæ, qui possit ei solvere malorum calamitatem.

Theoctistus episcopus dixit : Consentio his quæ bene & regulariter definita sunt a sancto concilio, quatenus alienus sit ab honore pontificatus Athanasius, qui Perrhæ fuit episcopus : & decerno, ut pro eo alius Perrhenorum sanctissimæ Dei ecclesiæ ordinetur episcopus.

Benetius episcopus dixit : His quæ regulariter a sancto concilio sunt prolata, consentio etiam ipse, judicans Athanasium Perrhæ quondam episcopum posthac alienum esse a pontificatu, & oportere pro eo pontificem ecclesiæ Dei constitui.

Gerontius episcopus dixit : Quoniam sæpe vocatus Athanasius Perrhæ quondam episcopus & a metropolita suo beatæ memoriæ Panolbio, & a Joanne Hierapolitanorum metropolitano episcopo, & ab archiepiscopo nostro Domno, sed & a præsenti sancto concilio non adfuit ; hunc & ego alienum esse decerno secundum ecclesiasticas sanctiones ab episcopatu : & rogo velociter episcopum ordinari pro eo sanctissimæ Perrhenorum ecclesiæ.

Stephanus episcopus dixit : De maximis criminibus accusatus Athanasius Perrhenorum quondam episcopus, & sæpius evocatus, & nec semel obaudiens, sed longa itinera eligens proficisci, & molestus exsistere auribus religiosissimorum episcoporum Procli & Cyrilli, & propterea rursus ab [a] Exarcho Orientalis diœcesis evocatus, & a congregato sancto concilio, & neque sic obaudiens, dignus est expelli a pontificatu, alio pro eo prædictæ ecclesiæ constituto pontifice.

[a] Id est, Domno Antiocheno Patriarcha.

Joseph episcopus dixit : Oportebat quidem occurrere Athanasium Perrhenorum ecclesiæ quondam episcopum, & ab illatis sibi criminibus semetipsum exuere. Sed quoniam sæpe evocatus hoc non fecit, sanctum præsens concilium in eum sententiam protulit secundum ecclesiasticas

Οὐράνιος ἐπίσκοπος εἶπεν· Ἀθανάσιον τὸν ἐπίσκοπον κληθέντα εἰς τὸ ἀπολογήσασθαι περὶ τῶν ἐπενεχθέντων αὐτῷ μεγάλων καὶ ἀθεμίτων ἐγκλημάτων, καὶ μὴ ὑπακούσαντα τῇ ἐνθέσμῳ κλήσει τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Δόμνου, καὶ τῆς παρούσης ἁγίας καὶ μεγάλης συνόδου, ἀπὸ συνειδότος κακοῦ ἐχόμενον· τοῦτον κἀγὼ συμψηφίζομαι ἀνάξιον καὶ ἀλλότριον πάσης ἐκκλησιαστικῆς λειτουργίας καὶ τῆς τοῦ ἐπισκόπου προσηγορίας.

Δαμιανὸς ἐπίσκοπος εἶπεν· ἔδει Ἀθανάσιον τὸν γενόμενον τῆς Περρηνῶν ἐκκλησίας ἐπίσκοπον, ἐπὶ φανεροῖς ἐγκλήμασιν αἰτιαθέντα, καὶ κληθέντα ὑπὸ τοῦ μακαρίου Πανολβίου τοῦ γενομένου μητροπολίτου αὐτοῦ, καὶ φροντίζοντος αὐτοῦ, ὑπακοῦσαι, καὶ χρήσασθαι τοῖς ἑαυτοῦ δικαίοις. ἀλλὰ τοῦτο μὲν οὐ πεποίηκεν, ἀλλὰ μακρὰς στειλάμενος ὁδοὺς, καὶ ἐνοχλήσας τὰς ἀκοὰς τῶν θεοφιλεστάτων ἐπισκόπων Πρόκλου καὶ Κυρίλλου, καὶ κομίσας τὰ γράμματα, ὧν ἕνεκα καὶ αὖθις ἐκλήθη παρά τε τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Δόμνου, παρά τε τῆς ἁγίας συνόδου, ὑπακοῦσαι οὐκ ἠβουλήθη. τούτου οὖν μὴ πεποιηκότος, ἐδοκίμασα κἀγὼ ἀλλότριον αὐτὸν εἶναι τῆς ἀρχιερατικῆς ἀξίας, καὶ χρῆναι τὸν θεοφιλέστατον ἐπίσκοπον Ἰωάννην, τὸν τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπίσκοπον, ἀντ' αὐτοῦ προχειρίσασθαι τῇ Περρηνῶν ἁγίᾳ ἐκκλησίᾳ πρόεδρον.

Πολυχρόνιος ἐπίσκοπος εἶπε· θρήνου καὶ ὀδυρμῶν πρόξενος ἡμῖν ἐγένετο Ἀθανάσιος ὁ ποτὲ τῆς Περρηνῶν γενόμενος ἐπίσκοπος. ἐπὶ ἐγκλήμασι γὰρ διαφόροις κατηγορηθεὶς τὴν κρίσιν ἀπέφυγε, τρίτον κληθεὶς ὑπὸ τοῦ μακαρίου Πανολβίου τοῦ τῆς Ἱεραπολιτῶν ἐπισκόπου, καὶ ταῦτα φίλου τυγχάνοντος αὐτοῦ, ὡς αὐτὸς ἐν τοῖς παραιτητικοῖς αὐτοῦ ἐδήλωσε γράμμασι. καὶ νῦν δὲ πολλάκις κληθεὶς ὑπὸ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τοῦ κυροῦ Δόμνου, καὶ τῆς ἐνταῦθα συνελθούσης συνόδου, ὑπακοῦσαι τῇ κλήσει οὐκ ἠθέλησεν, ἀλλ' ἔμεινεν ἐπὶ πολὺν χρόνον παίζων καὶ * πατῶν τοὺς ἐκκλησιαστικοὺς θεσμούς. τούτων οὖν ἕνεκεν πάντων ἑαυτὸν τῆς ἱερατικῆς ἀπεγύμνωσε λειτουργίας καὶ τῆς τοῦ ἐπισκόπου προσηγορίας· καὶ ἔστω καθῃρημένος καὶ τῇ ἐμῇ ψήφῳ. χειροτονηθήσεται δὲ ἕτερος ἐπίσκοπος τῇ ἐν Πέρρῃ ἁγίᾳ ἐκκλησίᾳ, ὁ δυνάμενος αὐτῇ λῦσαι τὴν συμφορὰν τῶν κακῶν.

* Forte, ἀπατῶν ex Lat.

Θεόκτιστος ἐπίσκοπος εἶπε· συντίθεμαι τοῖς καλῶς καὶ ἐνθέσμως ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου, ὥστε ἀλλότριον εἶναι τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον τὸν γενόμενον τῆς Πέρρης ἐπίσκοπον· καὶ ψηφίζομαι, ὥστε ἀντ' αὐτοῦ χειροτονηθῆναι ἄλλον τῇ Περρηνῶν ἁγίᾳ ἐκκλησίᾳ ἐπίσκοπον.

Βενέτιος ἐπίσκοπος εἶπε· τοῖς κανονικῶς παρὰ τῆς ἁγίας συνόδου ἐξενεχθεῖσι συντίθεμαι καὶ αὐτὸς, κρίνας Ἀθανάσιον τὸν Πέρρης γενόμενον ἐπίσκοπον, ἀλλότριον τοῦ λοιποῦ τῆς ἀρχιερατικῆς τυγχάνειν τιμῆς, καὶ δεῖν ἕτερον ἀντ' αὐτοῦ πρόεδρον προβληθῆναι τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Γερόντιος ἐπίσκοπος εἶπεν· ἐπειδὴ πολλάκις κληθεὶς Ἀθανάσιος ὁ γενόμενος Πέρρης ἐπίσκοπος, ὑπό τε τοῦ μητροπολίτου αὐτοῦ τοῦ μακαρίου Πανολβίου, ὑπό τε τοῦ θεοφιλεστάτου Ἰωάννου τοῦ τῆς Ἱεραπολιτῶν μητροπόλεως ἐπισκόπου, καὶ τοῦ παναγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Δόμνου, οὐ μὴν ἀλλὰ καὶ τῆς παρούσης ἐνταῦθα ἁγίας συνόδου, οὐ παρεγένετο· τοῦτον κἀγὼ ἀλλότριον κρίνω κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τῆς ἐπισκοπῆς· καὶ παρακαλῶ, τὴν ταχίστην χειροτονηθῆναι ἐπίσκοπον ἀντ' αὐτοῦ τῇ Περρηνῶν ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Στέφανος ἐπίσκοπος εἶπεν· ἐπὶ μεγίστοις ἐγκλήμασι κατηγορηθεὶς Ἀθανάσιος ὁ γενόμενος ἐπίσκοπος τῆς Περρηνῶν πόλεως, καὶ πολλάκις κληθεὶς, καὶ οὐδὲ ἅπαξ ὑπακούσας, ἀλλὰ μακρὰς ὁδοὺς ἑλόμενος στείλασθαι, καὶ ὀχλῆσαι τὰς ἀκοὰς τῶν θεοφιλεστάτων ἐπισκόπων Πρόκλου καὶ Κυρίλλου, καὶ διὰ τοῦτο πάλιν ὑπό τε τοῦ ἐξάρχου τῆς ἀνατολικῆς διοικήσεως κληθεὶς, καὶ τῆς ἀθροισθείσης ἁγίας συνόδου, καὶ οὐδὲ οὕτως ὑπακούσας, δίκαιός ἐστιν ἐξωθῆναι τῆς ἀρχιερωσύνης, ἑτέρου ἀντ' αὐτοῦ καθισταμένου προέδρου τῇ προειρημένῃ ἁγίᾳ ἐκκλησίᾳ.

Ἰωσὴφ ἐπίσκοπος εἶπεν· ἔδει μὲν ἀπαντήσαντα τὸν Ἀθανάσιον τὸν γενόμενον τῆς Περρηνῶν ἐκκλησίας ἐπίσκοπον, ἀποδύσασθαι τὰ ἐπιφερόμενα αὐτῷ ἐγκλήματα. ἀλλ' ἐπειδὴ τοῦτο πολλάκις κληθεὶς οὐ πεποίηκεν, ἡ δὲ παροῦσα ἁγία σύνοδος κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς ψῆφον ἐξή-

νεγκε κατ'

τέλει κατ' αὐτοῦ, συντίθεμαι κἀγὼ πᾶσι τοῖς ἐνθέσμως ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου, κρίνας ἀλλότριον αὐτὸν εἶναι τῆς ἀρχιερωσύνης, χρῆναι δὲ ἕτερον ἀντ' αὐτοῦ τῇ Περρηνῶν ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ πρόεδρον καταστῆναι.

Φωσφόρος ἐπίσκοπος εἶπε· συναινῶ κἀγὼ τοῖς ἐνθέσμως ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου, καὶ ἀλλότριον αὐτὸν εἶναι δοκιμάσας τῆς ἐπισκοπῆς τὸν προειρημένον Ἀθανάσιον, παρακαλῶ καὶ συμψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ προχειρισθῆναι ἐπίσκοπον τῆς Περρηνῶν ἐκκλησίας.

Θωμᾶς ἐπίσκοπος εἶπε· τῶν κατηγόρων Ἀθανασίου πολλάκις, πάλαι τε τῷ Πανολβίῳ τῷ μακαρίῳ τῷ τῆς μητροπόλεως ἐπισκόπῳ γενομένῳ, καὶ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ ἡμῶν κυρῷ Δόμνῳ, καὶ νῦν τῇ ἁγίᾳ συνόδῳ παρενοχλησάντων, κλήσεών τε πολλάκις γενομένων, ὥστε τὴν τῶν κατηγοριῶν γενέσθαι ἐξέτασιν, μὴ ἀπαντήσας Ἀθανάσιος, ἑαυτὸν ἔξω τῆς τῆς *ἀρχιερατικῆς πεποίηκεν ἐνεργείας· καὶ μετὰ τὴν τῆς ἁγίας συνόδου ψῆφον, ἀναγκαίως ἡ τῶν Περρηνῶν ἁγία τοῦ Θεοῦ ἐκκλησία, τοσοῦτον ἀπροστάτευτος μείνασα χρόνον, λήψεται πρόεδρον χειροτονούμενον ἀκολούθως παρά τε τοῦ θεοφιλεστάτου μητροπολίτου καὶ τῶν τῆς ἐπαρχίας θεοφιλεστάτων ἐπισκόπων.

* Forte, ἀρχιερωσύνης

Παῦλος ἐπίσκοπος εἶπε· συντίθεμαι τοῖς ἀποφανθεῖσι παρὰ τῆς ἁγίας ταύτης συνόδου, καὶ ἀλλότριον τῆς ἐπισκοπῆς κρίνω τὸν προειρημένον Ἀθανάσιον, καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ συντόμως χειροτονηθῆναι τῇ Περρηνῶν ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Παῦλος ἄλλος ἐπίσκοπος εἶπε· τοῖς ἐκκλησιαστικῶς καὶ κανονικῶς ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου σύμψηφός εἰμι· ἀλλότριον κρίνω τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον τὸν γενόμενον Περρῆς ἐπίσκοπον, καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ διὰ τάχους προβληθῆναι τῇ αὐτῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Μάρας ἐπίσκοπος εἶπε· κἀγὼ τὰ αὐτὰ συντίθεμαι, καὶ ἀλλότριον κρίνω τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον τὸν γενόμενον Περρῆς ἐπίσκοπον, ἐπειδὴ πολλάκις κληθεὶς οὐχ ὑπήκουσε· καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ χειροτονηθῆναι τῇ Περρηνῶν ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Βαραίης ἐπίσκοπος εἶπεν· τοῖς ἐνθέσμως ὁρισθεῖσιν ὑπὸ τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων συνῳδὰ κἀγώ φημι, ἀλλότριον κρίνας παντελῶς τῆς ἀρχιερατικῆς τιμῆς καὶ τῆς ἀξίας τοῦ ἐπισκόπου τὸν αὐτὸν Ἀθανάσιον· καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ τῇ Περρηνῶν ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ χειροτονηθῆναι.

Ἐπιφάνιος ἐπίσκοπος εἶπε· τοῖς καλῶς καὶ ἐνθέσμως ἀποφανθεῖσιν ὑπὸ τῆς ἁγίας συνόδου συντίθεμαι καὶ αὐτός, ἀλλότριον κρίνας τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον τὸν γενόμενον Περρῆς ἐπίσκοπον· καὶ ψηφίζομαι διὰ τάχους ἕτερον προβληθῆναι τῇ αὐτῇ Περρηνῶν ἐκκλησίᾳ, δυνάμενον διοικῆσαι αὐτὴν κατὰ τὸ τοῦ Θεοῦ βούλημα.

Ἰορδάνης ἐπίσκοπος εἶπε· τοῖς κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας ὑπὸ τῆς ἁγίας συνόδου καλῶς ἀποφανθεῖσι συντίθεμαι, ἀλλότριον κρίνας Ἀθανάσιον τῆς ἀρχιερατικῆς τιμῆς, τὸν γενόμενον Περρῆς ἐπίσκοπον· καὶ ψηφίζομαι ἕτερον ἀντ' αὐτοῦ χειροτονηθῆναι τῇ Περρηνῶν ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Ἰωάννης ἐπίσκοπος εἶπε· συντίθεμαι καὶ αὐτὸς ἐγὼ τοῖς κανονικῶς καὶ ἐνθέσμως ψηφισθεῖσι παρὰ τῆς θείας συνόδου· καὶ ἀλλότριον κρίνας τῆς ἐπισκοπῆς Ἀθανάσιον, δοκιμάζω ἕτερον πρόεδρον καταστῆναι τῇ Περρηνῶν ἐκκλησίᾳ.

Δανιῆλος ἐπίσκοπος εἶπε· σύμφημι πᾶσι τοῖς κανονικῶς δόξασι τῇ ἁγίᾳ συνόδῳ, καὶ ἀλλότριον κρίνας Ἀθανάσιον τῆς ἐπισκοπῆς, δοκιμάζω ἕτερον ἀντ' αὐτοῦ χειροτονηθῆναι τῇ Περρηνῶν πόλει.

Σωφρόνιος ἐπίσκοπος εἶπε· τοῖς κανονικῶς καὶ ἐνθέσμως ὁρισθεῖσι παρὰ τῆς ἁγίας συνόδου καὶ αὐτὸς ἐξακολουθῶν, ἀλλότριον κρίνω τῆς ἐπισκοπῆς Ἀθανάσιον, καὶ δοκιμάζω ἕτερον ἀντ' αὐτοῦ καταστῆναι τῇ Περρηνῶν ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Σάββας ἐπίσκοπος εἶπε· συντίθεμαι κἀγὼ τοῖς διαλαληθεῖσι πᾶσι, καὶ σύμψηφός εἰμι τῇ ἁγίᾳ συνόδῳ, ἀλλότριον δοκιμάσας εἶναι τῆς ἀρχιερατικῆς τιμῆς Ἀθανάσιον· ἐπειδὴ κληθεὶς παρὰ πάσης τῆς ἐπαρχίας, καὶ τῶν μητροπολι-

A sanctiones. Unde & ego consentio omnibus quæ ab eis legaliter definita sunt, judicans eum alienum esse a pontificatu: oportere autem alium pro eo pontificem Perrhenorum sanctæ Dei ecclesiæ ordinari.

Phosphorus episcopus dixit: Consentio & ego his quæ regulariter definita sunt a sancto concilio, alienum esse judicans ab episcopatu prædictum Athanasium: rogo autem, & una decerno, alium pro eo Perrhenorum sanctissimæ Dei ecclesiæ ordinari pontificem.

Thomas episcopus dixit: Accusatoribus Athanasii frequenter olim quidem beatæ memoriæ Panolbio, qui metropolis fuit episcopus, & sanctissimo archiepiscopo nostro Domno, & nunc etiam sancto concilio molestis existentibus: & vocationibus sæpe factis, ut accusationum examinatio B proveniret, non occurrens Athanasius, semetipsum extraneum ab efficacia pontificatus effecit. Unde post sententiam sancti concilii, necessario Perrhenorum sanctissima Dei ecclesia, tanto tempore sine præsule manens, suscipiat pontificem a sanctissimo metropolita & religiosissimis episcopis provinciæ regulariter ordinatum.

Paulus episcopus Ptolemaïdis dixit: Consentio his quæ decreta sunt ab hoc sancto concilio, & alienum ab episcopatu judico prædictum Athanasium: atque decerno alium pro eo velociter Perrhenorum sanctæ Dei ecclesiæ ordinandum episcopum.

Paulus episcopus Aradi & Antaradi dixit: His quæ ecclesiastice & regulariter a sancto concilio sunt decreta, particeps sum: alienum judicans ab honore episcopatus A-C thanasium Perrhenorum quondam episcopum, & decerno alium pro eo celerius eidem sanctissimæ Dei ecclesiæ constituendum episcopum.

Maras episcopus dixit: Et ego hæc ipsa constituo, & alienum judico ab honore pontificatus Athanasium Perrhenorum quondam episcopum, quoniam sæpius evocatus non obaudivit: & decerno alium pro eo Perrhenorum sanctæ Dei ecclesiæ ordinari debere.

Baranes episcopus dixit: His quæ regulariter definita sunt a Dei amantissimis episcopis, consona loquor & ego, alienum judicans ab omni pontificatus honore & dignitate episcopatus eumdem Athanasium: & decerno alium pro eo Perrhenorum sanctæ Dei ecclesiæ constituendum.

Epiphanius episcopus dixit: His quæ bene & regulari- D ter a sancto concilio sunt decreta, consentio & ipse; alienum judicans ab honore pontificatus Athanasium Perrhenorum quondam episcopum: & decerno celeriter alium constitui eidem Perrhenorum ecclesiæ, qui eam possit pro Dei voluntate gubernare.

Jordanes episcopus dixit: His quæ secundum ecclesiasticos canones a sancto concilio bene sunt prolata, consentio; alienum judicans ab honore pontificatus Athanasium Perrhenorum quondam episcopum: & decerno alium pro eo Perrhenorum sanctæ Dei ecclesiæ ordinandum.

Joannes episcopus Theodosiopolis dixit: Consentio & ego ipse iis quæ canonice & legitime definita sunt a sancto concilio: & alienum ab episcopatu judico Athanasium, approbans alterum pontificem constituendum ecclesiæ Per- E rhenorum.

Daniel episcopus dixit: Consentio omnibus his quæ regulariter sancto concilio placuerunt, & alienum judico Athanasium ab episcopatu: approbans alterum pro eo Perrhenorum civitati ordinandum episcopum.

Sophronius episcopus dixit: Ea quæ regulariter atque legaliter a sancto concilio definita sunt, & ipse sequens, alienum judico Athanasium ab episcopatu, approbans alterum pro eo Perrhenorum sanctæ Dei ecclesiæ constituendum episcopum.

Sabas episcopus dixit: Consentio & ego omnibus quæ dicta sunt, & una decerno cum sancto concilio, alienum judicans esse ab honore pontificatus Athanasium; quoniam evocatus ab omni sua provincia, suisque metropoli-

ACTIO QUARTADECIMA. CONCILIUM ANTIOCHENUM.

tis, & sanctissimo patre nostro atque doctore, & ab omni hoc sancto concilio, non obedivit: approbo autem quatenus pro eo Perrhenorum sanctæ Dei ecclesiæ ordinetur episcopus, qui possit ab ea hanc malorum congeriem avertere.

Domnus episcopus dixit: Mei quidem voti non fuit, talem adversus episcopum proferre sententiam. Quia vero sancto concilio digne complacuit, alienum exsistere Athanasium secundum ecclesiasticas sanctiones ab episcopatu, tamquam multis magnisque criminibus accusatum, semper vero judicium & examinationem causæ fugientem; confirmo hæc etiam ego, & in his quæ omnibus communiter placuerunt, concors exsisto, judicans eum alienum esse a pontificatu: & præcipio Dei amantissimo episcopo Joanni, & ipsius provinciæ religiosissimis episcopis, alium pro eo Perrhenorum sanctæ Dei ecclesiæ episcopum ordinare.

Et subscriptiones prædictorum episcoporum.

CONCILIUM CHALCEDONENSE.

Gloriosissimi judices dixerunt: Si qui eorum, qui tunc cum Domno deposuerunt Athanasium reverentissimum episcopum, assident sancto concilio, in medium transeant. Et transeuntibus in medium Theodoro reverentissimo episcopo Damasci, Theoctisto reverentissimo episcopo BerrhϾ, Gerontio reverentissimo episcopo Seleuciæ, Damiano reverentissimo episcopo Sidonis, Joseph reverentissimo episcopo Heliopolis, Saba reverentissimo episcopo Palti, & Sophronio reverentissimo episcopo Constantinæ, Gloriosissimi judices dixerunt: Dicant reverentissimi & sanctissimi episcopi, pro qua culpa tunc Athanasium reverentissimum deposuerunt de episcopatu.

Theodorus reverentissimus episcopus Damasci dixit: Clerici Perrhenorum ecclesiæ accusationes obtulerunt adversus eum, & evocatus non adfuit, dicens quosdam se inimicos habere; & secundo evocatus non adfuit. Cum vero tres evocationes in eum factæ fuissent, & venire recusasset, secundum canones adversus eum depositionis ejus prolata sententia est.

Theoctistus reverentissimus episcopus BerrhϾ, dixit: Tertio evocatus religiosissimus episcopus Athanasius a concilio Antiochiæ congregato, non adfuit: & ideo quod non adfuit, damnatus est.

Gerontius reverentissimus episcopus Seleuciæ Syriæ dixit: Nos deposuimus eum, quoniam regulariter evocatus tertio non occurrit, & secundum regulas depositus est ab omnibus qui tunc convenerant. Gravia enim quædam posita erant in libellis adversus eum prolatis, & evocatus regulariter, obaudire contempsit.

Damianus reverentissimus episcopus Sidonis dixit: Tertio evocatus Athanasius reverentissimus episcopus a sancto concilio Antiochiæ congregato, non obaudivit: & secundum regulas ab omnibus qui tunc convenerant, condemnatus est.

Joseph reverentissimus episcopus Heliopolis dixit: Evocatus a sancto concilio Antiochiæ congregato in auditorio & semel & secundo & tertio reverentissimus Athanasius, & non adveniens, damnationi submissus est.

Sabas reverentissimus episcopus Palti dixit: Aderam in judicio. Detulerat Athanasius sacram, ut non sederet neque domnus Theodorus in causa, neque Joannes metropolita. Sedebant ambo in causa. Dicebam ad eos: Quia si judices estis, audite negotium. Si vero non subscribitis, egredimini. Simpliciter contentione facta subscribere noluerunt. Ad ultimum evocatus est tertio, & non venit: & propterea deposuimus eum.

Sophronius reverentissimus episcopus Constantinæ dixit: Nihil discussum est eorum quæ adversus eum

ANNO CHRISTI 451.

A τοῦ αὐτοῦ, καὶ τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ διδασκάλου, καὶ πάσης τῆς παρούσης τῆς ἁγίας συνόδου, οὐχ ὑπήκουσε· καὶ δικαιώσω, ὥστε ἕτερον ἐπίσκοπον ἀντ' αὐτοῦ καταστῆναι τῇ Περρίνων ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, τὸν δυνάμενον αὐτῇ λῦσαι τὴν συμφορὰν τῶν κακῶν.

Δόμνος ἐπίσκοπος εἶπεν· ἐμοὶ μὲν ἀπευκτὸν ἦν, τοιαύτην ἐξενεχθῆναι κατὰ ἐπισκόπου ψῆφον. ἐπειδὴ δὲ καὶ τῇ ἁγίᾳ συνόδῳ συνέδοξεν, ἀλλότριον Ἀθανάσιον εἶναι κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς τῆς ἐπισκοπῆς, ἀξίως, αἰτιαθέντα μὲν ἐπὶ πολλοῖς καὶ μεγάλοις ἐγκλήμασι, φυγόντα δ' ἀεὶ τὸ κριτήριον καὶ τὴν ἐξέτασιν τῆς ὑποθέσεως, βεβαιῶ ταῦτα κἀγὼ, καὶ τοῖς κοινῇ πᾶσι δόξασι συμψηφίζομαι, κρίνας αὐτὸν ἀλλότριον εἶναι τῆς ἱερωσύνης· καὶ ἐπιτρέπω τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἰωάννῃ, καὶ τοῖς τῆς ἐπαρχίας θεοσεβεστάτοις

B ἐπισκόποις, ἕτερον ἀντ' αὐτοῦ χειροτονῆσαι ἐπίσκοπον τῇ ἐν Πέρρῃ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ.

Καὶ αἱ ὑπογραφαὶ τῶν προειρημένων ἐπισκόπων.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· εἴ τινες τῶν τηνικαῦτα ἅμα Δόμνῳ καθελόντων τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀθανάσιον προσεδρεύουσι τῇ ἁγιωτάτῃ συνόδῳ, παρελθέτωσαν εἰς μέσον. [a] Καὶ παρελθόντων εἰς μέσον Θεοδώρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δαμασκοῦ, Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Βεῤῥοίας, Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Σελευκείας, Δαμιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Σιδῶνος, Ἰωσὴφ τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἡλιουπόλεως, Σάββα τοῦ εὐλαβεστάτου ἐπισκόπου Πάλτου, καὶ Σωφρονίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κωνσταντίνης, οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον·

C Ἀθανάσιον τὸν εὐλαβέστατον ἐπίσκοπον, λεγέτωσαν οἱ εὐλαβέστατοι ἐπίσκοποι διὰ ποίαν αἰτίαν τὸ τηνικαῦτα καθεῖλον.

[a] *In ms. Romani*, ἀνέγνω, ἀνέγνωμεν, ἀνέγνω.

Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Δαμασκοῦ εἶπε· κληρικοὶ τῆς Περρινῶν ἐκκλησίας αἰτιάσεις δεδώκασι κατ' αὐτοῦ· καὶ κληθεὶς οὐ παρεγένετο, εἰπών τινας ἐχθροὺς ἔχειν· καὶ δεύτερον κληθεὶς, οὐ παρεγένετο. ὡς δὲ τρίτη κλῆσις ἐπὶ αὐτοῦ γεγένηται, καὶ παρῃτήσατο ἐλθεῖν, κατὰ τοὺς κανόνας ἐξηνέχθη ψῆφος ἡ καθαιροῦσα αὐτόν.

Θεόκτιστος ὁ εὐλαβέστατος ἐπίσκοπος Βεῤῥοίας εἶπε· κληθεὶς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος ὑπὸ τῆς συνόδου τῆς συναχθείσης ἐν Ἀντιοχείᾳ, τρίτον, οὐ παρεγένετο· καὶ κατεκρίθη ἀπὸ τοῦ μὴ παραγενέσθαι.

D Γερόντιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας εἶπεν· ἡμεῖς καθείλομεν αὐτὸν, ἐπειδὴ κανονικῶς ἐκλήθη τρίτον, καὶ οὐκ ἀπήντησε· καὶ κατὰ τοὺς κανόνας καθῃρέθη παρὰ πάντων τῶν συνελθόντων. βαρέα γάρ τινα ἐνέκειτο τοῖς λιβέλλοις τοῖς κατ' αὐτοῦ· καὶ ἐκλήθη κανονικῶς, καὶ οὐκ ἀπήντησε.

Δαμιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Σιδῶνος εἶπε· κληθεὶς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀθανάσιος παρὰ τῆς ἁγίας συνόδου τῆς συναθροισθείσης ἐν τῇ Ἀντιοχείᾳ, τρίτον, οὐχ ὑπήκουσε· καὶ κατὰ τοὺς κανόνας καθῃρέθη παρὰ πάντων τῶν τότε συνελθόντων.

Ἰωσὴφ ὁ εὐλαβέστατος ἐπίσκοπος Ἡλιουπόλεως εἶπε· κληθεὶς ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ Ἀντιόχειαν συνελθούσῃ ἐν τῷ ἀκροατηρίῳ καὶ ἅπαξ, καὶ δεύτερον, καὶ τρίτον ὁ εὐλαβέστατος Ἀθανάσιος, καὶ μὴ παραγενόμενος, ὑπεβλήθη τῇ καθαιρέσει.

E Σάββας ὁ εὐλαβέστατος ἐπίσκοπος Πάλτου εἶπε· [b] παρήμην εἰς τὸ δικαστήριον. ἦν δὲ Ἀθανάσιος ἐνεγκὼν σάκραν, ὥστε μὴ καθεσθῆναι μηδὲ τὸν κύριον [c] Θεοδώρητον εἰς τὴν δίκην, μηδὲ Ἰωάννην τὸν μητροπολίτην. ἐκάθηντο οἱ δύο εἰς τὴν δίκην. ἔλεγον πρὸς αὐτούς· ὅτι εἰ δικασταί ἐστε, ἀκούσατε τοῦ πράγματος· εἰ δὲ μὴ ὑπογράφετε, ἐξέλθετε. ἁπλῶς φιλονεικία ἐγένετο, καὶ οὐκ ἤθελον τοῦ γράψαι. τέλος ἐκλήθη τρίτον, καὶ οὐκ ἦλθε, καὶ διὰ τοῦτο καθείλομεν αὐτόν.

[b] *Forte*, παρήμην.
[c] *Forte*, Θεόδωρον.

Σωφρόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Κωνσταντίνης πόλεως εἶπεν· οὐδὲν ἐξήτασται τῶν κατ' αὐτὸν καὶ παρουσίᾳ αὐτοῦ

ANNO CHRISTI 451.

ACTIO QUARTADECIMA.

κατὰ παρουσίαν οὐδὲν ἐξητάσθη· ἀλλὰ ἐκ μιᾶς μοίρας ᾐτιάσαντο ἐκεῖνοι· ἡμεῖς δὲ οὐκ ἐπιστεύσαμεν τῇ μιᾷ μοίρᾳ, ἐπειδὴ οἱ κατήγοροι ὅσα θέλουσι λέγουσιν· οὐ πάντως δὲ δεῖ πείθεσθαι τοῖς κατηγοροῦσιν· ἐκλήθη διὰ ταῦτα ἅπαξ· εἶπε τὴν αἰτίαν, δι' ἣν οὐ παρεγένετο· ὅτι τινὰς ἐχθροὺς ἔχει. ἐγένετο ἐν τοῖς ὑπομνήμασι· πάλιν ἐκ δευτέρου ἐκλήθη. πάλιν ἐκλήθη ἐκ τρίτου· ὡς οὐχ ὑπήκουσεν ἐκ τρίτου, ἐξηνέχθη ψῆφος ἡ καθελοῦσα αὐτόν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· λεγέτω Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος, τίνος ἕνεκα τρίτον κληθεὶς παρὰ τῆς κατὰ Ἀντιόχειαν συνόδου, οὐκ ἀπήντησε, ταῖς οἰκείαις δικαιολογίαις χρησάμενος. Ἀθανάσιος ὁ εὐλαβέστατος εἶπεν· ἐπειδὴ ἐχθρός μου ἦν αὐτὸς ὁ κρίνων ὁ Ἀντιοχείας· καὶ ἀξιῶ ταῦτα ἀναγνωσθῆναι, καὶ δειχθῆναι τὴν ἀλήθειαν· ἀπῆλθον οἱ κληρικοὶ, καὶ αὐτοὶ ἐψηφίσαντο, μὴ θελήσαντες. οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· Σαβινιανὸς μὲν ὁ εὐλαβέστατος ἐπίσκοπος, ἐπειδὴ μετὰ τὴν καθαίρεσιν Ἀθανασίου τοῦ εὐλαβεστάτου ἐχειροτονήθη ὑπὸ τῆς κατὰ τὴν ἐπαρχίαν συνόδου, ἐπὶ τῆς ἐπισκοπῆς τῆς Περρηνῶν πόλεως, καθὼς ἡμεῖς συνορῶμεν, μένειν ὀφείλει· οὐδὲ γὰρ ἐκ μιᾶς μοίρας ἀποκινηθεὶς, δίκαιός ἐστι πρόκριμα παθεῖν, ἐπειδὴ οὐ μετεκλήθη, οὐδὲ ἀπολογία αὐτῷ ἐφυλάχθη. Ἀθανάσιος δὲ καθαιρεθεὶς, ὡς μὴ ὑπακούσας τῆς κλήσεσι, μετὰ ταῦτα δὲ ἐκ μιᾶς μοίρας παρὰ Διοσκόρου τῆς ἐπισκοπῆς ἀντέχεσθαι κελευσθεὶς, τέως, καθὼς συνορῶμεν, ἡσυχάζειν ὀφείλει· τὰ δὲ περὶ τῶν ἐπαχθέντων αὐτῷ δεῖν σκοπηθῆναι δικάζομεν ἐπὶ τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Ἀντιοχέων Μαξίμου, καὶ ἐπὶ τῆς μετ' αὐτοῦ συνόδου· οὕτω μέν τοι, ὥστε ἐντὸς ἐκτὼ μηνῶν ἀπὸ τῆς σήμερον ἡμέρας ἀριθμουμένων τὴν ἐξέτασιν γενέσθαι τῶν ἤδη κατ' αὐτοῦ τὴν κατηγορίαν ποιησαμένων, ἢ καὶ ἑτέρου τινὸς τῷ πράγματι συνισταμένου. καὶ εἰ μὲν ἐλεγχθείη πεπραχὼς πάντα τὰ ἐγκληματικῶς καὶ χρηματικῶς αὐτῷ ἐπενεχθέντα, καὶ ἐμφερόμενα τοῖς ὑπομνήμασιν, ἢ καὶ ἓν ἐξ αὐτῶν ἄξιον ὑπάρχον καθαιρέσεως, μὴ μόνον αὐτὸν ἀλλότριον εἶναι τῆς αὐτῆς ἐπισκοπῆς, ἀλλὰ καὶ τοῖς δημοσίοις ὑποπίπτειν νόμοις. εἰ δὲ ἐντὸς ταύτης τῆς προθεσμίας μὴ ἐναχθείη, ἢ ἐναγόμενος μὴ ἐλεγχθείη, ὡς προείρηται, Ἀθανάσιον μὲν τὴν ἐπισκοπὴν καὶ τὴν ἐκκλησίαν τῆς αὐτῆς πόλεως ἀναλαβεῖν διὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Μαξίμου τοῦ τῆς Ἀντιοχέων μεγαλοπόλεως, Σαβινιανὸν δὲ τὸν εὐλαβέστατον καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἔχειν, καὶ ὑποκαθεστῶτα εἶναι, τρεφόμενον, ὡς ἂν ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων Μάξιμος πρὸς τὴν δύναμιν τῆς κατὰ Πέρρην ἁγιωτάτης ἐκκλησίας διατυπώσῃ. τούτων ἀκούσασα ἡ ἁγιωτάτη σύνοδος λεγέτω, εἰ τοῖς τυπωθεῖσιν ἐπιψηφίζεται, ἢ τι ἕτερον τυποῖ.

erant, & in præſentia ejus per probationem nihil examinatum eſt. Sed ex una parte accuſaverunt illi. Nos autem non credidimus uni parti, quoniam accuſatores quæcumque volunt dicunt, nec omnino oportet accuſatoribus credi. Evocatus eſt autem propter hæc ſemel: dixit cauſam, pro qua non adeſſet, quoſdam ſe inimicos habere in ſynodo: quæ poſita eſt in geſtis. Iterum ſecundo evocatus eſt. Cum autem non obediſſet tertio, deponens eum prolata ſententia eſt.

Glorioſiſſimi judices dixerunt: Dicat Athanaſius reverentiſſimus epiſcopus cur tertio evocatus a ſancto Antiocheno concilio, non occurrit, ut propriis allegationibus uteretur. Athanaſius reverentiſſimus epiſcopus dixit: Quoniam inimicus meus erat ipſe qui judicabat, Antiochenus archiepiſcopus. Et rogo hæc relegi, & veritatem probari. Abierunt tredecim clerici, & ipſi decreverunt nolentes. Glorioſiſſimi judices dixerunt: Sabinianus reverentiſſimus epiſcopus, quoniam poſt depoſitionem Athanaſii reverentiſſimi ordinatus eſt a provinciali concilio, in Perrhenorum civitatis epiſcopatu (ſicut nos perſpicimus) manere debet. Neque enim ex una parte remotus, juſtum eſt ut præjudicium patiatur: quoniam neque vocatus eſt, neque contradictio ei ſervata eſt. Athanaſius vero depoſitus, tamquam evocationibus non obaudiens, poſtea vero ex una parte a Dioſcoro epiſcopatum obtinere juſſus, interim, ſicut perſpicimus, debet quieſcere. Cauſas vero illatas ei, examinandas eſſe decernimus apud ſanctiſſimum epiſcopum Antiochiæ Maximum, & concilium quod cum eo eſt: ita tamen, ut intra octo menſes, a præſenti die numerandos, examinatio fiat eorum qui dudum accuſationem adverſus eum propoſuerunt, aut ſi quivis alius contra eum de his ipſis inſtare voluerit: & ſi quidem convictus fuerit omnia præſumpſiſſe, quæ ei criminaliter ſeu pecunialiter ſunt illata, & geſtis inſerta, aut unum ex illis, quod damnatione ſit dignum; non ſolum eum alienum eſſe ab eodem epiſcopatu, ſed etiam legibus publicis eſſe ſubdendum. Si vero intra hoc tempus non agatur adverſus eum, neque convincatur, ſicut prædictum eſt; Athanaſius quidem epiſcopatum ejuſdem recipiat civitatis & eccleſiam per ſanctiſſimum epiſcopum Antiochiæ Maximum; Sabinianus vero reverentiſſimus epiſcopus & dignitatem epiſcopatus habeat, & ſubſtitutus ſit, & paſcatur, ſicut reverentiſſimus epiſcopus Antiochenorum Maximus ſecundum facultatem Perrhenorum ſanctiſſimæ eccleſiæ diſpoſuerit. Hæc audiens ſanctiſſima ſynodus dicat, ſi ea quæ ſunt ordinata, decernit, an aliud quid diſponit.

Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας εἶπε· τούτου οὐδὲν δικαιότερον. Κῦρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀναζαρβοῦ εἶπεν· ὁ Θεὸς δι' ὑμῶν ἐλάλησεν· ἡ ἁγία σύνοδος εἶπεν· οὐδὲν δικαιότερον, οὐδὲν ἀκριβέστερον. αὕτη δικαία ψῆφος. τὰ τυπωθέντα πέρας λαβέτω· μετὰ τοῦ Θεοῦ ὑμεῖς δικάζετε.

Maximus reverentiſſimus epiſcopus Antiochiæ dixit: Hoc nihil juſtius. Cyrus reverentiſſimus epiſcopus Anazarbi dixit: Deus per vos locutus eſt. Sancta ſynodus dixit: Nihil juſtius, nihil integrius; hoc juſtum judicium: hæc juſta ſententia. Quæ diſpoſita ſunt, effectui mancipentur, quia cum Deo vos judicatis.

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὰ παρ' ἡμῶν μὲν δοκιμασθέντα, τυπωθέντα δὲ παρὰ τῆς ἁγίας συνόδου, βέβαια μενέτω.*

Lucentius reverentissimus episcopus vicarius sedis Apostolicæ dixit: Sedes Apostolica nobis præsentibus [a] humiliari non debet: & ideo quæcumque in præjudicium canonum vel regularum hesterna die gesta sunt C nobis absentibus, sublimitatem vestram petimus, ut circumduci jubeatis: sin alias, contradictio nostra his gestis inhæreat, ut noverimus quid Apostolico viro [b] universalis ecclesiæ Papæ referre debeamus: ut ipse aut de suæ sedis injuria, aut de canonum eversione possit ferre sententiam.

Joannes reverentissimus episcopus Sebastiæ dixit: Omnes in sententia vestræ magnificentiæ permanemus. Illustrissimi judices dixerunt: Quod interlocuti sumus, tota synodus approbavit.

[a] In Græco, nobis præsentibus omnia fieri præcepit.

[b] In Græco, & totius ecclesiæ præcipuo episcopo

A κλησίας ἐπίσκοπον δοκιμάσωσιν· αναφέρεσθαι δὲ παρὰ πάντων τῶν ἐπιλεξαμένων τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ τῆς βασιλίδος Κωνσταντινουπόλεως, ἐπὶ τῷ ἐν αὐτῷ εἶναι, εἴ τι βούλεται τὸν ἐπιλεχθέντα ἐνταῦθα παραγενόμενον χειροτονηθῆναι, εἴ τι κατ' ἐπιτροπὴν αὐτοῦ ἐν τῇ ἐπαρχίᾳ τῇ ψήφῳ τῆς ἐπισκοπῆς τυχεῖν· τοὺς μὲν τοι κατὰ πόλιν ὁσιωτάτους ἐπισκόπους χειροτονεῖσθαι παρὰ πάντων, ἢ τῶν πλειόνων τῆς ἐπαρχίας εὐλαβεστάτων ἐπισκόπων, τὸ κῦρος ἔχοντος τοῦ μητροπολίτου κατὰ τὸν κείμενον τῶν πατέρων κανόνα, καὶ μηδὲν ἐπικοινωνοῦντος ταῖς ἐκείνων χειροτονίαις τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς βασιλίδος Κωνσταντινουπόλεως. ταῦτα παρ' ἡμῶν ἐσκοπήθη. τὰ B δὲ παριστάμενα αὐτῇ, ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος διδάξαι καταξιωσάτω.

Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· αὕτη δικαία ψῆφος· ταῦτα πάντες λέγομεν· ταῦτα πᾶσιν ἀρέσκει. αὕτη δικαία κρίσις· τὰ τυπωθέντα κρατείτω. αὕτη δικαία ψῆφος. πάντα δεόντως ἐτυπώθη. δεόμεθα, ἀπολύσατε ἡμᾶς. τὴν σωτηρίαν τῶν βασιλέων, ἀπολύσατε ἡμᾶς. πάντες τῇ ἀποφάσει ἐμμένομεν, πάντες τὰ αὐτὰ λέγομεν.

Λουκήνσιος ἐπίσκοπος εἶπεν· ὁ ἀποστολικὸς θρόνος ἡμῶν παρόντων προσέταξε πάντα πραχθῆναι. καὶ διὰ τοῦτο, εἴ τι δέ ποτε παρὰ τοῦ δικαστηρίου παρὰ κανόνας τῇ χθὲς ἡμέρᾳ C ἐπράχθη ἀπόντων ἡμῶν, τὴν ὑμετέραν ὑπεροχὴν αἰτοῦμεν, ὥστε κελεῦσαι περιαιρεθῆναι· [a] ἵνα μὴ φιλονεικία τις ἐξ ὑμῶν ὑπάρξῃ τούτοις τοῖς ὑπομνήμασιν, [b] ἀλλὰ γινώσκειν ἡμᾶς σαφῶς, τί τῷ ἀποστολικῷ καὶ πάσης ἐκκλησίας προύχοντι ἐπισκόπῳ ἀνενεγκεῖν· ἵνα αὐτὸς ἢ περὶ τῆς οἰκείας τοῦ θρόνου ὕβρεως, ἢ περὶ τῆς ἀνατροπῆς τῶν κανόνων δυνηθῇ ἀποφήνασθαι.

.•. .•. .•. .•. .•. .•. .•. .•.

.•. .•. .•. .•. .•. .•. .•.

.•. .•. Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ὅσα διελαλήσαμεν, πάντα ἡ σύνοδος ἐκύρωσε.[c]

[a] Forte, εἰ δὲ μὴ, ἀντιλογία, ex Lat.

[b] Forte, ἵνα vel ὥστε, ex Lat.

[c] In ms. Παρῆσι, ἀπήγαγον, ἀπηγάγετο, ἀπήγαγον.

TERTIA PARS,

In qua continentur nonnulla ad Concilium spectantia, & alia quæ post Concilium acta sunt.

In Græco est, Τόμος γ'. ἐν ᾧ τὰ περὶ τῆς συνόδου ἐστι, καὶ ἄλλα τὰ μετ' αὐτήν.

Adlocutio sancti & universalis Chalcedonensis Concilii, ad Marcianum piissimum & amatorem Christi Imperatorem.

Quod non innovans aliquid adversus Nicænam fidem nunc sanctissimus archiepiscopus Leo scripsit epistolam ad sanctæ memoriæ Flavianum Constantinopolitanæ regiæ urbis episcopum; sed sanctos Patres secutus sit, qui & post magnam synodum Nicænam hæreses, quæ per unumquodque tempus exortæ sunt, similiter refutaverunt.

ET hoc profecto vestrum decebat Imperium, ut suæ circa subjectos sibi providentiæ ex his quæ ad Deum pertinent, initium sumeret, & primo contra diabolum pro pietate militia conveniret. Unde nobis impenetrabilem in omni errore propugnatorem Deus providit, & Romanæ ecclesiæ Papam ad victoriam præparavit, doctrinis eum per omnia veritatis accingens, ut quemadmodum fervens affectu Petrus, & hic affectu ferventiore decertans, omnem ad Deum sensum intelligentiamque perducat. Sed ne quis fidei ejus concordiam vitans, & propriæ seductionis convictionem celare contendens, quasi peregrinam quamdam & ignoratam regulis, epistolæ ejus seriem accuset, asserens quod non liceat cuiquam exponere fidem præter patres qui apud Nicæam concorditer convenerunt: unam quidem esse velut principali loco trecentorum decem & octo patrum doctrinæ confessionem, lex nobis ecclesiæ præcipit; quam velut commune sanctorum decre-

D Προσφωνητικὸς παρὰ τῆς ἁγίας συνόδου πρὸς τὸν εὐλαβέστατον καὶ φιλόχριστον βασιλέα Μαρκιανόν.

Ὅτι οὐ καινοτομῶν τι καὶ κατὰ τῆς ἐν Νικαίᾳ πίστεως, νῦν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων ἐποιήσατο τὴν ἐπιστολὴν τὴν πρὸς τὸν ἐν ἁγίοις ἐπίσκοπον τῆς βασιλίδος Κωνσταντινουπόλεως Φλαβιανὸν, ἀλλὰ τοῖς ἁγίοις πατράσιν ἀκολουθῶν, τοῖς καὶ μετὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ τὰς κατὰ καιρὸν ἀναφυείσας αἱρέσεις ὁμοιοτρόπως ἐλέγξασιν.

HN ἄρα καὶ τοῦτο τῆς ὑμετέρας βασιλείας ἐπάξιον, τῆς τῶν ὑπηκόων ἐκ τῶν τῷ Θεῷ προσηκόντων ἐπιμελείας E κατάρχεσθαι, καὶ πρῶτον ἐξ εὐσεβείας κατὰ τοῦ διαβόλου συγκροτῆσαι στρατόπεδον. ὅθεν ἄτρωτον [d] ὑμῖν ἐν πάσαις ὁ Θεὸς ἐποίησε πρόμαχον, καὶ τὸν τῆς Ῥωμαίων πρὸς νίκην ἀπήρτισε πρόεδρον, τοῖς τῆς ἀληθείας αὐτὸν πανταχόθεν περιφράξας διδάγμασιν· ἵνα, ὡς ὁ θερμὸς τῷ πόθῳ Πέτρος μαχόμενος, ἅπαν πρὸς Θεὸν ἐφελκύσηται νόημα. ἀλλὰ μή τις τῆς πίστεως αὐτοῦ τὴν ὁμόνοιαν παρατρεπόμενος, καὶ τῆς οἰκείας ἀπάτης τὸν ἔλεγχον ἐπικαλύπτειν πειρώμενος, ὡς ξένην τινὰ, καὶ τοῖς κανόσιν οὐ νενομισμένην τῆς ἐπιστολῆς διαβάλλῃ τὴν σύνταξιν, ὡς οὐκ ἐξὸν εἶναι λέγων, ἐκθεῖναί τινα πίστεως παρὰ τὴν ἐν Νικαίᾳ τῶν πατέρων συνελθόντων. μίαν μὲν ὡς κεφαλαίῳ τὴν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ διδασκαλίας ὁ τῆς ἐκκλησίας εἶναι παρακελεύεται νόμος· ἣν, ὡς κοινὸν ἐξ ἁγίων συν-

[d] Forte, ὑμῖν.

ANNO CHRISTI 451.

PARTIS TERTIÆ CAP. I.

θημα, τοῖς καλουμένοις πρὸς τὴν τῆς υἱοθεσίας παρεχόμενον ἀσφάλειαν. πρὸς δὲ τοὺς ἀντιφωνοῦντας ποικίλαι τῆς ἀξίαν ἡμῖν ἀφορμαὶ παραδίδονται, τοῖς ὑπ' αὐτῶν ψευδῶς ἐπαγομένοις παρὰ τῶν εὐσεβούντων [a] προσαρμοζόμεναι. τοῖς μὲν γὰρ οἰκείοις ἀρκεῖ πρὸς ὠφέλειαν ἡ τῆς πίστεως ἀδιάκριτος κατανόησις, εἰς συγκατάθεσιν τῶν τῆς εὐσεβείας δογμάτων τοὺς ἀγαπωμένους προσάγουσα· τοῖς δὲ τὴν ὀρθὴν διαστρέφειν πειρωμένοις διδασκαλίαν, δεῖ πρὸς ἕκαστον ὧν αὐτοὶ γεννῶσιν, προσαπαντᾶν, καὶ ταῖς αὐτῶν μηχαναῖς ἀντιτάττειν τὰ πρόσφορα. εἰ μὲν οὖν ἅπαντες τῷ τῆς πίστεως ἠρκοῦντο συντάγματι, καὶ τῆς εὐσεβείας ἐκ καινοτομίας τὴν τρίβον, ἔδει παῖς τῆς ἐκκλησίας μηδὲν τῷ συμβόλῳ προστιθέναι εἰς ἀπόδειξιν. ἐπειδὴ δὲ πολλοὶ τῆς εὐθείας πρὸς τὰς τῆς πλάνης ὁδοὺς ἐκτρέπονται, καινήν τινα πορείαν ἑαυτοῖς ἐπινοοῦντες τῷ ψεύδει, ἀνάγκη καὶ ἡμᾶς τοῖς τῆς ἀληθείας αὐτοὺς ἐπιστρέφειν εὑρέμασι, καὶ ταῖς αὐτῶν ἐπινοίαις ἀντιτάττειν τὸν ἔλεγχον, οὐχ ὥς τι λεῖπον τῇ πίστει καινουργοῦντας ἀεὶ πρὸς εὐσέβειαν, ἀλλ' ὡς τοῖς παρ' ἐκείνων καινοτομουμένοις ἐπινοοῦντας τὰ πρόσφορα. καὶ ἵνα τῷ ὑμετέρῳ κράτει γένηται κατάδηλον τὸ λεγόμενον, [b] αὐτῶν τῶν τῆς πίστεως ῥημάτων ἀρξόμεθα, τὰς τῶν πατέρων, ὡς ἕκαστος ἔσχε περὶ αὐτῶν, παραθέντες ἐννοίας. εἶπεν ἡ πίστις·

[a] Forte, προσαρμοζόμεναι, ex Lat.

[b] Forte, ἀπ' αὐτῶν

Πιστεύω εἰς ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, ὁμοούσιον τῷ πατρί. τοῦτο τέλειον τοῖς ἀγνωμονεῖν πειρωμένοις πρὸς ὁμολογίαν τὸ ῥῆμα, μίαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα τῆς θεότητος ὑπαγορεῦον τὴν φύσιν· ὥστε μὴ ἄλλης μὲν οὐσίας τὸν υἱόν, ἑτέρας δὲ τὸν πατέρα προσαπτόμενον τῷ φρονήματι, καὶ ταῖς Ἀρείου κατὰ τῆς εὐσεβείας κακοτεχνίαις συμφέρεσθαι. ἀλλ' ἐπειδὴ Φωτεινὸς καὶ Μάρκελλος ἑτέραν κατὰ τοῦ υἱοῦ βλασφημίαν ἐκαινοτόμησαν, ἐκ εἶναι τοῦτον παντελῶς ταῖς συκοφαντίαις ἀρνούμενοι, ἀλλὰ τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ πνεῦμα καλεῖσθαι διαβεβαιούμενοι, καὶ μέχρι μόνου φωνῆς τῆς κλήσεως τὸ διάφορον ὁριζόμενοι τὸ τῶν τριῶν ὑποστάσεων οἱ πατέρες ἀπεστήλωσαν δόγμα, ἐκ ἔξωθεν τῆς γραφῆς αὐτοῖς ἀναπλάσαντες τὸ εὕρημα, οὐδὲ τῆς πίστεως, ὡς ἀτελῆ, παραδραμόντες τὴν ἔννοιαν, ἀλλ' αὐτὴν ταῖς θεοπνεύστοις σαφηνίζοντες ῥήσεσι, καὶ τῷ τοῦ ὁμοουσίου καλῶς ἐπαγωνιζόμενοι ῥήματι, καὶ δεικνύντες, [c] καὶ μίαν ἐπὶ δύο προσώπων ἡμῖν οὐσίαν ἡ πίστις ἐξέθετο, ἐκ αὐτὴν τοῦ υἱοῦ τὴν ὕπαρξιν περιγράψαι. πάλιν ἔφη· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον· ἀρκοῦσαν τοῖς εὐσεβέσι τῆς τοῦ πνεύματος θεολογίας παραδοῦσα τὴν ἔννοιαν· ἡ γὰρ ὁμοίως τῷ πατρὶ καὶ υἱῷ, τῷ πνεύματι τῷ ἁγίῳ πιστεύειν διαγορεύουσα, δηλονότι ὡς εἰς Θεὸν ἔχειν τὰς ἐλπίδας ἐπέταξε, μίαν ἐν τριάδι φύσιν τοῖς παραδεχομένοις γνωρίζουσα. ἀλλ' ἐπειδήπερ ἁπλῆν ἡ πίστις τηνικαῦτα τοῦ πνεύματος τὴν διδασκαλίαν ἐξέθετο, οὐδενὸς οὔπω περὶ αὐτοῦ προσερίζοντος, οἱ τῆς Ἀρείου σπορᾶς ἐν ἑαυτοῖς τὴν λύμην φυλάξαντες, τοῖς περὶ τοῦ υἱοῦ συναλόντες ἐλέγχοις, ἐπὶ τὸ πνεῦμα τὴν βλασφημίαν μετήνεγκαν, ἀνεπίδεκτον αὐτοῖς εἶναι τὴν συκοφαντίαν οἰόμενοι, καὶ τὴν τοῦ κτίσματος εὐτέλειαν αὐτοῦ τολμηρῶς ἐπιφέροντες. ὅθεν οἱ μετὰ ταῦτα τῆς ἀληθείας ὑπερασπίζοντες, τὴν αὐτῶν λύμην ταῖς ἀντιμαχίαις ἀπονίψαντες, κύριον αὐτό, καὶ Θεόν, καὶ πατρὸς ἔχειν τὴν ἐκπόρευσιν, κατὰ τὴν τῆς πίστεως διάνοιαν ἀπεφήναντο. οὕτω μὲν οὖν οἱ κατὰ τῆς θεότητος τολμηταί, ἀσεβείας προσωπεῖῳ κατὰ τῆς πίστεως τὴν πίστιν ὀρύξαντες, τοῖς τῆς τριάδος συνηγόροις ἑάλωσαν. ἐπειδὴ δὲ καὶ τὰ καλῶς τῇ πίστει περὶ τῆς οἰκονομίας τεθέντα, ταῖς αὐτῶν ἐπιρεπεῖ πονηρίαις ἀνατρέπειν προσῆλθον, πάλιν ἡ χάρις καὶ πρὸς τὴν τούτων ἔφοδον ἡμῖν ἀνέδειξε στρατηγούς, δεικνύντας, ὡς ἐντελῆ τε καὶ θεῖα, καὶ τῆς τοῦ Θεοῦ λόγου φιλανθρωπίας ἐπάξια τὰ περὶ τῆς ἐνανθρωπήσεως τοῦ συμβόλου τυγχάνει νοήματα. ἔφη γάρ· κατελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα. τῷ μὲν κατελθόντα, τὴν ἑκούσιον τῆς ἐξουσίας

[c] Forte, ὅτι ex Latino.

tum, ad eorum qui vocantur in adoptionem filiorum, tradimus firmitatem. Adversus autem eos qui veritati resistunt, variæ nobis certaminum causæ tributæ sunt, a piis viris congruenter adhibitæ contra ea quæ ab iis fallaciter inferuntur. Et credentibus quidem sufficit ad utilitatem fidei indiscussa perspectio, ad confessionem pii dogmatis devotos pertrahens animos. His autem qui doctrinam rectam pervertere moliuntur, ad singula quæ male pariunt, oportet occurrere, & eorum objectis congrua quæque providere. Nam si omnes contenti essent fidei constituto, & pietatis semitam nulla innovatione turbarent, deceret ecclesiæ filios nihil amplius excogitare, quam symbolo constat esse declaratum. Sed quia multi a recta linea per anfractus erroris exorbitant, novum quoddam sibimet iter mendacii construentes; necesse nobis est, veritatis eos inventione convertere, commenta quoque eorum devia salutaribus [a] adjectionibus refutare; non ut novum ad pietatem (quasi fidei desit) semper aliquid exquirentes, sed ut contra ea quæ ab illis innovata sunt, excogitantes quæ salubria judicantur. Et ut mansuetudini vestræ, quod dicimus, evidenter appareat, ab ipsis fidei sermonibus inchoëmus, sanctorum patrum, qualiter quisque de his senserit, decreta subdentes. Dixit fides:

[a] al. appositionibus

Credo in unum Dominum Jesum Christum Filium Dei consubstantialem Patri. Hoc verbum perfectum est atque sufficiens his qui ad confessionem fidei devotum animum deferre contendunt, unam divinitatis naturam Patris Filiique significans; ita ut non alterius quidem substantiæ Patrem, alterius vero Filium sensus excogitet, & Arii contra pietatem sentientis, malignitatibus conveniat. Sed quia Photinus atque Marcellus aliam adversus Filium blasphemiam innovarunt; eum prorsus exsistere audaci calumnia negantes, sed unum eumdemque ipsum Patrem & Filium & Spiritum sanctum appellatum esse affirmantes, & usque ad vocabulorum tantummodo sonum Trinitatis definivere [b] substantiam: contra eos quoque trium subsistentiarum patres intulere doctrinam, non extra scripturam sanctam hanc inventionem sibi confingentes, nec intelligentiam fidei veluti imperfectam penitus transeuntes, sed eam divinitus inspiratis explanantes eloquiis; & pro Homousii, id est, unius essentiæ confessione optime desudantes; & ostendentes quod unam duarum personarum nobis essentiam fides ediderit, nequaquam Filii subsistentiam denegaverit. Iterum ait symbolum: *Credo & in Spiritum sanctum:* sufficientem intelligentiam, quod Spiritus sanctus Deus sit, piis mentibus tradens. Si enim similiter ut in Patrem & Filium, ita etiam & in Spiritum sanctum credere jussit; manifestum est quippe quod ut in Deum spem nos habere præcipit, unam naturam insinuans in Trinitate credentibus. Sed quia tunc fides simplicem de Spiritu sancto doctrinam protulit, nullo adhuc certamen afferente de eo: illi qui de Arii stirpe progeniti sunt, apud semetipsos hanc pestilentiam retinentes, veris refutationibus convicti de Filio, in Spiritum sanctum suam blasphemiam transtulerunt; arbitrantes calumniam suam non posse detegi, cum temeratie eum inter creaturæ vilia deputarent. Unde qui defensionem veritati postea detulerunt, piis renisi argumentationibus, eorum penitus expulere contagia, Dominum illum & Deum ex Patre procedentem, secundum fidei documenta declarantes. Sic igitur audaces adversus divinitatem, qui colore pietatis adversus fidem simulato, regulam fidei subruebant, ab assertoribus Trinitatis capti atque protriti sunt. Sed quia etiam illa quæ bene de Dominicæ incarnationis dispensatione probantur esse fide disposita, aliis hæretici malignis inventionibus subvertere sunt moliti, iterum gratia & contra eorum ferales impetus nobis propugnatores veritatis ostendit, confidentius asserentes, quod integra & divina de incarnatione Dei Verbi, dignaque tantæ clementiæ symboli intelligentia comprobetur. Ait enim: *Descendit, & incarnatus est, & inhumanatus est.* Quod descendit quidem, hæc dicta sunt, spon-

[b] al. distantiam.

tancæ potestatis condescensionem describentia: dicens A vero, *incarnatus est*, veram assumptionem nostræ carnis, & ex Virgine per unitatem nativitatis ostendit. Quod vero inhumanatus est, in ipso nostræ naturæ plenitudinem ex anima rationali & corpore manifestant. Sed nescio quomodo contra fidem hanc malignus multifidam perniciem excogitavit hominibus; tamquam inimicus arcem divinæ providentiæ circa nos violare contendens: & his quidem juxta id quod assumptum est, nativitatem persuasit ex Virgine denegare, velut in honorem atque reverentiam nostri Salvatoris & Domini gloriæ, vocabulum Dei Genitricis ab ejus generatione subripiens: illos autem adversus ipsam ejusdem Unigeniti divinitatem impie atque impudenter armavit, con- B vertibilem eam atque passibilem profanis instigans prædicare sermonibus; distributor plane malarum rerum dignis ministratoribus, quæ fiunt blasphema sacrilegaque dispertiens: ita ut per illos quidem assumptæ formæ adimerentur indicia, per istos autem tantummodo carnis unitio diceretur: & illi quidem negarent animæ medicinam, hi vero inesse quidem animam corpori, sed eam præter intelligentiam esse faterentur. Per hos etiam hostis antiquus unitionis nisus est sacramenta dividere; & purum, tamquam de propheta aliquo, id quod appatuit pro nobis, asserere; per illos autem differentiam negare naturarum, & nihil Redemptoris nostri divinitatis humanitatisque relinquere proprium; C simulque fermenti instar, dispensationis negotia universa miscere. Verum non latuit indormitabilem oculum naturæ nostræ communis inimicus; sed tamquam luminaria confestim patres nostros his quos tenebrarum pervaserat error, ostendit; qui cunctis reserarent intelligentiam fidei, & incarnationis beneficia diligenter prædicarent; quomodo dispensationis sacramentum sit ab initio ex utero dispositum, quomodo & Dei Genitrix sit Virgo vocitata, propter eum qui virginitatem ejus dignatus est etiam sacrare post partum, uterumque (ut decebat Deum) integritate signare: quomodo secundum veritatem mater dicta sit propter carnem quam ex se omnium Domino ministravit: quomodo de Jesse ra- D dice ortus sit, quomodo semen Abrahæ mundi conditor apprehenderit, quomodo in seipso nostræ probaverit naturæ primitias, quomodo perfectus Deus & perfectus homo Unigenitus apparuerit, quomodo in eo sub testimoniis claruerit differentia naturarum, quomodo personæ singularitas demonstrata sit; quomodo Jesus Christus heri & hodie, ipse & in sæcula: quomodo recens & sempiternus, quomodo cælestis atque terrenus, quomodo visibilis & invisibilis, quomodo consubstantialis Patri secundum divinitatem, & consubstantialis idem ipse matri secundum humanitatem: quomodo idem impassibilis ut Deus, & ut homo passibilis sit, E probatur. His inimicum patres nostri prostravere sermonibus: hanc pro symbolo defensionem contra eos qui calumniam tentaverunt struere, protulerunt: non aliud nobis ad confessionem proferentes signaculum fidei; sed quod male ab hostibus corruptum fuerat, instaurantes, atque obsistentes eis qui per illa tempora subripere nitebantur, & custodes singuli eorum quibus præerant, effecti sunt ad salutem. Sic magnus ille Basilius minister gratiæ, subsistentiarum evidentiam, ut in epistola, mire declaravit, & sancti Spiritus doctrinam diligentius tradidit, consacerdotum suorum eliciens etiam subscriptione consensum. Sic quoque Damasus Romanæ [a] urbis decus ad justitiam, litteris ad Paulinum datis, dispensationis sacramenta patefecit; ut his quæ bene decreta sunt, si qui communionis suæ participes velint esse, consentiant. Ita & qui postmodum ubique adversus varias hæreticorum congregati sunt novitates, commune de fide decretum unanimiter ediderunt, ea quæ fraterno consensu probaverant, absentibus evidentissime intimantes. Et illi quidem qui apud Sardicam contra reliquias Arii convenerunt, Orientalibus direxerunt sui constituta judicii. [b] Qui vero in hac urbe Apollinaris detexerunt pestilentiam, Occidentalibus proprium innotuere decretum: & illis qui-

Vide Facund. lib. 1. c. 1. & 4.

Isai 11. Hebr. 2.

Heb. 13.

[a] al. episcopus & justitiæ decus

[b] Constantinopoli: tametsi Chalcedone ista dicuntur.

ὑπογράφοντα, συγκατέβασιν· τῷ δὲ σαρκωθέντα, τὴν ἀληθῆ τῆς ἡμετέρας σαρκὸς ἀνάληψιν ὑποφαίνοντα, καὶ [a] τὴν ἐκ παρθένου καθ' ἕνωσιν γεννήσεως τὴν ἀπόδειξιν ἀνθρωπίνην· τῷ δὲ ἐνανθρωπήσαντα, τὴν ψυχῆς λογικῆς καὶ σώματος ἐν αὐτῷ τῆς ἡμετέρας φύσεως συμπλήρωσιν παρεχόμενα. ἀλλ' οὐκ οἶδ' ὅπως πολυειδῆ τοῖς ἀνθρώποις ἐντεῦθεν ὁ πονηρὸς τὴν ἀπώλειαν ἐπινόει, τῆς εἰς ἡμᾶς, ὡς ἐχθρὸς, τοῦ Θεοῦ προνοίας τὸ κεφάλαιον ἀφαρπάζειν βουλόμενος. καὶ τοὺς μὲν ἔπεισε τὴν ἐκ παρθένου κατὰ τὸ ληφθὲν ἀπαρνεῖσθαι γέννησιν, ὡς ἐν τιμῇ δῆθεν, καὶ φειδοῖ τῆς τοῦ σωτῆρος ἀξίας, τὴν θεοτόκος, τοῦ γενέσεως ὑποκλέπτων φωνήν· τοὺς δὲ κατ' αὐτῆς ἀϊδίου τῆς τοῦ μονογενοῦς θεότητος ὥπλισε πρὸς ἀσέβειαν, τρεπτὴν καὶ παθητὴν αὐτὴν ὑπὸ πίστεως ἀνακηρύξαι B τοῖς ῥήμασι, μερίζων τοῖς κακῶν ὑπηρέταις ἀξίοις διανέμων τὰ βλάσφημα· ὥστε τοὺς μὲν τῆς ληφθείσης μορφῆς ἀναιρεῖν τὰ γνωρίσματα, τοὺς δὲ μέχρι σαρκὸς μόνης ὁμολογῆσαι ἕνωσιν· καὶ τοὺς μὲν τῆς ψυχῆς τὴν ἰατρείαν ἀρνήσασθαι, τοὺς δὲ ταύτην δίχα νοῦ παρεῖναι λέγειν τῷ σώματι· καὶ τοὺς μὲν τὸ τῆς ἑνώσεως διασπᾶσθαι μυστήριον, καὶ ψιλὸν, ὡς ἐπὶ προφήτου τινὸς, εἰπεῖν τὸ φαινόμενον· τοὺς δὲ τὸ τῶν φύσεων ἀθετῆσαι διάφορον, καὶ μηδὲν τῆς τοῦ σωτῆρος θεότητος καὶ ἀνθρωπότητος καταλιπεῖν ἰδίωμα, φύρειν δὲ ἁπαξαπλῶς ἅπαντα τῆς οἰκονομίας τὰ πράγματα. ἀλλ' οὐκ ἔλαθε τὸν ἀκοίμητον ὁ τῆς φύσεως ἐχθρὸς ὀφθαλμόν· ἀλλ' ὡς φωστῆρας εὐθὺς τοῖς ἐν πλάνῃ τοὺς πατέρας ἀνέδειξε, τῆς πίστεως ἅπασιν ἀναπτύσσοντας τὴν διάνοιαν, καὶ τῆς ἐνανθρωπήσεως ἀκριβῶς τὴν εὐεργεσίαν κηρύξοντας· πῶς ἄνωθεν ἐκ C μήτρας τῆς οἰκονομίας κατήρτισται τὸ μυστήριον, πῶς καὶ θεοτόκος, διὰ [b] τὸ τὴν παρθενίαν αὐτῆς καὶ μετὰ τὴν κύησιν χαρισάμενον, καὶ θεοπρεπῶς τὴν μήτραν σφραγίσαντα, καὶ κατὰ ἀλήθειαν μήτηρ, διὰ τὴν ἐξ αὐτῆς, ἣν ἐδάνεισε, σάρκα τῷ δεσπότῃ τῶν ὅλων ἡ παρθένος ὠνόμασται· πῶς ἀνέτειλεν ἐκ τῆς Ἰεσσαὶ ῥίζης ὁ κύριος· πῶς σπέρματος Ἀβραὰμ ὁ κύριος ἐπελάβετο· πῶς τῆς ἡμετέρας ἐν αὐτῷ φύσεως τὴν ἀρχὴν ἐπεδείξατο· πῶς Θεὸς τέλειος καὶ ἄνθρωπος ὁ μονογενὴς ἀναπέφανται· πῶς ἐν αὐτῷ τῶν φύσεων μεμαρτύρηται τὸ διάφορον· πῶς τοῦ προσώπου τὸ μοναδικὸν ἀποδέδεικται· πῶς Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας· πῶς πρόσφατος καὶ ἀΐδιος, πῶς οὐ- D ράνιος καὶ ἐπίγειος, πῶς ὁρατὸς καὶ ἀόρατος, πῶς ὁμοούσιος τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος αὐτὸς τῇ μητρὶ κατὰ τὴν ἀνθρωπότητα· πῶς ὁ αὐτὸς, ἀπαθὴς ὡς Θεὸς, καὶ παθητὸς ὡς ἄνθρωπος, ἀποδέδεικται. τούτοις οἱ πατέρες τὸν πονηρὸν κατηγωνίσαντο τοῖς ῥήμασι· ταύτην ἐπὶ τῷ συμβόλῳ κατὰ τῶν συκοφαντεῖν ἐγχειρούντων τὴν συνηγορίαν προτείνοντες, οὐκ ἄλλο τῆς πίστεως ἡμῖν πρὸς ὁμολογίαν ἐπισφραγίζοντες σύνθημα, ἀλλὰ τὸ κακῶς παρ' ἐχθρῶν διαφθειρόμενον διασώζοντες, καὶ τοῖς κατὰ καιρὸν ἐφαρπάζειν ἐπιχειροῦσι παρατιθέμενοι. οὕτως ὁ μέγας Βασίλειος, ὁ τῆς χάριτος ὑπηρέτης, τὴν τῶν ὑποστάσεων, ὡς ἐν ἐπιστολῇ, σαφήνειαν διευκρίνησε, καὶ τὴν τοῦ ἁγίου πνεύματος ἀκριβῆ διδασκαλίαν E παρέδωκε, ταῖς ὑπογραφαῖς τῶν συνιερωμένων ἀπαιτήσας τὴν συγκατάθεσιν. οὕτως Δάμασος, τὸ τῆς Ῥώμης πρὸς δικαιοσύνην καλλώπισμα, τοῖς πρὸς Παυλῖνον τὴν οἰκονομίαν διήρθρωσε γράμμασι, πίστει τοῖς καλῶς κριθεῖσι τοὺς τῆς αὐτοῦ κοινωνίας μετέχειν βουλομένους ἐπιψηφίσασθαι. οὕτως οἱ μετὰ ταῦτα πανταχοῦ ποικίλως ἐπὶ ταῖς τῶν αἱρετικῶν ἀθροισθέντες καινίσμασι, κοινὴν, ὡς σύμψυχοι, ὑπὲρ τῆς πίστεως ψῆφον ἐξενηνόχασιν, ἅπερ ἀδελφικῶς ἑαυτοῖς ἐδοκίμασαν, ταῦτα τρανῶς τοῖς ἀποῦσι διαπορθμεύσαντες· καὶ οἱ μὲν ἐν Σαρδικῇ κατὰ τῶν Ἀρείου λειψάνων ἀγωνισάμενοι, τοῖς ἐν ἀνατολῇ τὴν κρίσιν ἐξέπεμψαν· οἱ δὲ ἐνταῦθα τὴν Ἀπολιναρίου λύμην φωράσαντες, τοῖς ἐν δύσει τὴν ψῆφον ἐγνώριζον· καὶ τῶν μὲν

[a] Forte, τῆς

[b] Forte, τὸν ex Lat.

Ὅσιος ἐξῆρχε τῆς γνώμης, τῶν δὲ Νεκτάριος σὺν Γρηγορίῳ τὴν ἡγεμονίαν ἦρχετο. οὕτως ἐν Ἐφέσῳ τὸ περὶ τῆς Θεοτόκου κριθὲν ἐκυροῦτο τοῖς γράμμασι· καὶ τὰς περὶ τῆς θεότητος καὶ ἀνθρωπότητος τοῦ κυρίου χρήσεις μεθ' ὑπογραφῆς ἐψηφίζοντο, χειρὶ καὶ γλώττῃ τὴν τῶν φύσεων ἐν ἑνὶ προσώπῳ πιστούμενοι ὁμολογίαν. εἰ δέ τις μέχρι τούτου εἶναι τοῖς τῇ πίστει συνηγορεῖν βουλομένοις προσάπτει τὴν ἄδειαν, μάλιστα μὲν τοῖς αἱρετικοῖς τοῦτο νομοθετείτω τὸ πρόσταγμα, ἐκείνους παύσῃ τῆς ἀδικίας, μὴ τοὺς ποιμένας τῆς ἀντιλήψεως. πᾶς γὰρ νόμος τοῖς πονηροῖς ἀπαγορεύει τὴν ἁμαρτίαν, οὐ τοῖς κριταῖς ἀπείργει τῆς ἐξουσίας. ἄλλως τε μανθανέτωσαν, ὡς ἔξεστι καὶ νῦν, ἀμφισβητήσεως φυείσης, ταῖς τῶν πατέρων ἑρμηνείαις τὴν ἡμετέραν ἐπισυνάπτειν ὁμολογίαν, καὶ πείθειν, ὡς οὐκ ἀπᾷδον τῆς ἐκείνων διανοίας ἐπιδεχόμεθα φρόνημα, ἀλλὰ μάρτυσιν αὐτοῖς πρὸς τὴν τῆς ἡμετέρας πίστεως βεβαίωσιν χρώμεθα. οὕτω τοῖς Ἀθανασίου πρὸς Ἐπίκτητον φιλοτιμούμεθα γράμμασιν· οὕτως ὡς οἰκείαν τὴν πρὸς Κληδόνιον Γρηγορίου ἐπιστολὴν προφέρομεν. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; εἰ γὰρ τὸ δι' ἐπιστολῶν τὸ τῆς ἐκκλησίας σαφηνίζεσθαι φρόνημα πρὸς ἑκάστην ζήτησιν, μέμψεως ἄξιον, αὐτὸν ἄν τις πρῶτον τὸν μακάριον γράψαιτο Κύριλλον, ὃς τοῖς ἑαυτοῦ γράμμασι τοῖς τῆς ἕω τὸ οἰκεῖον ἐσήμαινε φρόνημα. οὐ μὴν ἀλλὰ καὶ τὸν μέγαν τῇ αὐτῇ τις ἂν Πρόκλον περιβάλοι γραφῇ, τὸν πρὸς Ἀρμενίους τόμον τοῖς τῆς ἀνατολῆς εἰς συμφωνίας ἀπόδειξιν διαπεμψάμενον. κοινωνήσει δὲ τῆς αἰτίας καὶ ὁ σοφὸς τῆς Ἀντιοχέων Ἰωάννης, ὃς τὰς αἱρετικῶν τὰς λοιδορίας ἀποστομώσας, καὶ τῆς ἀποστολικῆς διδαχῆς τὸ ὀρθὸς ἐνδεικνύμενος, τοὺς ἑῴας ὡς ἐκ μιᾶς γλώττης τῷ ὁσίῳ Πρόκλῳ καὶ τῷ τῆς οἰκουμένης τὰ σκῆπτρα διέποντι τὴν ὁμολογίαν ἐξέπεμψε. μὴ τοίνυν ἡμῖν τοῦ θαυμαστοῦ τῆς Ῥώμης προέδρου τὴν ἐπιστολὴν, ὡς καινοτομίας ἔγκλημα, προφερέτωσαν. ἀλλὰ, εἰ μὴ σύμφωνος ταῖς γραφαῖς, ἐλεγχέτωσαν· εἰ μὴ τοῖς προλαβοῦσι πατράσιν ὁμόδοξος, εἰ μὴ πρὸς δυσσεβῶν κατηγορίαν γέγονεν, εἰ μὴ * τῆς ἐν Νικαίᾳ πίστεως τὴν συνηγορίαν ἐνδείκνυται, εἰ μὴ τῶν καινοτομεῖν ἐπιχειρούντων ἀνατρέπει τὸ μύθευμα, εἰ μὴ τῶν ματαιοφρονούντων καταστρέφεται τερατείας. εἰ γάρ τις τῶν πατέρων παραχαράττει τὴν ἔννοιαν, οὗτος τῶν τῆς παραβάσεως ἄθλων ὑπεύθυνος, οὐχ ὁ τῆς παραβάσεως ἐπιφέρων τὸν ἔλεγχον. ὁ μὲν γὰρ ἐξ οἰκείας γνώμης, οὐδενὸς μαχομένου, τοῖς αὐτοῦ ῥήμασι φιλοτιμούμενος, ἐκθεὶς, οὗτος ὡς ἀλαζὼν ἂν εἰκότως ἁλίσκοιτο. ὁ δὲ τοῖς κακῶς φρονεῖν ἐγνωκόσι μαχόμενος, τῇ τῶν ἐχθρῶν ἐπινοίᾳ προσαρμόζει τὴν γλῶτταν, τὰ παρ' ἐκείνων κακῶς εἰρημένα τοῖς τῆς ἀληθείας διαλύειν πειρώμενος. ἀλλ' ὦ φιλόχριστοι, καὶ τῆς ἄνωθεν ὑμῖν κληρωθείσης βασιλείας ἐπάξιοι, τῇ πίστει τὸν εὐεργέτην ἀμείψασθε, καὶ σῇ περὶ τὴν ὁμολογίαν σπουδῇ τῆς τιμῆς τὴν εὐγνωμοσύνην ἐνδείξασθε, τῶν μὲν πονηρῶν τὰς ὁρμὰς ἀνακόπτοντες, πᾶσι δὲ τῆς εὐσεβοῦς ὁμολογίας τὰς συμφωνίας βραβεύοντες, καὶ καθάπερ σφραγῖδα τῶν εὐσεβῶν δογμάτων, τῇ παρ' ὑμῶν ἀθροισθείσῃ συνόδῳ τῆς Πέτρου καθέδρας βεβαιοῦντες τὸ κήρυγμα. θαῤῥεῖν γὰρ χρὴ τὴν ὑμετέραν εὐσέβειαν, ὡς οὐδὲν τῆς πάλαι παρὰ τῶν ἁγίων πατέρων καταγγελθείσης πίστεως ὁ θεοφιλὴς τῆς Ῥώμης παρακεκαίνικε πρόεδρος. καὶ ἵνα μηδεμία τοῖς ἐκ φθόνου τὸν ἀποστολικὸν ἄνδρα διαβάλλειν πειρωμένοις καταλίπηται πρόφασις, τὰς συμφώνους τῇ ἐπιστολῇ τῶν ἁγίων πατέρων χρήσεις, πρὸς ἀκριβῆ γνῶσιν τοῦ ὑμετέρου κράτους, ἐκ πολλῶν ὀλίγας παρατεθείκαμεν.

* Forte, τῆς

A dem Osius ad proferendam sententiam præerat; horum autem Nectarius cum Gregorio [a] tenuit principatum. Sic & apud Ephesum, [b] id quod de Dei Genitrice judicatum est, scripto firmatum est. Et de deitate atque humanitate Domini testimonia cum propria subscriptione protulerunt, manu & lingua naturarum professionem in una persona pariter approbantes. Si quis autem censet, hucusque consistere debere eos qui fidem pro facultate defendere cupiunt; maxime quidem hoc præceptum hæreticis promulgare debebit, illos ab impugnatione removens, non avertens a protectione pastores. Omnis enim lex injustos a delictis cohibet, non B judices a potestate [c] disjungit. Alias autem doceantur indociles, quia & nunc licet, ut ambiguitate quæstionis exorta, patrum interpretationibus nostram confessionem coaptemus; satisfacientes quod in nullo discordem intelligentiæ eorum detulerimus animum, sed his utamur testibus ad nostræ fidei firmitatem. Sic Athanasii ad Epictetum amplectimur litteras: sic tamquam propriam Gregorii ad Cledonium epistolam ubique proferimus. Et quid oportet plura dicere? Si enim per epistolas ecclesiæ dogmata declarari pro unaquaque quæstione, dignum culpa judicant, ipsum in primis beatissimum Cyrillum quilibet poterit denotare, qui litC teris suis, quod sentiebat, Orientalibus expressit. Necnon & magnum Proclum huic vituperationi subjiciet, qui eisdem Orientalibus volumen ad Armenios pro fidei constantia destinavit. His autem consociabitur ad culpam & sapientissimus Joannes Antiochenus episcopus, qui hæreticorum maledicta repellens, & Apostolicæ doctrinæ rectissimum dogma declarans, totius Orientis confessionem, velut ex uno ore, sanctissimo Proclo, & ei qui per idem tempus mundi regebat gubernacula, destinavit. Non igitur nobis admirandi Romanæ urbis præsulis epistolam, velut innovationis offendiculum criminentur; sed si non est divinis Scripturis coaD ptata, redarguant; si non præcedentium patrum sententiis adunata, si non impiorum accusationem continet, si non defensionem Nicænæ fidei profert, si non eorum qui novitates appetunt, commenta subruit; si non vaniloquorum contagia prodigiosa subvertit. Si quis enim patrum depravat intelligentiam, hic pœnæ trangressionis habetur obnoxius, non qui trangressionem sua cura redarguit. Qui enim sponte sua, nullo contra confligente, professionem verbis propriis defert, hic ut elatus non immerito comprobatur. Qui vero eis qui prava sentiunt, obluctatur, is contra inimicorum adinventiones linguam prudenter exercet, quæ E ac illis male prolata sunt, veritatis nitens ratione dissolvere. Sed o vos Christi amantes, & imperio superno nutu vobis concesso dignissimi, compensate ei fidem, qui beneficia tanta concessit; studioque circa purissimam confessionem, pro concessis honoribus præstantiam vestræ devotionis ostendite; malignorum quidem molimina refrenantes, omnibus vero piæ confessionis declarantes in unitate concordiam; ac velut signaculum sacræ doctrinæ, concilii hujus a vobis congregati prædicationem Petri sedis auctoritate roborantes. Confidere namque oportet vestram pietatem, quia nihil præter fidem, quæ olim a sanctis patribus annuntiata est, venerabilis Romanus pontifex innovavit. Atque ut nulla his qui Apostolicum virum per invidiam lacerare nituntur, relinquatur occasio, consonantia epistolæ ejus sanctorum patrum testimonia, ad certiorem notitiam vestræ pietatis, ex multis pauca subdidimus.

[a] *al.* suscepetat
[b] *al.* quod Dei Genetrix sit Maria.
[c] *al.* discingit

A

Testimonia sanctorum Patrum, qui & duas naturas in Christo confessi sunt, & consubstantialem Patri Deum Verbum, etiam nobis secundum carnem ex Maria consubstantialem factum, veraciter asseruerunt.

Lib. 1. contra Eunom.

Sancti Basilii ex his quae contra Eunomium scripsit.

Ego enim & hoc quod est in forma Dei exsistere, ac si in essentia Dei aequivalere pronuntio. Sicut enim hoc quod formam servi suscepit in substantia humana Dominum nostrum factum esse significat: ita cum dicit, quod in forma Dei est, divinae substantiae proprietatem sine dubitatione commendat.

B

Lib. 1. de fide c. 4.

Beati Ambrosii ex his quae scripsit ad Gratianum Imperatorem.

Servemus differentiam divinitatis & carnis. Unus in utraque loquitur Filius Dei, quia in eodem utraque natura est.

Epist. 1.

Beati Gregorii Theologi ex epistola ad Cledonium.

Naturae quidem duae, Deus & homo, quia & anima & corpus: filii autem non duo, neque duo dii.

Ejusdem ex secundo sermone de Filio.

C

Et hoc est quod facit haereticis seductionem, nominum prolata sejunctio. Signum est autem, quia ubi naturae secernuntur intelligentiis, simul secernuntur & nomina.

Orat. 3. contra Arian. prope fin.

S. Athanasii ex his quae scripsit adversus haereses.

Et sicut non essemus liberati a peccato atque maledicto, si non caro naturae esset humanae, quam induit Verbum: (nihil enim commune nobis est ad alienum:) sic nequaquam homo Deus fieret, si non natura esset ex Patre, & verum atque consempiternum esset ejus Verbum, quod factum est caro. Idcirco namque talis est facta connexio, ut ei qui juxta naturam divinitatis est, illum hominem qui est humanae naturae, conjungeret.

D

Amphilochii episcopi Iconii de explanatione Evangelii secundum Joannem.

Discerne jam naturas tam Dei, quam hominis. Neque enim per amissionem Dei factus est homo, neque secundum provectum ex homine Deus est. Deum enim [a] dico & hominem; da passiones carni, da Deo miracula.

a In Graeco, dicens.

Antiochi episcopi Ptolemaïdis.

Non confundas naturas, & non obstupesces circa dispensationem.

b al. Epiphania.

Beati Flaviani episcopi Antiocheni in [b] Theophania.

E

Psal. 105.

Quis revera loquetur potentias Domini, auditas faciet omnes laudes ejus? Quis verbo collati nobis beneficii magnitudinem possit exprimere? Humana natura deitati conjungitur; ita tamen, ut in se utraque natura permaneat.

Homil. 11.

Beati Joannis episcopi Constantinopolitani de explanatione Evangelii secundum Joannem.

Joan. 1.

Quid enim intulit? *Et habitavit in nobis.* Hoc fere dicens: Nihil incongruum suspiceris ex hoc quod factum est. Non enim conversionem dixit illius inconvertibilis naturae, sed habitationem & commorationem. Id autem quod habitat, non ipsum est quod habi-

Ὅτι καὶ οἱ ἅγιοι πατέρες δύο φύσεις ἐν Χριστῷ εἰρήκασι, καὶ τὸν ὁμοούσιον τῷ πατρὶ Θεὸν λόγον, ὁμοούσιον ἡμῖν ἐκ Μαρίας κατὰ σάρκα γενόμενον.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῶν πρὸς Εὐνόμιον.

Ἐγὼ γὰρ καὶ τὸ ἐν μορφῇ Θεοῦ ὑπάρχειν, ἴσον τῷ ἐν οὐσίᾳ Θεοῦ ὑπάρχειν δυνάμει φημί· ὡς γὰρ τὸ μορφὴν δούλου εἰληφέναι, ἐν τῇ οὐσίᾳ τῆς ἀνθρωπότητος τὸν κύριον ἡμῶν γεγενῆσθαι σημαίνει· οὕτω λέγων, ἐν μορφῇ Θεοῦ ὑπάρχειν, τῆς οὐσίας τῆς θείας παρίστησι πάντως τὴν ἰδιότητα.

Τοῦ μακαρίου Ἀμβροσίου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὸν βασιλέα Γρατιανόν.

Φυλάξωμεν διαφορὰν θεότητος καὶ σαρκός. εἷς ἐν ἑκατέρᾳ φθέγγεται υἱὸς τοῦ Θεοῦ, ἐπειδὴ ἐν αὐτῷ ἑκατέρα φύσις ἐστίν.

Τοῦ μακαρίου Γρηγορίου τοῦ θεολόγου ἐκ τῆς πρὸς Κληδόνιον.

Φύσεις μὲν γὰρ δύο, Θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο, οὐδὲ Θεοί.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ υἱοῦ δευτέρου λόγου.

Καὶ τοῦτό ἐστιν, ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν. σημεῖον δὲ, ὡς ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα.

Τοῦ μακαρίου Ἀθανασίου ἐκ τοῦ κατὰ αἱρέσεων λόγου.

Καὶ ὥσπερ οὐκ ἂν ἠλευθερώθημεν ἀπὸ τῆς ἁμαρτίας, εἰ μὴ φύσει σὰρξ ἦν ἀνθρωπίνη, ἣν ἐνεδύσατο ὁ λόγος· οὐδὲν γὰρ κοινὸν ἦν ἡμῖν πρὸς τὸ ἀλλότριον· οὕτως οὐκ ἂν ἐθεοποιήθη ὁ ἄνθρωπος, εἰ μὴ φύσει ἐκ τοῦ πατρὸς, καὶ ἀληθινὸς, καὶ ἴδιος ἦν αὐτοῦ ὁ λόγος ὁ γενόμενος σάρξ. καὶ διὰ τοῦτο γὰρ τοιαύτη γέγονεν ἡ συνάφεια, ἵνα τῷ κατὰ φύσιν τῆς θεότητος συνάψῃ τὸν φύσει ἄνθρωπον.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐκ τοῦ κατὰ Ἰωάννην.

Διάκρινον λοιπὸν τὰς φύσεις, τήν τε τοῦ Θεοῦ, τήν τε τοῦ ἀνθρώπου. οὔτε γὰρ κατ᾽ ἔκπτωσιν Θεοῦ γέγονεν ἄνθρωπος, οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου Θεός. Θεὸν γὰρ λέγων καὶ ἄνθρωπον, δὸς τὰ παθήματα τῇ σαρκὶ, δὸς τὰ θαύματα τῷ Θεῷ.

Ἀντιόχου ἐπισκόπου Πτολεμαΐδος.

Μὴ συγχέῃς τὰς φύσεις, καὶ οὐχὶ ναρκήσεις περὶ τὴν οἰκονομίαν.

Τοῦ μακαρίου ἐπισκόπου Φλαβιανοῦ Ἀντιοχείας εἰς τὰ Θεοφάνια.

Τίς ὡς ἀληθῶς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; τίς ἂν λόγῳ παραστήσειε τῆς εἰς ἡμᾶς εὐεργεσίας τὸ μέγεθος; ἀνθρωπίνη φύσις θεότητι συνάπτεται, μενούσης ἐφ᾽ ἑαυτῆς ἑκατέρας φύσεως.

Τοῦ μακαρίου Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Ἰωάννην.

Τί γὰρ ἐπάγει; καὶ ἐσκήνωσεν ἐν ἡμῖν. μονονουχὶ λέγων· μηδὲν ἄτοπον ὑποπτεύσῃς ἀπὸ τοῦ, ἐγένετο· οὐ γὰρ τροπὴν εἶπε τῆς ἀτρέπτου φύσεως ἐκείνης, ἀλλὰ σκήνωσιν καὶ κατοίκησιν. τὸ δὲ σκηνοῦν, οὐ ταὐτὸν ἂν εἴη τῇ σκηνῇ, ἀλλ᾽ ἕτερον ἐν ἑτέρῳ σκηνοῖ· ἐπεὶ οὐδ᾽ ἂν εἴη σκήνωσις·

οὐδὲν γὰρ ἐν ἑαυτῷ κατοικεῖ. ἕτερον δὲ εἶπον κατ' οὐσίαν. τῇ γὰρ ἑνώσει καὶ τῇ συναφείᾳ, ἕν ἐστιν ὁ Θεὸς λόγος καὶ ἡ σάρξ· οὐ συγχύσεως γινομένης, οὐδὲ ἀφανισμοῦ τῶν οὐσιῶν, ἀλλ' ἑνώσεώς τινος ἀῤῥήτου τινὸς καὶ ἀφράστου.

Τοῦ μακαρίου Ἀττικοῦ ἐκ τῆς πρὸς Εὐψύχιον ἐπιστολῆς.

Τί τοίνυν ἐχρῆν τὸν πάνσοφον πραγματεύσασθαι; μεσιτείᾳ τῆς προσληφθείσης σαρκὸς, καὶ ἑνώσει τοῦ Θεοῦ λόγου πρὸς τὸν ἐκ Μαρίας ἄνθρωπον, ἑκάτερα γίνεται· ὥστε τὸν ἐξ ἀμφοῖν ἑνωμένον, ἐπὶ τῷ οἰκείου μένειν τῆς ἀπαθοῦς θεότητος ἀξιώματος, σαρκὶ δὲ θανάτῳ προσομιλήσαντα, ὁμοῦ μὲν ἀποδεῖξαι τῇ ὁμοφύλῳ τῆς σαρκὸς φύσει τὴν κατὰ τοῦ θανάτου ὑπεροψίαν, ὁμοῦ δὲ κρατύνεσθαι τῇ τελευτῇ τῆς καινῆς διαθήκης τὰ δίκαια.

Τοῦ μακαρίου Πρόκλου ἐξ ὁμιλίας τῆς εἰς τό· παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν.

Καὶ τὰς φύσεις τῷ λόγῳ δίελε, καὶ τὴν ἕνωσιν τοῦ μυστηρίου θεολόγησον.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς τὴν ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ υἱὸς, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς.

Εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορὰ ἐξ ὧν τὴν ἀπόῤῥητον ἕνωσιν πεπρᾶχθαι φαμέν.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς.

Ἐννοοῦντες τοίνυν τῆς ἐνανθρωπήσεως τὸν τρόπον, ὡς ἔφην, ὁρῶμεν, ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως καὶ ἀτρέπτως. ἡ γὰρ σὰρξ σάρξ ἐστι, καὶ οὐ θεότης, εἰ καὶ γέγονε * Θεὸς σάρξ. ὁμοίως δὲ καὶ ὁ λόγος Θεός ἐστι, καὶ οὐ σάρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς.

* Forte, Θεοῦ ex Lat.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὸν μακάριον Ἰωάννην τὸν Ἀντιοχείας πατριάρχην ἐπιστολῆς.

Δύο γὰρ φύσεων ἕνωσις γέγονε. διὸ ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον, διὰ τὸ τὸν Θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι, καὶ ἐξ αὐτῆς συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν.

Τοῦ ἁγίου Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.

Καὶ καθάπερ τις ἐν μεταιχμίῳ τινὲς δύο τινῶν ἀλλήλων διεστώτων, ἀμφοτέρας ἀπλώσας τὰς χεῖρας, ἑκατέρωθεν λαβὼν συνάψειε· οὕτω καὶ αὐτὸς ἐποίησε, τὴν παλαιὰν τῇ καινῇ συνάπτων, τὴν θείαν φύσιν τῇ ἀνθρωπίνῃ, τὰ αὐτοῦ τοῖς ἡμετέροις.

taculum, sed alterum in altero inhabitat: alioquin jam non erit habitatio; nihil enim in se ipso habitat. Alterum autem dixi juxta substantiam. Per unitionem enim & connexionem unum est Deus Verbum & caro, nequaquam facta confusione vel permixtione harum substantiarum, sed unitione quadam ineffabili atque inenarrabili.

Beati Attici Constantinopolitani episcopi ex epistola ad [a] *Eupsychium.*

[a] al. Eficium sive Eulicium

Quid igitur oportebat operari illum sapientissimum? Mediatione assumptæ carnis, & unitione Dei Verbi ad hominem qui ex Maria est, utrumque factum est; ita ut ex utroque unitus Christus, quatenus Deus est, in propria impassibilis deitatis dignitate persisteret: quatenus vero per carnem cum morte congressus, simul & per cognatam carnis naturam contemptum mortis ostenderet, pariterque etiam per ipsius mortem novi testamenti jura firmarentur.

Beati Procli ex sermone in illud: Puer natus est nobis, Filius datus est nobis.

Et naturas ratione divide, & unitatem mysterii divinis extolle præconiis.

Beati Cyrilli ex epistola ad Nestorium.

Et quia diversæ quidem sunt naturæ, quæ ad unitionem verissimam convenerunt, unus vero ex utraque est Christus & Filius: non quod naturarum differentia per unionem sublata sit.

Conc. Ephes. par. 1. c. 2.

Ejusdem ex epistola ad Joannem Antiochenum episcopum destinata.

Unus enim Dominus Jesus Christus, licet non ignoretur differentia naturarum, ex quibus ineffabilem unitionem dicimus esse celebratam.

Conc. Ephes. par. 3. c. 24.

Ejusdem ex epistola ad [b] *Nestorium.*

Advertentes igitur modum incarnationis, ut dixi, videmus quod duæ naturæ per individuam unitionem inconfuse atque [c] inconvertibiliter invicem sibi convenerunt. Caro namque caro est, & non deitas, licet Dei sit facta caro. Similiter etiam Verbum Deus est, & non caro, licet dispensatorie propriam fecerit carnem.

[b] al. Successum Diocæsariensis ecclesiæ episcopum in Tol. & Bob. recte.
[c] al. immutabiliter, seu incommutabiliter.

Ejusdem ex epistola ad beatum Joannem directa.

Duarum namque naturarum unitio facta est: idcirco unum Christum, unum Filium, unum Dominum confitemur. Secundum hanc inconfusibilis unitatis intelligentiam confitemur sanctam Virginem Dei genitricem, propterea quod Deus Verbum, incarnatus est & homo factus, & ex ipsa conceptione unierit sibi quod ex ea sumptum est templum.

In epistola Joannis Antiocheni ad Cyrillum, qui hæc eadem retulit in epistola sua ad ipsum Joannem, par. 3. Conc. Ephesini c. 10. & 24.

Sancti Joannis archiepiscopi Constantinopolitani de explanatione Evangelii secundum Matthaum.

Et quemadmodum quis in meditullio pugnæ positus, duobus quibusdam invicem sibi discordantibus, utrasque manus extendens, sumens utrumque conjungat: sic etiam Christus fecit, vetus novo, divinam naturam humanæ, sua nostris clementer adjungens.

Explicit allocutio sive responsum sancti Chalcedonensis concilii cum subjectis testimoniis patrum. *In cod. Bob. additur:* habita apud Marcianum venerabilem principem. *Ibidem leguntur ista verba:* Contuli ad solum codicem Acumitensium (quia non affuit alius Græcus) dicta feria v. Kal. Aprilis, indictione XIII. *Subjiciuntur deinde iterum canones sive regula 27. concilii Chalcedonensis; verum ex Dionysiana versione, qua supra excusa est, pag. 602.*

II. *Relatio sanctæ synodi Chalcedonensis ad sanctissimum Papam Romanæ ecclesiæ Leonem, de omnibus gestis generaliter.*

[a] Sancta & magna & universalis synodus, quæ per gratiam Dei & sanctionem piissimorum & amatorum Christi Imperatorum nostrorum collecta est in Chalcedonensium metropoli provinciæ Bithyniæ, sanctissimo & beatissimo Romanorum archiepiscopo Leoni.

Repletum est gaudio os nostrum, & lingua nostra exsultatione. Hanc tamquam propriam nobis prophetiam gratia coaptavit, a quibus pietatis [b] est restitutio confirmata. Quid enim fide sublimius ad lætandum? Quid agnitione Dominica festivius ad [c] coronas, quam nobis olim Salvator ipse tradidit ad salutem, inquiens: *Euntes, docete omnes gentes, baptizantes eos in nomine Patris, & Filii, & Spiritus sancti; docentes eos servare omnia quæcumque mandavi vobis?* Quam [d] veluti auro textam seriem, ex veste Christi & præcepto [e] legislatoris venientem usque ad nos, ipse servasti, vocis beati Petri omnibus constitutus interpres, ejus fidei beatificationem super omnes adducens. Unde & nos quippe ut inchoatore bonorum, te ad utilitatem utentes, ecclesiæ filiis hereditatem sortemque veritatis ostendimus: [f] non singulatim faciente in occulto unoquoque doctrinam; sed uno spiritu, una conspiratione atque concordia confessionem fidei declarantes: & eramus in communi corona gaudii, quasi in imperialibus cœnis, deliciis spiritualibus epulantes, quas per tuas litteras Christus præparaverat invitatis, & supercælestem sponsum inter nos conversantem nos cernere putabamus. Si enim ubi sunt duo aut tres congregati in nomine ejus, ibi se in medio eorum fore perhibuit, quantam circa [g] quingentos viginti sacerdotes [h] peculiaritatem potuit demonstrare, qui & patriæ & labori suæ confessionis notitiam prætulerunt? Quibus tu quidem, sicut membris caput, præeras in his qui tuum tenebant ordinem, benevolentiam præferens. Imperatores vero fideles ad ordinandum decentissime præsidebant, sicut Zorobabel & Jesus: ecclesiæ, tamquam Jerusalem, ædificationem renovare circa dogmata [i] annitentes. Et erat utique adversarius tamquam bestia [k] extra caulas apud semetipsum rugiens, nullum prævalens capere, nisi semetipsum ei ad capiendum injecisset is, qui Alexandrinorum quondam pontifex fuit. Qui multa prius pessime operatus, priora sequentibus superavit. Nam beatum illum inter sanctos Constantinopolis pastorem Flavianum, Apostolicam proferentem fidem, & Dei amantissimum episcopum Eusebium, præter omnem canonum consequentiam deposuit atque damnavit; & Eutychem pro impietate damnatum suæ tyrannidis decretis innoxium statuit; & dignitatem quæ a vestra illi ablata fuerat sanctitate (quippe ut ab eo qui hac gratia erat indignus) ille restituit; & in summa, sicut singularis ferus, in vineam irruens, quam optimam reperit [l] plantationem, evertit; quam vero infructuosam, eradicatam, rursus induxit: & eos quidem qui ea quæ pastorum sunt, sapiunt, abscidit; eos vero qui lupi demonstrati sunt, super oves imposuit. Et post hæc omnia, insuper & contra ipsum, cui vineæ custodia a Salvatore commissa est, extendit insaniam; id est, contra tuam quoque Apostolicam sanctitatem; & excommunicationem meditatus est contra te, qui corpus ecclesiæ unire festinas. Et dum de talibus pœnitere eum potius oporteret, dum deberet misericordiam lacrymis postulare, tamquam de bonis [male sobrius] exsultabat, epistolam quidem tuæ respuens sanctitatis, omnibus vero dogmatibus veritatis adversans.

Ἐπιστολὴ σταλεῖσα παρὰ τῆς ἁγίας συνόδου τῷ ἁγιωτάτῳ πάπᾳ τῆς Ῥωμαίων ἐκκλησίας Λέοντι.

Ἡ ἁγία, καὶ μεγάλη, καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συναχθεῖσα ἐν τῇ Καλχηδονέων μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ τῆς Ῥωμαίων ἀρχιεπισκόπῳ Λέοντι.

Ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Ταύτην ὡς οἰκείαν ἡμῖν ἡ χάρις τὴν προφητείαν ἐφήρμοσεν, οἷς τὸ τῆς εὐσεβείας ἐβεβαιώθη κατόρθωμα. τί γὰρ πίστεως πρὸς εὐφροσύνην αἰσιώτερον; τί τῆς δεσποτικῆς γνώσεως πρὸς χαρὰν φαιδρότερον; ἣν αὐτὸς ἄνωθεν ὁ σωτὴρ πρὸς σωτηρίαν ἡμῖν παρέδωκε, φήσας· πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. ἣν αὐτὸς ὥσπερ χρυσοῦν σειρὰν τῷ προστάγματι τοῦ νομοθέτου καταγομένην εἰς ἡμᾶς, διεφύλαξας, πᾶσι τῆς τοῦ μακαρίου Πέτρου φωνῆς ἑρμηνεὺς καθεσταμένος. ὅθεν καὶ ἡμεῖς, ὡς ἀρχηγῷ σοι τοῦ καλοῦ πρὸς ὠφέλειαν χρησάμενοι, τῆς ἀληθείας τοῖς τῆς ἐκκλησίας τέκνοις τὸν κλῆρον ἐδείξαμεν, οὐ καθ' ἕνα ἕκαστος ἐν παραβύστῳ τὴν διδασκαλίαν ποιούμενοι, ἀλλὰ κοινῷ πνεύματι, μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τῆς πίστεως τὴν ὁμολογίαν γνωρίσαντες· καὶ ἦμεν ἐν κοινῇ χορείᾳ, τοῖς πνευματικοῖς, ὡς ἐν βασιλικοῖς δείπνοις, ἐντρυφῶντες ἐδέσμασιν, ἅπερ διὰ τῶν σῶν γραμμάτων ὁ Χριστὸς τοῖς ἀνακεκλημένοις ἡτοίμασε· καὶ τὸν ἐπουράνιον νυμφίον ἐν ἡμῖν ὁρᾷν ἐδοκοῦμεν ἐνδιατρίβοντα. εἰ γὰρ ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ ἔφη εἶναι ἐν μέσῳ αὐτῶν· πόσην περὶ πεντακοσίους εἴκοσιν ἱερέας τὴν οἰκειότητα ἐπεδείκνυτο, οἳ καὶ πατρίδος καὶ πόνου τῆς εἰς αὐτὸν ὁμολογίας τὴν γνῶσιν προτεθείκασιν; ὧν σὺ μὲν, ὡς κεφαλὴ μελῶν, ἡγεμόνευες ἐν τοῖς τὴν σὴν τάξιν ἐπέχουσι, τὴν εὔνοιαν ἐπιδεικνύμενος. βασιλεῖς δὲ πιστοὶ πρὸς εὐκοσμίαν ἐξῆρχον, ὡς Ζοροβάβελ τῷ Ἰησοῦ, τῆς ἐκκλησίας, καθάπερ Ἱερουσαλὴμ, τὴν ἐν τοῖς δόγμασιν οἰκοδομίαν ἀνανεοῦν προθυμούμενοι. καὶ ἦν αὖ ὁ ἀντικείμενος ὡς θὴρ ἔξω τῆς μάνδρας καθ' ἑαυτὸν ὠρυόμενος, οὐδένα ἔχων λαβεῖν, εἰ μὴ ἑαυτὸν αὐτῷ πρὸς θήραν ὁ τῆς Ἀλεξανδρέων πάλαι γενόμενος ὑπέρριψε πρόεδρος· ὃς πολλὰ πρότερον εἰργασμένος δεινὰ, ἀπέκρυψε τοῖς δευτέροις τὰ πρότερα. τὸν γὰρ μακάριον ἐκεῖνον τὸν ἐν ἁγίοις τῆς Κωνσταντινουπόλεως ποιμένα Φλαβιανὸν, τὴν ἀποστολικὴν προϊσχόμενον πίστιν, καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον Εὐσέβιον, παρὰ πᾶσαν τὴν τῶν κανόνων ἀκολουθίαν καθεῖλε· καὶ τὸν ἐπὶ δυσσεβείᾳ κατακεκριμένον Εὐτυχῆ, ταῖς τῆς τυραννίδος αὐτοῦ ψήφοις ἠθώωσε, καὶ τὴν παρὰ τῆς ὑμῶν ὁσιότητος, ὥσπερ ἀναξίου τῆς χάριτος, ἀφαιρεθεῖσαν ἀξίαν ἀπέδωκε· καὶ ὡς μονιὸς ἅπαξ ἄγριος ἐπιπεσὼν τῇ ἀμπέλῳ, τὴν μὲν ἀρίστην εὗρε φυτείαν, ἀνέτρεψε· τὴν δὲ ὡς ἄκαρπον, ἐρριμμένην, εἰσήγαγε· καὶ τοὺς μὲν τὰ ποιμένων φρονοῦντας ἀπέτεμε, τοὺς δὲ λύκους ἀποδεδειγμένους τοῖς προβάτοις ἐπέστησε· καὶ πρὸς τούτοις ἅπασιν, ἔτι καὶ κατ' αὐτοῦ τοῦ τῆς ἀμπέλου τὴν φυλακὴν παρὰ τοῦ σωτῆρος ἐπιτετραμμένου τὴν μανίαν ἐξέτεινε· λέγομεν δὴ, τῆς σῆς ὁσιότητος· καὶ ἀκοινωνησίαν κατὰ σοῦ τὸ σῶμα τῆς ἐκκλησίας ἑνοῦν σπουδάζοντος ἐμελέτησε. καὶ δέον ἐπὶ τούτοις μετανοῆσαι, δέον δάκρυσιν αἰτῆσαι τὸν ἔλεον, ὡς ἐπὶ σεμνοῖς ἐνηγάλλετο, τὴν μὲν ἐπιστολὴν τῆς σῆς ὁσιότητος διαπτύων, πᾶσι δὲ τοῖς τῆς ἀληθείας δόγμασιν ἀνθιστάμενος

καὶ ἔδει

[a] Interprete Rustico diacono, ut ipse testatur in cod. Divion. Additæ variæ lectiones ex vetere interprete.

Psal. 125.

[b] al. confirmatum est votum.

[c] al. exaltationem.

Matth. 28.

[d] al. tamquam auream catenulam

[e] al. imponentis deductam.

[f] al. non per singulos singuli tamquam in secreto doctrinam facientes.

Matth. 18.

[g] Hæc duo verba desunt in mss. Latinis. Adsunt & in rescripto Marciani ad Palladium.

[h] al. familiaritatem.

1. Esd. 3.

[i] al. invitantes

[k] al. foris a septis secum fremens

Psal. 79.

[l] al. plantam

καὶ ἔδει μὲν αὐτὸν εὐθὺς ἐφ᾽ ἧς ἑαυτὸν ἔταξε, καταλεῖψαι μερίδος. ἐπειδὴ δὲ τοῦ σωτῆρος τὴν μαθητείαν ἐπαγγελλόμεθα, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἔργῳ ταύτην ἐπ᾽ αὐτοῦ κυρῶσαι τὴν φιλανθρωπίαν ἐσπουδάσαμεν· καὶ πρὸς κρίσιν ἀδελφικῶς ἐκαλοῦμεν, οὐχ ὡς ἀποτεμεῖν πειρώμενοι, ἀλλ᾽ ἀπολογίας αὐτοῦ χώραν πρὸς ἰατρείαν παρέχοντες. καὶ ηὐχόμεθα κρείττονα φανῆναι τῶν ποικίλαις αὐτὸν γραψαμένων αἰτιάσεσι, ἵνα φαιδροὶ φαιδρῶς τὴν σύνοδον διαλύσαντες, ἐν μηδενὶ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ. ἀλλ᾽ οὗτος ἐν ἑαυτοῦ ᵃ ἄκρατον τοῦ συνειδότος ἔχων τὸν ἔλεγχον, τῇ ὑπερθέσει τῆς κρίσεως ταῖς κατηγορίαις συνέθετο, καὶ τὰς ἐνθέσμους τρεῖς ἐπ᾽ αὐτοῦ γενομένας κλήσεις παρεώρα. διὰ ταῦτα τοιγαροῦν, ἣν αὐτὸς καθ᾽ ἑαυτοῦ τοῖς πλημμελήμασιν ἐξήνεγκε ψῆφον, ταύτην ὡς οἷόν τε μετρίως ἐκυρώσαμεν, τῆς ποιμαντικῆς δορᾶς τὸν λύκον γυμνώσαντες, ἣν καὶ πάλαι σχήματι περικείμενος ἀπηλέγχετο. μέχρι τούτου ἡμῖν ἵστατο τὰ στυγνά, καὶ τῶν καλῶν ἡ χάρις εὐθὺς ἐπέλαμψε· καὶ ἓν ζιζάνιον ἀνασπάσαντες, πᾶσαν τῷ καθαρῷ σίτῳ τὴν οἰκουμένην μεθ᾽ ἡδονῆς ἐπληρώσαμεν. καὶ ὡς ἐκριζοῦν καὶ καταφυτεύειν τὴν ἐξουσίαν δεξάμενοι, τὴν ἐκτομὴν μέχρις ἑνὸς ἐστενώσαμεν, τῶν δὲ καλῶν τὴν εὐκαρπίαν ἐπιμελῶς ἐρριζώσαμεν. Θεὸς γὰρ ἦν ὁ ἐνεργῶν, καὶ ἡ τὸν σύλλογον τῷ νυμφῶνι στεφανοῦσα καλλίνικος Εὐφημία· ἥ, ὥσπερ οἰκείαν ὁμολογίαν, τῆς πίστεως παρ᾽ ἡμῶν δεξαμένη τὸν ὅρον, τῷ ἑαυτῆς νυμφίῳ διὰ τοῦ εὐσεβεστάτου βασιλέως καὶ τῆς φιλοχρίστου βασιλίδος προσήγαγε, πᾶσαν μὲν τῶν ἀντικειμένων ταραχὴν κατευνάσασα, τὴν δὲ τῆς ἀληθείας, ὡς φίλην, ὁμολογίαν κρατύνασα, καὶ χειρὶ καὶ γλώττῃ ταῖς πάντων ψήφοις ἐπιψηφίσασα πρὸς ἀπόδειξιν. ταῦτά ἐστιν, ἅπερ σὺν σοὶ τῷ πνεύματι παρόντι, καὶ συνευδοκεῖν, ὡς ἀδελφοῖς, ἐγνωκότι, καὶ μονονουχὶ διὰ τῆς τῶν σῶν τοποτηρητῶν ὁρωμένῳ σοφίας, εἰργασάμεθα. γνωρίζομεν δέ, ὡς καὶ ἕτερά τινα τῆς τῶν πραγμάτων εὐταξίας, καὶ τῆς τῶν ἐκκλησιαστικῶν θεσμῶν ἀσφαλείας ἕνεκα ὡρίσαμεν, πεπεισμένοι καὶ τὴν ὑμετέραν ἁγιωσύνην διδαχθεῖσαν ἀποδέχεσθαί τε ταῦτα, καὶ βεβαιοῦν. τὸ γὰρ ἐκ πολλοῦ κρατῆσαν ἔθος, ὅπερ εἶχεν ἡ Κωνσταντινουπολιτῶν ἁγία τοῦ Θεοῦ ἐκκλησία εἰς τὸ χειροτονεῖν μητροπολίτας τῶν διοικήσεων τῆς τε Ἀσιανῆς, Ποντικῆς, καὶ Θρᾳκικῆς, καὶ νῦν κατὰ συνοδικὴν ἐκυρώσαμεν ψῆφον, οὐ τοσοῦτον τῷ θρόνῳ Κωνσταντινουπόλεώς τι παρέχοντες, ὅσον ταῖς μητροπόλεσι τὴν εὐταξίαν πρυτανεύοντες, διὰ τὸ πολλοὺς πολλάκις, τελευτώντων τῶν ἐπισκόπων, ἀνακύπτειν θορύβους, ἀκυβερνήτων ὄντων τῶν ἐν αὐταῖς κληρικῶν τε καὶ ᵇ λαϊκῶν, καὶ τὴν ἐκκλησιαστικὴν τάξιν συγχεόντων· ὅπερ οὐδὲ τὴν ὑμετέραν ἔλαθεν ἁγιότητα, μάλιστα τῶν Ἐφεσίων ἕνεκεν, πλειστάκις ὑμῖν διοχλησάντων. ἐβεβαιώσαμεν δὲ καὶ τὸν τῶν ρν´. ἁγίων πατέρων, τῶν ἐν Κωνσταντινουπόλει συναθροισθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης τοῦ μεγάλου Θεοδοσίου, κανόνα τὸν διαγορεύοντα, μετὰ τὸν ὑμέτερον ἁγιώτατον καὶ ἀποστολικὸν ᶜ, τὰ πρεσβεῖα τὸν Κωνσταντινουπόλεως ἔχειν· πεπεισμένοι, ὡς τῆς ἀποστολικῆς παρ᾽ ὑμῖν κρατούσης ἀκτῖνος, καὶ ἐπὶ τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν, συνήθως κηδόμενοι, πολλάκις ταύτην ἐφαπλώσατε, διὰ τὸ ἄφθονον ὑπάρχειν ὑμῖν τῶν οἰκείων ἀγαθῶν πρὸς τοὺς γνησίους μετάδοσιν. ἅπερ τοίνυν ὡρίσαμεν πρὸς ἀναίρεσιν μὲν πάσης συγχύσεως, βεβαίωσιν δὲ τῆς ἐκκλησιαστικῆς εὐταξίας, ταῦτα ὡς οἰκεῖά τε καὶ φίλα, καὶ πρὸς εὐκοσμίαν ἁρμόδια, περιπτύξασθαι καταξίωσον, ἁγιώτατε καὶ μακαριώτατε πάτερ. οἱ γὰρ τὸν τόπον τῆς ὑμετέρας ἁγιότητος ἐπέχοντες ὁσιώτατοι ἐπίσκοποι Πασχασῖνος καὶ Λουκήνσιος, καὶ ὁ σὺν αὐτοῖς θεοφιλέστατος πρεσβύτερος Βονιφάτιος, τοῖς οὕτω τυπωθεῖσι σφοδρῶς ἀντιτείνειν ἐπεχείρησαν, πάντως ἀπὸ τῆς ὑμετέρας ἄρξασθαι καὶ τοῦτο τὸ καλὸν προνοίας βουλόμενοι, ἵνα καθάπερ τῆς πίστεως, οὕτω καὶ τῆς εὐταξίας ὑμῖν λογισθῇ τὸ κατόρθωμα. ἡμεῖς γὰρ θεραπεύοντες τούς τε εὐσεβεστάτους καὶ φι-

ᵃ Forte, ἔλεγχον, ex Lat.

ᵇ Forte, λαῶν,

ᶜ Forte deest, θρόνον

suscipientes doctrinas, naturam intelligimus veritatem. Hoc enim quod sapimus, simul & dicimus; quia Dominus noster Jesus Christus, Deus vere & homo vere est idem: sicut & sanctissimus apostolus Paulus, naturam ipsam veritatem intelligens, in epistola ad Galatas clare docet, ita dicens: *Sed tunc quidem nescientes, servistis eis qui natura non sunt dii:* hoc est, ignorantes vere Deum, qui vere non sunt dii: ex his palam significans, quia natura veritas est. Sed dicitis, quia de naturis in fidei symbolo nihil continetur a trecentis decem & octo sanctis patribus exposito. Neque enim ulla de hac re tunc quæstio mota erat, neque nunc aliqua novitas adversus eam fidem excogitata est; sed sanctorum patrum qui in orthodoxa fide claruerunt, firmata est traditio. Vos autem qui dicitis; Non oportet naturarum rationes exquiri, hoc ipsum facere compertum est, aperte in supplicationibus a vobis directis naturarum memoriam facientes, atque dicentes: » Quomodo parit virgo, & manet virgo? Et quomodo generat per naturam eum qui super naturam est? Verbum enim caro factum est. Quomodo autem factum est? quomodo separari potest? Factum vero est, non natura mutatum, neque divinitate conversum. Videte igitur quomodo naturam ubique commemoratis, qui propter ipsum nomen naturæ turbamini: & undique vobisipsis calumniandi ea quæ a sancta synodo pro fide vere firmata sunt, occasionem exquiritis: etiam in eo peccantes, quod mentientes asseritis, prorsus definitum esse dici debere duos filios, & duos Christos; quod ita non est. Nos enim hoc [a] abdicantes, anathematizamus eos qui hoc scripserunt, aut dixerunt, aut dicere forte præsumunt. Nostra namque tranquillitas symbolum trecentorum decem & octo patrum & jampridem secuta est, & ei in posterum tempus assentit: credens Dominum nostrum & Salvatorem Jesum Christum ex Spiritu sancto & Maria Virgine Dei genitrice natum. Orthodoxam namque fidem, sicut accepimus, servare in perpetuum festinamus: quemadmodum etiam sancta synodus nuper in Chalcedonensium civitate celebrata, credens docet, symbolum confirmans, & consona sapiens ipsis sanctis patribus, Ephesinoque concilio, cujus Cælestinus & Cyrillus reverendæ memoriæ præsules fuerunt, errorem Nestorii condemnantes. Ac nostra clementia nulli penitus necessitatem præcepit imponi, quatenus aut subscriberet, aut consentiret invitus. Non enim terrore aut violentia aliquos volumus ad viam trahere veritatis. Vos autem e contrario præter ea quæ dudum ausi estis, gladiis, aliisque crudelitatibus, insuper & injuriis & [b] tormentis in mulieres honestas & nobiles perpetratis, necessitatem plurimis non dubitastis inferre, ut consentirent vestris perversis doctrinis; & clamoribus atque subscriptionibus anathematizarent eamdem sanctam synodum, & sanctissimum patriarcham sedis Apostolicæ maximæ Romæ Leonem, & alios sanctissimos patres: pro quibus ausibus necessarie reddituri estis Deo omnium Domino rationem, in cujus injuriam, si dici fas est, talia facere præsumpsistis; jure opprobrium & irrisio scelestis paganis & hæreticis effecti, quibus estis exemplum confusionis redditi. Quia vero & Samaritas accusastis, tamquam ipsi adversus sanctas ecclesias crudelia & nefanda commiserint, & cædes, & alia simul incongrua perpetrarint: cognoscite quia sancivimus, ut inquisitione subtilissima subsecuta per virum spectabilem Comitem Dorotheum, ea quidem quæ direpta sunt, sanctis Dei ecclesiis, & eis qui perdiderunt restituantur; illi autem qui harum rerum inveniuntur auctores, legitimæ ultioni subjaceant, cum horum criminum ultio nihil ad vos pertineat; quos oportet, agnoscentes quomodo credat nostra potentia, & a nostra pietate pariter invitatos, a sancta & orthodoxa fide nullatenus deviare; sed sedere potius in monasteriis, & orationibus ad Deum fusis vacare, & consona vestræ professioni semper efficere, nullasque

Galat. 4.

[a] al. prohibentes.

[b] al. verberationibus.

A [a] ἐκδεξάμενοι διδασκαλίας, τὴν φύσιν νοοῦμεν ἀλήθειαν. τοῦτο γὰρ ὅπερ φρονοῦμεν, καὶ φαμέν· ὅτι περ ὁ δεσπότης ἡμῶν καὶ σωτὴρ Ἰησοῦς Χριστὸς, Θεὸς ἀληθῶς καὶ ἄνθρωπος ἀληθῶς ἐστὶν ὁ αὐτός· καθὼς καὶ ὁ ἁγιώτατος ἀπόστολος Παῦλος, τὴν φύσιν ἀλήθειαν νοῶν, ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ διδάσκει, σαφῶς λέγων· ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς. ἐκ τούτων φανερῶς, ὅτι φύσις ἐστὶν ἡ ἀλήθεια, σημαίνει· εἰ καὶ ὅτι περὶ φύσεων ἐν τῷ τῆς πίστεως οὐ περιέχεται συμβόλῳ τῷ ἐκτεθέντι παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων. οὔτε γάρ τις περὶ τούτου ζήτησις ἐκινήθη· οὔτε δὲ καινοτομία τις κατὰ τῆς αὐτῆς ἐπενοήθη πίστεως, ἀλλὰ τὰ τῶν ἁγίων τῶν ἐπὶ ὀρθοδοξίᾳ λαμψάντων ἐκυρώθη παραγγέλματα. ὑμεῖς B δὲ οἱ μὴ χρῆναι λέγοντες φυσιολογεῖν, αὐτὸ τοῦτο ποιοῦντες ἁλίσκεσθε, διαρρήδην ἐν ταῖς παρ' ὑμῶν ἀποσταλείσαις δεήσεσι φύσεως μεμνημένοι, καὶ λέγοντες· πῶς τίκτει παρθένος, καὶ πάλιν μένει παρθένος; καὶ πῶς γεννᾷ κατὰ φύσιν τὸν ὑπὲρ φύσιν, καὶ ἐν τοῖς ἑξῆς δέ· ὁ γὰρ λόγος σὰρξ ἐγένετο. πῶς δὲ γέγονε; πῶς χωρισθῆναι δύναται; γέγονε δὲ, οὐ τραπεὶς τὴν φύσιν, οὐδὲ μεταβληθεὶς τὴν θεότητα. ὁρᾶτε οὖν, πῶς φύσεως πανταχοῦ μέμνησθε, οἱ πρὸς αὐτὸ τὸ τῆς φύσεως ὄνομα ταραττόμενοι, καὶ πανταχόθεν ἑαυτοῖς τὸ συκοφαντεῖν τὰ παρὰ τῆς ἁγίας συνόδου ἀληθῶς ἐπὶ τῇ πίστει κυρωθέντα ἀφορμὰς πορίζοντες· ἁμαρτάνετε καὶ κατὰ τοῦτο, ὅτι ψευδόμενοί φατε, ὡς ἐδογματίσθη λέγειν δύο υἱοὺς, καὶ δύο Χριστούς· ὅπερ οὐχ οὕτως ἔχει. ἀπαγορεύοντες γὰρ, ἀναθεματίζομεν τοὺς τοῦτο λέγοντας, ἢ γράψαντας, ἢ εἰπόντας, ἢ καὶ C τολμῶντας λέγειν. τὸ γὰρ ἡμέτερον κράτος τῷ συμβόλῳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων τόν τε προλαβόντα χρόνον ἠκολούθησε, καὶ εἰς τὸ ἑξῆς πείθεται, πιστεῦον τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Ἰησοῦν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τεχθῆναι. τὴν γὰρ ὀρθόδοξον πίστιν, ὡς παρελάβομεν, διηνεκῶς φυλάττειν σπουδάζομεν, ὃν τρόπον καὶ ἡ ἁγία σύνοδος, ἡ τῆς κατὰ τὴν Καλχηδονίων ἐνάγχος συγκροτηθεῖσα, πιστεύουσα διδάσκει, βεβαιοῦσα τὸ σύμβολον, [b] τοῖς τε αὐτοῖς ἁγίοις πατράσι καὶ τῇ συνόδῳ τῇ κατ' Ἔφεσον, ἧς Κελεστῖνος καὶ Κύριλλος, οἱ τῆς εὐλαβοῦς μνήμης, προεβέβληντο, τὴν Νεστορίου πλάνην ἐξουθενοῦμενοι. καὶ ἡ μὲν ἡμετέρα γαληνότης οὐδενὶ τὸ σύνολον ἀνάγκην ἐπαχθῆναι προσέταξεν, ὥστε ἢ ὑπογράφειν, ἢ συναινεῖν, εἰ οὐ D βούλεται. οὐδὲ γὰρ ἀπειλαῖς, ἢ βίᾳ τινὰ πρὸς τὴν τῆς ἀληθείας ὁδὸν ἕλκειν βουλόμεθα. τὸ δὲ ἐναντίον ὑμεῖς, πρὸς τοῖς ἤδη τετολμημένοις, διὰ ξιφῶν καὶ ἑτέρων χαλεπῶν, ἔτι μὲν καὶ ὕβρεων καὶ αἰκισμῶν εἰς γυναῖκας λαμπρὰς καὶ τιμίας γενομένων, ἀνάγκην ἐπάγειν οὐκ ὠκνήσατε πολλοῖς, πείθεσθαι μὲν ταῖς διεστραμμέναις ὑμῶν διδασκαλίαις, ἐκβοήσεσι δὲ καὶ ὑπογραφαῖς ἀναθεματίζειν τὴν αὐτὴν ἁγιωτάτην σύνοδον, καὶ τὸν ὁσιώτατον πατριάρχην τοῦ ἀποστολικοῦ θρόνου τῆς μεγάλης Ῥώμης Λέοντα, καὶ τοὺς ἄλλους ὁσίους πατέρας· ὑπὲρ ἧς τόλμης ἀναγκαίως δώσετε λόγον τῷ τῶν ὅλων δεσπότῃ Θεῷ· οὗ περ, εἰ θέμις εἰπεῖν, εἰς ὕβριν ταῦτα πράττειν ἐτολμήσατε, ἐπονείδιστοι καὶ καταγέλαστοι δικαίως τοῖς τε μιαροῖς Ἕλλησι, καὶ τοῖς αἱρέσεσι χαίρουσιν, οἷς ὑπόδειγμα αἰσχύνης γεγόνατε. ἐπειδὴ δὲ καὶ τοὺς Σαμαρείτας ᾐτιάσασθε, ὡς E κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν δεινὰ καὶ ἀθέμιτα τολμήσαντας, καὶ φόνους, ἢ ἕτερά τινα ἄτοπα πλημμελήσαντας, γινώσκετε, ὡς ἐθεσπίσαμεν, ζητήσεως παρακολουθησάσης ἀκριβοῦς παρὰ τοῦ περιβλέπτου κόμητος Δωροθέου, τὰ μὲν ἁρπαγέντα ταῖς ἁγιωτάταις ἐκκλησίαις καὶ τοῖς ἀπολέσασιν ἀποκατασταθῆναι, τοὺς δὲ τούτων αὐθέντας εὑρισκομένους ἀξίας τιμωρίας τὴν ἐκ τῶν νόμων ὑποσχεῖν, τῆς ἐπὶ τούτοις ἐκδικήσεως οὐδὲν ὑμῖν προσηκούσης· οὓς χρὴ διδαχθέντας, ὅπως τὸ ἡμέτερον κράτος πιστεύει, καὶ παρὰ τῆς ἡμετέρας εὐσεβείας προτραπέντας, μὴ χωρίζεσθαι τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως, προσεδρεύειν δὲ τοῖς μοναστηρίοις, καὶ ταῖς πρὸς τὸ κρεῖττον σχολάζειν εὐχαῖς, σύμφωνα τῷ ἐπαγγέλματι διαπραττομένους, καὶ μη-

[a] Forte, ἐκλεξάμενοι

[b] Forte, καὶ σύμφωνα φησί τε, ex Latino.

δένα θε-

δίχα θορύβων παντάπασιν ἐμπιπλῶντας, μήτε μὴν τοῖς ἐπὶ ἀπωλείᾳ τῶν ψυχῶν παρὰ τῶν φαῦλα διδασκόντων λεγομένοις ἁπλῶς πειθομένους, μήτε διὰ τὰς ἐκείνων ἀσεβεῖς συμβολὰς, τῆς ὀρθοδόξου πίστεως καὶ τῶν τοῦ Θεοῦ ἐκκλησιῶν χωριζομένους. παρασυνάξεις μηδὲ ὅλως ποιεῖν τολμᾶτε· εἰδότες τὰ πάλαι νομοθετηθέντα παρὰ τῶν τῆς θείας λήξεως ἐν τοῖς ἀρχαιοτέροις χρόνοις γεγενημένων βασιλέων, οἳ τὴν ἁγίαν καὶ καθολικὴν συγκροτήσαντες θρησκείαν, μεγίσταις ἐπιτιμίαις τοὺς παρασυνάγειν τολμῶντας ὑποβάλλεσθαι διετάξαντο. μεταμελήσεσθαι δὲ ὑμᾶς τῶν προτέρων πιστεύοντες, οὐδὲ τὰ τῆς φιλανθρωπίας ἠρνησάμεθα, πολλαῖς παρακλήσεσι χρησαμένου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἰουβεναλίου, δι' ὧν ἡμᾶς ἐξεδυσώπησε, ταῦτα πρὸς ὑμᾶς τὰ θεῖα χαράξαι γράμματα. διδαχθέντες δὲ ταῖς δεήσεσιν, ὡς ὑπὸ τοῦ φυλάττειν κελευσθέντων στρατιωτῶν τὴν Αἰλιέων πόλιν, καί τι τῶν ἵππων καὶ ἀνδρῶν πλήθει θορυβεῖται τὰ ὑμῶν ἀσκητήρια, καὶ ἀγανακτήσαντες πρὸς τοῦτο, Δωρόθεον τὸν περίβλεπτον κόμητα ὑμᾶς ἐλευθερῶσαι τῆς ὀχλήσεως ἐθεσπίσαμεν· εἰ καὶ ὅτι οὐδὲ πρὸ τούτου ἐνοχλεῖσθαι τὰ μοναστήρια, ἢ τὰς ὑμῶν ξενίας στενοχωρηθῆναι προσετάξαμεν.

A turbas omnino miscere; neque his quæ ad perditionem animarum a pravis doctoribus proferuntur, incaute consentientes, neque propter eorum impios cœtus ab orthodoxa fide & Dei vos separantes ecclesiis. Collectas vero canonibus contrarias nequaquam facere præsumatis: scientes ea quæ dudum sancita sunt a divæ memoriæ priorum temporum principibus, qui sanctam catholicamque religionem corroborantes, maximis suppliciis extraneas collectas præsumentes facere subdi sanxernnt. Nos autem credentes fore ut priorum vos pœnitentia capiat, clementiam nullatenus denegavimus: multis utique precibus utente sanctissimo Juvenale, per quas nos exoravit hæc ad vos scripta transmitti. Agnoscentes autem diversorum precibus, quod a militibus custodire jussis Æliorum civitatem, & multitudine caballorum atque virorum vestra monasteria conturbantur; etiam in hoc indignati, Dorotheum virum spectabilem Comitem ab hac molestia vos liberare sancivimus: licet nec antea injuriam fieri monasteriis, aut vestra refugia sustinere præceperimus angustias.

VIII. *Interpretatio legis* [a] *a Theodosio juniore, cum seductus fuisset a Chrysaphio, adversus Flavianum & socios pro Eutyche promulgata: quam religiosissimi Marciani Principis lex subsecuta destruxit.*

[a] In cod. Bib. Theodosii posterioris, quam pro Eutyche seductus a Chrysaphio promulgavit: quam nunc ideo posui (ait Rusticus S. R. E. diaconus) ut quia beatæ memoriæ principis Marciani lex hanc subsecuta destruxit, etiam tali collatione noscatur quod amplectendum, quidve vitandum sit de hæreticis Nestorianis & fide catholica. *Ea lex alia Latinitate legitur in Conc. V. collat. V.*

OLim quidem prius Nestorius, qui fuit Constantinopolitanus episcopus, nova & pestifera, præter illa quæ tradita sunt, tentans inducere, B dogmatum Christianorum puræ & orthodoxæ fidei contraria, a sancta synodo est ejectus, quæ Ephesi ex universo orbe Principali sanctione convenit. Quæ sancta synodus pariter confirmavit etiam catholicam fidem, ab episcopis qui Nicææ congregati sunt, traditam. Et nos confirmantes quæ salubriter definita sunt ab eodem sancto concilio quod Ephesi congregatum est, generalem promulgavimus legem, quæ tam prædictum Nestorium, quam eos qui ei similia sapiunt, damnat; præcipientes, ne Christiano saltem nomine censerentur; sed ut Simoniani potius C vocarentur, quoniam blasphemiam Simonis dilexerunt. Definivimus etiam, certis eos debere ultionibus subjacere, quas continet præfata præceptio. Quoniam vero præsenti tempore, dum post illa jampridem quietæ essent ecclesiæ, Flavianus Constantinopolitanus episcopus, & Eusebius alter episcopus, perniciosas seductiones sequendo Nestorii, [b] schismata ecclesiis injecerunt; præcepimus rursus in ejusdem civitatis Ephesi sanctissimam ecclesiam undique convenire concilium, ut cum omni subtilitate vera fide firmata, a sanctis ecclesiis injecta per eos hæresis auferatur. Hæc ipsa igitur sancta synodus definivit, obtinere quidem fidem quæ Nicææ a trecentis decem & octo patribus tradita est, excludi vero ab episcopatu non solum Flavianum & Eusebium, sed & Domnum qui fuit Antiochenus episcopus, & Theodoretum, & alios quosdam, qui in eadem præfata hæreseos cæcitate participant, & ob hoc sacerdotalibus indigni sunt sedibus. Et nos igitur ejusdem sanctæ synodi decreta laudamus atque firmamus: hanc orthodoxam fidem putantes, atque nominantes quæ a trecentis decem & octo patribus exposita est, & firmata in sanctis conciliis quæ Ephesi congregata sunt. Ut vero & in reliquum tempus perfectissima fiat totius solutio quæstionis, jubemus ut in omni orbe terrarum huic ipsi fidei quæ in Nicæa prolata est, undique episcopi universi subscribant per metropolitanos singulorum locorum, & hoc ipsum nobis per proprias eorum litteras intimetur. Omnino autem nullus, qui Nestorii ac Flaviani, & eorum qui ejusdem hæresis sententia detinentur, ullo modo episcopus ordinetur. Sed & si quis jam maligno præventu est ordinatus; aut si quis de cetero per concursum fuerit simulationemque provectus, is orthodoxorum pontificum decreto projiciatur. Et nec usque ad verbum eidem sanctæ fidei vel adjiciatur aliquid, vel dematur. Sed nec habeat aliquis, aut legat, aut transcribat, proferatve Nestorium, vel terminos ejus, aut codices noxios, & maxime quos contra solas Porphyrius edidit Christianas litteras; neque Theodoreti scripta; sed quicumque hujusmodi codices habet, publice illos proferat, & cunctis videntibus igni tradantur. Et eos qui hanc religionem colunt, vel doctores eorum, nullus neque in civitate, neque in agro, neque eos secum patiatur habere consessum: alioquin rebus ejus publicatis, ipse perpetuo exsilio relegabi- D tur. Quicumque hoc egerit, vel qualislibet exstiterit, vel quisquis codices habuerit, interdictam fidem Nestorii ac Theodoreti continentes, aut interpretationes eorum, vel qui vocantur sermones allocutorii, sive traditiones; iisdem tormentis subjaceat, vel si ea quæ sunt ab illis composita, alterius nomine fuerint prænotata.

[b] al. sectiones

In codice Bobiensi, Rusticus idem hæc subjecit, quæ ad trium capitulorum causam illustrandam nonnihil lucis adjiciunt: Lex hæc de Nestorio recte continens, contra orthodoxos vero perverse, & pro illa nihilominus utilitate inserta est, ut sciat Lector, quia sequens lex principis Marciani ideo nominatim de Iba nihil dixit, quoniam nec in ista nihil legitur, sed specialiter ab ista damnatos specialiter solvit; generaliter vero & illa generaliter attigit. Sicubi autem de Iba in hujus legis (quæ sequitur) exemplaribus invenitur, in superfluum deputetur. Quia & nos alicubi posuisse recolimus, quod ex veteribus Acumitensium duximus emendandum.

Partis tertiæ Cap. IX.

IX. *De infirmandis iis quæ contra sanctæ memoriæ Flavianum episcopum Constantinopolitanæ urbis injuste sunt prolata, & confirmandis iis quæ postea de eo constituta sunt a sancta synodo Chalcedonensi.*

Ex versione Rustici diaconi, ut ipse testatur in cod. Divion.

Valentinianus & Marcianus Augusti, Palladio præfecto prætoriorum Orientis, Valentiniano præfecto Illyrici, Tatiano præfecto urbis, Vincomalo magistro divinorum officiorum & Consuli designato.

GLoria numquam gloriosi morte perimitur, nec [a] pereunt cum morientibus virtutes: immo etiam obitu existimatio augetur proborum hominum, quia omnis adversum mortuos evanescit invidia. Inde tanto studio ac præconiis majorum facta laudantur: inde optimorum virorum maxima cum veneratione memoria celebratur; inde magnorum animi exitus appetivere gloriosos: quia compertum est, eos solummodo mori, quorum de vita ac morte tacetur. Id ita esse, etiam præsenti tempore divinum ostendit humanumque judicium. Cum enim falsa invidia & improbe concinnata calumnia, religiosæ ac venerabilis recordationis Flavianus hujus almæ urbis episcopatu fuisset expulsus: (quamvis hoc fuit plenius retinere sacerdotium, fidem quam acceperat, conservare: is enim solus est, qui esse meretur episcopus:) tamen ita ejus reliquias & expetiit hæc sacratissima civitas & recepit, ut beatior omni vivente videretur: ut exitus ille qui putabatur acerbus, optandus credatur fuisse, quo illam immortalem mercatus est laudem. Secutumque est illud, quod meritis ejus divinitas præstitit, ut venerabilis synodus innumerabilium pæne sacerdotum Chalcedonem conveniret: quæ dum fidem diligenter inquirit, auctoritate beatissimi Leonis episcopi [b] æternæ urbis Romæ, & religionis fundamenta constituit, Flaviano & anteactæ vitæ palmam, & mortis tribuit gloriosæ. Ergo quoniam venerabilis recordationis Flavianus tanto ac tali decoratus est testimonio, ut Eutyches qui contra senserat, cum sceleratis dictis suis ab omnibus uno ore damnaretur; aboleatur illa constitutio, quæ sceleratorum subreptione post obitum sanctæ memoriæ Flaviani adversus eum lata cognoscitur: cessentque in totum ea, quorum initium fuit iniquum: & injusta sententia nihil obsit Eusebio quoque & Theodoreto religiosis episcopis, qui eadem lege continentur: quoniam non possunt sacerdotes constitutione damnari, quos synodicum ornat de conservata religione decretum. Expulsa itaque illa sanctione, teneat vitæ gloriæque suæ Flavianus, quam meretur, perpetuam laudem, ceteris constantiæ erga fidem futurus exemplum. Illustrissima igitur & magnifica auctoritas tua hanc saluberrimam legem, edictis propositis, ad omnium notitiam faciat pervenire. Datum Constantinopoli, pridie Nonas Julii, Sporacio viro clarissimo, & qui fuerit nuntiatus, Consulibus. [c]

[a] al. deficiunt

[b] al. æternabilis.

[c] Anno 451.

Περὶ τοῦ ἀνατραπῆναι τὰ κατὰ τοῦ τῆς ἁγίας μνήμης Φλαβιανοῦ τοῦ ἐπισκόπου τῆς βασιλευούσης ἐν Κωνσταντινουπόλει, καὶ βεβαιωθῆναι τὰ μετὰ ταῦτα ὑπὲρ αὐτοῦ παρὰ τῆς ἁγίας συνόδου τυπωθέντα.

Οἱ βασιλεῖς Παλλαδίῳ τῷ μεγαλοπρεπεστάτῳ ἐπάρχῳ τῶν πραιτωρίων, Οὐαλεντινιανῷ ἐπάρχῳ τοῦ Ἰλλυρικοῦ, Τατιανῷ ἐπάρχῳ πόλεως, Βιγκομάλῳ μαγίστρῳ τῶν θείων ὀφφικίων καὶ ὑπάτῳ δεσιγνάτῳ.

ΟΥδέ ποτε δόξα τῷ θανάτῳ τῶν ἐνδόξων ἀπόλλυται, οὐδὲ συναποθνήσκουσι τοῖς τελευτῶσιν αἱ ἀρεταί· μᾶλλον δὲ τῶν ἀγαθῶν ἡ ὑπόληψις αὔξεται τῇ τελευτῇ, ἐπειδήπερ ἅπας ὁ κατὰ τῶν τελευτώντων ἐκποδὼν γίνεται φθόνος. ἐντεῦθεν μετὰ τοσαύτης καὶ ἐπαίνων τὰ τῶν προγόνων ἀφηγεῖται κατορθώματα. ἐντεῦθεν ἡμῖν τῶν ἀρίστων ἡ μνήμη μετὰ μεγίστης ἐπιτελεῖται τῆς προσκυνήσεως. ἐντεῦθεν τῶν ἀρίστων ἀνδρῶν αἱ ψυχαὶ πολλάκις τὰς εὐκλεεῖς εἵλοντο τελευτάς. συνομολογεῖται γάρ, ἐκείνους μόνους εἰς τὸ διηνεκὲς ἀποθνήσκειν, ὧν ἥ τε ζωὴ καὶ ὁ θάνατος σεσιώπηται. τοῦτο καὶ ἐπὶ τοῦ παρόντος οὕτως ἔχει, ἥ τε θεία καὶ ἡ τῶν ἀνθρώπων ἐπιδείκνυσι κρίσις. ἐπεὶ γὰρ φθόνῳ ψευδεῖ ὑπὸ τῆς ἀΐδίου συντεθείσης συκοφαντίας ὁ τῆς ἁγίας καὶ προσκυνητῆς μνήμης Φλαβιανός, ὁ ταύτης ἐνδόξου πόλεως ἐπίσκοπος, τῆς ἀρχιερωσύνης ἐξεβλήθη· καὶ εἴπερ κατὰ τὸ ἀληθὲς ἐκ τῆς ἐπισκοπῆς πλεῖστον ἔχαιρεν, ἢ τὴν πίστιν, ἣν παρέλαβε, φυλάττειν· οὗτος γὰρ μόνος ἠξίωται τοῦ ἱερατικοῦ ἐπίσκοπος· ὅμως τὰ τούτου λείψανα ἡ βασιλικωτάτη αὕτη πόλις ἐζήτησε, καὶ ἀπέλαβεν· ὡς μακαριώτερον αὐτὸν πάντων τῶν ζώντων ὀφθῆναι· ὥστε τὴν τελευτὴν ἐκείνην τὴν χαλεπὴν νομισθεῖσαν, δι᾽ ἀρχῆς ποθεινὴν γενέσθαι, δι᾽ ἧς ἐκείνην τὴν ἀθάνατον εὐφημίαν ἐπραγματεύσατο. καὶ δὴ τούτοις ἐπηκολούθησεν ἐκεῖνο, ὅπερ τοῖς αὐτοῦ γέρασιν ὁ Θεὸς ἐδωρήσατο· ὥστε προσκυνητὴν σύνοδον ἀναριθμήτων σχεδὸν ἐπισκόπων συνελθεῖν εἰς τὴν Καλχηδονίων, ἥτις ἐν ὅσῳ τὰ κατὰ τὴν πίστιν ἐπιμελῶς ἐκζητεῖ, διὰ τῆς αὐθεντίας τοῦ μακαριωτάτου Λέοντος τοῦ τῆς αἰωνίας τὴν δόξαν Ῥώμης ἐπισκόπου, καὶ τῆς θρησκείας κυροῖ τὰ θεμέλια, Φλαβιανῷ τὸ βραβεῖον τοῦ τε παρῳχηκότος βίου, καὶ τῆς ἐνδόξου παρέσχηκε τελευτῆς. ἐπειδὴ τοίνυν ὁ τῆς προσκυνητῆς μνήμης Φλαβιανὸς τῇ τοσαύτῃ κεκόσμηται μαρτυρίᾳ, ὥστε Εὐτυχῆ τὸν τἀναντία φρονήσαντα μετὰ τῶν μυσαρῶν αὐτοῦ ῥημάτων καταδικασθῆναι παρὰ πάντων ἑνὶ στόματι, ἀπαλειφθήτω τὰ τῆς διατάξεως ἐκείνης, ἥ τις καθ᾽ ἁρπαγὴν τῶν μυσαρῶν μετὰ τὴν τελευτὴν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ κατ᾽ αὐτοῦ τεθεῖσα γινώσκεται· καὶ καθ᾽ ὅλου σχολαζέτω τὰ ἐξ ἀδικίας τὴν ἀρχὴν ἐσχηκότα, ἥ τε ἄδικος ἀπόφασις μηδὲν βλαπτέτω μηδὲ Εὐσέβιον, μηδὲ Θεοδώρητον, τοὺς θεοφιλεστάτους ἐπισκόπους, οὓς ὁ ὅρος ὁ αὐτὸς περιέχει· ἐπειδήπερ οὐ δύνανται ἐκ διατάξεως ἐπίσκοποι κατακρίνεσθαι, οὓς ἐπὶ τῇ φυλακῇ τῆς πίστεως συνοδικὴ ψῆφος ἐκόσμησεν· ἐκβληθείσης τοιγαροῦν τῆς νομοθεσίας ἐκείνης, κατεχέτω τοῦ βίου καὶ τῆς δόξης τῆς ἑαυτοῦ Φλαβιανός, ἧς περ ἠξίωται, τὸν αἰώνιον ἔπαινον, τῆς εὐσταθείας τῆς περὶ τὴν πίστιν αὐτοῦ τοῖς λοιποῖς * ἐσομένης ὑπόδειγμα. ἡ ὑπέρλαμπρος τοιγαροῦν καὶ μεγαλοφυὴς αὐθεντία σου τὸν σωτηριώδη τοῦτον νόμον, προτεθέντων ἰδίκτων, εἰς τὴν ἁπάντων ποιήσει γνῶσιν ἐλθεῖν. ἐδόθη πρὸ μιᾶς νωνῶν Ἰουλίων, ἐν Κωνσταντινουπόλει, ὑπατείᾳ Σποραχίου τοῦ λαμπροτάτου, καὶ τοῦ δηλωθησομένου.

* Forte, ἐσομένης ex Lat.

X. *De confirmandis quæ a sancta synodo Chalcedonensi contra Eutychem & ejus monachos constituta sunt.*

Ex versione Rustici diaconi, ut ipse testatur in cod. Divion.

Iidem Augusti, Palladio Præfecto prætorii.

AMplæ omnipotenti Deo habendæ atque agendæ sunt gratiæ, quod scelera nec latere prorsus, nec durare impunita permittit. Horum enim alterum læ-

Περὶ τοῦ βέβαια εἶναι ταῦτα, ἅπερ τῆς ἁγίας συνόδου τῆς Καλχηδόνι κατὰ Εὐτυχοῦς καὶ τῶν αὐτοῦ μοναχῶν ὡρίσθη.

Οἱ αὐτοὶ Αὔγουστοι τοῖς αὐτοῖς ἄρχουσιν.

ΜΕγίστας τῷ παντοκράτορι Θεῷ χρὴ ἔχειν καὶ ὁμολογεῖν τὰς χάριτας, ὅτι τὰ μύση οὔτε λανθάνειν παντελῶς, οὔτε διαμένειν ἀτιμώρητα συγχωρεῖ· ὧν θάτερον μὲν τοῦ βλά-

τοῦ πλείστην ἔχει τὴν ἄδειαν, θάτερον δὲ τοῦ ἁμαρτάνειν ὑπόδειγμα δίδωσι τοῖς λοιποῖς. τεταρμένων ἐν φροντίδι τὰς τῶν ἀνθρώπων πράξεις τῇ ἀρχῇ τοῦ Θεοῦ, καὶ τὸ τῆς θρησκείας μάλιστα σέβας, πρώην ἐν τῷ κυροῦσθαι τὴν καθολικὴν πίστιν περιφανῶς ἀπεδείχθη· ἡνίκα τὸν τοῖς μυσαροῖς ἑπόμενον δόγμασιν Εὐτυχῆ καὶ λανθάνειν, ὡς ἐλάνθανεν, ἐπὶ πλεῖον οὐκ εἴασε, καὶ ἀνοιχθέντα, τὸ μὴ τὴν τιμωρίαν διαφεύγειν οὐκ ἠνέσχετο. ὅθεν ταῖς ψήφοις οὕτως Θεοῦ τε καταδικασθεὶς καὶ ἀνθρώπων, ὅρον συνοδικόν, ὡς ἦν ἄξιος, ἀπηνέγκατο, Θεῷ τε ὑπεύθυνος ὤν, ᾧ τὴν ὕβριν ἐποίει, καὶ ἀνθρώποις ἔνοχος, οὓς ἀπατᾶν ἐπεχείρει. πλεῖστοι γὰρ ἔναγχος ἐκ πάσης, ὡς εἰπεῖν, τῆς οἰκουμένης ὁσιώτατοι κατὰ τὴν Καλχηδόνα ἀθροισθέντες ἐπίσκοποι τὰ τοῦ μνημονευθέντος Εὐτυχοῦς φαυλότατα πλάσματα, μετὰ τῆς πλάνης τῆς ἐν Ἐφέσῳ συνόδου, τῆς αὐτοῦ χάριν γεγενημένης, ἐξέβαλον, τοῖς τῶν ἁγίων πατέρων ἀκολουθήσαντες δόγμασι, τοῖς τε ἐν Νικαίᾳ παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐκτεθεῖσι, καὶ τοῖς ἐν ταύτῃ τῇ πόλει παρὰ τῶν ἑκατὸν πεντήκοντα, καὶ τοῖς ἐν Ἐφέσῳ, ἡνίκα τὴν Νεστορίου πλάνην ἐξέκλεισαν, προεδρευόντων Κελεστίνου τε τοῦ τῆς Ῥωμαίων, καὶ Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων πόλεως, ἐπισκόπων. τὰ κατὰ τὴν ἀρχαιοτέραν τοίνυν διδασκαλίαν ὑπὸ τῆς προσκυνητῆς συνόδου τῆς ἐν Καλχηδόνι ὁρισθέντα, κατ' ἐκείνην τὴν πίστιν, δι' ἧς τὸν Θεὸν σέβομεν, φυλάττεσθαι διὰ παντὸς ἐθεσπίσαμεν, καὶ θεσπίζομεν. ἀκόλουθον γὰρ σφόδρα καθέστηκε, τῶν ἐπισκόπων, τῶν καθαρᾷ διανοίᾳ τὸν Θεὸν θρησκευόντων, τοὺς τύπους τοὺς ὑπὸ τῆς ἁγιωτάτης καὶ ὀρθοδόξου πίστεως περιεχομένους, κατὰ τοὺς τῶν πατέρων κανόνας, μετὰ μεγίστου φυλάττεσθαι τοῦ σεβάσματος. ἐπειδὴ δὲ τῆς βασιλικῆς προνοίας ἐστί, τὸ φαῦλον ἐν ἀρχῇ καταπαύειν, καὶ τὴν ἕρπουσαν νόσον διὰ τῆς τῶν νόμων ἰατρείας ἐκτέμνειν· διὰ τοῦδε τοῦ νόμου θεσπίζομεν, τοὺς ὑπὸ τῆς μανίας Εὐτυχοῦς ἀπατωμένους, καθ' ὑπόδειγμα τῶν Ἀπολιναριστῶν, οἷς ἠκολούθησεν Εὐτυχής, καὶ οὓς οἱ σεπτοὶ τῶν πατέρων τύποι, τουτέστιν οἱ τῆς ἐκκλησίας κανόνες, καὶ αἱ θεῖαι διατάξεις τῶν πάλαι βασιλέων καταδικάζουσι, μηδένα ἔχειν πρεσβύτερον, μηδὲ τινας κληρικοὺς ἢ ἔχειν, ἢ ὀνομάζειν· καὶ αὐτὸν Εὐτυχῆ τῆς τοῦ πρεσβυτέρου προσηγορίας, ἧς ἀνάξιος ὢν ἐγυμνώθη, καθόλου στερίσκεσθαι. εἰ δέ τινες ἄντικρυς τῶν παρ' ἡμῶν ὁρισθέντων, ἐπισκόπους, ἢ πρεσβυτέρους, ἢ καὶ λοιποὺς κληρικοὺς χειροτονῆσαι τολμήσωσιν, αὐτούς τε τοὺς χειροτονουμένους, καὶ τοὺς χειροτονοῦντας, ἢ περιποιοῦντας ἑαυτοῖς κατὰ πρόληψιν τὸν βαθμὸν τὸν τῶν κληρικῶν, μετὰ τὸ καταδικασθῆναι τῇ τῶν ὑπαρχόντων ἀπωλείᾳ, καὶ ἐξορίᾳ διηνεκεῖ συσχεθῆναι προστάττομεν. τοῦ συνιέναι τε, ἤτοι συνάγεσθαι, ἢ μοναχοὺς συναθροίζειν, ἢ οἰκοδομεῖν μοναστήριον, οὐδεμίαν αὐτοὺς ἔχειν κελεύομεν ἄδειαν· καὶ αὐτοὺς δὲ τοὺς τόπους, ἐν οἷς πειραθεῖεν ἴσως ποτὲ συνιέναι, δημοσιεύεσθαι· ὅμως, εἰ τοῦ δεσπότου τοῦ τόπου ἐγνωκότος συνέλθοιεν· ὡς εἴ γε ἀγνοοῦντος, τὸν διοικητὴν, μισθωτὴν τοῦ τόπου, βασανισθέντα ῥάβδοις, μετὰ δημοσίως ἐξορίαν ὑποστῆναι θεσπίζομεν· πρὸς δὲ τούτοις, οὐδὲν αὐτοὺς ἐκ διαθήκης δέχεσθαι, οὐδὲ τοῖς ἐκ τῆς αὐτῆς πλάνης ὑπάρχουσι καταλιμπάνειν, ἀλλ' οὐδεμίας μετιέναι στρατείας, ἀπειργόμεθα, εἰ μή τι ἄρα τὴν τῶν κορτιναλίων, ἢ τῶν λιμιτανείων. εἰ δὲ καί τις ἐν ἑτέρᾳ παρὰ τὴν προειρημένην εὑρεθείη στρατείᾳ, ἢ διὰ τὸ ἠγνοῆσθαι αὐτοῦ τὴν ἐν τῇ θρησκείᾳ ἀναστροφήν, ἢ καὶ διὰ τὸ μετὰ τὴν ζώνην εἰς ταύτην αὐτὸν ἐληλυθέναι τὴν πλάνην, τῆς στρατείας ἀφαιρεθεὶς, τοῦτον καρπὸν τῆς οἰκείας κακοδοξίας ἐχέτω, τὸ καὶ τῆς τῶν ἀγαθῶν ἀνδρῶν καὶ τῆς τοῦ παλατίου στερίσκεσθαι μετουσίας, καὶ μήτε ἑτέρωθι, εἰ μὴ ἐν ᾗ ἐτέχθησαν κώμῃ, ἢ πόλει, αὐτοὺς ἀναστρέφεσθαι. ὡς εἴ γε τινὲς τούτων ἐκ ταύτης ὁρμῶνται τῆς πανευδαίμονος πόλεως, ὃ πιστεύειν ἀθέμιτον, ἀπὸ ταύτης τῆς τε βασιλίδος πόλεως, καὶ τοῦ θείου κομιτάτου, καὶ πάσης ἐλαύνεσθαι μητροπόλεως. καὶ ταῦτα μὲν ἡμεῖς περὶ πάντων ὁρίζομεν τῶν κρατουμένων τῷ μιάσματι τούτῳ τοῦ νοσήματος, ἢ μελλόντων ἐνέχεσθαι. τοὺς μέντοιγε πρὸ τούτου κληρικοὺς ὄντας τῆς ὀρθοδόξου πίστεως, καὶ μοναχοὺς, τοὺς τὸ αὐτὸ οἰκοῦντας Εὐτυχεῖ καταγώγιον. οὐδὲ γὰρ λέγειν προσήκει μοναστήριον, ὅπερ τοὺς τῆς εὐσεβείας εἶχεν ἐχθρούς, τοὺς εἰς τοῦτο ἐλάσαντας μανίας, ὥστε καταλιφθείσης τῆς εὐσεβῶς προσκυνουμένης θρησκείας, καὶ τῆς συνοδικῆς κρίσεως, ἣν σχεδὸν ἐκ πάσης τῆς οἰκουμένης συναχθέντες ἐν Καλχηδόνι ὥρισαν ἱε-

A dendi habet plurimam facultatem: alterum peccandi ceteris præstat exemplum. Curæ igitur esse divinitati hominum actus, & maxime reverentiam religionis, proxime in confirmanda catholica fide evidenter apparuit: cum Eutychem sceleratorum dogmatum sectatorem nec latere, ut diu lateret, sivit; nec patefacto scelere, passa est pœnam sceleris evitare. Sententiis itaque divinis humanisque damnatus, synodicum decretum, ut merebatur excepit, reus divinitati, cui faciebat injuriam; reus hominibus, quos decipere conabatur. Proxime etenim innumerabiles ex toto pæne orbe beatissimi episcopi Chalcedone congregati, improba prædicti Eutychis, una cum synodo ejus causa habita, expulere commenta; secuti sanctorum definita majorum, quæ B vel apud Nicæam a trecentis decem & octo constituta sunt; vel in hac postea alma urbe a centum quinquaginta sunt episcopis decreta; vel apud Ephesum, cum Nestorii est error exclusus, præsidentibus Cælestino Romanæ urbis, & Cyrillo Alexandrinæ civitatis, episcopis. Ea igitur quæ sunt juxta pristinam disciplinam a reverenda synodo Chalcedonensi definita, illa fide qua Deum colimus, per omnia servanda censuimus, atque censemus; quia valde consequens est, [a] quingentorum viginti sacerdotum pura mente Deum colentium definita, quæ pro orthodoxorum fide sacrosancta secundum patrum regulas processerunt, summa cum veneratione servare. Verum quoniam Principalis providentiæ est, omne malum inter initia opprimere, & serpentem C morbum legum medicina resecare: hac lege decernimus, eos qui Eutychetis decipiuntur errore, ad exemplum Apollinaristarum, quos Eutyches secutus est; quosque venerabiles parentum regulæ, id est, ecclesiastici canones & Principum divorum sacratissima scita condemnant; nullum episcopum, nullum habere presbyterum, nullos habere vel appellare clericos; ipsumque Eutychem nomine presbyteri (quo & indignus & spoliatus est) in totum carere. Si qui autem contra definita nostra episcopos, presbyteros, ceterosque clericos ausi fuerint creare; tam factos, quam facientes, vel præsumentes sibi clericorum gradum, bonorum amissione perculsos, exsilio perpetuo præcipi- D mus contineri. Coëundi, vel colligendi, vel congregandi monachos, aut ædificandi monasteria, jubemus nullam eos habere licentiam; locaque ipsa, in quæ forte convenire aliquando tentaverint, confiscari, si tamen domino loci sciente convenerint: quod si ignaro, actorem conductoremque loci fustibus cæsum, deportationem subire censemus. Ipsos præterea nihil ex testamento cujusquam capere, nihil eis qui ejusdem erroris sunt, relinquere testamento, ad nullam eos patimur aspirare militiam, nisi forte ad cohortalitiam, vel limitaneam. Si quis autem extra prædictam militiam inventus fuerit militare, vel quia ignorabatur ejus in religione perversitas, vel quia post adeptum cingulum ad hunc devenerit errorem: solutus militia, infidelita- E tis suæ fructum hunc habeat, ut optimorum hominum & palatii communione privetur, nec alibi quam in quo natus est vico vel civitate versetur. Quod si qui eorum in hac alma urbe (quod credi nefas est) geniti sunt, tam hac civitate [b] venerabili, quam sacratissimo comitatu, & omni excludantur metropolitana civitate. Et hæc quidem generaliter circa omnes constituimus, qui tali labe polluti sunt, vel polluentur. Eos autem qui antehac clerici orthodoxæ fidei fuere, & monachi qui [c] quondam Eutychis habitavere diversorium: (neque enim monasterium dicendum est, quod religionis habuit inimicos:) qui ad hoc usque insaniæ processerunt, ut relicto venerabilis religionis cultu, & synodico decreto, quod totius pæne orbis Chalcedone coadunati decrevere sacer-

[a] Hæc etiam verba habentur in cod. Bobieriano.

[b] al. felicissima.

[c] al. in eodem cum Eutyche habitavere diversorio.

dotes, infaustam Eutychetis sequantur assertionem: A quia vero luce deserta, tenebras eligendas esse crediderunt, omnibus pœnis quæ vel hac, vel præcedentibus legibus adversus hæreticos definitæ sunt, jubemus teneri: immo extra Romanum expelli solum, sicut præcedentes religiosissimæ constitutiones de Manichæis constituere: ne eorum venenatis fraudibus, sceleratisque commentis, innocentium & infirmiorum animi decipiantur. Comperimus præterea quædam eos in contumeliam religionis & invidiam venerabilis synodicæ definitionis fuisse mentitos: conscriptisque libris & chartarum tomis plura finxisse, quæ eorum insaniam adversus veram fidem aperte signarent: atque ideo præcipimus, ubicumque hujusmodi scripta fuerint, ignibus cremari. Eos vero qui vel scripserint, vel aliis legenda B tradiderint docendi studio vel discendi, censemus cum publicatione bonorum deportatione puniri. Docendi etenim hanc infaustam hæresim, sicut pridem edictis serenitatis nostræ continetur, omnibus adimimus facultatem: quia ultimo supplicio coërcebitur, qui illicita docere tentaverit. Eos vero qui discendi studio audierint scelerata disserentem, decem librarum auri mulcta compescimus. Ita enim materia subtrahetur erroris, si peccatorum & doctor defuerit & auditor, [a] Palladi, parens carissime. Illustris itaque & magnifica auctoritas tua, edictis propositis, omnibus faciat nota quæ jussimus: cognoscentibus moderatoribus provinciarum, eorumque officiis, defensoribus etiam civitatum, quod si ea quæ [b] pura fide & sancto proposito custo- C dienda censuimus, aut neglexerint, aut permiserint temerari; singuli denarum librarum auri mulcta perculsi, ut religionis legumque proditores, etiam de existimatione laborabunt. Datum [c] v. Kal. Augusti, Constantinopoli, [d] Sporacio viro clarissimo, & qui fuerit nuntiatus, Consulibus.

[e] *Eodem exemplo scripta Valentiniano viro illustri præfecto Illyrici, & Tatiano præfecto urbis, & Vincomalo magistro officiorum & Consuli designato.*

[a] *Hæc verba tria desunt in cod. Bobien. ut in texto Græco.*

[b] *al.* mera.

[c] *al.* xv.

[d] *Anno* 451.

[e] Legi eodem &c. *usque* Ruffinus *in cod. Bobien.*

ρας, ἀκολουθῆσαι τοῖς φαύλοις διδάγμασιν Εὐτυχοῦς· ἐπειδήπερ τὸ ἀληθὲς φῶς καταλείψαντες, τὸ σκότος ἐπιλέξασθαι δεῖν ᾠήθησαν, πάσαις ταῖς τιμωρίαις, ταῖς καὶ τῷδε τῷ νόμῳ καὶ ταῖς * προηγουμέναις κατὰ τῶν αἱρετικῶν ὡρισμέναις, κατέχεσθαι κελεύομεν, καθάπερ αἱ πρότερον εὐσεβεῖς διατάξεις περὶ Μανιχαίων ἐνόμισαν· ὅπως αἱ μὴ ταῖς τούτων πεφαρμαγμέναις ἀπάταις, καὶ τοῖς ἐναγεστάτοις σοφίσμασι, τῶν ἀκάκων καὶ ἀσθενεστέρων λογισμοὶ δινάζωνται. πρὸς τούτοις ἔγνωμέν τινα ψεύδεσθαι εἰς ὕβριν τῆς εὐσεβείας ταύτης, καὶ φθόνον τῶν ὡρισμένων βιβλίον τε καὶ τόμον ἐν χάρταις πάνυ πολλοῖς, ταῦτα πλάττειν, ἀφ' ὧν τὴν μανίαν αὐτῶν ὑπεναντίον τῆς ἀληθοῦς πίστεως σαφέστατα διελέγχει. καὶ διὰ τοῦτο προστάττομεν, ὅπου δ' ἂν εὑρεθῇ τὰ τοιάδε γράμματα, πυρὶ καταφλέγεσθαι· τοὺς δὲ συγγεγραφηκότας, B πρὸς ἀνάγνωσιν διδακότας ἑτέροις, σπουδῇ τε μαθεῖν ἢ διδάξαι, θεσπίζομεν τῇ μετὰ δημεύσεως ἐξορίᾳ κολάζεσθαι. τὸ δὲ διδάσκειν τὴν ἀσεβῆ ταύτην αἵρεσιν, καθάπερ ἤδη τοῖς ἐδίκτοις τῆς ἡμετέρας θειότητος περιέχεται, πάντων τὴν ἄδειαν περιείλομεν· ὅτι γε δὴ διὰ τῆς ἐσχάτης κολασθήσεται τιμωρίας ὁ τὸ ἀθέμιτον διδάσκειν ἐπιχειρῶν· τοὺς δὲ σπουδάζοντας ἀκροᾶσθαι τῶν τῇ μυσαρᾷ διαλέξει χρωμένων, δέκα λιτρῶν χρυσοῦ τιμωρίᾳ καταπαύομεν. οὕτω γὰρ ἡ πρόφασις ἡ τῆς πλάνης ὑφελκυσθήσεται, εἰ τῶν ἁμαρτημάτων ἐλλείψει καὶ ἀκροατὴς καὶ διδάσκαλος. ἡ ὑπερλαμπροτάτη τοιγαροῦν καὶ μεγαλοφυὴς αὐθεντία σου, προτεθέντων ἐδίκτων, πᾶσιν, ἃ προσετάξαμεν, γνώριμα ποιούτω· εἰδέτωσαν τῶν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων, καὶ τῶν τάξεων τούτων, καὶ τῶν ἐκδικούντων τὰς πόλεις, ὡς εἴ γε τὰ καθαρᾷ πίστει καὶ ἁγίᾳ C προθέσει φυλαχθῆναι παρ' ἡμῶν θεσπισθέντα, ἢ ῥᾳθυμίας ἀξιώσωσιν, ἢ συγχωρήσωσι παραβαίνεσθαι, ἕκαστος ἀνὰ δέκα λιτρῶν προστίμῳ χρυσοῦ βαλλόμενος, ὡσανεὶ προδόται τῆς εὐσεβείας καὶ τῶν νόμων, καὶ περὶ αὐτὴν ἔσονται κάμνοντες τὴν ὑπόληψιν. Ἐδόθη δὲ πρὸ πέντε καλανδῶν Αὐγούστων ἐν Κωνσταντινουπόλει, ὑπατείας Σποραχίου τοῦ λαμπροτάτου, καὶ τοῦ δηλωθησομένου.

Καὶ ὡσαύτως ἐγράφη Οὐαλεντινιανῷ ἐπάρχῳ τοῦ Ἰλλυρικοῦ, καὶ Τατιανῷ ἐπάρχῳ πόλεως, καὶ Βινκομάλῳ μαγίστρῳ καὶ ὑπάτῳ δεσιγνάτῳ.

* Forte, προηγουμέναις

XI. *Exemplum regiarum litterarum scriptarum ad Bassam præfectam monasterii in Ælia, a piissima & Christi amante Pulcheria Augusta.*

Ἀντίτυπον βασιλικοῦ γράμματος γραφέντος Βάσσῃ ἡγουμένῃ ἀσκητηρίου ἐν Αἰλίᾳ, παρὰ τῆς εὐσεβεστάτης καὶ φιλοχρίστου Αὐγούστης Πουλχερίας. D

Serenitatis nostræ studium, animumque in sanctam & orthodoxam fidem, & quomodo eam usquequaque amplificari & celebrari studemus, nemini dubium esse arbitramur: maxime vero omnium id nosse certo tuam reverentiam confidimus. Sed quoniam his temporibus exstitit Simonis erroris imitator, vel potius antichristi præcursor Theodosius, qui quemadmodum affecerit Æliensium civitatem, Palæstinæque sanctissimas ecclesias turbaverit, contra divina & humana jura perpetrans innumerabilia mala; & calumnians sanctam & universalem Chalcedone collectam synodum, quasi symbolum trecentorum decem & octo sanctorum patrum commoverit, & labefactarit; & duos fi- E lios, duosque Christos, ac duas personas adorari oportere docuerit; nec reverentiam tuam latet: necessarium duxit pietas nostra, per sacras nostras litteras antea missas redarguere memorati nefarii viri mendacia, nostramque fidem nobis a majoribus traditam declarare, & quod juxta symbolum trecentorum decem & octo patrum credimus; quod quidem sancta synodus Chalcedone habita, nihil vel addens vel imminuens, confirmavit. Cum vero benignitate atque humanitate Domini nostri & Salvatoris Christi, ii qui Æliensium urbem incolunt, cognovissent meæ serenitatis, & religiosissimi domini orbis terræ & conjugis majestatis meæ, veram & orthodoxam fidem, ad eam accurre-

Τὴν τῆς ἡμετέρας γαληνότητος περὶ τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν σπουδήν τε καὶ προθυμίαν, καὶ ὅπως αὐτὴν διὰ πάντων αὔξειν τε καὶ συγκροτεῖσθαι σπουδάζομεν, οὐδενὶ μὲν ἀμφίβολον εἶναι νομίζομεν· πλέον δὲ πάντων ἀκριβῶς ἐπίστασθαι τὴν σὴν εὐλάβειαν πεθαρρήκαμεν. ἐπειδὴ δὲ ἀνεφάνη ἐν τοῖς νῦν καιροῖς ὁ τῆς Σίμωνος πλάνης, μᾶλλον δὲ τοῦ Ἀντιχρίστου πρόδρομος Θεοδόσιος· ὃς ὅπως μὲν διέθηκε τὴν Αἰλιέων πόλιν, καὶ τὰς ἐν τῇ Παλαιστίνῃ ἁγιωτάτας ἐκκλησίας ἐτάραξε, μυρία δεινὰ κατά τε τῶν θείων καὶ τῶν ἀνθρωπίνων δικαίων διαπραξάμενος, συκοφαντῶν τε τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Καλχηδόνι συγκροτηθεῖσαν σύνοδον, ὡς τὸ σύμβολον τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁ- E γίων πατέρων παρασαλευσάσαν, καὶ δύο υἱοὺς, καὶ δύο Χριστοὺς, καὶ δύο πρόσωπα προσκυνεῖσθαι δογματίσασαν, οὐδὲ τὴν ὑμετέραν λέληθεν εὐλάβειαν· ἀναγκαῖον ἡγήσατο ἡ ἡμετέρα εὐσέβεια, διὰ τῶν πρὸ τούτου καταπεμφθεισῶν θείων ἡμῶν συλλαβῶν ἐλέγξαι μὲν τὰς τοῦ μνημονευθέντος μιαροῦ ἀνδρὸς ψευδολογίας, τὴν δὲ ἡμετέραν ἐκ προγόνων ἡμῖν παραδοθεῖσαν φανερῶσαι πίστιν, καὶ ὅτι κατὰ τὸ σύμβολον τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πιστεύομεν· ὅπερ καὶ ἡ ἐν Καλχηδόνι ἁγία σύνοδος, μηδὲν τούτῳ προσθεῖσα, μήτε μὴν αὐτὸ μειώσασα, ἐβεβαίωσε. καὶ διὰ τὴν φιλανθρωπίαν τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος Χριστοῦ, γνόντες οἱ τὴν Αἰλιέων πόλιν οἰκοῦντες τήν τε τῆς ἐμῆς γαληνότητος, καὶ τοῦ εὐλαβεστάτου δεσπότου τῆς οἰκουμένης καὶ ὁμοζύγου τῆς ἐμῆς θειότητος, ἀληθῆ καὶ ὀρθόδοξον πίστιν, ταύτῃ τε προσέ-

ἤγαμον, καὶ διαφόροις εὐφημίαις τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Ἰησοῦν Χριστὸν, τήν τε ἡμετέραν αἰνέσαντες βασιλείαν, καὶ συγγνώμην ἐπὶ τοῖς προλαβοῦσιν αὐτοῖς ᾐτήσαντο πταίσμασι. καὶ περὶ μὲν αὐτῶν ὁ θειότατος καὶ εὐλαβέστατος δεσπότης καὶ ὁμόζυγος τῆς ἐμῆς γαληνότητος, τῇ συνήθει αὐτοῦ φιλανθρωπίᾳ κεχρημένος, τύπον δέδωκε τὸν τῇ αὐτοῦ πρέποντα εὐσεβείᾳ. ἡ δὲ ἡμετέρα γαληνότης λογιζομένη τὰς Θεοδοσίου τοῦ προλεχθέντος μυσαροῦ καὶ ἀνοσίου συκοφαντίας, μὴ καὶ τινὰς εὐλαβεστάτων γυναικῶν τὰς ἁπλουστέρας ἠπάτησε, καὶ ταῖς αὐτοῦ μαγγανείαις τε καὶ ψευδολογίαις ἀπαγαγεῖν ταύτας τῆς ἀληθείας ἴσχυσε, πανταχόθεν τε βουλομένη τὴν τοῦ μνημονευθέντος μυσαροῦ ἀπελεγχθεῖσαν ἐξαλεῖψαι δυσσέβειαν· τούτου ἕνεκα τάδε πρὸς ὑμᾶς τὰ θεῖα ἡμῶν κατεπέμψαμεν γράμματα. δι᾽ ὧν τήν τε ἐκ πατέρων ἡμῶν παραδοθεῖσαν ἡμῖν φανερούμεθα πίστιν, πάσαις δὲ ταῖς τῷ Θεῷ ἀνακειμέναις γυναιξὶ δήλην ταύτην δι᾽ ὑμῶν γενέσθαι βουλόμεθα· ὅτι παρ᾽ ἡμαῖς τὴν μὲν πίστιν κατὰ τὸ ἐκτεθὲν σύμβολον παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων φυλάττομεν, βδελυττόμεθα δὲ τὴν Φωτεινοῦ, καὶ Ἀπολιναρίου, καὶ Βαλεντίνου, καὶ Νεστορίου δυσσέβειαν, καὶ πρὸς τούτοις, τὴν νεαρὰν Εὐτυχοῦς κακοδοξίαν· καὶ πιστεύομεν τὸν δεσπότην καὶ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῆς θεοτόκου τεχθῆναι· ὁμολογοῦντες ἕνα καὶ τὸν αὐτὸν υἱὸν Ἰησοῦν, Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτόν· Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν· οὐδενὶ τρόπῳ μεριζόμενον, ἢ χωριζόμενον, ἢ τρεπόμενον τὸν σωτῆρα Χριστὸν προσκυνοῦμεν διαπαντός· ἐν ταύτῃ τῇ πίστει ἀσαλεύτως διαμένειν εὐχόμενοι, καὶ ἀναθεματίζοντες τοὺς λέγοντας δύο υἱοὺς, ἢ δύο Χριστοὺς, ἢ δύο πρόσωπα, ἢ εἰπόντας, ἢ γράψαντας, ἢ καὶ λέγειν τολμῶντας. ἣν τινα ἁγίαν καὶ ὀρθόδοξον πίστιν καὶ ἡ ἐν Καλχηδόνι ἔναγχος οἰκουμενικὴ συγκροτηθεῖσα σύνοδος ἐβεβαίωσε· μηδεμίαν προσθήκην ἢ μείωσιν ἐν τῷ ἐκτεθέντι ἁγίῳ συμβόλῳ παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων ποιήσασα, τὴν Εὐτυχοῦς μόνου κακοδοξίαν συμφώνῳ τοῖς ἁγίοις πατράσι ψήφῳ καταδικάσασα. μαθοῦσα τοίνυν ἡ σὴ εὐλάβεια τὴν τῆς ἡμετέρας γαληνότητος ἀληθῆ καὶ ὀρθόδοξον πίστιν, εὔχεσθαι ὑπὲρ ἡμῶν καὶ τῆς ἡμετέρας βασιλείας ἐκτενέστερον σπουδαζέτω.

A runt, multisque laudibus Dominum nostrum & Salvatorem Jesum Christum ac nostram potestatem celebrarunt, veniamque delictorum quæ ante commiserant, orarunt. Ac de illis quidem sacratissimus & piissimus dominus & conjux meæ serenitatis, solita usus humanitate, eum typum dedit, qui ipsius pietatem deceat. Nostra autem serenitas considerans præfati scelesti ac nefarii Theodosii calumnias, metuensque ne quas e religiosis feminis simpliciores circumscripserit, suisque præstigiis & fallaciis eas valuerit a veritate abducere; volensque undique delere memorati scelesti hominis convictam impietatem: idcirco has ad vos factas nostras litteras dirigimus, quibus fidem nobis usque a patribus traditam declaramus, B eamque volumus omnibus Deo consecratis feminis per vos manifestam esse: quod nos fidem secundum expositum symbolum a trecentis decem & octo sanctis patribus servamus; detestamur vero Photini, & Apollinatii, & Valentini, & Nestorii impietatem; ad hæc vero & novellam improbamque Eutychis sententiam: & credimus Dominum & Salvatorem nostrum Jesum Christum de Spiritu sancto & Maria Virgine Deipara natum esse; confitentes unum & eumdem Filium Jesum, Deum perfectum, & hominem perfectum eumdem; Deum vere, & hominem vere, eumdem; nulloque modo divisum, aut separatum, aut conversum Salvatorem Christum semper adoramus: in hac fide sine fluctuatione perseverare optantes, & anathematizantes eos qui dicunt C duos filios, aut duos Christos, aut duas personas; vel qui dixerunt, aut scripserunt, aut dicere audent. Quam quidem sanctam & orthodoxam fidem universalis etiam synodus quæ proxime Chalcedone habita fuit, confirmavit; nullamque vel additionem vel detractionem fecit in exposito sancto symbolo a trecentis octodecim sanctis patribus, ac solius Eutychis perversam opinionem condemnauit suffragio sanctis patribus concinente. Quamobrem reverentia tua, cognita serenitatis nostræ vera & orthodoxa fide, orare pro nobis ac nostro Imperio assidue studeat.

Ἀντίτυπον θείων γραμμάτων γραφέντων ἀρχιμανδρίταις καὶ λοιποῖς ἐν Αἰλίᾳ καὶ τοῖς περὶ αὐτὴν οἰκοῦσι μοναχοῖς, παρὰ τῆς θειοτάτης D δεσποίνης ἡμῶν Πουλχερίας τῆς αἰωνίας Αὐγούστης.

Αἱ μὲν δεήσεις, ἃς ἀπεστείλατε πρὸς τὴν ἡμετέραν εὐσέβειαν, ἔλεγχον τῆς ὑμετέρας φέρουσι πλάνης. ὁ δὲ θειότατος καὶ ἡμερώτατος βασιλεὺς, ὁμόζυγος τῆς ἐμῆς γαληνότητος, καὶ ἡ ἡμετέρα θειότης, τὴν μὲν εὐσέβειαν προτιμᾶν ἐγνώκαμεν πάντων, τὴν δὲ φιλανθρωπίαν, ἔμφυτον οὖσαν ἡμῖν, ἀσπαζόμεθα. καὶ οἷα μὲν ἡ αὐτοῦ γαληνότης, ἐντυχοῦσα ταῖς ἱκετείαις, ἀπέστειλεν ὑμῖν, τὰ τῆς αὐτοῦ θειότητος σημαίνει γράμματα, ἃ ταῖς πολλαῖς ἱκεσίαις τοῦ Ἰουβεναλίου τοῦ ὁσιωτάτου ἐπισκόπου δυσωπηθεῖσα ἡ αὐτοῦ γαληνότης πρὸς ὑμᾶς ἀντέγραψε. τὸ δὲ ἡμέτερον κράτος μέμφεται μὲν τοῖς ἐν τῷ προλαβόντι χρόνῳ κατὰ τῆς ὑμετέρας θρησκείας καὶ τῆς κοινῆς ἀναξίας πλημμεληθεῖσι παρ᾽ ὑμῶν, ἐναντία διαπραττομένων τῷ τῶν μοναχῶν ἐπαγγέλματι· παραινεῖ δὲ ταῖς θείαις συλλαβαῖς, ὀψὲ γοῦν ποτε πρὸς μετάμελον * ὑμῶν τῶν γενομένων ἀποδόντας, πᾶσαν τῶν ὑμετέρων ψυχῶν ἀπώσασθαι πλάνην, ἐπιγνῶναι δὲ τῆς πίστεως τὴν ἀλήθειαν, ἣν ἐκ προγόνων λαβοῦσα, τὸν ἅπαντα χρόνον ἡ ἡμετέρα φυλάττει εὐσέβεια, ὡς μὲν ἐδίδαξαν οἱ τῆς ὁσίας μνήμης τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες, ἀπαρασαλεύτως πιστεύουσα· τὴν Νεστορίου δὲ δυσσέβειαν ἀπελαθεῖσαν παρὰ τῆς κατ᾽ Ἔφεσον ἁγίας συνόδου, ἧς Κελεστῖνος καὶ Κύριλλος οἱ τῆς εὐλαβοῦς μνήμης προεβίβαζον, ὡς θεομάχον δικαίως ἀποστρεφομένη· μισοῦσα δὲ ἀναγκαίως καὶ τὴν Εὐτυχοῦς κατὰ τῆς ὀρθοδοξίας ἐπανάστασιν· ὃς ταῖς Βαλεντίνου καὶ Ἀπολιναρίου κατὰ τῆς

* Forte, ὑμᾶς, vel ὑμῶν

XII. [a] *Exemplum sacrarum litterarum scriptarum archimandritis & reliquis monachis in Ælia & circa eam habitantibus, a sacratissima domina nostra Pulcheria perpetua Augusta.*

[a] *Bellov. cod.* hunc titulum habet: Ælia Pulcheria sacratissima & piissima perpetua Augusta. Archimandritis & reliquis monachis in Ælia & circa eam habitantibus.

Interprete Epiphanio Scholastico.

Preces equidem quas ad nostram direxistis pietatem, indicium vestri erroris ostendunt. Sacratissimus autem & mansuetissimus Imperator, nostræ tranquillitatis conjux, & nostra serenitas, pietatem omnibus rebus præponere judicavimus, & clementiam nobis insitam amplectimur. Quæ autem ejus pietas, vestras supplicationes agnoscens, vobis scripserit, litteræ divinitatis ejus ostendunt, quas vobis multis precibus Juvenalis sanctissimi episcopi ejus exorata tranquilli- E tas destinavit. Nostra vero serenitas culpat equidem ea quæ dudum a vobis adversus venerabilem religionem, communemque disciplinam præsumpta sunt, agentibus illa quæ sunt instituto & professioni monachorum valde contraria. Monet autem divinis syllabis ut, licet tarde, tamen ad meliora respicientes, omnem vestrarum animarum abjiciatis errorem; & veritatem fidei cognoscatis, quam a progenitoribus suscipiens nostra pietas, universo tempore conservat, sicut tradiderunt sanctæ memoriæ trecenti decem & octo venerabiles patres, sine contradictione credens; & Nestorii impietatem expulsam ab Ephesio sancto concilio, cui Cælestinus & Cyrillus reverendæ memoriæ præsidebant, tamquam inimicam Dei justissime respuit, ac necessarie odio habet Eutychis resultationem contra rectam doctrinam: qui Valentini & Apollinaris adversus fidem

orthodoxam dogmatibus eruditus, religionem veram A ſtuduit conturbare. Sequitur autem ſanctum concilium, quod nuper Chalcedone congregatum eſt, quando interpretatione conſona trecentorum decem & octo patrum ſymbolum confirmavit; & credit Dominum noſtrum & Salvatorem Chriſtum ex Spiritu ſancto & Maria Virgine natum: erudita intelligere naturam eſſe veritatem, & Dominum noſtrum Jeſum Chriſtum Deum vere & hominem vere eumdem. Sic enim & ſanctiſſimus Paulus apoſtolus docet in epiſtola ad Galatas, his verbis loquens: *Sed tunc quidem neſcientes Deum, ſerviſtis natura non exſiſtentibus diis*: hoc eſt, neſcientes eum qui vere Deus eſt, his qui vere dii non ſunt, ſerviſtis. His itaque verbis clare nos docet natu- B ram intelligere veritatem. Fruſtra vero veſtras animas falſa percuſſit opinio, quaſi ſancta Chalcedonenſis ſynodus congregata docuerit, aut tranquillitas noſtra crediderit duos filios, aut duos Chriſtos per duas naturas intelligendos; ſed non ita veritas habet. Nos enim abdicantes hoc, anathematizamus eos qui hoc dixerunt, aut ſcripſerunt aut dicere fortaſſe præſumunt. Noſtra namque poteſtas unum eumdemque Filium Jeſum Chriſtum Deum perfectum, & hominem perfectum eumdem, nullo modo diviſum vel mutatum, Salvatorem Chriſtum confitetur: ſemperque in ea fide optamus inconcuſſe perſiſtere. Agnoſcentes igitur ſimplicitatem veritatemque noſtræ fidei, quam cuſtodire ſtu- C demus ſecundum ſanctorum patrum veram traditionem: ſcientes etiam orthodoxam fidem & clementiſſimam intentionem tranquilliſſimi rerum domini, & pietatis meæ conjugis; & rebus ipſis credentes, per quas ſolum pietatem reſpiciens, eos qui ſic peccare præſumpſerunt, digna ultione caſtigare diſtulit: in futuro tempore honore, noſtriſque beneficiis cumulari ſperantes, de cetero cunctam dubitationem ab animis veſtris auferte: & in veſtris monaſteriis perdurantes, & ſolitariam vitam reverenter agentes, a recta fide & veritate eccleſiarum vos nolite ſejungere; ne (quod non ſperat noſtra clementia) tamquam veritatis impugnatoribus nomen adſcribatur hæreſeos. Scitote enim quia tran- D quillitas ejus, divinis litteris ad Dorotheum virum ſpectabilem Comitem deſtinatis, juſſit ſubtiliſſimam inquiſitionem fieri de ſubreptione rerum, quæ a Samaritis dicuntur eſſe præſumpta; & quæcumque direpta monſtrantur, ea ſanctiſſimis eccleſiis, & qui ea perdiderunt, ab eis reddi ſancivit; utque raptarum rerum auctores pœnas debeant legitimas ſuſtinere. Monaſteria vero & habitacula veſtra ab importunitate militum, ejuſdem viri ſolicitudine libera, & ſine moleſtia conſervari præcepit. Credit enim nobiſcum ejus tranquillitas, quia per hanc providentiam atque exhortationem, & priorum actuum vos pœnitebit, & catholicæ eccleſiæ concordi fide poſſitis uniri in pace & unanimitate, orthodoxa religione ſervata. *Et alia manu.* Deus vos cuſtodiat multis annis, reverentiſſimi.

Galat. 4.

ὀρθοδόξου πίστεως διδασκαλίαις ὁδηγηθεὶς, τὴν ἀληθῆ θρησκείαν διαταράξαι ἐσπούδασεν. ἑπομένη δὲ τῇ ἁγίᾳ συνόδῳ τῇ κατὰ τὴν Καλχηδονέων ἔναγχος συγκροτηθείσῃ, ἐφ' οἷς ἑρμηνείᾳ συμφώνῳ τὸ σύμβολον τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων ἐβεβαίωσε, πιστεύει τὸν δεσπότην ἡμῶν καὶ σωτῆρα Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου καὶ θεοτόκου τεχθῆναι, διδαχθεῖσα νοεῖν τὴν φύσιν ἀλήθειαν εἶναι, καὶ τὸν δεσπότην ἡμῶν κύριον Ἰησοῦν Χριστὸν, Θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν. οὕτω γὰρ καὶ ὁ ἁγιώτατος Παῦλος ὁ ἀπόστολος διδάσκει ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ ῥήμασι τούτοις· ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς· τουτέστιν, ἀγνοοῦντες τὸν ἀληθῶς Θεὸν, τοῖς μὴ κατὰ ἀλήθειαν οὖσι θεοῖς ἐδουλεύσατε. τούτοις γὰρ ἡμᾶς σαφῶς διδάσκει τοῖς ῥήμασι, τὴν φύσιν ἀλήθειαν νοεῖν. μάτην δὲ τὰς ὑμετέρας ἐπλήξε ψυχὰς ψευδὴς ὑπόνοια· οἷα δὴ τῆς ἐν Καλχηδόνι συγκροτηθείσης ἁγιωτάτης συνόδου διδαξάσης, ἢ τῆς ἡμετέρας γαληνότητος πιστευσάσης, δύο υἱοὺς, ἢ δύο Χριστοὺς διὰ τῶν δύο φύσεων νοεῖσθαι. ἔχει δὲ οὐχ οὕτως ἡ ἀλήθεια. ἀπαγορεύοντες γὰρ, ἀναθεματίζομεν τοὺς ταῦτα γράψαντας, ἢ καὶ λέγειν τολμῶντας. τὸ δὲ ἡμέτερον κράτος ἕνα καὶ τὸν αὐτὸν υἱὸν Ἰησοῦν Χριστὸν Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν, Θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν, οὐδενὶ τρόπῳ μεριζόμενον, ἢ τρεπόμενον, τὸν σωτῆρα Χριστὸν ὁμολογεῖ διαπαντὸς, ἐν ταύτῃ τῇ πίστει διαμένειν ἀσαλεύτως εὐχόμενον. διδαχθέντες τοίνυν τὸ ἁπλοῦν καὶ ἀληθὲς τῆς ἡμετέρας πίστεως, ὅπερ φυλάττειν σπουδάζομεν κατὰ τὴν τῶν ἁγίων πατέρων ἀληθεστάτην παράδοσιν· εἰδότες δὲ καὶ τὴν ὀρθόδοξον πίστιν, καὶ τὸν φιλάνθρωπον σκοπὸν τοῦ γαληνοτάτου δεσπότου τῆς οἰκουμένης, καὶ ὁμοζύγου τῆς ἐμῆς εὐσεβείας, καὶ τοῖς πράγμασι πιστεύοντες, δι' ὧν μόνῃ τῇ πρὸς τὸ κρεῖττον εὐσεβείᾳ τοὺς οὕτω δυσσεβὲς καὶ παράτομα τολμήσαντας δίκαις ὑποβαλεῖν ταῖς ἀξίαις ἀνεβάλετο· καὶ τῆς εἰς τὸν ἑξῆς δὲ χρόνον τιμῆς καὶ συγκροτήσεως παρ' ἡμῶν πειραθήσεσθαι προσδοκῶντες, τὸ λοιπὸν γοῦν πᾶσαν ἀμφισβήτησιν τῶν ὑμετέρων ψυχῶν ἀφέλετε· τοῖς τε μοναστηρίοις προσκαρτεροῦντες, καὶ τὸν μονήρη βίον εὐλαβῶς μετιόντες, τῆς ὀρθῆς πίστεως καὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν μηδόλως χωριζόμενοι· ὡς ἂν μή τις ὑμῖν ὅπερ οὐκ ἐλπίζει τὸ ἡμέτερον κράτος· αἱρέσεως [a] ὀνόματι ἀληθείᾳ πολεμούσης ἐπιγραφῇ. γινώσκετε δὲ, ὡς ἡ αὐτοῦ γαληνότης θείοις γράμμασι πρὸς Δωρόθεον τὸν περίβλεπτον κόμητα, ἐκέλευσεν, ἀκριβῆ ζήτησιν προτεθῆναι περὶ τῆς τῶν πραγμάτων ἁρπαγῆς, τῆς λεγομένης παρὰ τῶν Σαμαρειτῶν τετολμῆσθαι. καὶ ὅσα μὲν ἂν ἐπιδειχθείη ληφθέντα, ταῦτα ταῖς τε ἁγιωτάταις ἐκκλησίαις, καὶ τοῖς ἀπολέσασι, παρ' αὐτῶν ἀποδοθῆναι ἐθέσπισεν· ὑπέχειν δὲ τοὺς ἐξελεγχθέντας αἰτίους τὰς ἐκ τῶν νόμων εὐθύνας. τὰ δὲ μοναστήρια καὶ τὰ οἰκήματα ὑμῶν τῆς παρὰ τῶν στρατιωτῶν ὀχλήσεως, φροντίδι τοῦ αὐτοῦ ἀνδρὸς, ἐλεύθερα φυλαχθῆναι προσέταξε. πιστεύει γὰρ ἅμα ἡμῖν τὸ [b] αὐτοῦ κράτος, ὡς διὰ τῆς τοιαύτης προνοίας καὶ προτροπῆς, τῶν τε πρότερον ὑμῖν πεπραγμένων μεταμελήσει, καὶ τὰ τῆς καθολικῆς ἐκκλησίας ἑνωθήσεται συμφώνῳ πίστει, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τῆς ὀρθοδόξου θρησκείας φυλαττομένης.

[a] Forte, ὄνομά τι

[b] Forte, αὐτοῦ

CAP. XIII.

XIII. *Exemplum ſacrarum litterarum piiſſimi Imperatoris Marciani ad ſanctam ſynodum in Palæſtina congregatam.*

ιος Χριστόδωρος ὁ θεοφιλέστατος διάκονος, νοτάριος καὶ σεκρετάριος, ἀνέγνω· Ἐπιφανίου τοῦ τῆς ὁσίας μνήμης γενομένου ἀρχιεπισκόπου τῆς βασιλίδος ταύτης πόλεως ἐν εἰρήνῃ τὸν βίον πληρώσαντος, Ἄνθιμος ὁ Τραπεζουντίων ποτὲ προχειρισθεὶς ἐπίσκοπος τὸ τῆς ἀρχιερωσύνης μέγεθος καὶ ἀξίωμα, οὐ πνευματικὴν ψυχῶν ἐπιμέλειαν λογισάμενος, ἀλλ' οἷόν τινα πολιτικὴν ἀρχὴν, καὶ διὰ τοῦτο τῆς μείζονος ὀρεγόμενος, ἤδη ἐκ πολλοῦ καταλιπὼν τὴν ἰδίαν ἐκκλησίαν, καὶ καταλαβὼν τήνδε τὴν πόλιν, ὥσπερ τις Αἰγυπτιακὴ πληγὴ, καὶ τὸν πεπλασμένον βίον τῆς ἐσχηματισμένης αὐτοῦ ἐγκρατείας πᾶσιν ἐπιδεικνύμενος, συνδιαιτηθείς τε τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς, οἷα τοσαύτην ὁμοίαν ἐκείνοις αἱρετικὴν μανίαν, καὶ τὰ ἐκείνοις ἀρέσκοντα ποιῶν τε καὶ λέγων ἠθέλησε μοιχικῶς τὸν τῆσδε τῆς πόλεως ἀρχιερατικὸν ὑφαρπάσαι θρόνον παρὰ πάντας τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς καὶ κανόνας. ἐπεὶ οὖν περὶ ἀμφότερα ἁμαρτάνων ἑωράθη, περί τε τοὺς θείους κανόνας, περί τε τὴν ὀρθὴν καὶ ἀμώμητον πίστιν, εἰκότως ἡμεῖς ἐπιστάμενοι τὴν τῶν θείων κανόνων ἐκδίκησιν, ἀρχιερεῦσι μόνοις ἁρμόζειν τήν τε τῆς ὀρθῆς πίστεως, οὐ μόνον ἱερωμένοις, ἀλλὰ καὶ παντὶ ὀρθοδόξῳ Χριστιανῷ, τὰ περὶ ταύτης μόνης τούτῳ ἐπηρωτήσαμεν οὐχ ἅπαξ, οὐ δὶς, ἀλλὰ καὶ πολλάκις παρακαλοῦντες αὐτὸν καὶ κατὰ Εὐτυχέος δογματισθέντα παρὰ τῶν ἁγίων πατέρων, καὶ μάλιστα παρὰ τῶν ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ τῇ ἐν Καλχηδόνι συναχθέντων, καὶ τοῦ μακαριωτάτου πάπα Λέοντος, ὁμολογῆσαι· φανερὸν δὴ τὸ εἶναι ἐν δύο φύσεσι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀδιαιρέτως, ἀτρέπτως, ἀσυγχύτως, ἀχωρίστως· καὶ συγκαταδικάζειν καὶ ἀναθεματίζειν μετὰ Νεστορίου καὶ Εὐτυχέος, καὶ Διόσκορον τὸν γενόμενον Ἀλεξανδρείας ἐπίσκοπον, τὸν τῆς ἀσεβείας Εὐτυχέος προστάτην καὶ ἔκδικον, τὸν πάντων τῶν κακῶν γενόμενον αἴτιον, κατακριθέντα καὶ ἀναθεματισθέντα μετὰ Νεστορίου καὶ Εὐτυχέος, παρὰ τῆς εἰρημένης ἁγίας ἐν Καλχηδόνι συνόδου. ὁ δὲ διὰ τὴν μελετηθεῖσαν κατὰ τῆς ἐκκλησίας βουλὴν, μύων τοὺς τῆς οἰκείας διανοίας ὀφθαλμοὺς, καὶ ἕνα μόνον σκοπὸν ἔχων, ἅπαξ ὑπερβὰς τὴν θύραν τῆς μάνδρας τῶν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν προβάτων, τὴν ποίμνην τοῖς λύκοις παραδοῦναι, παρεκρούσατο τάς τε ἡμετέρας ἐπιτροπὰς καὶ παρακλήσεις, καὶ ἐπελάθετο τῆς τε ἀψευδοῦς τοῦ κυρίου περὶ τῆς αὐτοῦ ἐκκλησίας ἐπαγγελίας· ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ τοῦ γραφικοῦ ἐκείνου, ὅτι ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος· διὸ ὁ τὸ ἀκαταμάχητον τῇ αὐτοῦ ἐκκλησίᾳ ἀεὶ κατὰ τῶν αἱρέσεων δωρησάμενος κύριος, ἐξήγειρε τὸ πνεῦμα τοῦ τῆς πρεσβυτέρας Ῥώμης ἁγιωτάτου ἀρχιεπισκόπου Ἀγαπητοῦ, καὶ διὰ Θεοῦ βουλήσεως, καταλαμβάνει τήνδε τὴν πόλιν. καὶ μαθὼν διά τε πλείστων καὶ ἡμετέρων λιβέλλων τὰ ἀθέσμως τολμηθέντα κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας, οὐδὲ εἰς θέαν καθάπαξ παραδέξασθαι ἠβουλήθη τὸν κατὰ τῶν θείων κανόνων μανέντα Ἄνθιμον, οὐδὲ συμμετασχεῖν αὐτοῦ τῆς θείας κοινωνίας· ἀλλὰ τὴν ὕβριν ἐκδικῶν τῶν ἱερῶν καὶ θείων κανόνων, καὶ τῆς καθολικῆς πίστεως, τοῦτον μὲν ἐξέωσεν οὗπερ μοιχικῶς καὶ ἀθέσμως ἐπέβη ἀρχιερατικοῦ θρόνου, συναντιλαμβανομένου τῇ τε καθολικῇ πίστει, καὶ τῇ τῶν θείων κανόνων αὐθεντίᾳ τοῦ πιστοτάτου καὶ εὐσεβεστάτου ἡμῶν βασιλέως· τὴν δὲ ὑμετέραν μακαριότητα ἐπί τε ὀρθῇ πίστει ἄνωθεν καὶ ἐξ ἀρχῆς μαρτυρουμένην καὶ ἐπὶ ὀρθῇ καὶ σεμνῇ πολιτείᾳ καὶ σώφρονι βίῳ καὶ τῇ ἐγχειρισθείσῃ αὐτῇ τῶν ἀσθενούντων διακονίᾳ, προεχειρίσατο ἀρχιερέα. τῇ δὲ τῇ ἐκκλησίᾳ, κατὰ ἐπιλογὴν καὶ ψῆφον τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων, καὶ τοῦ εὐλαβοῦς τοῦδε τῆς ἁγιωτάτης ἐκκλησίας κλήρου, καὶ τῶν ἐν διαφόροις ἀξιώμασι καὶ ἀρχαῖς πολιτῶν φιλοχρίστων ἀνδρῶν, καὶ ἡμῶν αὐτῶν, καὶ πάντων ὁμοῦ ὀρθοδόξων Χριστιανῶν. ἐπεὶ οὖν ἐχρῆν τὸν ἐπὶ κακοδοξίᾳ φωραθέντα μηδὲ ἑτέρας ἄρχειν ἐκκλησίας, ἢ διδασκάλου ὄνομα περιφέρειν τὸν μηδόλως μαθεῖν ἐθελήσαντα παρὰ τῶν ἁγίων πατέρων, ἅπερ δέοι αὐτὸν τῷ λαῷ παραδιδόναι· εἰκότως καὶ περὶ τούτου λιβέλλους

ἐπιδεδώκαμεν

ANNO CHRISTI 536.

ἐπιδεδώκαμεν τῷ εἰρημένῳ ἁγιωτάτῳ Ἀγαπητῷ παρακαλοῦντες, ἢ τὸν ἐγκωμιαίνον λίβελλον τῷ Ἀποστολικῷ θρόνῳ ἐπιδόντα τὸν εἰρημένον Ἄνθιμον, ἐλευθερῶσαι ἑαυτὸν πάσης αἱρετικῆς πλάνης· καὶ εἶθ' οὕτως, εἰ δοκιμάσοι ὁ εἰρημένος ὅσιος ἀνὴρ, ἐπὶ τὴν Τραπεζουντίων ἔθνην ἐκπεμφθῆναι ἐκκλησίαν· ἢ τοῦτο μὴ ἀνεχόμενον, τοῖς αἱρετικοῖς συγκατακριθῆναι, ἅπαξ μετ' ἐκείνων διάγοντα, τῆς αὐτοῦ ἐκκλησίας προτιμήσαντα· καὶ ἕτερον ἀντ' αὐτοῦ, τῇ εἰρημένῃ ἐκκλησίᾳ, προχειρισθῆναι, ἐκ πολλοῦ χηρευούσῃ ἐπισκόπου. Ταύτας τὰς δικαίας ἡμῶν αἰτήσεις προσδεξάμενος ὁ εἰρημένος ὅσιος ἀνὴρ, ἐν μὲν συστατικοῖς γράμμασι γινομένοις πρὸς τοὺς ἁγιωτάτους ἀρχιερεῖς ὑπὲρ τῆς ὑμετέρας ἁγιωσύνης, ἐπειδὴ ἀφανῆ ἑαυτὸν καθέστηκεν ὁ εἰρημένος Ἄνθιμος, ἐγύμνωσεν αὐτὸν παντὸς ὀνόματος ἐπισκοπικοῦ τε καὶ καθολικοῦ, τουτέστιν ὀρθοδόξου, ἄχρις ἂν τὰ παραδεδομένα παρὰ τῶν ἁγίων πατέρων πάντα προσομολογήσῃ· τοὺς δὲ ἡμετέρους λιβέλλους ἐξαπέστειλε τῷ εὐσεβεστάτῳ βασιλεῖ, ἐφ' ᾧ τὰ ἐν αὐτοῖς αἰτηθέντα πέρατι παραδοθῆναι διὰ τῆς αὐτοῦ εὐσεβείας. συμβὰν δὲ οὕτω παρὰ τοῦ σοφῶς τὰ καθ' ἡμᾶς οἰκονομοῦντος Θεοῦ, προσελήφθη ὁ τίμιος οὗτος ἀνὴρ, καὶ προσετέθη τοῖς πατράσιν αὐτοῦ, πλήρης πνευματικῶν ἱμερῶν, ἀληθῶς κατὰ τῶν λύκων προπολεμήσας τῆς τοῦ ἀρχιποίμενος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ποίμνης, καὶ πιστὸς δοῦλος ἐν τῷ πιστευθέντι ταλάντῳ ἀποδειχθεὶς, καὶ ἀπροσωπόληπτος οἰκονόμος ἐν καιρῷ ἑκάστῳ διδοὺς τὸ σιτομέτριον. ἡμᾶς οὖν μετὰ τὴν μακαρίαν ἐκείνου κοίμησιν σύντομον πέρας ἐπιτεθῆναι τοῖς κινουμένοις σπεύδοντες, δεήσεις ἀναπτυξάμενοι τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ, καὶ τὰ ἐν τοῖς προτέροις λιβέλλοις ἀνακεφαλαιωσάμενοι παρακαλοῦμεν, καὶ ἱκετεύομεν τὴν αὐτοῦ εὐσέβειαν, τὴν ἐπὶ τούτοις δικαίαν κρίσιν, τοῦ ἐν ἁγίοις Ἀγαπητοῦ, πληρῶσαι. ἡ οὖν αὐτοῦ εὐσέβεια κἂν τούτῳ χριστιανικῶς κινουμένη, καὶ πάντα τὰ εἰς ἐκκλησιαστικὴν κατάστασιν τείνοντα κανονικῶς περαιοῦσθαι βουλομένη, τὰς τοιαύτας δεήσεις μετέπεμψε τῇ ὑμετέρᾳ ἁγιωσύνῃ. ἐφ' ᾧ τὰ δοκοῦντα τοῖς ἱεροῖς καὶ θείοις κανόσιν ἐπὶ τῷ εἰρημένῳ Ἀνθίμῳ, ψηφίσασθαι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, καὶ ἡ ἐνδημοῦσα ἁγία σύνοδος εἶπεν. οἱ παρόντες ὁσιώτατοι ἐπίσκοποι τῆς πρεσβυτέρας Ῥώμης, καὶ θεοφιλέστατοι διάκονοι τῆς Ἀποστολικῆς καθέδρας, ἐπακούσαντες τῶν ἀναγνωσθέντων, περί τε τῶν ἐπιδεδόσθαι λεγομένων λιβέλλων, καὶ τῶν συνοδικῶν ἐπιστολῶν τῶν παρὰ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης, ὅσα περὶ τούτων ἴσασι, δῆλα ποιεῖν ἀξιούτωσαν.

Καὶ ἀνέγνω φωνὴν Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης τῆς Ἀποστολικῆς καθέδρας τῆς πρεσβυτέρας Ῥώμης, καὶ νοταρίων σεκουνδικήριος, ἔχουσαν οὕτως·

Οἱ ὁσιώτατοι ἐπίσκοποι, καὶ οἱ σεβασμιώτατοι τῆς Ἀποστολικῆς καθέδρας διάκονοι εἶπον· ὅτι παρὰ τοῦ ἐν ἁγίοις τῇ μνήμῃ πατρὸς ἡμῶν τοῦ πάπα Ἀγαπητοῦ μοναχοὶ διαφόρων μοναστηρίων ἐπιδοθεισῶν δεήσεων, ζητῆσαι ἠτήσαν, εἴ τι παρὰ τοῦ αὐτοῦ πατρὸς ἡμῶν περὶ Ἀνθίμου τοῦ Τραπεζουντίων ποτὲ γενομένου ἐπισκόπου ἐν ταῖς συνοδικαῖς ἐπιστολαῖς, ταῖς ὑπὲρ τῆς χειροτονίας τοῦ ἁγιωτάτου Μηνᾶ, ἀρχιεπισκόπου ταύτης τῆς βασιλευούσης πόλεως, ὥρισται· μετὰ χεῖρας ἔχοντες [a] δεδώκαμεν πρὸς ἀνάγνωσιν.

[a] al. ἐπιδέδωκαμεν.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ ἁγία σύνοδος εἶπε· τὰ προκείμενα ἀναγνωσθήτω.

Καὶ λαβὼν Ἀκάκιος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος, τὰς δεήσεις τάς τε ἐκ προσώπου τῶν μοναχῶν, καὶ τὰς ἐκ προσώπου τῶν θεοφιλεστάτων ἐπισκόπων, ἀνέγνω.

ANNO CHRISTI 536.

porreximus prædicto sanctissimo Agapito: rogantes, aut notum libellum Apostolicæ sedi prædicto Anthimo porrigente, liberare seipsum ab omni hæretico errore, & postea sic (si approbabit prædictus sanctus vir) mittere eum ad ecclesiam Trapezundarum: aut si hoc facere non vult, cum hæreticis condemnetur, qui similiter cum ipsis vitam degere prætulit, quam cum ecclesia sua: & alter pro ipso prædictæ ecclesiæ ordinetur, quæ diu episcopo viduatur. Has nostras justas petitiones cum suscepisset prædictus sanctus vir, in litteris quidem commendatitiis, ad sanctissimos pontifices pro vestra sanctitate, quia obscurum seipsum constituit prædictus Anthimus, nudavit ipsum episcopali nomine, atque etiam catholico, hoc est, orthodoxo: quoadusque confitebitur omnia, quæ tradita sunt a sanctis patribus: nostros vero libellos destinavit piissimo Imperatori nostro, ut quæ in ipsis petita sunt, effectui tradantur per ipsius pietatem. Opportune vero sic a Deo sapienter nostra dispensante assumptus est ille honorandus vir, & patribus suis additus est, plenus spiritualium [a] desideriorum: qui adversus lupos pro ovili summi pastoris Christi Dei nostri pugnans: & fidelis servus in talento credito demonstratus est, sine acceptione personarum dispensator, in tempore unicuique dans tritici mensuram. Nos itaque post illius beatam obdormitionem compendiosum finem his, quæ moventur, imponere festinantes, cum supplicationes porreximus piissimo Imperatori nostro, & recapitulaverimus, quæ in prioribus libellis erant; rogamus & obsecramus ipsius pietatem, exsequi justam in istos condemnationem sancti Agapiti. Ipsius ergo pietas in hoc saltem fideliter mota; & quæ ad ecclesiasticum statum conferunt, canonice terminare volens; hujusmodi supplicationes misit vestræ sanctitati, ut quæ videntur sacris ac divinis canonibus, de prædicto Anthimo sententientur.

[a] In Græco, dictum: legit interpres ἱμερῶν.

Luc. 12.

Sanctissimus archiepiscopus & sancta synodus dixit: Quia præsentes sanctissimi episcopi antiquæ Romæ & Deoamantissimi diaconi sedis Apostolicæ, audiverunt quæ lecta fuere, & de porrectione dictorum libellorum & de synodalibus epistolis sanctæ memoriæ Agapiti; quæcumque de his sciunt, manifesta facere dignentur.

Et legit vocem Menas venerabilis lector Apostolicæ sedis antiquæ Romæ, & secundicerius notariorum, quæ sic habet:

Reverentissimi episcopi & venerabiles Apostolicæ sedis diaconi dixerunt: Quoniam a sanctæ memoriæ patre nostro Papa Agapito, monachi diversorum monasteriorum porrectis supplicationibus venientes petierunt, si quid ab ipso patre nostro de Anthimo quondam episcopo Trapezuntio in synodalibus epistolis contineretur, ideo quod pro ordinatione sanctissimi Menæ archiepiscopi hujus regiæ urbis diffinitum est; præ manibus habentes, dedimus ad legendum.

Sanctissimus archiepiscopus & venerabilis synodus dixit: Quæ producuntur, legantur.

Et accipiens venerabilis Acacius notarius & diaconus supplicationes, quæ ex persona monachorum, & ex persona Deoamantissimorum episcoporum, legit:

A

Domino nostro sanctissimo & beatissimo archiepiscopo antiquæ Romæ, & œcumenico patriarchæ Agapito, Marianus presbyter & primas monachorum regiæ civitatis, & ceteri archimandritæ ejusdem, & archimandritæ & monachi Hierosolymorum, ac Orientales, in eadem [a] synodo congregati.

[a] melius, civitate.

EA quæ sanctas Dei ecclesias opprimunt, considerantes, & inimicos Dei quotidie adversus eam insolescere conspicientes, lamentationem divi Gregorii in his prooemium facimus, opportune ad vestram beatitudinem dicentes:

Visa est cura Dei penitus dereliquisse præsentem vitam, quæ temporibus ante nos ecclesias custodiebat. Et jam tantum cujuslibet anima immersa est a calamitatibus, ut ne quidem proprii dolores vitæ nostræ inter mala esse putentur: tot & tanta sunt communia mala ecclesiarum, ad singula respiciendo: quorum nisi aliqua in præsenti tempore fieret diligentia ad reformationem, ad omnimodam desperationis confusionem paulatim perveniretur. Cum multis itaque modis jam hæc enarraverimus; non minus vero & nunc magnas & incredibiles insidias adversus Dei ecclesiam factas, exponemus. Schismatici & Acephali, qui a furore Dioscori & Eutychis descenderunt, (nescimus quis eos ad amentiam moverit,) veluti quadam audacia freti, suo proprio morbo triumphant, synagogas facientes, & parabaptismata innovantes, & tamquam ex eversione hoc facientes, & nomen episcoporum sibiipsis in locis nostris diffamantes, aperte ingruescunt, & licenter omnia audent; non contra ecclesias solas, non contra alumnos ecclesiæ, sed etiam contra ipsum piissimum Imperatorem nostrum, & vestrum honorabile caput, sicut tanta prædictorum insania vestræ beatitudini manifesta fuit. Nam venientes ad quamdam domum, figuram oratorii habentem; in qua monachi quidam de iniquo contubernio illorum habitant; imaginem piissimi Imperatoris furore excæcati, illud patris eorum diaboli fecerunt; qui cum non possit contra creatorem, adversus figmentum suam ostendit furiam. Irruit enim unus ex iis, qui in malis excellens est, Isaacius [b] Persus, qui magia quadam utens seduxit corda volentium ab eo decipi, & inurendo καυτηρίοις usque Veronam, ad quinquaginta dies: (quia consecrari istius, qui hortantur ipsum facere hæc ad corruptionem & deceptionem simpliciorum, diffamant;) percussit virga imaginem; dicens quædam contra caput veri & orthodoxi Imperatoris nostri, (immo vero contra Deum, propter quem imaginem percussit,) quæ nec aure perceptibilia nec mente susceptibilia sunt; & virga inibi verberando confracta est: & tamquam exæstuans, aliquid aliud inhonoratius facere volens in imaginem veri Dei, dilaceravit tunicam inscriptam: & quod ex ipsa ab eo dilaceratum fuit, igni tradidit. Quid igitur non saltem fecisset contra orthodoxum Imperatorem, si hunc cum potestate habuisset in manibus iste violentus & irrationabilis vir, ubi nec tunicæ scriptæ inanimatæ pepercit? Jam illud prophetæ ad Deum & ad vos, ac ad piissimum Imperatorem nostrum dicere convenit: *Usquequo clamabimus & non exaudietis? injuria affecti clamabimus ad vos, & non salvabitis?* Si enim qui hæc sapiunt & faciunt, simul nobiscum omni tempore ac modo degere permittuntur; considerate, beatissimi, quod nobis non occurrentibus his, quæ illi sentiunt, neque istorum ebrietate diminuta,

[b] al. Persa.

Locus obscurus.

Habac. 1.

Τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ πρεσβυτέρας Ῥώμης, καὶ οἰκουμενικῷ πατριάρχῃ Ἀγαπητῷ, παρὰ Μαριανοῦ πρεσβυτέρου καὶ ἐξάρχου τῶν μοναστηρίων τῆς βασιλίδος, καὶ λοιπῶν ἀρχιμανδριτῶν τῆς αὐτῆς, καὶ παρὰ τῶν ἐνδημούντων ἐν αὐτῇ Ἱεροσολυμιτῶν καὶ ἀνατολικῶν ἀρχιμανδριτῶν καὶ μοναχῶν.

TΑ συνέχοντα τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας κατανοοῦντες, καὶ τοὺς ἐχθροὺς τοῦ Θεοῦ ἐναβρυνομένους κατὰ ταύτης ὁσημέραι ὁρῶντες, τὸν τοῦ θείου Γρηγορίου ἐπὶ τοῖς τοιούτοις ὀδυρμὸν, εὐκαίρως προοιμιαζόμεθα, πρὸς τὴν ὑμετέραν μακαριότητα λέγοντες·

B

Ἔοικε τὴν παροῦσαν ζωὴν ἐπιλελοιπέναι καθόλου ἡ τοῦ Θεοῦ κηδεμονία, ἡ ἐν τοῖς πρὸ ἡμῶν χρόνοις τὰς ἐκκλησίας φυλάττουσα. καὶ δὴ τοσοῦτον βεβάπτισται ἡ ἑκάστου ψυχὴ ὑπὸ συμφορῶν, ὥστε τὰ μὲν ἴδια τῆς ζωῆς ἡμῶν ἀλγεινὰ μηδὲ ἐν κακοῖς εἶναι λογίζεσθαι, τοσαῦτα καὶ τοιαῦτα ὄντα, πρὸς μόνα δὲ βλέπειν τὰ κοινὰ τῶν ἐκκλησιῶν πάθη· ὧν εἰ μὴ γένοιτό τις ἐν τῷ παρόντι καιρῷ σπουδὴ πρὸς διόρθωσιν, πρὸς παντελῆ ἀνελπιστίαν, κατὰ μικρὸν περιελεύσεται. πολυτρόπως μὲν οὖν ἤδη ταῦτα ἐκδιηγησάμενοι, οὐχ ἧττον δὲ καὶ νῦν τὰς μεγάλας καὶ ἀπίστους ἐπιβουλὰς, τὰς κατὰ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἐξαπλώσομεν. οἱ ἀπὸ τῆς μανίας Διοσκόρου, καὶ Εὐτυχέως καταγόμενοι ἀποσχισταὶ καὶ Ἀκέφαλοι, οὐκ οἴδαμεν τίνος αὐτοὺς παρακινήσαντος εἰς ἀπόνοιαν, ὥσπερ τινὸς παῤῥησίας ἐπειλημμένοι, τῇ νόσῳ ἑαυτῶν ἐμπομπεύουσι παρασυνάγοντες, καὶ παραβαπτίσματα καινοτομοῦντες, ὡς ἐξ ἐπιτροπῆς τοῦτο ποιοῦντες, καὶ ὄνομα ἐπισκόπων ἑαυτοῖς ἐπιφημίζοντες, τοῖς καθ' ἡμᾶς τόποις, φανερῶς ἐπιπολάζειν καὶ ἀδεῶς πάντα τολμῶντες, οὐ κατ' ἐκκλησιῶν μόνον, οὐ κατὰ τῶν τῆς ἐκκλησίας τροφίμων, ἀλλ' ἤδη καὶ κατ' αὐτοῦ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, καὶ τῆς ὑμετέρας τιμίας κεφαλῆς, ὡς πεφανέρωται τῇ ὑμετέρᾳ μακαριότητι, τοσαύτη τῶν εἰρημένων ἡ μανία. εὑρόντες γὰρ κατά τινα οἶκον σχῆμα ἔχοντα εὐκτηρίου, ἐν ᾧ μοναχοί τινες οἰκοῦσι τῶν τῆς ἐκείνων ἀθεμίτου συμμορίας, τὴν εἰκόνα τοῦ φιλοθέου ἡμῶν βασιλέως τῇ μανίᾳ τυφλώττοντες, τὸ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου πεπράχασιν, ὃς μὴ δυνάμενος τῇ κτίσει, κατὰ τοῦ πλάσματος τὴν αὐτοῦ ἐπιδείκνυται μανίαν. ὁρμήσας γὰρ εἷς ἐξ αὐτῶν, ὁ περίφημος ἐν κακοῖς Ἰσαάκιος ὁ Πέρσης, ὁ μαγγανείᾳ τινὶ χρώμενος, καὶ ἐξαπατῶν τὰς καρδίας τῶν ἐθελόντων παρ' αὐτοῦ ἐξαπατᾶσθαι, * καὶ ἐγχαιρόμενος εἰς τὰ Βερίνης ἐπὶ πεντήκοντα ἡμέρας, (ὡς οἱ τούτου συμμύσται καὶ ταῦτα ποιεῖν οἱ αὐτὸν παρασκευάζοντες πρὸς διαφθορὰν καὶ ἐξαπάτην τῶν ἁπλουστέρων διαφημίζουσιν,) ἔτυψε ῥάβδῳ κατὰ τῆς κεφαλῆς τὴν εἰκόνα, ἐπιφθεγξάμενός τινα κατὰ τοῦ ὀρθοδόξου βασιλέως ἡμῶν, μᾶλλον δὲ κατὰ τοῦ Θεοῦ, δι' ὃν καὶ τὴν εἰκόνα ἔτυψε, τὰ μήτε ἀκοῇ χωρητὰ, μήτε διανοίᾳ δεκτά· καὶ κλασθείσης ἐν τῷ τύπτειν τῆς ῥάβδου, ὥσπερ ἐξαπορούμενος τί ἕτερον πράξει εἰς τὴν τοῦ ἀληθινοῦ τοῦ Θεοῦ εἰκόνα ἐπελθὼν ἀτιμότερον, διεσπάραξε τὴν γεγραμμένην σινδόνα· καὶ τὸ παρ' αὐτοῦ διαῤῥαγὲν ἐκ ταύτης πυρὶ παραδέδωκε. τί ποτε οὖν οὐκ ἂν ἔπραξε κατὰ τοῦ ὀρθοδόξου βασιλέως, εἰ τοῦτον μετ' ἐξουσίας ἐν χερσὶν εἶχεν ὁ βίαιος οὗτος καὶ ἀλόγιστος ἀνὴρ, ὅπου γε τῆς ἐν σινδόνι γραφῆς ἀψύχου οὐκ ἐφείσατο; καὶ δὴ τὸ τοῦ προφήτου πρὸς τὸν Θεὸν καὶ πρὸς ὑμᾶς, καὶ πρὸς τὸν εὐσεβέστατον βασιλέα ἡμῶν ἀπολεγομένους, ἁρμόδιον λέγειν· ἕως τίνος κεκραξόμεθα, καὶ οὐ μὴ εἰσακούσητε; βοησόμεθα πρὸς ὑμᾶς ἀδικούμενοι, καὶ οὐ σώσετε; εἰ γὰρ οἱ ταῦτα φρονοῦντες καὶ ποιοῦντες, ὁμιλήμασι συνδιάγειν ἡμῖν κατὰ πάντα καιρὸν καὶ τρόπον ἐπιτρέπονται, σκοπεῖτε, μακαριώτατοι, ὅτι μὴ συμβαινόντων ἡμῶν οἷς ἐκεῖνοι φρονοῦσι, μηδὲ ἀνασταλείσης τῆς τούτων παροινίας,

C D E

* vetus interpres legit χειρούμενος.

τὸ λαβεῖν αὐτοὺς ἐξουσίαν συνάξεως, ἢ τὸ συγχωρηθῆναι αὐτοῖς τοιαῦτα τολμᾶν, οὐδέν ἕτερόν ἐστιν, ἢ ἀληθεστέρους τὸ καθ' ἡμᾶς δόγματος νομισθῆναι, καὶ ἀδικωτέρους καὶ βιαιοτέρους ἀπεργασθῆναι καθ' ἡμῶν. εἰ γὰρ ὡς εὐσεβοῦντες ἐκεῖνοι διδάσκειν ὡς φρονοῦσι, καὶ κηρύττειν ἐν παρρησίᾳ τὸ καθ' ἑαυτοὺς ἐπιτρέπονται δόγμα, δῆλον ὅτι κατέγνωσται ὁ τῆς ἐκκλησίας λόγος, ὡς τῆς ἀληθείας παρ' αὐτοῖς οὔσης. δύο γὰρ ἐναντίους λόγους, ἀληθεῖς εἶναι περὶ τοῦ αὐτοῦ πράγματος, φύσιν οὐκ ἔχει, φησὶν ὁ μέγας Γρηγόριος. ἐπειδὴ οὖν ἐκ ταύτης τῆς αἰτίας, εἰς πολλοὺς οἴκους τῶν ἐν ὑπεροχῇ ὄντων εἰσδύοντες, ἄσεμνά τινα διαπράττονται, αἰχμαλωτίζοντες γυναικάρια τινὰ σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα· ἀλλὰ μὴν καὶ ἐν αὐτοῖς τοῖς ἰδιωτικοῖς οἴκοις, καὶ ἐν προαστείοις θυσιαστήρια καὶ βαπτιστήρια ἀντιπηγνύοντες τοῦ ἀληθινοῦ θυσιαστηρίου καὶ τῇ ἁγίᾳ κολυμβήθρᾳ, πάντων ὁμοῦ καταφρονοῦσι διὰ τὴν ἀπονεμηθεῖσαν αὐτοῖς προστασίαν, παρὰ τῶν ἔν τε τῷ δεσποτικῷ οἴκῳ, καὶ τῶν ἄλλῳ τρόπῳ τινὶ δυναστευόντων· μὴ ὑπομείνητε, μακαριώτατοι, μὴ χρήσασθαι τῇ συνήθει παρρησίᾳ εἰς διόρθωσιν τοῦ τοσούτου κακοῦ· ἀλλ' ὥσπερ τὸ πρότερον ἐπὶ Ἀνθίμου διανέστητε, καὶ τὸν διὰ δορᾶς προβάτου περικαλύψαι τὸν λύκον ἐπιχειρήσαντα, καὶ ὑπερβῆναι τὴν θύραν τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ κανόνων, καὶ λῃστρικῶς ἐπιβάντα τῆς τῶν προβάτων μάνδρας, ἀπογυμνώσαντες τῆς δορᾶς ἐφ' ἑαυτὸν ἐπιδείξατε, πόρρω που τῆς μάνδρας ἀπελάσαντες· οὕτω καὶ νῦν ἐπαγρυπνήσατε, καὶ διδάξατε τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ὅτι οὐδὲν κέρδος αὐτῷ, καθά φησιν ὁ θεῖος Γρηγόριος, τῆς λοιπῆς αὐτοῦ περὶ τὰς ἐκκλησίας σπουδῆς, εἰ τὸ τοιοῦτον κακὸν ἐπὶ καθαιρέσει τῆς ὑγιαινούσης πίστεως, διὰ τῆς παρρησίας αὐτῶν κατισχύσει· καὶ συγχωρηθεῖεν ἔτι οὗτοι πρὸς διαφθορὰν τῆς ἐκκλησίας, ἐμφωλεύειν τοῖς δεσποτικοῖς καὶ ἰδιωτικοῖς οἴκοις, καὶ τὰ ἄθεσμα ἐν τούτοις πράττειν. καὶ ταῦτα μέν πως φέρομεν, καίπερ ὑπὸ τῶν δεινῶν κατακαμπτόμενοι, εἰ καὶ ἀφόρητα, ἐλπίδας ἔχοντες εἰς τὸν φιλάνθρωπον Θεὸν τὸν καιρῷ εὐθέτῳ τὴν ὑμετέραν παρουσίαν ἡμῖν ἀναδείξαντα, ὅτι ὥσπερ Πέτρον τὸν μέγαν, τὸν τῶν ἀποστόλων κορυφαῖον, τοῖς ἐν Ῥώμῃ ἐπὶ καθαιρέσει τῆς Σίμωνος γοητείας ἐξαπέστειλεν· οὕτω καὶ ὑμᾶς ἐξαπέστειλας ἐπὶ καθαιρέσει καὶ ἀποδιώξει τῆς Σευήρου, καὶ Πέτρου, καὶ Ζωορᾶ, καὶ τὰ ὅμοια αὐτοῖς φρονούντων, καὶ παντοίας περιβαλλόντων τιμὰς πρὸς ἀτιμίαν Θεοῦ, βλασφημίας τε καὶ ὑπερηφανίας· δύναμιν ὑμῖν ἐπιχορηγήσει, συναπτομένου ὑμῖν καὶ τοῦ πιστοτάτου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως, τούτους ἐξελάσαι πάσης ἔξω ἐκκλησίας καὶ πόλεως, ὡς ἐπιβούλους καὶ λυμεῶνας οὐ μόνον τῶν ἁγιωτάτων ἐκκλησιῶν, ἀλλὰ καὶ τῆς πολιτείας ταύτης. πρὸς γὰρ τὴν αὐτοῦ κακίαν ἐπιτήδεια ὄργανα εὑρὼν τούτους ὁ μισόκαλος, πᾶσαν ἀνάστατον πεποίηκε τὴν οἰκουμένην, καὶ αἵμασιν ἁγίων τὴν γῆν κατεμόλυνε, καὶ τὰς πόλεις σφαγαῖς καὶ θορύβοις συνετάραξεν. ἐξελάσατε οὖν τούτους, εὖ ἴσμεν, εἰ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, καὶ τοὺς τούτου φιλοχρίστους ἄρχοντας διδάξητε, ὡς κοινωνοῦσι τῷ ἀναθέματι, ἐν μέσῳ ἔχοντες τὸ ἀνάθεμα, ὥσπερ ὑπέδειξεν ἡμῖν ἡ παλαιὰ γραφὴ ἐπὶ Ἀχὰρ καὶ Ἰωνάθαν, τοὺς ἐν γνώσει καὶ ἀγνοίᾳ ὑποπεσόντας τῷ ἀναθέματι, καὶ ταῦτα τῶν κινδυνευσάντων συναπολέσθαι τούτοις, ἀγνοούντων, ὅτι ἐν μέσῳ αὐτῶν ἦν τὸ ἀνάθεμα. ὑπομνήσατε τὸ φιλόθεον αὐτοῦ κράτος, προσαγαγεῖν τῷ Θεῷ, καὶ τοὺς παρ' αὐτῶν τῆς ὀρθῆς ἀπαχθέντας πίστεως· ἢ τοῦτο μὴ ἀνεχομένους, τοὺς κατὰ τῆς ἐκκλησίας ἐπιβούλους ἀπώσασθαι. ὡς γὰρ οὐ λέληθε τὴν σὴν μακαριότητα, καίπερ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως κελεύσαντος, μήτε παρασυνάξαι, μήτε παραβαπτίσαι· Ζωορᾶς ὅμως γοῦν τῆς τοιαύτης καταφρονήσας κελεύσεως κατεβάπτισεν ἐν τῇ τοῦ πάσχα ἡμέρᾳ οὐκ ὀλίγους, ἐν οἷς ἦσαν καὶ παῖδες τῶν τῷ δεσποτικῷ παραμενόντων οἴκῳ, ὡς κατέθετο ὁ ἀπ' αὐτῶν δυνηθεὶς Θεοῦ χάριτι ἐκσπασθῆναι, καὶ εἰς τὴν τοῦ Θεοῦ ἐκ-

A ipsos accipere potestatem congregandi, aut ipsos permittere talia audere; nihil aliud est quam veriores putare, quam dogma nostrum, & iniquiores ac violentiores efficere contra nos. Si enim illi tamquam pie sapientes, docere sicut sentiunt, & prædicare cum fiducia dogma suum permittuntur: manifestum est, quod reprehensa est ecclesiæ ratio, cum apud eos veritas sit. Nam duas contrarias rationes veras esse de eadem re, natura non habet, ut inquit magnus Gregorius. Quoniam igitur ex hac causa in multas domus eorum, qui in excellentia sunt, intrant, & indecentia faciunt, captivantes mulierculas quasdam peccatis coacervatis, quæ variis ducuntur desideriis, & semper addiscunt, & numquam ad cognitionem veritatis venire possunt: B verum etiam in propriis domibus & suburbiis altaria & baptisteria erigunt in oppositum veri altaris & sancti fontis; & omnia simul contempserunt propter attributum eis patrocinium, ab his, qui in domo Domini, & aliquo alio modo potentes sunt: Nolite pati, beatissimi, non uti solita fiducia ad reformandum tantum malum: sed sicut prius contra Anthimum insurrexistis; & lupum qui conabatur cooperiri per pellem ovis, & transcendere ostium ecclesiasticorum ordinum, sanctionum, & canonum, & qui latrocinanter mandram ovium transcenderat, pelle denudastis, & ipsummet demonstrastis, ac procul a mandra expulistis: sic & nunc iterum vigilate, & ostendite piissimo Imperatori nostro, quod nullum C lucrum ei erit (ut inquit divinus Gregorius) studio reliquo suo circa ecclesias, si tale malum in destructionem sanæ fidei per ipsorum fiduciam prævalebit; & permittentur adhuc isti ad corruptionem ecclesiæ nidificare in domibus dominorum, & in propriis, & iniqua in ipsis facere. Hæc quidem dumtaxat portamus, licet incredibilia, & a diris doloribus incurvati, spem habentes ad clementissimum Deum, qui in tempore opportuno vestrum adventum nobis ostendit: quod sicut Petrum magnum apostolorum principem his, qui Romæ erant, in depositionem præstigiatum Simonis Goëtici misit: sic & vos misit in depositionem & expulsionem Severi, Petri, & Zoaræ, & eorum qui similia eis sapiunt; & qui omnigenis honoribus circumfoventur ad inhonorationem Dei, D blasphemiasque ac elationes: dabit vobis potestatem, coopitulante vobis piissimo & Deo custodito Imperatore nostro, istos expellere de omni ecclesia tamquam insidiatores & violatores non solum sanctissimarum ecclesiarum, sed & politiæ istius. Nam cum hos ad suam malitiam convenientia organa insidiator boni invenisset, totum orbem terrarum commotum fecit; & sanctorum sanguine terram contaminavit; & civitates jugulationibus & tumultibus conturbavit. Expellite igitur istos. Scimus bene, si piissimum Imperatorem nostrum, & ipsius Christo amabiles principes informastis, quod communicant anathemati, in medio habentes anathema: sicut ostendit nobis antiqua scriptura in Achar & Jonatham, qui scienter E & ignoranter inciderunt in anathema: & hæc ignorando in periculo fuerunt perire cum eis, quoniam in medio eorum fuit anathema. Et si commemorastis a suo Deo amato atque dilecto imperio, adducere Deo cos qui ab ipsis a recta fide abducti sunt: aut si hoc non valeat facere, insidiatores ecclesiæ repellantur. Non enim latuit tuam beatitudinem, quod quamquam piissimus Imperator noster mandaverit, non reconventiculare, neque rebaptizare; Zoaras tamen tale præceptum despexit, & parabaptizavit in die Paschæ non paucos: inter quos erant pueri eorum, qui permanent in domo herili, sicut deposuit ille, qui ab ipsis gratia Dei potuit evadere & aufugere, & ad Dei

Josue 7. 1. Reg. 14.

ecclesiam refugere; in aliisque locis & domibus in excellentia exsistentium, hæc & similia istis facta fuerunt. Verum semper isti soli Dei ecclesiam perturbaverunt, & contristaverunt: & nos usque ad istos fletum utique continuimus. Sed quoniam & ab his, qui intus eam esse videntur, ac in ordine pontificum exsistere, omnino expugnatur; tempus est dicere de eis illud psalmi: *Si inimicus maledixisset mihi, sustinuissem utique: & si qui me odit, magnificasset, abscondissem me utique ab eo: Tu autem homo æqualiter animate, dux meus & cognitor meus, qui in idipsum dulcorasti mihi escam, in domo Dei ambulavimus cum consensu.* Tales fuerunt nonnulli commorantium in magna & regia urbe prima civitatum; nomen quidem pastorum portantes, totaliter autem sicut lupi rapaces: quorum maxime exsistit Anthimus Trapezuntinus, & alii aliarum civitatum. Iste enim & similes huic ex hæreticis Acephalis exsistentes, ac paululum religionis pietatem simulantes, in ecclesias se intruserunt, tamquam quædam Ægyptiaca flagella, qui nullo modo propriis ecclesiis vacare voluerunt: & hoc solum bene sapientes, ut non devastent sibi adjudicatas; aliud male sapuerunt, degere in tanta multitudine in hac regia urbe, ut multos sibi amplectantur proprio barathro. Instituit enim prædictus Anthimus non evangelicam, sed fictam vitam, ut finis probavit: & relinquens ecclesiam Trapezundarum sibi creditam, transcendit in aliam istius civitatis, ante hos proximos annos, ostentando omnibus configuratam continentiam suæ politiæ, & acquisitam ex his faciens pietatem. Cum ergo per hanc subripuerit, potuit & imperialia ibidem induere, ut augere videretur subdolosam opinionem vitæ suæ; conversatusque est multo tempore cum hæreticis ibidem nidificantibus, placita illis faciendo & dicendo, videlicet hæreticam furiam similem eis committendo. Cum autem vidit sanctæ memoriæ Epiphanium in extremis jacentem, machinatus est quid corruptum, quod contra propositum ipsius excogitaverat. Ut enim conaretur omnibus ibidem præbere dolum suæ longæ præstolationis, illud quod multis incertum est, & solum prudentioribus suspicandum, ad certum & invite afferre conatus est. Ante enim multum tempus præcogitavit adulterium & raptum hujus imperialis ecclesiæ. Hoc ergo potuit, per illorum contubernium & venerabilem sedem hujus civitatis rapere, & in tantam diœcesim adducere: cum propriam neglexerit ecclesiam, & viduam ac sine viro cousque ipsam derelinquendo, ex quo dolum suæ fictæ conversationis perspicuum omnibus ostendit. Etenim cum parvam ecclesiam suscipere superbiverit, statim in tantam & incomparabilem illi ecclesiam seipsum porrexit, tamquam sufficientem exsistentem ipsius curam habere. Quia igitur iste juste a vobis punitus fuit, & de sede hujus regiæ urbis ejectus, & fidelissimus Imperator noster justam vestram super hunc indignationem susceperit, ipso etiam adjuvante divinos canones & catholicam fidem: & non vultis omnimodam hujus perditionem, sed ut convertatur; (imitamini enim Christum Deum nostrum, *qui venit vocare non justos, sed peccatores ad pœnitentiam;*) & omnino paternis visceribus suscipitis, si recognoverit proprium peccatum, & convertatur; adjuramus vestram beatitudinem (licet audax quid faciamus) per sanctam & consubstantialem Trinitatem, ac per principem apostolorum Petrum, & salutem ac victoriam piissimi Imperatoris nostri; non contemnere divinos canones, qui ab isto pessumdantur: neque ecclesiam ei traditam, quæ ab ipso despicitur: sed sequendo in omnibus eos qui ante vestram beatitudinem in sede vestra claruerunt, facere in ipso adhuc & nunc contra auctorita-

Matth. 9.

κλησίαν ἐπιδραμεῖν, καὶ ἐν ἄλλοις δὲ τόποις καὶ οἴκοις τῶν ἐν ὑπεροχῇ ὄντων, τὰ αὐτὰ τούτοις πέπρακται. ἀλλ' εἰ οὗτοι μόνοι τὴν τοῦ Θεοῦ ἐκκλησίαν διετάραττον, καὶ παρελύπουν, ἐνέσχομεν ἂν μέχρι τούτων τὸν ὀδυρμόν. ἀλλ' ἐπειδὴ καὶ ὑπὸ τῶν δοκούντων ἐντὸς ταύτης εἶναι, καὶ εἰς ἀρχιερέων τάξιν τελεῖν, παντελῶς ἐκπορθεῖται, καιρὸς τὸ τοῦ ψαλμοῦ περὶ αὐτῶν εἰπεῖν. εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. τοιοῦτοι πεφήνασιν ἔνιοι τῶν ἐνδιατριβόντων κατὰ τὴν μεγάλην καὶ βασιλίδα καὶ πρώτην τῶν πόλεων· ὄνομα μὲν ποιμένων ἐπιφερόμενοι, τὸ δὲ ὅλον ἅρπαγες· ὧν μάλιστα ὑπάρχει Ἄνθιμος ὁ Τραπεζούντιος, καὶ ἄλλοι ἄλλων πόλεων. οὗτος γὰρ καὶ οἱ ὅμοιοι τούτῳ ἐξ αἱρετικῶν Ἀκεφάλων ὄντες πρὸς μικρὸν ὑποκρινάμενοι τὴν ὀρθοδοξίαν ταῖς ἐκκλησίαις εἰσέφρησαν, ὥσπερ τινὲς Αἰγυπτιακαὶ μάστιγες, οἵ τινες μηδαμῶς ταῖς ἰδίαις ἐκκλησίαις ἐθέλοντες σχολάζειν, τοῦτο μόνον καλῶς φρονοῦντες, ἵνα μὴ τὰς κατακριθείσας αὐτοῖς λυμαίνωνται· τὸ ἕτερον κακῶς ἐφρόνησαν, ἐν πλήθει διάγειν τοσούτῳ ἐν τῇ βασιλευούσῃ, ἵνα πολλοὺς συγκαταποντίσωσι τῷ ἰδίῳ βαράθρῳ. ἐξασκήσας γὰρ ὁ εἰρημένος Ἄνθιμος οὐ τὴν εὐαγγελικὴν, ἀλλὰ τὴν πεπλασμένην ζωὴν, ὡς τὸ τέλος ἔδειξεν, ἀπολιπὼν τὴν ἐμπιστευθεῖσαν ἐκκλησίαν αὐτῷ τῶν Τραπεζουντίων ἐπέβη τῆσδε τῆς πόλεως, πρὸ τούτων φανερῶν ἐνιαυτῶν ἐκπομπεύων τὴν ἐσχηματισμένην τῆς οἰκείας πολιτείας ἐγκράτειαν, καὶ πορισμὸν ἐκ τούτου ποιούμενος τὴν εὐσέβειαν. συναρπάσας οὖν διὰ ταύτης, ἠδυνήθη καὶ τὰς βασιλείους εἰσδύνας ἐκεῖθεν, ὥσπερ ἐπαύξειν προσδοκῶν τὴν ὕπουλον ὑπόληψιν τῆς οἰκείας ζωῆς· καὶ συνδιατριβεὶς ἐπὶ πολλοὺς χρόνους, καὶ τοῖς ἐμφωλεύουσιν ἐνταῦθα αἱρετικοῖς, καὶ τὰ ἐκείνοις κεχαρισμένα πράττων καὶ λέγων, οἷα νοσῶν τὴν ὁμοίαν αὐτοῖς αἱρετικὴν μανίαν. ἐπειδὴ τὸν τῆς ὁσίας μνήμης Ἐπιφάνιον ἐν ἐσχάτοις ἐθεάσατο διακείμενον, μηχανᾶταί τι, ὅπερ ἀσπαίρεις τὸν αὐτοῦ διήλεγξε διεφθαρμένον σκοπόν. ὥσπερ γὰρ ἐπειγόμενος πᾶσι παρασχεῖν τῆς μακρᾶς ἐνταῦθα προσεδρείας αὐτοῦ τὸν δόλον, καὶ τὸ πολλοῖς ἀπορούμενον, καὶ τοῖς συνετωτέροις μόνον ὑποπτευόμενον εἰς φανερὸν καὶ ἄκων ἐνέγκαι ἐβιάσθη. πρὸ πολλοῦ γὰρ προὔτεινε τὴν μοιχικὴν ἁρπαγὴν τῆς βασιλίδος ἐκκλησίας. τότε οὖν ἠδυνήθη διὰ τῆς ἐκείνων συναρπαγῆς καὶ τὸν ἱερὸν θρόνον τῆσδε ἁρπάσαι τῆς πόλεως. καὶ εἰς τοσαύτην διοίκησιν προαχθῆναι, τῆς ἰδίας ἀμελήσας ἐκκλησίας, καὶ χήραν καὶ ἄνανδρον μέχρι τοῦδε ταύτην καταλιπὼν, ἐξ οὗ καὶ τὸν δόλον τῆς πεπλασμένης πολιτείας προφανῆ πᾶσιν ἀπέδειξε. μικρᾶς γὰρ ἀντιποιεῖσθαι ἐκκλησίας ὑπερηφανεύσας, εὐθὺς εἰς τοσαύτην ἀσύγκριτον ἐκκλησίαν ἐκείνης ἑαυτὸν ἐπιδέδωκεν, ὡς ἱκανὸν ὄντα ταύτης ἐπιμελεῖσθαι. ἐπειδὴ οὖν δικαίως οὕτως ἐπιτετίμηται παρ' ὑμῶν, καὶ ἐκβέβληται τοῦ θρόνου τῆς βασιλίδος ταύτης πόλεως, τοῦ πιστοτάτου ἡμῶν βασιλέως τὴν δικαίαν ὑμῶν ἐπὶ τούτων ἀγανάκτησιν προσδεξαμένου, καὶ συνεπαμυνάντος, τοῖς τε θείοις κανόσι καὶ τῇ καθολικῇ πίστει· οὐ βούλεσθε δὲ τὴν παντελῆ τούτου ἀπώλειαν, ὡς τὸ ἐπιστρέψαι αὐτόν. μιμεῖσθε γὰρ Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ἐλθόντα καλέσαι οὐ δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν· καὶ πάντως πατρικοῖς σπλάγχνοις, εἰ ἐπιγνοὺς τὴν οἰκείαν ἁμαρτίαν ἐπιστρέψῃ, προσδέχεσθε. ὁρκίζομεν τὴν ὑμετέραν μακαριότητα, εἰ καὶ τολμηρόν τι ποιοῦμεν, κατὰ τῆς ὁμοουσίου καὶ ἁγίας τριάδος, καὶ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, καὶ τῆς σωτηρίας καὶ νίκης τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, μὴ περιιδεῖν τοὺς θείους κανόνας, ὑπὸ τούτου καταπατουμένους, μηδὲ περιφρονουμένην παρ' αὐτοῦ τὴν παραδοθεῖσαν αὐτῷ ἐκκλησίαν, ἀλλ' ἐξακολουθοῦσαν ἐν ἅπασι τοῖς πρὸ αὐτῆς διαλάμψασιν ἐν τῷ ἀποστολικῷ ὑμῶν θρόνῳ, πρᾶξαι ἐπ' αὐτῷ, ἔτι καὶ νῦν κατὰ τῆς τῶν κανόνων

αὐθεντίας καταλιπόμενον καὶ προτιμήσαντα τὴν μετὰ τῶν εἰρημένων αἱρετικῶν συνδιαγωγὴν τῆς ἰδίας ἐκκλησίας, ὅπερ ὁ ἐν ἁγίοις Κελεστῖνος ἐπὶ Νεστορίῳ τῷ δυσσεβεῖ φαίνεται διαπραξάμενος· προθεσμίαν αὐτῷ παρέχοντες, ὥσπερ οὖν κἀκεῖνος Νεστορίῳ, ἧς ἐντὸς ἐὰν μὴ ἀπαντήσας τὸν εἰρημένον λίβελλον τῇ ἀποστολικῇ ὑμῶν καθέδρᾳ ἐπιδῷ, τῇ τε ὑμετέρᾳ μακαριότητι, καὶ τῷ ἁγιωτάτῳ τῆς βασιλίδος ἀρχιεπισκόπῳ, καὶ τῆς αἱρετικῆς νόσου ἑαυτὸν ἀπαλλάξῃ, καὶ ἐπὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ Τραπεζουντίων ἐκκλησίαν ἐξορμήσῃ, ὁρίσατε, ἁγιώτατοι, ἀλλότριον μὲν αὐτὸν εἶναι, καὶ γυμνὸν πάσης ἀρχιερατικῆς ἀξίας τε καὶ ἐνεργείας, τῷ κρίματι ὑποβαλόντα ἑαυτὸν τῶν εἰρημένων αἱρετικῶν, καὶ τὴν μερίδα τούτων ἀσπασάμενον· ἕτερον δὲ ἀντὶ τούτου τῇ ἐκκλησίᾳ Τραπεζουντίων προχειρισθῆναι. ἐπειδὴ δὲ οὐ μόνος οὗτος, ἀλλὰ καὶ ἕτεροι ἐπίσκοποί τε καὶ κληρικοὶ καὶ ἀρχιμανδρῖται διαριθμητοι, ἐπιβουλαῖς χρώμενοι, κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας, καὶ διὰ τοῦτο καὶ μόνον τῇδε τῇ πόλει ἐνδιατρίβοντες ταραχὰς παρέχειν καὶ ταύτῃ, καὶ τῇ ἁπανταχοῦ ἐκκλησίᾳ, κατ' οὐδένα τρόπον παραιτοῦνται· δεόμεθα καὶ τοὺς τοιούτους ἅπαντας, πρὸς ὑμᾶς ἀχθῆναι, καὶ εὐθύνας ὑποσχεῖν ταῖς τοῖς κανόσιν πρεπούσαις· δῆλον ὅτι καὶ ἐπὶ τοῦ προειρημένου Ἀνθίμου, καὶ τούτων δὲ πάντων, χηγορούσης τῆς δικαιοκρισίας τῶν παρ' ὑμῶν καλῶς φυλαττομένων κανόνων· ἵνα μικρὸν ἀναψύξῃ ἡ τοῦ θεοῦ ἐκκλησία τούτων ἐλευθερουμένη· καὶ μάθωσιν οἱ τῇ ποιμαντικῇ καὶ τῷ κλήρῳ προσελθεῖν τούτῳ τῷ τρόπῳ βουλόμενοι, ὡς οὐκ εἰς τέλος παρασιωπήσεται κύριος· ἀλλ' ἀπαγρυπνήσει ἐπὶ τοὺς τοιούτους ποιμένας, ἐφ' οὓς κατὰ τὸν προφήτην καὶ παρωξύνθη ὁ θυμὸς αὐτοῦ. οὗτοι γὰρ οὗτοι, ποιμαίνοντες οὐ τὰ πρόβατα, ἀλλ' ἑαυτούς· καὶ βδελυσσόμενοι κρίμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες παρ' οὐδὲν ἔθεντο τὴν κατὰ τῆς ἐκκλησίας ἐπιβουλὴν, καὶ τὴν τῶν ἁγίων πατέρων βλασφημίαν. ἣν ἐκδικοῦντες μακαριώτατοι, προσδέξασθε τὴν ἡμετέραν ἱκεσίαν· καὶ τῇ παρὰ τοῦ θεοῦ δοθείσῃ ὑμῖν ἐξουσίᾳ, ἐπ' αὐτοὺς κινήσαντες, καθαρίσατε τὴν τοῦ θεοῦ ἐκκλησίαν τῶν λύκων· ἐπαφέντες αὐτοῖς οὐ τὴν ποιμαντικὴν, ἀλλὰ τὴν παιδευτικὴν ὑμῶν ῥάβδον. κἂν γὰρ μετανοεῖν ἐπαγγέλλωνται, ἡ προλαβοῦσα αὐτῶν ζωὴ ἄλλο τε ἄλλως τοῖς καιροῖς καὶ οὐ τῇ ἀληθείᾳ συμμεταβαλλομένη, πιστεῦσαι τὰ ποιμενικὰ τούτοις οὐκ ἐπιτρέπει· τοὺς δὲ τὴν τοῦ θεοῦ ἐκκλησίαν ἀρνησαμένους, καὶ ἔξω ταύτης δικαίως καταστάντας αἱρετικοὺς, Σεβῆρον, καὶ Πέτρον, καὶ Ζωορᾶν, καὶ τοὺς τὰ ὅμοια τούτων φρονοῦντας, ἐφ' οἷς τὴν ὑμετέραν κρίσιν ἐξεδέχετο ὁ εὐσεβέστατος βασιλεὺς, ἤδη καταδεκριμένους, ὑπό τε τοῦ ἀποστολικοῦ ὑμῶν θρόνου, καὶ τῶν ἄλλων πατριαρχικῶν θρόνων καὶ πάσης ἀρχιερωσύνης, μὴ ἀνεχομένους κανονικῶς τῇ τοῦ θεοῦ προσελθεῖν ἐκκλησίᾳ, ἐξελάσαι πάσης οἴκου δημοσίου τε καὶ ἰδιωτικοῦ· συμψήφου ὑμῖν γινομένου ὑπὲρ τῆς τῶν ἐκκλησιῶν εἰρήνης καὶ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, ᾧ πᾶσα σπουδὴ καὶ φροντὶς, νύκτωρ τε καὶ μεθ' ἡμέραν περὶ ταύτης πρὸ τῶν ἄλλων γίνεται· παῦσαι πᾶσαν ταραχὴν, γινομένην τῶν ἐκκλησιῶν παρ' αὐτῶν, καὶ πᾶσαν αὐτῶν ἑτεροδιδασκαλίαν· συνιδεῖν τε, μακαριώτατοι, καὶ προτρέψαι τὸν φιλόθεον ἡμῶν δεσπότην, ἐφ' ᾧ νομοθετῆσαι, ὥσπερ τὰ Νεστορίου τοῦ δυσσεβοῦς, οὕτω καὶ τὰ Σεβήρου τοῦ φρενολήπτου ψυχοφθόρα συγγράμματα, βλασφημοῦντα, εἴς τε τὴν ἐν Καλχηδόνι ἁγίαν σύνοδον, καὶ τὸν τόμον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Λέοντος πυρὶ παραδοθῆναι. διὰ γὰρ τούτων, ἀμφίβολον τὴν πίστιν ἐν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ποιεῖν ἐσπούδακε, καὶ μυκτηρίζεσθαι παρὰ τοῖς ἔθνεσι τὸ μέγα καὶ σεπτὸν ὄνομα τοῦ Χριστιανισμοῦ πεποίηκε. καὶ γὰρ τούτου χάριν εἴς τε τὴν Ῥωμαίων πρὸς ὑμᾶς ἐξαπεστείλαμεν, καὶ τὴν ὑμετέραν δὲ εὐκταίαν διαγγελλομένης παρουσίας, ἐξεδεξάμεθα ταύτην· τοιαύτας παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως ὑποσχέσεις δεξάμενοι, ὅτι τὰ παρ' ἡμῶν ἐπ' αὐτοῖς κανονικῶς ψηφιζόμενα σπουδάζει ἡ αὐτοῦ εὐσέβεια παντὶ τρόπῳ πέρατι παραδοῦναι, καὶ τῆς χρονίας τούτων ταραχῆς πάντα τὸν κόσμον λοιπὸν ἐλευθερῶσαι· τὰς δὲ προσηγορίας τῶν εἰρημένων ἐπισκόπων, κληρικῶν, καὶ μοναχῶν, καιροῦ δέοντος ἐξονομάσομεν, παριστῶντες, πῶς οἱ μὲν τὰ Νεστορίου, οἱ δὲ τὰ Εὐτυχοῦς φρονοῦντες, ἐφ' ἑκάτερα διασπᾶν τὴν ἐκκλησίαν ἐπιχειροῦσι.

A tem canonum invalescentem, & qui prætulit vitam degere cum hæreticis, quam cum propria ecclesia, ea quæ sanctum Cælestinum contra Nestorium liquet fecisse: assignando ei terminum, sicut & ille Nestorio: intra quem nisi occurrens prædictum libellum Apostolicæ vestræ sedi porrexerit, ac vestræ beatitudini, & sanctissimo archiepiscopo urbis regiæ, & a morbo hæretico seipsum liberaverit, atque ad ecclesiam Trapezundarum sibi creditam proficiscatur; diffinire, sanctissimi, ipsum alienum esse & nudum ab omni pontificali dignitate atque efficacia, & seipsum submittere condemnationi prædictorum hæreticorum, & partem illorum accepisse, alterum vero pro isto ecclesiæ Trapezuntinæ ordinandum esse. Verum quoniam B non solum iste, sed & ceteri episcopi, clerici & archimandritæ in magno numero, qui insidiis adversus Dei ecclesiam utuntur; & propter hoc solum in hac civitate commorantur ei, & universis ecclesiis perturbationes dare nullo modo recusant: rogamus & universos tales ad vos adduci, & pœnas sustinere canonibus condecentes: quippe & in prædicto Anthimo & istis omnibus vigilante justo judicio canonum a vobis bene custoditorum, ut paululum refrigeretur Dei ecclesia, ab istis liberata: & cognoscant qui ad pastoralem curam & clerum hoc modo venire volunt, quod non in finem tacebit Dominus, sed evigilabit super tales pastores, *super quos* secundum prophetam *exacerbatus est furor ejus*. Isti enim, isti pascunt non oves, sed C seipsos: & judicium abominantes, & omnia recta pervertentes, ad nihilum posuerunt insidias, quæ fiunt contra ecclesiam, & blasphemiam contra sanctos patres. Quam defendentes, beatissimi, suscipite nostram supplicationem, & potestatem vobis a Deo datam in ipsos moventes, purgate Dei ecclesiam, & a lupis liberate; immittentes ipsis non pastoralem, sed disciplinativam virgam vestram. Nam etsi promittunt se pœnitentiam acturos; præterita vita ipsorum, quæ alio & alio tempore & non cum veritate commutatur, non permittit committere pastoralia eis vere, qui ecclesiam Dei negaverunt: & hæreticis, qui extra ipsam juste constituti sunt; Severo videlicet, Petro & Zoaræ, & qui similia his sapiunt: super quos judicium ve- D strum piissimus Imperator suscepit; jamque condemnatos ab Apostolica sede vestra, & ab aliis patriarchalibus sedibus, nec non ab omni pontificio, cum non patiantur canonice venire ad ecclesiam Dei, expelli ab omni publica & privata domo; piissimo Imperatore nostro pro pace ecclesiarum idem vobiscum sententiante, cui omnis cura & studium die noctuque de hac re ultra omnes est: & cessare facere omnem turbationem ab ipsis factam ecclesiis, atque omnem alienam doctrinam: simul videre, beatissimi, & hortari Deo amatum dominum nostrum, ut sanciat, sicut illa impii Nestorii, ita & illa Severi mente capti animæ corruptibilia conscripta in sanctam Chalcedonensem synodum edita, & in tomum sancti patris nostri Leonis archiepiscopi blasphemantia igni tradere. Nam per ista E dubiam fidem in animas simpliciorum facere studuit, & subsannari fecit apud gentes magnum & venerabile nomen Christianismi. Etenim hujus gratia & Romam ad vos misimus, & vestrum exoptatum adventum enuntiavimus, & ipsum suscepimus. Tales a piissimo Imperatore nostro promissiones accepimus, quod ea, quæ a nobis canonice sententiata sunt, sua pietas omni modo studet mandare executioni, & totum mundum deinceps liberare a temporali horum turbatione. Appellationes vero prædictorum episcoporum, clericorum & monachorum, tempore opportuno denominabimus; exhibentes quomodo hi quidem ea quæ Nestorii sunt, hi vero quæ Eutychis sentientes, ab utraque parte divellere ecclesiam conantur.

Zach. 11. Ezech. 34.

Anno Christi 536.

A

SUBSCRIPTIONES.

Marianus miſericordia Dei preſbyter & archimandrita, ac primas venerabilium monaſteriorum, rogans ſubſcripſi.

Agapitus preſbyter & prior monaſterii Studii, rogans ſubſcripſi.

Dioſcorus preſbyter & prior monaſterii ſanctæ martyris Euphemiæ, rogans ſubſcripſi.

Agapius preſbyter & prior monaſterii Thalaſſii, rogans ſubſcripſi.

Paulus preſbyter & prior monaſterii Romanorum, rogans ſubſcripſi.

Antonius preſbyter & prior monaſterii ſancti Euſebii, rogans ſubſcripſi.

B

Stephanus preſbyter & prior monaſterii Olympii, rogans ſubſcripſi.

Anaſtaſius preſbyter & prior monaſterii Romanorum, rogans ſubſcripſi.

Demetrius preſbyter & prior monaſterii Phocæ, rogans ſubſcripſi.

Dominicus preſbyter & prior monaſterii Euphemii, rogans ſubſcripſi.

Zoïlus preſbyter & prior monaſterii Theodoti, rogans ſubſcripſi.

Julianus Dei miſeratione preſbyter & prior monaſterii Euphemii, rogans ſubſcripſi.

C

Stephanus preſbyter & prior monaſterii Promoti, rogans ſubſcripſi.

Zenon preſbyter & prior monaſterii ſanctæ Dei Genitricis in fonte, rogans ſubſcripſi.

Alexander preſbyter & prior monaſterii Calami, rogans ſubſcripſi.

Dadas preſbyter & prior de Caïuma, rogans ſubſcripſi.

Rhodon preſbyter & prior monaſterii Theodori, rogans ſubſcripſi.

Gennadius preſbyter & prior monaſterii Cyriaci, rogans ſubſcripſi.

Theodorus preſbyter & archimandrita monaſterii Maronii in Sycis, rogans ſubſcripſi.

D

Silas preſbyter & prior monaſterii Heliæ, rogans ſubſcripſi.

Paulus preſbyter & prior monaſterii Samuëlis, rogans ſubſcripſi.

Joannes preſbyter & prior monaſterii Theodori, rogans ſubſcripſi.

Cyrion preſbyter & prior monaſterii Ægyptiorum de Ciracona, rogans ſubſcripſi.

Baſilius preſbyter & prior monaſterii de Cyracona, rogans ſubſcripſi.

Joannes preſbyter ſancti Thomæ apoſtoli in illis Modeſti, rogans ſubſcripſi.

E

Marcus prior monaſterii Theodori diſceptatoris, rogans ſubſcripſi.

Flavianus preſbyter & ſecundarius Modeſti Deoamantiſſimi preſbyteri, & prioris monaſterii Lycaonum, rogans ſubſcripſi.

Marinus preſbyter & prior monaſterii Paulini, rogans ſubſcripſi.

Theodorus preſbyter & prior monaſterii Tryphonis, rogans ſubſcripſi.

Theoctiſtus preſbyter & prior monaſterii ſanctæ Dei genitricis Mariæ prope ſanctum Job, rogans ſubſcripſi.

Coſmas preſbyter & prior monaſterii Studii; rogans ſubſcripſi.

ΥΠΟΓΡΑΦΑΙ.

Μαριανὸς, ἐλέῳ Θεοῦ πρεσβύτερος, καὶ ἀρχιμανδρίτης καὶ ἔξαρχος τῶν θείων μοναστηρίων, ἀξιώσας ὑπέγραψα.

Ἀγαπητὸς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Στουδίου, ἀξιώσας ὑπέγραψα.

Διόσκορος πρεσβύτερος, καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος Εὐφημίας, ἀξιώσας ὑπέγραψα.

Ἀγάπιος πρεσβύτερος, καὶ ἡγούμενος μονῆς Θαλασσίου, ἀξιώσας ὑπέγραψα.

Παῦλος πρεσβύτερος, καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων, ἀξιώσας ὑπέγραψα.

Ἀντωνῖνος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Εὐσεβίου, ἀξιώσας ὑπέγραψα.

Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ὀλυμπίου, ἀξιώσας ὑπέγραψα.

Ἀναστάσιος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ῥωμαίων, ἀξιώσας ὑπέγραψα.

Δημήτριος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Φωκᾶ, ἀξιώσας ὑπέγραψα.

Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐφημίου, ἀξιώσας ὑπέγραψα.

Ζώϊλος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Θεοδότου, ἀξιώσας ὑπέγραψα.

Ἰουλιανὸς ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐφημίου, ἀξιώσας ὑπέγραψα.

Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Προμώτου, ἀξιώσας ὑπέγραψα.

Ζήνων πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας Θεοτόκου τῆς ἐν τῇ πηγῇ, ἀξιώσας ὑπέγραψα.

Ἀλέξανδρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Καλάμου, ἀξιώσας ὑπέγραψα.

Δάδας πρεσβύτερος καὶ ἡγούμενος τῶν Καϊουμᾶ, ἀξιώσας ὑπέγραψα.

Ῥόδων πρεσβύτερος καὶ ἡγούμενος μονῆς Θεοδώρου, ἀξιώσας ὑπέγραψα.

Γεννάδιος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Κυριακοῦ, ἀξιώσας ὑπέγραψα.

Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Μαρωνίου ἐν Συκαῖς, ἀξιώσας ὑπέγραψα.

Σίλας πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἡλία, ἀξιώσας ὑπέγραψα.

Παῦλος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Σαμουηλίου, ἀξιώσας ὑπέγραψα.

Ἰωάννης πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀβραμίου, ἀξιώσας ὑπέγραψα.

Κυρίων πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Αἰγυπτίων, ἀξιώσας ὑπέγραψα.

Βασίλειος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κυρακωνᾶ, ἀξιώσας ὑπέγραψα.

Ἰωάννης πρεσβύτερος τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου, ἀξιώσας ὑπέγραψα.

Μάρκος ἡγούμενος μονῆς Θεοδώρου ἀπὸ ἐκσκεπτόρων, ἀξιώσας ὑπέγραψα.

Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος Μοδέστου θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου τῆς μονῆς ἐπίκλην τῶν Λυκαόνων, ἀξιώσας ὑπέγραψα.

Μαρῖνος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Παυλίνου, ἀξιώσας ὑπέγραψα.

Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Τρύφωνος, ἀξιώσας ὑπέγραψα.

Θεόκτιστος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας Θεοτόκου πλησίον τῶν Ἰώβ, ἀξιώσας ὑπέγραψα.

Κοσμᾶς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Στουδίου, ἀξιώσας ὑπέγραψα.

Anno Christi 536.

Πέτρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἐπίκλην Ἱερουσαλὴμ, ἀξιώσας ὑπέγραψα. A

Petrus presbyter & prior monasterii nominati Hierusalem, rogans subscripsi.

Ἐλευθέριος πρεσβύτερος καὶ ἡγούμενος μονῆς ἁγίου Κυριακοῦ, ἀξιώσας ὑπέγραψα.

Eleutherius presbyter & prior monasterii sancti Dominici martyris, rogans subscripsi.

Ἀλέξανδρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀβραμίου, ἀξιώσας ὑπέγραψα.

Alexander presbyter & prior monasterii Abraami, rogans subscripsi.

Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἰὼβ, ἀξιώσας ὑπέγραψα.

Theodorus presbyter & prior monasterii Job, rogans subscripsi.

Τρύφων πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἐλπιδίου, ἀξιώσας ὑπέγραψα.

Tryphon presbyter & prior monasterii Elpidii, rogans subscripsi.

Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Κώνστα, ἀξιώσας ὑπέγραψα χειρὶ διακόνου Ἰακώβου, κατ' ἐπιτροπὴν ἐμὴν γράψαντος, προτείξας τῇ ἰδίᾳ μου χειρὶ τὸν τίμιον σταυρόν. B

Stephanus presbyter & prior monasterii de Consta, rogans subscripsi manu Jacobi diaconi, qui scripsit secundum commissionem meam, & ego protendi propria manu mea honorabilem crucem.

Βαβύλας πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Δανιὴλ τοῦ ἐν τῷ στύλῳ, καὶ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ μικρῷ βάθει, καὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου πλησίον τοῦ στύλου, ἀξιώσας ὑπέγραψα.

Babylas presbyter & prior monasterii sancti Danielis exsistentis in Stylo, & sancti Joannis in parvo profundo, & sancti Andreæ apostoli prope Stylum, rogans subscripsi.

Ἰωάννης πρεσβύτερος καὶ ἡγούμενος μονῆς Ἀναστασίου, ἀξιώσας ὑπέγραψα.

Joannes presbyter & prior monasterii Anastasii prope Agogum, rogans subscripsi.

Ἀνθίμιος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Νέωνος, ἀξιώσας ὑπέγραψα.

[a] Anthemius presbyter & prior monasterii Neonis, rogans subscripsi.

Ἰωάννης πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην τῶν Χαρισίου, ἀξιώσας ὑπέγραψα.

[b] Joannes presbyter & prior monasterii quod appellatur Charisii, rogans subscripsi.

Ἰωάννης πρεσβύτερος καὶ ἡγούμενος μονῆς Μαρᾶ πλησίον τῆς Ἀετίου κιστέρνης, ὑπέγραψα.

Joannes presbyter & prior monasterii [c] Mara prope Aëtii cisternam, rogans subscripsi.

Φωκᾶς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἐπίκλην τῶν Ἰωνᾶ πλησίον τοῦ δευτέρου, ὑπέγραψα. C

Phocas presbyter & prior monasterii quod dicitur Jonæ juxta Secundum, rogans subscripsi.

Ζώσιμος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐτυχίου τοῦ Λυκαόνων πλησίον τῶν Ματρώνης, ὑπέγραψα.

[d] Zozimus presbyter & prior monasterii Eutychii Lycaonum, prope villam Matronæ, subscripsi.

Τιμόθεος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ἀστερίου, ἀξιώσας ὑπέγραψα.

Timotheus presbyter & prior monasterii Asterii, rogans subscripsi.

Πολυχρόνιος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ Αἰθρίου, ἀξιώσας ὑπέγραψα.

Polychronius presbyter & prior monasterii Æthrii, rogans subscripsi.

Σευηριανὸς πρεσβύτερος ὑπέγραψα ὑπὲρ αὐτοῦ, ἐπιτραπεὶς παρ' αὐτοῦ.

Severianus presbyter & prior subscripsi pro ipso, cum commissum sit mihi ab ipso.

Στρατόνικος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Δομετίου, ἀξιώσας ὑπέγραψα.

Stratonicus presbyter & prior monasterii sancti Dometii, rogans subscripsi.

Ἀνδρέας ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Ῥωμαίων, ἀξιώσας ὑπέγραψα. D

Andreas Dei miseratione presbyter & archimandrita monasterii Romanorum, rogans subscripsi.

Μαρτύριος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Πέτρου, ἤτοι Οὐάλεντος καὶ Δαυδάτου, πλησίον τῶν ἁγίων ἀποστόλων, ἀξιώσας ὑπέγραψα.

Martyrius presbyter & prior monasterii Petri, sive Valentini & Daudati, prope sanctos apostolos, rogans subscripsi.

Ἀνδρέας πρεσβύτερος καὶ ἡγούμενος μονῆς διακειμένης ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς ἁγίας Θεοτόκου, πλησίον τοῦ ἁγίου Λουκᾶ, ἀξιώσας ὑπέγραψα.

Andreas presbyter & prior monasterii jacentis in venerabili domo sanctæ Dei Genitricis prope sanctum Lucam, rogans subscripsi.

Μάρκος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Κυρίκου, ἀξιώσας ὑπέγραψα.

Marcus presbyter & prior monasterii sancti Cyrici, rogans subscripsi.

Ἰάκωβος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀβίβου Σύρος, Συριστὶ ὑπέγραψα.

Jacobus presbyter & archimandrita monasterii Abibi Syrus, Syriace subscripsi.

Ἀττικὸς πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Εὐκρατάδων, ἀξιώσας ὑπέγραψα.

Atticus presbyter & prior monasterii Eucratadarum, rogans subscripsi.

Ἰωσὴφ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας Θεοτόκου ἐν τῷ λιθοστρώτῳ, ὑπέγραψα. E

Josephus presbyter & prior monasterii sanctæ Dei Genitricis in Lithostroto, subscripsi.

Παῦλος πρεσβύτερος καὶ ἡγούμενος, ἀξιώσας ὑπέγραψα.

Paulus presbyter & prior, rogans subscripsi.

Ἀναστάσιος πρεσβύτερος καὶ δευτερεύων μονῆς τοῦ ἁγίου Φιλίππου τοῦ ἐν τῷ βρεφοτροφείῳ, ὑπέγραψα διὰ τὸ μὴ παρεῖναι τὸν ἡγούμενον.

Anastasius presbyter & secundarius monasterii sancti Philippi in brephotrophio, subscripsi eo quod non adesset prior.

Γεώργιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Κύρου, ἀξιώσας ὑπέγραψα.

Gregorius presbyter & archimandrita monasterii Cyri, rogans subscripsi.

Κυριακὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Σύρων, ἀξιώσας ὑπέγραψα.

Dominicus presbyter & archimandrita monasterii Syriorum, rogans subscripsi.

Ζώσιμος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῶν Μαξιμίνου, ἀξιώσας ὑπέγραψα.

[e] Zozimus presbyter & archimandrita monasterii Maximini, rogans subscripsi.

[a] al. Eleutherius.
[b] al. Ipatius, pro Hypatius.
[c] al. Mariæ prope Aëtiam cisternam. al. aream cist.
[d] al. Cosmus
[e] al. Cosmas

Anno Christi 536.

Elpidius presbyter & archimandrita monasterii Basiani, rogans subscripsi.

Polychronius presbyter & archimandrita monasterii Cretensium, rogans subscripsi.

Paulus presbyter & prior monasterii sanctæ Ermioniæ, rogans subscripsi.

Eusebius presbyter & prior monasterii quod vocatur Symeon, rogans subscripsi.

His proximis diebus, præcedente pio jussu Christo amantissimi ac Deo custoditi Imperatoris nostri, convenit præsens nunc sancta synodus. Et cum tunc intrassent ad vos venerabiles monachi hujus regiæ civitatis, & qui de Theopolitana civitate profecti erant, ac etiam alii venerabiles viri de Hierosolymis, facta fuerunt a vobis, quædam super venerabili Anthimo, quæ in actis tunc formatis continentur: in quibus dedistis certum terminum super requisitione ipsius venerabilis viri, qui jam decursus est. Cumque & nunc vestra convenerit sanctitas pro eadem materia, observentque & vestram audientiam memorati venerabiles monachi, introitum apud vos habere rogantes & supplicantes; subjicimus ergo & exhibemus ad præsentiam.

Sanctissimus archiepiscopus & sancta synodus dixit: Intrent. Et cum intrassent, Marianus Deoamantissimus presbyter & prior monasterii sanctæ memoriæ Dalmatii, & primas, simul cum ceteris Deoamantissimis archimandritis & monachis regiæ civitatis, Theopolitanæ, & Hierosolymitanæ venerabilium monasteriorum, Agapito Dii, Dioscoro sanctæ Euphemiæ, Agapio Thalassii, Paulo Romanorum, Antonio Eusebii, Stephano Olympii, Anastasio Romanorum, Demetrio Phocæ, Dominico Euphemii, Stephano Promoti, Zenone sanctæ Dei genitricis in fonte, Alexandro Calamii, Dada Caiumæ, Rhodone Theodori, Gennadio Dominici, Theodoro Maronii, Sila Heliæ, Paulo Samuelis, Joanne Theodori,

Cyrione Ægyptiorum, Basilio Cyraconæ, Joanne A sancti Thomæ apostoli inter illa Modesti, Marco Theodori, Flaviano presbytero & secundario Modesti Lycaonum, Marino Pauli, Theoctisto sanctæ Dei genitricis prope illa Job, Theodoro Tryphonis, Cosma sancti Joannis inter illa Studii, Petro sanctæ Dei genitricis & sancti Diomedis in Hierusalem, Eleutherio sancti Dominici, Alexandro Abraamii, Theodoro Job, Tryphone Elpidii, Stephano illorum de Consta, Babyla Danielis in Stylo, Joanne Anastasii, Anthemio Neonis, Joanne sancti Michaëlis illorum Charisii, Joanne Matæ prope Aëtiam cisternam, Phoca Jonæ prope Secundum, Zosimo Eutychii Lycaonum, Timotheo Asterii prope Aëtiam cisternam, B Martyrio Petri prope apostolos, Andrea sanctæ Dei genitricis prope sanctum Lucam, Marco sancti Dominici, Jacobo Abibi Syro, Attico Eucratadarum, Joseph sanctæ Dei genitricis in Lithostroto, Paulo sancti apostoli Petri prope palatium, Anastasio presbytero & secundario sancti Philippi in Brephotrophio, Georgio Cyri, Eusebio Symeonii, Zotico sancti Andreæ prope [a] Saturninam portam: & de Theopoli, Paulo monacho & ambasiatore monasterii Maronis, Severiano presbytero & archimandrita monasterii Zoaræ [b] Calidorum Syro, Cassisa presbytero & archimandrita monasterii Lucæ Syro, Symeonio diacono & ambasiatore Jacobi, Joanne diacono & ambasiatore Theodori, Stephano presbytero & priore monasterii Euxetii, Joanne presbytero & archimandrita monasterii [c] Cyri Thomæ Syro, Theona pre- C sbytero & archimandrita monasterii Aaron Syro, Photino monacho & ambasiatore sancti Stephani, Theodoro diacono & ambasiatore ecclesiæ Erendelenorum, Sergio presbytero & lustratore: qui omnes pro seipsis & pro reliquis, atque etiam pro his qui sub sanctis Christi veri Dei nostri locis agunt; Domnino presbytero & archimandrita monasterii beati Martyrii, Hesychio presbytero & ambasiatore monasterii beati Theodosii, Cassiano presbytero lauræ beati Sabbæ, Dominico presbytero & priore Turrium Jordanis, Nestabo presbytero lauræ beati Firmini, Terentio presbytero novæ lauræ, Leontio monacho & priore & vicario totius eremi, Traiano presbytero Turrium Jordanis, Polyeucto diacono monasterii abba- D tis Theodosii, Theodoro diacono & monacho novæ lauræ, Cyrico diacono & monacho ipsius novæ lauræ, Anastasio diacono monasterii beati Martyrii, Mama monacho ejusdem monasterii, Juliano monacho monasterii abbatis Theodosii: qui omnes agunt pro propriis monasteriis, & pro omnibus monachis eremi sanctæ civitatis: Joanne presbytero Campestris, & pro omnibus, qui ibidem sunt monachis: Theona presbytero montis Sinaï, & legato ipsius montis, & ecclesiæ Pharan, & lauræ Raithu, & pro omnibus ibidem monachis: Strategio diacono & monacho monasterii beati Joannis, & pro omnibus monachis sub Scythopoli.

[a] al. Saturnini
[b] Forte, Thermarum.
[c] Forte, Domni.

ρου, Κυρίωνος τῶν Αἰγυπτίων, Βασιλείου τῆς Κυρακωνᾶ, Ἰωάννου τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ἐν τοῖς Μοδέστου, Μάρκου τῆς Θεοδώρου, Φλαβιανοῦ πρεσβυτέρου καὶ δευτεραρίου τῆς Μοδέστου τῶν Λυκαόνων, Μαρίνου τῆς Παύλου. Θεοκτίστου τῆς ἁγίας θεοτόκου πλησίον τῶν Ἰώβ, Θεοδώρου τῆς Τρύφωνος, Κοσμᾶ τῶν Στουδίου, Πέτρου τῆς ἁγίας θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν τῇ Ἱερουσαλήμ, Ἐλευθερίου τοῦ ἁγίου Κυριακοῦ, Ἀλεξάνδρου τῆς Ἀβραμίου, Θεοδώρου τῆς Ἰώβ, Τρύφωνος τῆς Ἐλπιδίου, Στεφάνου τῶν Κώνστα, Βαβύλα τῆς Δανιὴλ ἐν τῷ στύλῳ, Ἰωάννου τῆς Ἀναστασίου, Ἀνθιμίου τῆς Νέωνος, Ἰωάννου τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου, Ἰωάννου τῆς Μάτα πλησίον τῆς Ἀετίου κινστέρνης, Φωκᾶ τῆς Ἰωνᾶ πλησίον τοῦ δευτέρου, Ζωσίμου τῆς Εὐτυχίου τῶν Λυκαόνων, Τιμοθέου τῆς Ἀστερίου, Στρατονίκου τῆς Δομετίου, Πολυχρονίου τοῦ Αἰθρίου, Ἀνδρέου τῶν Ῥωμαίων πλησίον τῆς Ἀετίου κινστέρνης, Μαρτυρίου τῆς Πέτρου πλησίον τῶν ἀποστόλων, Ἀνδρέου τῆς ἁγίας θεοτόκου, πλησίον τοῦ ἁγίου Λουκᾶ, Μάρκου τοῦ ἁγίου Κυρίνου, Ἰακώβου τῆς Ἀβίβου Σύρου, Ἀττικοῦ τῶν Εὐκρατιδῶν, Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῷ Λιθοστρώτῳ, Παύλου τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου, Ἀναστασίου πρεσβυτέρου καὶ δευτεραρίου τοῦ ἁγίου Φιλίππου ἐν τῷ Βρεφοτροφείῳ, Γεωργίου τῆς Κύρου, Εὐσεβίου τῆς Συμεωνίου, Ζωτικοῦ τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατουρνίνου πόρτης· [a] καὶ τῶν ὑπὸ Θεούπολιν, Παύλου μοναχοῦ καὶ ἀποκρισιαρίου μονῆς τῆς Μάρωνος, Σευηριανοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Ζωορᾶ τῶν θερμῶν Σύρου, Κασίσα πρεσβυτέρου καὶ ἀρχιμανδρίτου τῆς Λουκᾶ Σύρου, Συμεωνίου διακόνου καὶ ἀποκρισιαρίου τῆς Θεοδώρου, Στεφάνου πρεσβυτέρου καὶ ἡγουμένου μονῆς Εὐξιτείου, Ἰωάννου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς τοῦ Κυροῦ Θωμᾶ Σύρου, Θωμᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Ἀαρὼν Σύρου, Φωτεινοῦ μοναχοῦ καὶ ἀποκρισιαρίου τοῦ ἁγίου Στεφάνου, Θεοδώρου διακόνου καὶ ἀποκρισιαρίου τῆς ἐκκλησίας Ἐρενδηλέωνῶν, Σεργίου πρεσβυτέρου καὶ περιοδευτοῦ, οἱ πάντες πράττοντες ὑπέρ τε αὐτῶν καὶ τῶν λοιπῶν, ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν τόπους, Δομνίνου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς τοῦ μακαρίου Μαρτυρίου, Ἡσυχίου πρεσβυτέρου καὶ ἀποκρισιαρίου μονῆς τοῦ μακαρίου Θεοδοσίου, Κασσιανοῦ πρεσβυτέρου τῆς λαύρας τοῦ μακαρίου Σάββα, Κυριακοῦ πρεσβυτέρου καὶ ἡγουμένου τῶν Πύργων τοῦ Ἰορδάνου, Νεστάβου πρεσβυτέρου λαύρας τοῦ μακαρίου Φιρμίνου, Τερεντίου πρεσβυτέρου τῆς νέας λαύρας, Λεοντίου μοναχοῦ ἡγουμένου καὶ τοποτηρητοῦ τῆς ἐρήμου πάσης, Τραϊανοῦ πρεσβυτέρου τῶν πύργων τοῦ Ἰορδάνου, Πολυεύκτου διακόνου μονῆς τοῦ Ἀββᾶ Θεοδοσίου, Θεοδώρου διακόνου καὶ μοναχοῦ τῆς νέας λαύρας, Κυριάκου διακόνου καὶ μοναχοῦ τῆς αὐτῆς νέας λαύρας, Ἀναστασίου μονῆς τοῦ μακαρίου Μαρτυρίου, Μάμα μοναχοῦ τῆς αὐτῆς μονῆς, Ἰωάννου μοναχοῦ τῆς αὐτῆς μονῆς, Ἰουλιανοῦ μοναχοῦ μονῆς τοῦ Ἀββᾶ Θεοδοσίου, οἱ πάντες πράττοντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων, καὶ πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως μοναχῶν, Ἰωάννου πρεσβυτέρου τῆς πεδιάδος καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν. Θεωνᾶ πρεσβυτέρου τοῦ Σινᾶ ὄρους καὶ ἀποκρισιαρίου τοῦ τε ὄρους, καὶ τῆς ἐκκλησίας Φαρὰν καὶ λαύρας Ῥαϊθοῦ, καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν, Στρατηγίου διακόνου καὶ μοναχοῦ μονῆς τοῦ μακαρίου Ἰωάννου, καὶ ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν.

[a] Omissus Polychronius Cretensium, qui in Latina versione etiam hoc loco adjicitur.

Sanctissimus archiepiscopus, & tota synodus dixit: Legantur, quæ pridie gesta fuerunt. Et accipiens Macarius venerabilis diaconus, noatarius & ambasiator legit:

Post consulatum Flavii Belissaiii viri clarissimi, sexto Nonas Maii, indictione decimaquarta, in Christoamantissima & imperiali Constantinopoli, & reliqua primæ actionis.

Sanctissimus archiepiscopus & sancta synodus dixit: Qui a nobis deputati fuerunt ad requirendum

E Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ σύνοδος εἶπεν· ἀναγινωσκέσθω τὰ τῇ προτεραίᾳ πεπραγμένα. καὶ λαβὼν Μακάριος ὁ θεοσεβέστατος διάκονος νοτάριος καὶ ἀποκρισιάριος ἀνέγνω.

Μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου τῇ πρὸ ἓξ νωνῶν Μαΐων, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Κωνσταντινουπόλει Ῥώμῃ, καὶ τὰ λοιπὰ τῆς πρώτης πράξεως.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν. οἱ παρ' ἡμῶν ἀποσταλέντες πρὸς ἀναζήτησιν Ἀνθί-

μου τοῦ

μεν τοῦ εὐλαβεστάτου, εἰ τὰ ἐγχειρισθέντα πρὸς ἔργον ἤγαγον, διδαξάτωσαν.

Βοσπόριος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Νεοκαισαρέων μητροπόλεως ἐπαρχίας Πόντου Πολεμωνιακοῦ, εἶπε·

Τοῖς ὑπὸ τῆς μακαριότητος ὑμῶν καὶ τῆς ἁγίας ταύτης συνόδου ψηφισθεῖσι πειθαρχοῦντες εἰκότως, ἐληλύθαμεν ἐν πᾶσι τοῖς νομιζομένοις ἡμῖν τόποις εἶναι Ἄνθιμον τὸν εὐλαβέστατον· φαμὲν δὴ, ἔν τε τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἐνδόξου ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν τῷ παλατίῳ, καὶ τοῖς Ορμίσδου ἐν τῷ ἁγίῳ ἀποστολείῳ, ἐν οἷς συγκαλέσαντες τούς τε εὐλαβεστάτους πρεσβυτέρους καὶ διακόνους, καὶ ἐγγὺς εἰπεῖν ἅπαντα τὸν κλῆρον τῶν εἰρημένων ἁγιωτάτων οἴκων, ἐπεζητήσαμεν αὐτοῖς εἰπεῖν ἡμῖν καὶ ὑποδεῖξαι, εἰ ἴσασι τὸν εἰρημένον Ἄνθιμον, ἤτοι τὸν οἶκον ἐν ᾧ ἔστιν αὐτὸν εὑρεῖν. οἱ δὲ πρότερον μὲν εἶπον συμφώνως μηδὲ ἑωρακέναι αὐτὸν ἐκεῖσε, μηδὲ εἰδέναι οἶκον, ἐν ᾧ τυγχάνει αὐτός· εἶτα εἰς πληροφορίαν ἡμῶν δεδωκότες τινὰς ἐξ αὐτῶν ἅμα Ἀκακίῳ καὶ Χριστοδώρῳ τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις τῆς ὑμετέρας ἁγιωσύνης, τὴν τοῦ εἰρημένου εὐλαβεστάτου Ἀνθίμου ἀναζήτησιν ἐποιήσαντο. νομίζοντες δὲ καὶ ἐν τῷ μητάτῳ αὐτοῦ, ἐν ᾧ πάλαι κατῴκει, εὑρίσκεσθαι αὐτὸν, ἐζητήσαμεν, καὶ οὐδὲ ἐκεῖσε εὑρεῖν αὐτὸν ἰσχύσαμεν. ἀλλὰ καὶ ἐν τῷ προαστείῳ αὐτοῦ τῷ περὶ τὸν ἅγιον Λαυρέντιον γενόμενοι, οὐδὲ ἐκεῖ αὐτὸν εὑρεῖν δεδυνήμεθα, τοῦ ἐκεῖσε εὑρεθέντος ἀνθρώπου αὐτοῦ εἰρηκότος, ἀφ' οὗπερ ἀπέστη τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, μηδὲ ἑωρακέναι αὐτὸν, μηδὲ εἰδέναι, ὅπου διάγει.

Ἀκάκιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Πισινουντίων μητροπόλεως, τῆς δευτέρας Γαλατῶν ἐπαρχίας, εἶπε· Κἀγὼ διδάσκω τὴν ὑμετέραν μακαριότητα, ὡς παραγενόμενος ἅμα Βοσπορίῳ καὶ Ζαχαρίᾳ τοῖς ὁσιωτάτοις συλλειτουργοῖς, καὶ Ἰωάννῃ καὶ Θεοκτίστῳ τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις, Ἀκακίῳ τε καὶ Χριστοδώρῳ τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις, ἐν τοῖς εἰρημένοις τόποις τὴν ἀναζήτησιν ποιήσασθαι τοῦ εἰρημένου εὐλαβεστάτου Ἀνθίμου, τοῦτον εὑρεῖν οὐ δεδύνημαι.

Ζαχαρίας ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Μιτυληναίων μητροπόλεως εἶπε· Καθὼς ἐδίδαξε πρὸ ἐμοῦ Βοσπόριος καὶ Ἀκάκιος, οἱ θεοφιλέστατοι ἐπίσκοποι, τὸ ἱκανὸν ποιοῦντες τοῖς προσταχθεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, ἐληλύθαμεν καὶ ἐν τῷ σεπτῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ, τῷ προσκειμένῳ τῷ εὐσεβεῖ παλατίῳ, καὶ ἐν τῷ ἁγίῳ ἀποστολείῳ τῷ ὄντι ἐν τοῖς Ορμίσδου, καὶ ἐν τῷ προαστείῳ αὐτοῦ τῷ προσπαρακειμένῳ τῷ σεπτῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου Λαυρεντίου, καὶ τὴν ἐνδεχομένην ἔρευναν ἅμα Ἰωάννῃ καὶ Θεοκτίστῳ ποιησάμενοι, τοῖς θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκκλησιεκδίκοις, καὶ Ἀκακίῳ καὶ Χριστοδώρῳ τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις, οὐδαμῶς τοῦτον εὑρεῖν δεδυνήμεθα.

Ἰωάννης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, εἶπε· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης, ἅμα τοῖς εἰρημένοις ὁσιωτάτοις ἐπισκόποις καὶ θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις, γενόμενοι ἐγώ τε καὶ Θεόκτιστος ὁ θεοφιλέστατος, κατὰ τοὺς προλεχθέντας ὑπ' αὐτῶν τόπους, τοὺς καὶ νομιζομένους ἡμῖν κατάδηλον ποιεῖν τὸν Ἄνθιμον τὸν εὐλαβέστατον τοῦτον, ὃν εὑρεῖν οὐκ ἠδυνήθημεν.

Θεόκτιστος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κἀγὼ τὰ αὐτὰ κατατίθεμαι.

Ἀκάκιος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος, καὶ Χριστόδωρος ὁ θεοσεβέστατος διάκονος νοτάριος καὶ σηκρετάριος, δι' αὐτοῦ ἑνὸς αὐτῶν Χριστοδώρου εἶπον. Ἅπερ οἱ ἅμα ἡμῖν ἀποσταλέντες ὁσιώτατοι ἐπίσκοποι καὶ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἐκκλησιέκδικοι ἐπὶ τὴν ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου εἰρήκασι, τὰ αὐτὰ καὶ ἡμεῖς καταπιθέμεθα. ἐπιφερόμεθα δὲ καὶ τὰ τῇ προτεραίᾳ πεπραγμένα, ἐφ' ᾧ ταῦτα δῆλα αὐτῷ καταστῆσαι, καὶ οὐδαμῶς αὐτὸν εὑρεῖν δεδυνήμεθα.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, καὶ πᾶσα ἡ ἱερὰ καὶ ἁγία σύνοδος εἶπε· Δήλη μὲν ἤδη γέγονεν ἡ Ἀνθίμου τοῦ εὐλαβεστάτου προαί-

Anthimum venerabilem, si injuncta ad opus deduxerunt, ostendant.

Bosphorius sanctissimus episcopus Neocæsareensis metropolis provinciæ Ponti Polemoniaci, dixit:

Decretis a beatitudine vestra, & ab hac sancta synodo, merito obtemperantes, fuimus in omnibus locis, in quibus arbitrabamur esse venerabilem Anthimum, videlicet in oratoria domo gloriosi archangeli Michaëlis, quæ est in palatio, & in domibus Hormisdæ in sancto apostolio: in quibus convocavimus venerabiles presbyteros & diaconos, & prope modum universum clerum prædictarum sanctissimarum domorum: rogavimusque ipsos dicere nobis & demonstrare, si sciunt prædictum Anthimum, seu domum, in qua est ipsum inveniri. Qui primum quidem concorditer dixerunt, neque vidisse ipsum ibidem, neque scire domum, in qua ipse sit. Postea vero ad satisfactionem nostram dederunt quosdam ex ipsis simul cum Acacio & Christodoro, venerabilibus diaconis, & notariis vestræ sanctitatis, qui prædicti Anthimi inquisitionem fecerunt: existimantes autem invenire ipsum in metato suo, in quo olim permanebat, quæsivimus, & nec ibi invenire potuimus. At in suburbio suo, quod est circa sanctum Laurentium, venientes, nec ibi ipsum invenire valuimus, invento ibidem homine suo, qui dixit, ex quo recessit de sancta magna ecclesia, neque vidisse ipsum, neque scire, ubi degat.

Acacius sanctissimus episcopus Pessinuntiorum metropolis secundæ provinciæ Galatiæ dixit: Et ego significo vestræ beatitudini, quod veni cum Bosphorio & Zacharia sanctissimis comministris, ac Joanne & Theoctisto Deoamantissimis presbyteris & procuratoribus ecclesiæ, Acacioque & Christodoro venerabilibus diaconis & notariis, in prædictis locis requirere prædictum venerabilem Anthimum; & ipsum invenire non potui.

Zacharias sanctissimus episcopus Mitylenensis metropolita dixit: Sicut dixerunt ante me Bosphorus & Acacius Deoamantissimi episcopi, satisfacientes mandatis a vestra sanctitate venimus in oratoriam domum sancti Michaëlis archangeli, quæ adjacet palatio & in sancto apostolio, quod est inter illa Hormisdæ; atque etiam in suburbio suo, quod adjacet oratoriæ domui sancti Laurentii: & scrutationem susceptam fecimus, simul cum Joanne & Theoctisto Deoamantissimis presbyteris & procuratoribus, & Acacio & Christodoro venerabilibus diaconis & notariis, & nullibi hunc invenire potuimus.

Joannes venerabilissimus presbyter & defensor sanctissimæ magnæ ecclesiæ, dixit: Juxta jussum vestræ sanctitatis, simul cum prædictis sanctissimis episcopis & venerabilibus diaconis & notariis, venimus ego & Theoctistus ad loca prædicta ab ipsis, ubi putabamus omnino nos manifestum facere posse ipsum venerabilem Anthimum, quem invenire non potuimus.

Theoctistus venerabilis presbyter & defensor ecclesiæ dixit: Ego eadem depono.

Acacius venerabilis diaconus & notarius, & Christodorus diaconus, notarius ac secretarius, per Christodorum unum ipsorum dixerunt: Quæ sanctissimi episcopi, & Deoamantissimi presbyteri & procuratores, qui una nobiscum missi sunt super requisitione venerabilis Anthimi, dixerunt; eadem & nos deponimus. Attulimus autem & ea quæ proxime gesta fuerunt, ut ea ipsi intimaremus; & nullo modo ipsum invenire potuimus.

Sanctissimus archiepiscopus, & tota sacrosancta synodus, dixit: Manifesta jam facta est voluntas venera-

bilis Anthimi, qui se manifestum constituere noluit, A & venire ad nos ad emendationem. Veruntamen nos cum simus homines, quantum est possibile, sequendo bonitatem magni Dei & Salvatoris nostri Jesu Christi, *qui vult omnes salvos fieri & ad cognitionem veritatis venire:* & qui pœnitentiam tanquam salutare quoddam medicamentum his, qui peccant præbet; ut per ipsam, qui a recta via lapsi sunt, rursus ad ipsam revocentur per convenientem longanimitatem: studemusque prædictum venerabilem Anthimum modo possibili salvare: rursus damus ei terminum aliorum trium dierum ad pœnitendum & recognitionem necessariorum, intra quos requirent ipsum Petrus san- B ctissimus episcopus Justinianopolitanus metropolita secundæ provinciæ Cappadociæ, & Thalassius sanctissimus episcopus metropolis Berytiorum, ac Domnus Deoamantissimus episcopus Maximianopolitanus provinciæ secundæ Palæstinorum, Romanusque atque etiam Joannes Deoamantissimi presbyteri & procuratores sanctissimæ magnæ ecclesiæ, insuper etiam & Andreas, & Calonymus venerabiles diaconi & notarii: & si invenient ipsum, nuntiabunt intra dictum terminum venire ad nostram audientiam, exuturus accusationes contra ipsum factas. Subsignavi.

1. Tim. 2.

ρισης, οὐ βουληθέντος ἑαυτὸν καταστῆσαι, παραγγέλλεσθαι τε πρὸς ἡμᾶς εἰς διόρθωσιν· πλὴν ἀλλ' ὡς ἔνεστιν ἀνθρώπους ὄντας ἡμᾶς ἀκολουθεῖν τῇ ἀγαθότητι τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ πάντας σωθῆναι βουλομένου, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ τὴν μετάνοιαν ὥσπερ τι σωτήριον φάρμακον τοῖς ἁμαρτάνουσι παρασχόντος, ὥστε καὶ δι' αὐτῆς καὶ τοὺς ἀπολισθήσαντας τῆς εὐθείας ὁδοῦ, πάλιν ἐπ' αὐτὴν ἀνακαλεῖσθαι διὰ τῆς πρεπούσης μακροθυμίας· καὶ ἡμεῖς σπουδάζοντες τὸν εἰρημένον εὐλαβέστατον Ἄνθιμον κατὰ τὸν δυνατὸν περισώσασθαι τρόπον, καὶ αὖθις ἐνδίδομεν αὐτῷ προθεσμίαν ἑτέρων ἡμερῶν τριῶν, πρὸς μεταμελόν τι, καὶ τὴν τῶν δεόντων ἐπίγνωσιν· ὧν B ἐντὸς, ἀναζητήσουσιν αὐτὸν Πέτρος τε ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἰουστινιανουπολιτῶν μητροπόλεως, τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας, καὶ Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μητροπόλεως Βηρυτίων, καὶ Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστινῶν ἐπαρχίας, καὶ Ῥωμανός γε μὴν, καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ [a] ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ πρός γε, Ἀνδρέας τε καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι· καὶ εἴπερ εὕροιεν αὐτὸν, προτρέψονται τῆς εἰρημένης ἐντὸς προθεσμίας μὴ παραιτήσει τὴν ἡμετέραν ἀκρόασιν, ὀφείλοντα τὰς κατ' αὐτοῦ γινομένας ἀποδύσασθαι μέμψεις. ὑπεσημειωσάμην.

[a] al. ἐκκλησιέκδικοι.

ACTIO TERTIA.

C

ΠΡΑ῀ΞΙΣ ΤΡΙ΄ΤΗ.

POst Consulatum Flavii Belissarii viri clarissimi, pro sexto Idus Maii, indictione quartadecima, in Deoamantissima & regia civitate Roma Constantinopoli, præsidente domino nostro sanctissimo ac beatissimo œcumenico archiepiscopo Mena patriarcha, in [a] Mesaulio dytico venerabilis domus dominæ nostræ sanctæ & gloriosæ Dei genitricis semper Virginis Mariæ, quæ est prope sanctam magnam ecclesiam.

[a] Hoc est, Palatio Occidentali.

Et a dextra quidem parte consedentibus ipsi & conaudientibus secundum pium jussum Christo amantissimi ac Deo custoditi Imperatoris nostri Justiniani, sanctissimis & Deoamantissimis episcopis, Sabino Canusino, Epiphanio Eclano, Asterio Salernitano, D Rustico Fesulano, Leone Nolano, omnibus ex regione Italorum prius quidem missis ex Italorum regione, videlicet ab Apostolica sede, postea vero consentientibus sanctæ memoriæ Agapito facto Papæ antiquæ Romæ huc advenienti: Thalassio metropolita Berytano, Magno metropolitano Berrœano, Joanne Gabalorum, Christophoro Porphyreonis provinciæ Phœniciæ maritimæ, Archelao Coryci, Davitho Circinsiano, Ætherio Mariamnio, Alexandro Barensano, Domno Maximianopolitano secundæ Palæstinæ, Anastasio Iotapeno, Joanne Zoorano, Asterio Amastreno, Andrea Paniano, Epitynchano Gemæ provinciæ Hellespontí, Paulo Stectoriano, Andrea Peltano, Theodoro Myreno, Andrea Amyzonio, Fla- E viano Cotenensi, Elia Adrianopolitano, Macedonio Briano, Theodorito Alindinensi, Harmonio Callipolitano, Leontio Helenopolitano, Longino Oresteno, Joanne Cæsareensi Bithyniæ, & Joanne Traianopolitano Phrygiæ Pacatianæ.

A sinistris vero, Hypatio metropolitano Ephesino, Constantino Heracleano metropolitano Europæ, Eusebio metropolita Cyzici, Thalassio metropolita Nicomediæ, Photino metropolita Chalcedonis, Theagene metropolita Synnadorum, Baccho Antiocheno metropolita Pisidiæ, Hilariano metropolita Pergæ, Bosphorio Neocæsarensi metropolita Ponti Polemoniaci, Paulo metropolita Tyanensi, Acacio metropo-

ΜΕτὰ τὴν ὑπατείαν [b] Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου, τῇ πρὸ ἓξ εἰδῶν Μαΐων, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, ἐν τῇ φιλοχρίστῳ βασιλευούσῃ πόλει, Ῥώμῃ, προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ, ἐν τῷ μεσαύλῳ τῷ δυτικῷ τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας.

[b] al. φιλοχρίστου

Καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῷ καὶ συνακροωμένων, κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ, τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, Σαβίνου τοῦ Κανουσίου, Ἐπιφανίου Ἐκλάνων, Ἀστερίου Σαλέρνων, Ῥουστικοῦ Φαισούλων, Λέοντος Νώλου, τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας, πρότερον μὲν ἀποσταλέντων ἐκ τῆς Ἰταλῶν χώρας, ἤγουν τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνιόντων παραγενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης, γενομένῳ πάπα τῆς πρεσβυτέρας Ῥώμης· Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ, Μεγάλου τῆς μητροπόλεως Βεῤῥοίας, Ἰωάννου [c] Γαβάλων, Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παραλίου, Ἀρχελάου Κωρύκου, Δαυίδου τοῦ Κιρκησίου, Αἰθερίου Μαριάμμης, Ἀλεξάνδρου Βαρκούσων, Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης, Ἀναστασίου Ἰωτάπης, Ἰωάννου Ζωορῶν, Ἀστερίου Ἀμάστριδος, Ἀνδρέου τοῦ Πανίου, Ἐπιτυγχάνου Γέμης ἐπαρχίας Ἑλλησπόντου, Παύλου Στεκτορίου, Ἀνδρέου Πέλτων, Θεοδώρου Μύρων, Ἀνδρέου Ἀμυζῶνος, Φλαβιανοῦ Κοτίαων, Ἠλίου Ἀδριανῶν, Μακεδονίου Βρίων, Θεοδωρήτου Ἀλίνδων, Ἁρμονίου Καλλιπόλεως, Λεοντίου Ἑλενουπόλεως, Λογγίνου Ὀρεστάδος, Ἰωάννου Καισαρείας τῆς Βιθυνίας, καὶ Ἰωάννου Τραϊανουπόλεως, Φρυγίας Πακατιανῆς.

[c] al. Γαβαλῶν

Ἐκ δὲ τοῦ εὐωνύμου μέρους, Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου, Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης, Εὐσεβίου τῆς μητροπόλεως Κυζίκου, Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας, Φωτεινοῦ τῆς μητροπόλεως Χαλκηδόνος, Θεαγένους τῆς μητροπόλεως Συννάδων, Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας, Ἱλαριανοῦ τῆς μητροπόλεως Πέργης, Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ, Παύλου τῆς μητροπόλεως Τυάνων, Ἀκακίου τῆς μητροπόλεως

ANNO CHRISTI 536.

Πισσινοῦντος, Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὁνωριάδος, Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας, Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης, Ἡδίστου τῆς μητροπόλεως Κίου, Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας, Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας, Τιμοθέου τῆς μητροπόλεως Βεροίης, Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου, Δομετιανοῦ Ζηκχίας, Καλόα Σμύρνης, Ἐπιφανίου Ἡρακλείας τῆς ἐπαρχίας Ὀνωριάδος, Ἀβραμίου Κρατίας, Ἀλεξάνδρου Κολωνείας, Εὐγενίου Τίου, Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς, Εὐσταθίου Τιβεριουπόλεως, Θεοδότου Εὐροίας, Εὐσεβίου παλαιᾶς πόλεως, Θεοδώρου Γόρδου, Ματθαίου Κύμης, Ἀλεξάνδρου Ἐλούζων, καὶ Ἰωάννου τοῦ * Μηδαΐου·

* Pro Medaio.

Συμπαρόντων δὲ αὐτῷ καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου, τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας, καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων νοταρίων, καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων, καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἔτυχον παραγενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης γενομένῳ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης· καὶ Μάγνου πρεσβυτέρου, καὶ Ἡρακλείου διακόνου, τῶν ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας, Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, πληροῦντος τὰ ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων, Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης, Γαϊανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης, Διονυσίου διακόνου, καὶ Καλλινίκου διακόνου, τῶν ἀποκρισιαρίων Φωτινοῦ τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου· παρόντος δὲ καὶ τοῦ εὐλαβεστάτου κλήρου τῆς βασιλευούσης πόλεως·

Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων, εἶπε· δὶς ἤδη συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου, κατὰ κέλευσιν τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου ἡμῶν βασιλέως, καὶ διαφόρων εὐλαβῶν μοναχῶν, ἔκ τε τῆς βασιλίδος ταύτης πόλεως, ἔκ τε τῆς Θεουπολιτῶν, καὶ πρός γε, τῆς Ἱεροσολυμιτῶν, πρὸς ταῦτα παραγενομένων, προῆλθέ τινα ἐπὶ Ἀνθίμῳ, καθὰ τὰ περὶ τούτων πραχθέντα δηλοῖ. ἐν οἷς κατὰ πρώτην τε καὶ δευτέραν τάξιν, προθεσμίαι ῥηταὶ δέδονται ἐπὶ ἀναζητήσει τοῦ αὐτοῦ εὐλαβεστάτου ἀνδρός. ἐπεὶ τοίνυν καὶ τὴν ὑστέραν δεδομένην παρ' ὑμῶν προθεσμίαν διαδραμεῖν συνέβη, συνεληλυθυίας τε αὖθις τῆς ὑμετέρας ἁγιωσύνης, παραφυλάττουσι τὴν ὑμετέραν ἀκρόασιν οἱ εἰρημένοι εὐλαβέστατοι μοναχοὶ, αἰτοῦντες εἰσόδου τυχεῖν. ὑποβάλλομεν οὖν πρὸς τὸ παρεστάναι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· εἰσίτωσαν. Καὶ εἰσῆλθεν Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης, καὶ ἔξαρχος· σὺν αὐτῷ δὲ οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων, Ἀγαπητὸς τῆς Δίου, Διόσκορος τῆς ἁγίας Εὐφημίας, Ἀγάπιος τῆς Θαλασσίου, Παῦλος τῶν Ῥωμαίων, Ἀντώνιος τῆς Εὐσεβίου, Στέφανος τῆς Ὀλυμπίου, Ἀναστάσιος τῶν Ῥωμαίων, Δημήτριος τοῦ Φωκᾶ, Κυριακὸς τῆς Εὐφημίου, Ζήνων τῆς Θεοτόκου, Ἰουλιανὸς τῆς Εὐφημίου, Στέφανος τῶν Προμότου, Ζήνων τῆς ἁγίας Θεοτόκου ἐν τῇ πηγῇ, Ἀλέξανδρος τοῦ Καλαμίου, Δάδας τῆς Καιουμᾶ, Ῥόδων τοῦ Θεοδώρου, Γεννάδιος τῆς Κυριακοῦ, Θεόδωρος τοῦ Μαρωνίου, Σίλας τῆς Ἡλία, Παῦλος τῆς Σαμουήλου, Ἰωάννης τῆς Θεοδώρου, Κυρίων τῶν Αἰγυπτίων, Βασίλειος τῆς Κυρακωνᾶ, Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου, Μάρκος τῆς Θεοδώρου, Φλαβιανὸς πρεσβύτερος καὶ δευτεράριος τῆς Μοδέστου τῶν Λυκαόνων, Μαρῖνος τῆς Παύλου, Θεόκτιστος τῆς ἁγίας Θεοτόκου πλησίον τῶν Ἰώβ, Θεόδωρος τῆς Τρύφωνος, Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Στουδίου, Πέτρος τῆς ἁγίας Θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλὴμ, Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ,

A lita Pessinuntino, Epicteto Claudiopolitano metropolita Honoriadis, Petro metropolita Justinianopolitano secundæ provinciæ Cappadocum, Zacharia metropolita Mitylenensi, Hedisto metropolita Ciano, Marco metropolita Apameæorum provinciæ Bithyniorum, Auxentio metropolita Selymbriano, Timotheo metropolita Berœano, Joanne metropolita Bosphorano, Domitiano Zecchiano, Caloa Smyrnæ, Epiphanio Heracleano provinciæ Honoriadis, Abraamio Cratiano, Alexandro Coloniensi, Eugenio Tieno, Dominico Theodosiopolita provinciæ Phrygiæ Pacatianæ, Eustathio Tiberiopolitano, Theodoto Euriano, Eusebio antiquæ civitatis, Theodoro Gordeno, Matthia Cymano, Alexandro Elusano, & Joan-B ne Medaiano:

Adstantibusque ei, & conaudientibus, Theophane & Pelagio, venerabilibus diaconis Apostolicæ sedis, ac Mena & Petro venerabilibus notariis, & quibusdam venerabilibus subdiaconis & procuratoribus; & ceteris clericis ipsius sedis Apostolicæ, qui & præsentes fuerunt cum sanctæ memoriæ Agapito facto Papa antiquæ Romæ, huc adveniente: & Magno presbytero & Heraclio diacono & ambasiatore Ephræmii sanctissimi patriarchæ Theopolitanæ ecclesiæ: Sabino diacono sanctæ resurrectionis Christi Dei nostri, ambasiatore Petri sanctissimi patriarchæ Hierosolymitani: Stephano diacono & ambasiatore Soterichi sanctissimi episcopi Cæsareensis metropolitæ primæ Cap-C padociæ, Gaiano presbytero & ambasiatore Elpidii sanctissimi episcopi Ancyrani metropolitæ Galatiæ primæ, Dionysio diacono & Callinico diacono, ambasiatoribus Photii sanctissimi episcopi metropolitæ Corinthi: præsente etiam venerabili clero regiæ urbis:

Euphemius venerabilis diaconus & primicerius notariorum dixit: Bis jam conveniente sancta vestra synodo, secundum jussum piissimi & serenissimi Imperatoris nostri, cum advenerint tunc diversi monachi ex hac regia urbe, & Theopoli, ac etiam Hierosolymis, præcesserunt quædam supra Anthimum, sicut gesta de his ostendunt: in quibus secundum primum & secundum ordinem, certi termini dati sunt super re-D quisitione ipsius venerabilis viri. Quoniam igitur & ultimam dilationem a nobis datam decurrisse contigit; convenitque rursus vestra sanctitas, observantque vestram audientiam prædicti venerabiles monachi, petentes introitum habere: subjicimus ergo, & exhibemus ad præsentiam.

Sanctissimus archiepiscopus, & tota synodus sancta dixit: Intrent. Et intravit Marianus Deoamantissimus presbyter & prior monasterii sanctæ memoriæ Dalmatii, & primas, & cum ipso, Deo dilectissimi presbyteri & archimandritæ venerabilium monasteriorum regiæ civitatis, Agapitus Dii, Dioscorus sanctæ Euphemiæ, Agapius Thalassii, Paulus Romano-E rum, Antonius Eusebii, Stephanus Olympii, Anastasius Romanorum, Demetrius Phocæ, Dominicus Euphemii, Stephanus Promoti, Zenon sanctæ Dei genitricis ad fontem, Alexander Calamii, Dadas Caïumæ, Rhodon Theodori, Gennadius Cyriaci, Theodorus Maronii, Silas Heliæ, Paulus Samuëlis, Joannes Theodori, Cyrion Ægyptiorum, Basilius Cyraconæ, Joannes sancti Thomæ apostoli inter illa Modesti, Marcus Theodori, Flavianus presbyter & secundarius Modesti Lycaonum, Marinus Pauli, Theoctistus sanctæ Dei genitricis prope illa Job, Theodorus Tryphonis, Cosmas sancti Joannis inter illa Studii, Petrus sanctæ Dei genitricis & sancti Diomedis in Hierusalem, Eleutherius sancti Dominici,

Alexander ſancti Abraamii, Theodorus Job, Tryphon Elpidii, Stephanus Conſtæ, Babylas Danielis in Stylo, Joannes Anaſtaſii, Anthemius Neonis, Joannes ſancti Michaëlis illorum Chariſii, Joannes Maræ prope Aëtiam ciſternam, Phocas Jonæ prope Secundum, Zoſimus Eutychii Lycaonum, Timotheus Aſterii, Stratonicus Dometii, Polychronius Æthrii, Andreas Romanorum prope ciſternam, Martyrius Petri prope apoſtolos, Andreas ſanctæ Dei genitricis prope ſanctum Lucam, Marcus ſancti Cyrici, Jacobus Abibi Syrus, Atticus Eucratadarum, Joſeph ſanctæ Dei genitricis in Lithoſtroto, Paulus ſancti Petri apoſtoli prope Palatium, Anaſtaſius presbyter & ſecundarius ſancti Philippi in Brephotrophio, Georgius Cyri, Euſebius Symeonii, Zoticus ſancti Andreæ prope Saturnini portam, Dominicus ſancti Joannis Syrorum, Zoſimus Maximini, Polychronius Cretenſium, Paulus ſanctæ Hermionæ, & eorum qui ſunt ſub Theopoli, Paulus monachus & ambaſiator monaſterii Maronis, Severianus presbyter & archimandrita monaſterii Zoaræ Thermarum Syrus, Caſſiſas presbyter & archimandrita monaſterii Lucæ Syrus, Symeones diaconus & ambaſiator monaſterii Jacobi, Joannes diaconus & ambaſiator monaſterii Theodori, Stephanus presbyter & prior monaſterii Euxerii, Joannes presbyter & archimandrita monaſterii Aaron Syrus, Photinus monachus & ambaſiator monaſterii ſancti Stephani, Theodorus diaconus & ambaſiator eccleſiæ Erendelenorum, Sergius presbyter & luſtrator: qui omnes agunt pro ſeipſis, & pro ceteris, atque etiam pro his, qui ſunt ſub ſanctis locis Chriſti veri Dei noſtri: Domnus presbyter & archimandrita monaſterii beati Martyrii, Heſychius presbyter & archimandrita monaſterii beati Theodoſii, Caſſianus presbyter lauræ beati Sabbæ, Dominicus presbyter & prior Turrium Jordanis, Neſtabus presbyter lauræ beati Firmini, Terentius presbyter novæ lauræ, Leontius monachus & prior, ac vicarius totius eremi, Traianus presbyter turrium Jordani, Polyeuctus diaconus monaſterii abbatis Theodoſii, Theodorus diaconus & monachus ejuſdem novæ lauræ, Cyricus diaconus & monachus monaſterii beati Martyrii, Mama monachus ejuſdem monaſterii, Joannes monachus ejuſdem monaſterii, Julianus monachus monaſterii beati Theodoſii: qui omnes pro propriis monaſteriis agunt & pro omnibus monachis de eremo ſanctæ civitatis: Joannes presbyter Campeſtris, & pro omnibus ibidem monachis: Theonas presbyter montis Sinaï, & ambaſiator ipſius montis, & eccleſiæ Pharan, ac lauræ Raithu, pro omnibus ibidem monachis: Strategius diaconus & monachus monaſterii beati Joannis, pro omnibus monachis qui ſub Scythopoli.

Ἀλέξανδρος τῆς Ἀβραμίου, Θεόδωρος τῆς Ἰώβ, Τρύφων τῆς Ἐλπιδίου, Στέφανος τῆς Κώνστα, Βαβύλας τῆς Δανιὴλ ἐν τῷ στύλῳ, Ἰωάννης τῆς Ἀναστασίου, Ἀνθιμος τῆς Νέωνος, Ἰωάννου τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου, Ἰωάννης τῆς Μάρας πλησίον τῆς Ἀετίου κινστέρνης, Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ Δευτέρου, Ζώσιμος τῆς Εὐτυχίου τοῦ Λυκαόνων, Τιμόθεος τῆς Ἀστερίου, Στρατόνικος τῆς Δομετίου, Πολυχρόνιος τῆς Αἰθρίου, Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κινστέρνης, Μαρτύριος τῆς Πέτρου πλησίον τῶν ἀποστόλων, Ἀνδρέας τῆς ἁγίας θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ, Μάρκος τοῦ ἁγίου Κηρύκου, Ἰάκωβος τῆς Ἀβίβου Σύρος, Ἀττικὸς τῶν Εὐκρατάδων, Ἰωσὴφ τῆς ἁγίας θεοτόκου ἐν τῷ Λιθοστρώτῳ, Παῦλος τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου, Ἀναστάσιος πρεσβύτερος καὶ δευτεράριος τοῦ ἁγίου Φιλίππου ἐν τῷ Βρεφοτροφείῳ, Γεώργιος τῆς Κύρου, Εὐσέβιος τῆς Συμεωνίου, Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης, Κυριακὸς τοῦ ἁγίου Ἰωάννου τῶν Σύρων, Ζώσιμος τῆς Μαξιμίνου, Πολυχρόνιος τῶν Κρητικῶν, Παῦλος τῆς ἁγίας Ἑρμιόνης καὶ τῶν ὑπὸ Θεούπολιν, Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς Μάρωνος, Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωαρᾶ τῶν Θέρμων Σύρος, Κασσίσας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος, Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου, Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου, Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξερίου, Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀαρὼν Σύρος, Φωτεινὸς μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου, Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρενδελενῶν, Σέργιος πρεσβύτερος καὶ περιοδευτής· οἱ πάντες πράττοντες ὑπέρ τε αὐτῶν καὶ τῶν λοιπῶν, ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν τόπους· Δομνῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου, Ἡσύχιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοδοσίου, Κασσιανὸς πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Σάββα, Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν Πύργων τοῦ Ἰορδάνου, Νεστάβος πρεσβύτερος λαύρας τοῦ μακαρίου Φιρμίνου, Τερέντιος πρεσβύτερος τῆς νέας λαύρας, Λεόντιος μοναχὸς καὶ ἡγούμενος καὶ ἐπιτηρητὴς τῆς ἐρήμου πάσης, Τραιανὸς πρεσβύτερος τῶν Πύργων τοῦ Ἰορδάνου, Πολύευκτος διάκονος τῆς μονῆς τοῦ Ἀββᾶ Θεοδοσίου, Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς νέας λαύρας, Κύρικος διάκονος καὶ μοναχὸς τῆς νέας λαύρας, Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου, Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς, Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς, Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ Ἀββᾶ Θεοδοσίου· οἱ πάντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων, καὶ πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως μοναχῶν· Ἰωάννης πρεσβύτερος τῆς πεδιάδος, καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν· Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους, καὶ ἀποκρισιάριος τοῦ τε ὄρους, καὶ τῆς ἐκκλησίας Φαρὰν, καὶ λαύρας Ῥαϊθοῦ, ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν· Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου ὑπὲρ πάντων τῶν ὑπὸ Σκυθόπολιν μοναχῶν.

Sanctiſſimus archiepiſcopus, & tota ſynodus ſancta dixit: Legantur, quæ proxime geſta fuerunt. Et accipiens Paulus venerabilis diaconus notarius legit:

Poſt Conſulatum Flavii Beliſſarii viri clariſſimi pridie Nonas Maii indictione quartadecima, in Dei amantiſſima imperiali Roma Conſtantinopoli: & reliqua ſecundæ actionis.

Sanctiſſimus archiepiſcopus & tota ſancta ſynodus dixit: Doceant nos venerabiles diaconi & notarii, quot dies præterierunt poſt ſynodum ſecundo ordine factam.

Notarii dixerunt: Docemus veſtram beatitudinem, quomodo a circumhabita die in actis nunc lectis uſque ad hanc diem, quinque ſunt dies.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἀναγινωσκέσθω τὰ τῇ προτεραίᾳ πραχθέντα. καὶ λαβὼν Παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω·

Μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου, τῇ πρὸ μιᾶς νωνῶν Μαΐων, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, ἐν τῇ φιλοχρίστῳ βασιλευούσῃ Κωνσταντινουπόλει Ῥώμῃ· καὶ τὰ λοιπὰ τῆς δευτέρας πράξεως.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Διδασκέτωσαν ἡμᾶς οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι, πόσαι παρῳχήκασιν ἡμέραι μετὰ τὴν κατὰ δευτέραν τάξιν γενομένην σύνοδον.

Οἱ νοτάριοι εἶπον· Διδάσκομεν τὴν ὑμετέραν μακαριότητα, ὡς ἐκ τῆς προκειμένης ἡμέρας τοῖς νῦν ἀναγνωσθεῖσιν ὑπομνήμασι μέχρι τῆς σήμερον καὶ αὐτῆς, πέντε εἰσὶν ἡμέραι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Νῦν οἱ πρὸς ἀναζήτησιν κατὰ δευτέραν τάξιν παρ' ἡμῶν ἀποσημανθέντες Ἀνθίμου τοῦ εὐλαβοῦς, εἰ τοῖς διαλαληθεῖσι πέρας ἐπιτεθείκασι, διδαξάτωσαν.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκίας εἶπε· Τὰ ὁσίως πραχθέντα παρὰ τῆς ὑμετέρας ἁγιωσύνης καὶ ἡμῖν προσταχθέντα εἰς ἔργον ἀγαγεῖν σπουδάσαντες, ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ ἀποσημανθέντες Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Βηρυτίων μητροπόλεως, καὶ Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως, καὶ Ῥωμανὸς, καὶ Ἰωάννης οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἔκδικοι, καὶ Ἀνδρέας καὶ Καλώνυμος, οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, γεγόναμεν εἰς διαφόρους τόπους, καθ' οὓς ἐνομίζετο εὑρίσκεσθαι Ἄνθιμος ὁ εὐλαβέστατος, καὶ μετὰ πάσης ἐπιμελείας τὴν ἀναζήτησιν ποιησάμενοι, οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα. παραγενόμενοι δὲ καὶ ἐν τῷ σεπτῷ οἴκῳ τοῦ ἐνδόξου μάρτυρος Λαυρεντίου, ἐπυνθανόμεθα τῶν ἐκεῖσε κληρικῶν, εἰ οἴδασιν, ὅπου διάγει ὁ μνημονευθεὶς εὐλαβέστατος ἀνήρ. οἵ τινες μεθ' ὅρκου εἰρήκασι μὴ τεθεᾶσθαι αὐτὸν, ἀφ' οὗπερ ἀπέστη τοῦ θρόνου ταύτης τῆς βασιλίδος πόλεως, μήτε εἰδέναι ἐν ποίῳ τόπῳ διάγει. ἔφησαν δὲ προάστειον αὐτὸν ἔχειν πλησίον τοῦ προφητείου, ἐν ᾧ συνεχέστερον ηὑρίσκετο ἀπιὼν, καὶ κατὰ τὴν μονὴν Θεοδώρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου, πρὶν ἐπιλάβηται τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλίδος πόλεως, οὓς παραλαβόντες καὶ γενόμενοι ἐν τοῖς εἰρημένοις τόποις καὶ ἐπιζητήσαντες, οὐδὲ ἐν τούτοις αὐτὸν εὑρεῖν ἰσχύσαμεν· τῶν ἐκεῖσε εὑρεθέντων μεθ' ὅρκου βεβαιωσαμένων, μήτε τεθεᾶσθαι αὐτὸν, ἀφ' οὗ ἀνεχώρησε τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. λαβόντες δὲ κατὰ νοῦν τὴν οὖσαν διάθεσιν αὐτῷ πρὸς Πέτρον τόν ποτε τῆς Ἀπαμέων γενόμενον πρόεδρον, παρεγενόμεθα καὶ ἐν τῷ προαστείῳ τῷ διαφέροντι τῷ αὐτῷ Πέτρῳ, πλησίον ὄντι τοῦ εὐκτηρίου οἴκου τοῦ ἁγίου μάρτυρος Θύρσου, καὶ οὐδὲ ἐκεῖ αὐτὸν εὑρεῖν δεδυνήμεθα.

Θαλάσσιος ὁ ὁσιώτατος ἐπίσκοπος Βηρυτοῦ, εἶπε· Τοῖς ἐνθέσμως καὶ κανονικῶς ὑπὸ τῆς ἁγίας ἡμῶν συνόδου διαλαληθεῖσι τὸ ἱκανὸν ποιοῦντες, ἐγώ τε καὶ Πέτρος καὶ Δόμνος, οἱ ὁσιώτατοι ἐπίσκοποι, καὶ Ῥωμανὸς καὶ Ἰωάννης, οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ ἐκκλησιέκδικοι, καὶ Ἀνδρέας, καὶ Καλώνυμος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι τῆς ἁγιωτάτης ταύτης μεγάλης ἐκκλησίας, προσήλθομεν εἰς ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβοῦς, ὀφείλοντες αὐτὸν προτρέψαι τὴν ἱερὰν ταύτην καταλαβεῖν σύλλογον, καὶ περὶ ὧν ἐγκαλεῖται, τὰς ἀπολογίας ποιήσασθαι· καὶ δὴ ἐν πολλοῖς γενόμενοι τόποις, εὐκτηρίοις οἴκοις, καὶ εὐαγέσι μοναστηρίοις, οὐ μόνον ἀλλὰ καὶ ἐν προαστείοις διαφέρουσιν αὐτῷ τε Ἀνθίμῳ, καὶ Πέτρῳ ἐκδίκως τῷ ποτε τὸν Ἀπαμείας ἀθέσμως ὑφαρπάσαντι θρόνον, ἐν οἷς αὐτὸν ἐνομίσαμεν διατρίβειν· καὶ περινοστήσαντες οὐδαμῶς τοῦτον εὑρεῖν δεδυνήμεθα.

Δόμνος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης, εἶπεν· Ἀκολουθήσας κἀγὼ τοῖς κανονικῶς κελευσθεῖσι παρὰ τῆς ἁγίας ταύτης συνόδου, περιενόστησα μετὰ Πέτρου καὶ Θαλασσίου τῶν ὁσιωτάτων ἐπισκόπων, καὶ Ῥωμανοῦ καὶ Ἰωάννου τῶν θεοφιλεστάτων πρεσβυτέρων καὶ ἐκκλησιεκδίκων, καὶ Ἀνδρέου, καὶ Καλωνύμου, τῶν θεοσεβεστάτων διακόνων καὶ νοταρίων, τοὺς παρ' αὐτῶν ὀνομασθέντας τόπους· καὶ οὐδαμοῦ τοῦτον εὑρεῖν δεδυνήμεθα.

Ῥωμανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κἀγὼ παραγενόμενος ἅμα Πέτρῳ, Θαλασσίῳ, καὶ Δόμνῳ, τοῖς ὁσιωτάτοις ἐπισκόποις, καὶ Ἰωάννῃ τῷ θεοφιλεστάτῳ συμπρεσβυτέρῳ μου καὶ ἐκδίκῳ, καὶ Ἀνδρέᾳ, καὶ Καλωνύμῳ τοῖς θεοφιλεστάτοις διακόνοις καὶ νοταρίοις, ἐν τῷ σεπτῷ οἴκῳ τοῦ ἁγίου μάρτυρος Λαυρεντίου· καὶ εἰσελθόντες ἐν αὐτῷ προετρεψάμεθα τοὺς θεοφιλεστάτους κληρικοὺς εἰπεῖν, ποῦ δυνατὸν εὑρεθῆναι Ἄνθιμον τὸν εὐλαβέστατον, ἵν' ᾧ παραγγελθῶσιν αὐτῷ τὰ περὶ τῆς κινουμένης ὑποθέσεως ἐπὶ τῆς εὐαγοῦς συνόδου· καὶ μεθ' ὅρκου αὐτοὶ οἱ

Sanctissimus archiepiscopus & tota sancta synodus dixit: Nunc qui a nobis secundo ordine deputati sunt ad requirendum venerabilem Anthimum, si interlocutioni finem imposuerunt, edoceant.

Petrus sanctissimus episcopus Justinianopolitanus secundæ Cappadociæ dixit: Quæ sancte a vestra sanctitate gesta sunt, & nobis mandata, ad effectum deducere studuimus: egoque & qui mecum deputati erant, Thalassius sanctissimus episcopus Berytius metropolita, & Domnus Deoamantissimus episcopus Maximianopolitanus, & Romanus ac Joannes Deoamantissimi presbyteri & procuratores, Andreasque & Calonymus Deoamantissimi diaconi & notarii sanctissimæ magnæ ecclesiæ, ivimus ad diversa loca, in quibus putabatur inveniri venerabilis Anthimus: & cum omni diligentia fecimus inquisitionem, & nullo modo ipsum invenire potuimus. Fuimus autem & in venerabili domo gloriosi martyris Laurentii, & interrogavimus ibidem clericos, si sciebant, ubi moratur memoratus venerabilis vir: qui cum juramento dixerunt non vidisse ipsum, ex quo recessit de sede hujus regiæ urbis, neque scire in quo loco moratur. Dixerunt autem ipsum habere suburbanum prope [a] prophetium, in quo sæpius inventus est deambulans: & in monasterio Theodosii Deoamantissimi presbyteri, & prioris, priusquam acciperet episcopatum hujus regiæ civitatis. Quos accipientes, venimus ad prædicta loca, & inquisivimus, & neque in his locis ipsum invenire valuimus: ibidem inventis cum juramento affirmantibus, neque vidisse ipsum ex quo recessit de sancta magna ecclesia. Accipientes autem ad mentem, affectionem exsistentem ei erga Petrum quondam Apameatum præsulem, ivimus ad suburbanum, quod pertinet ipsi Petro, exsistens prope oratoriam domum sancti Martyris Thyrsi: & nec ibi ipsum invenire potuimus.

[a] Sancti Esaiæ, ut dicitur pag. seq.

Thalassius sanctissimus episcopus Beryti dixit: Iis quæ juste & canonice sancta synodus interlocuta est, satisfacientes, ego & Petrus ac Domnus sanctissimi episcopi, Romanusque & Joannes, Deoamantissimi presbyteri & procuratores, Andreas & Calonymus venerabiles diaconi & notarii sanctissimæ magnæ ecclesiæ, venimus ad inquirendum venerabilem Anthimum, invitaturi ipsum venire ad hoc sacrum collegium, & facere defensiones de quibus accusatur. Et venientes in multis locis, oratorii domibus, & venerabilibus monasteriis, ac etiam in suburbanis pertinentibus ipsi Anthimo, & Petro, qui sedem Apamearum olim injuste subripuit, in quibus putavimus ipsum manere, & lustravimus, nec ullo modo ipsum invenire potuimus.

Domnus Deoamantissimus episcopus Maximianopolitanus secundæ Palæstinæ dixit: Sequendo & ego, quæ canonice a sanctissima hac synodo jussa sunt, peragravi cum Petro ac Thalassio sanctissimis episcopis, Romanoque ac Joanne Deoamantissimis presbyteris & ecclesiæ defensoribus, & cum Andrea & Calonymo venerabilibus diaconis & notariis, ad nominata ab ipsis loca, & nullibi ipsum invenire potuimus.

Romanus Deoamantissimus presbyter, & ecclesiæ defensor, dixit: Ego quoque simul veniens cum Petro, & Thalassio ac Domno sanctissimis episcopis, & Joanne Deoamantissimo compresbytero meo ac defensore, Andreaque & Calonymo Deoamantissimis diaconis & notariis, in venerabili domo sancti martyris Laurentii, & introëuntes in ipsam, hortati sumus Deoamantissimos clericos, ut dicerent, ubi possibile est invenire venerabilem Anthimum, ut annuntiarentur ei quæ gesta sunt de materia mota in venerabili synodo; & cum juramento ipsi venerabiles clerici dixe-

runt, quia scimus ipsum habere suburbanum prope A prophetium sancti Esaïæ, & ibi multum commorari, & sæpius abire in monasterium Theodori Deoamantissimi monachi, & cum ipso moratur. Hæc scimus ab ipso fieri: priusquam acciperet episcopatum hujus regiæ civitatis. Etiam tempore episcopatus solum semel scivimus ipsum alere venerabiles clericos suos sanctissimæ magnæ ecclesiæ in prædicto suburbano, in collegio dominæ nostræ Dei genitricis sanctæ Mariæ, quæ jacet & locata est in Blachernis processu exsistente regis. Et ipsis verbis cum juramentis usi addiderunt, » quoniam nunc omnino nescimus ubi sit. Si autem po- » stea poterimus cognoscere, ubi degat, annuntiabimus » vestræ caritati. Cum vero audivimus hæc ab ipsis, hortati sumus venire una nobiscum in monasterium B Theodori Deoamantissimi presbyteri & monachi, & in suburbanum venerabilis Anthimi; ut & in illis locis inquisitionem faceremus, & scire ubi moraretur. Et euntes nos cum prædictis venerabilibus clericis in monasterium Theodori Deoamantissimi presbyteri & prioris ipsius monasterii: & intrantes oratoriam domum ipsius venerabilis monasterii, invenimus ibi venerabiles monachos ipsius; inter quos erat & Procopius reverentissimus monachus, & protodiaconus. Et cum audissent a nobis; Ubi moratur venerabilis Anthimus, eo quod a sancta synodo ipse requiritur? dixerunt hæc: quoniam sicut in conspectu Dei dicimus, quod priusquam dominus Anthimus fieret episcopus hujus regiæ civitatis, veniebat frequenter in monaste- C rio nostro & ad priorem, & conversabantur simul, & habebant ad invicem affectionem: postquam autem accepit episcopatum, non venit huc, nec vidimus ejus vultum: dominus autem prior noster recessit multis diebus ad votum: neque audivimus, ut coram Domino, ubi moratur venerabilis Anthimus. Venimus autem & in suburbanum venerabilis Anthimi, & introëuntes, invenimus in ipso Stephanum & Longinum ipsius familiares. Qui interrogati a nobis ubi moraretur prædictus venerabilis Anthimus, dixerunt cum juramentis nescire se, ubi moratur: sed ipsos solos esse in ipso suburbano: & per clementem Deum & sanctas vestras orationes, ex quo exivit de sancta Maria non vidimus faciem ejus. Ex exinde venientes in oratorium D sancti martyris Thyrsi, intelleximus quomodo prope adjacet suburbanum Petri quondam Apamearum episcopi, in quo inveniretur venerabilis Anthimus. Et illuc etiam venientes, interrogavimus Thalelæum venerabilem monachum, si sciret prædictum venerabilem Anthimum ibidem esse. Et dixit cum juramentis ipse & Sisinnius artis redemptor, quoniam neque antequam fieret episcopus, neque postquam factus est, scimus ipsum venisse huc, neque ubi moratur: & hæc cum audivimus, recessimus.

Joannes Deoamantissimus presbyter & ecclesiæ advocatus, & super custodias, dixit: Ego eadem depono.

Andreas Deoamantissimus diaconus & notarius, E dixit: Secundum sanctum præceptum vestræ beatitudinis, abii una cum prædictis sanctissimis episcopis, Deoamantissimis presbyteris & procuratoribus, una mecum a vobis sanctissimis deputatis, ad faciendum inquisitionem venerabilis Anthimi: & veniens cum ipsis ad loca per eos dicta, cum magna investigatione ipsum invenire non potui. Audivi autem a prædictis clericis sancti martyris Laurentii, & a monachis monasterii Theodori venerabilis presbyteri & prioris, ac etiam ab hominibus pertinentibus ad ipsum venerabilem Anthimum, omnia quæ relata fuerunt vobis a Romano Deoamantissimo presbytero & procuratore.

A εὐλαβέστατοι κληρικοὶ εἰρήκασιν, ὅτι ἴσμεν αὐτὸν ἔχοντα προάστειον πλησίον τοῦ προφητείου τοῦ ἁγίου Ἡσαΐου, καὶ ἐκεῖ τὰ πολλὰ διατρίβοντα· ἀπερχόμενον δὲ καὶ ἐν τῷ μοναστηρίῳ Θεοδώρου, τοῦ θεοφιλεστάτου μοναχοῦ συνεχέστερον, καὶ συνδιάγοντα αὐτῷ. ταῦτα ἴσμεν γίνεσθαι παρ' αὐτοῦ, πρὶν ἂν ἐπιλάβηται τῆς ἐπισκοπῆς ταύτης τῆς βασιλευούσης. ἐπὶ μὲν γε κατὰ τὸν τῆς ἐπισκοπῆς καιρὸν ἅπαξ καὶ μόνον οἴδαμεν αὐτὸν θρέψαντα τοὺς εὐλαβεστάτους αὐτοῦ κληρικοὺς τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐν τῷ εἰρημένῳ προαστείῳ, ἐν συνάξει τῆς δεσποίνης ἡμῶν τῆς θεοτόκου καὶ ἁγίας Μαρίας τῆς διακειμένης ἐν Βλαχέρναις προκένσου ὄντος βασιλικοῦ. καὶ τοῖς αὐτοῖς λόγοις μεθ' ὅρκων χρησάμενοι, προσέθηκαν τοῦτο, ὅτι νῦν παντελῶς οὐκ ἴσμεν ποῦ ἐστιν. εἰ δὲ καὶ μετὰ ταῦτα δυνηθῶμεν διαγνῶναι, ποῦ διάγει, B προσαγγέλλομεν τῇ ὑμῶν θεοφιλείᾳ. καὶ ταῦτα ἀκούσαντες παρ' αὐτῶν προτρεψάμεθα αὐτοὺς ἐλθεῖν ἅμα ἡμῖν ἐν τῷ μοναστηρίῳ Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ μοναχοῦ, καὶ ἐν τῷ προαστείῳ τοῦ εὐλαβεστάτου Ἀνθίμου, ὥστε καὶ ἐν ἐκείνοις τοῖς τόποις τὴν ζήτησιν αὐτοῦ ποιήσασθαι, καὶ γνῶναι ποῦ διάγει. καὶ δὴ παραγενομένων ἡμῶν μετὰ τῶν εἰρημένων εὐλαβεστάτων κληρικῶν, ἐν τῷ μοναστηρίῳ Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου τῆς αὐτῆς μονῆς, καὶ εἰσελθόντων ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ αὐτοῦ εὐαγοῦς μοναστηρίου, εὕρομεν ἐκεῖσε εὐλαβεστάτους μοναχοὺς αὐτοῦ, ἐν οἷς ἦν καὶ Προκόπιος ὁ εὐλαβέστατος μοναχὸς καὶ πρωτοδιάκονος. καὶ ἀκούσαντες παρ' ἡμῶν, ποῦ διάγει Ἄνθιμος ὁ θεοφιλέστατος, διὰ τὸ ζητεῖσθαι αὐτὸν ὑπὸ τῆς ἁγίας συνόδου· εἶπον ταῦτα, ὅτι ὡς ἐνώπιον τοῦ Θεοῦ λέγομεν, C ὅτι πρὶν ἂν γένηται ἐπίσκοπος ὁ κύριος Ἄνθιμος ταύτης τῆς βασιλευούσης πόλεως, ἤρχετο συνεχῶς ἐν τῷ μοναστηρίῳ ἡμῶν, καὶ πρὸς τὸν ἡγούμενον συνδιῆγεν ὁμοῦ, καὶ εἶχον πρὸς ἀλλήλους διάθεσιν· ἀφ' οὗ δὲ ἐπελάβετο τῆς ἐπισκοπῆς, οὐκ ἦλθεν ἐνταῦθα, οὐδὲ εἴδομεν αὐτοῦ ὄψιν· ὁ δὲ κύριος ἡγούμενος ἡμῶν ἀπῆλθεν εἰς εὐχὴν ἀπὸ πολλῶν ἡμερῶν· οὐδὲ ἠκούσαμεν, ὡς ἐπὶ τοῦ κυρίου, ποῦ διάγει Ἄνθιμος ὁ εὐλαβέστατος. παραγενόμενοι δὲ καὶ ἐν τῷ προαστείῳ Ἀνθίμου τοῦ θεοφιλεστάτου, καὶ εἰσελθόντες εὕρομεν ἐν αὐτῷ Στέφανον καὶ Λογγῖνον τοὺς προσήκοντας αὐτῷ. καὶ ἐρωτηθέντες παρ' ἡμῶν, ποῦ διάγει ὁ εἰρημένος ὁ εὐλαβέστατος Ἄνθιμος· εἶπον μεθ' ὅρκων μὴ εἰδέναι ποῦ διάγει, ἀλλ' αὐτοὺς μόνους εἶναι ἐν τῷ αὐτῷ προαστείῳ· μὰ τὸν φιλάνθρωπον δὴ Θεὸν, καὶ τὰς ἁγίας ὑμῶν εὐχὰς, ἀφ' οὗ ἐξῆλθε τῆς D ἁγίας Μαρίας, οὐκ ἔτι εἴδομεν αὐτοῦ πρόσωπον. κἀκεῖθεν παραγενόμενοι ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου μάρτυρος Θύρσου, ἔγνωμεν ὡς προάστειον πλησίον διάκειται Πέτρου τοῦ ποτε τῆς Ἀπαμέων ἐπισκόπου, ἐν ᾧ εὑρίσκεται Ἄνθιμος ὁ εὐλαβέστατος. καὶ δὴ ἐκεῖσε γενόμενοι, ἐπηρωτήσαμεν Θαλέλαιον τὸν εὐλαβέστατον μοναχὸν, εἰ οἶδε δὲ τὸν εἰρημένον εὐλαβέστατον Ἄνθιμον ἐκεῖσε εἶναι· καὶ εἴρηκε μεθ' ὅρκων αὐτός τε καὶ Σισίννιος τὴν τέχνην ἐργολάβος, ὅτι οὐδὲ πρινὴ γένηται ἐπίσκοπος, οὐδὲ μετὰ τὸ γενέσθαι αὐτὸν, εἴδομεν ἐλθόντα ἐνταῦθα, οὔτε δὲ ποῦ διάγει. καὶ ἀκούσαντες ταῦτα ἀνεχωρήσαμεν.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος καὶ ἐπὶ τῶν φυλακῶν εἶπε· Κἀγὼ ταῦτα κατατίθημαι.

Ἀνδρέας ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος, εἶπε· Κατὰ E τὴν ὁσίαν πρόσταξιν τῆς ὑμετέρας μακαριότητος, ἀπῆλθον ἅμα τοῖς εἰρημένοις ὁσιωτάτοις ἐπισκόποις, καὶ θεοφιλεστάτοις πρεσβυτέροις καὶ ἐκδίκοις, τοῖς σὺν ἐμοὶ προσταχθεῖσι παρ' ὑμῶν τῶν ὁσιωτάτων, τὴν ἀναζήτησιν Ἀνθίμου τοῦ εὐλαβεστάτου ποιήσασθαι· καὶ γενόμενος σὺν αὐτοῖς ἐν οἷς αὐτοὶ προσεδίδαξαν τόποις, καὶ διὰ πολλῆς ἐρεύνης γενόμενος, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθην. ἐπήκουσα δὲ παρὰ τῶν προλεχθέντων κληρικῶν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου, καὶ μοναχῶν τῆς μονῆς Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου, καὶ τῶν προσηκόντων ἀνθρώπων Ἀνθίμῳ τῷ εὐλαβεστάτῳ, πάντα τὰ ἀπαγγελθέντα ὑμῖν παρὰ Ῥωμανοῦ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἐκδίκου.

Καλώνυμος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος εἶπε· Συνῳδὰ κἀγὼ τοῖς προειρημένοις θεοφιλεστάτοις ἀνδράσι κατατίθημαι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπεν· Ἔοικε μὲν Ἄνθιμος ὁ εὐλαβέστατος ἐκ ὀρθοῦ συνειδότι κεχρημένος τὴν παρ' ἡμῖν μέχρι καὶ νῦν ἄφιξιν ἀναβάλλεσθαι. τί γὰρ τὸ κωλῦον ἦν, εἰ μὴ τοῖς κατ' αὐτοῦ προσηγγελθεῖσιν, ὡς ἀληθέσιν, ἐνεδίδου ἐλθεῖν τε παρ' ἡμᾶς, καὶ κατὰ τὸ πρέπον ἦν, ἀποκρίνασθαι, καὶ ἅμα τήν τε Θεῷ φίλην, καὶ ἱερατικῷ πρέπουσαν σχήματι παρασχέσθαι πληροφορίαν; ἀλλ' εἰ καὶ πρὸς τὴν καθ' ἑαυτοῦ ψῆφον ἐκεῖνος ἡμᾶς ἤδη τό γε ἐπ' ἑαυτῷ κεκίνηκεν, ὅμως ἡμεῖς οὐδένα τρόπον, ἱερεῦσι Θεοῦ πρεπούσης συμπαθείας πρὸς τὴν τῶν πλανωμένων ψυχῶν ἐπανόρθωσιν ὑπερορῶντες, καὶ τρίτης αὐτῷ μεταδιδόαμεν προθεσμίας, ἧς ἐντὸς εἰ μὴ παραγένοιτο, καὶ τῶν προσηγγελμένων ἑαυτὸν ἐλεύθερον καταστήσῃ, τὸ μὲν τέλος τῇ οἰκείᾳ τὸ ἐντεῦθεν ἐπιγράψει ἀπειθείᾳ· ἡμεῖς δὲ τοῖς θείοις ἀκολουθοῦντες κανόσι, καὶ τοῖς ὑπὸ Ἀγαπητοῦ τοῦ τῆς ἁγίας μνήμης διωρισμένοις προσέχοντες, τὴν ἐπ' αὐτῷ δικαίαν ποιησόμεθα ψῆφον. ἀναζητήσουσι τοίνυν αὐτὸν καὶ νῦν Θεαγένης τε ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Συνάδων μητροπόλεως, καὶ Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μητροπόλεως Ἀντιοχείας τῆς Πισιδῶν ἐπαρχίας, καὶ Χριστοφόρος ὁ θεοφιλέστατος ἐπίσκοπος Πορφυρεῶνος Φοινίκης παραλίου, καὶ Ἰουλιανὸς καὶ Ἀμμώνιος οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ ἔκδικοι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ Παῦλος καὶ Μακάριος οἱ θεοσεβέστατοι διάκονοι καὶ νοτάριοι. καὶ εἰ εὕροιεν, παρασκευάσουσιν ἡμερῶν ἄλλων εἴσω δέκα τὴν ἡμετέραν παραφυλάξαι ἀκρόασιν. ὑπὲρ δὲ τοῦ πᾶσαν ἀγνοίας, ἢ τό γε ἀληθέστερον προσποιήσεως αὐτῷ πρόφασιν ἀνελεῖν· ἐλθεῖν δὲ μετὰ τὴν ὑπαντίαν καὶ τὰ παρ' ἡμῶν ἐψηφισμένα, παντὶ τῷ τῆς βασιλίδος ταύτης πόλεως φιλοχρίστῳ λαῷ φανερά, καὶ κήρυγμα προστεθήσεται τὴν ἐπὶ Ἀνθίμῳ γενομένην ζήτησιν παριστῶν, καὶ πρὸς τὴν παρ' ἡμῖν αὐτὸν ὀψὲ γοῦν ἄφιξιν προτρεπόμενον. ὑπεσημηνάμην.

Calonymus venerabilis diaconus & notarius, dixit: Consona & ego depono prædictis Deoamantissimis viris.

Sanctissimus archiepiscopus & tota sancta synodus, dixit: Visus quidem fuit venerabilis Anthimus non recta conscientia usus fuisse refugiendo usque nunc venire ad nos. Nam quid prohibuit, nisi quia distulit venire ad nos, & secundum quod conveniens fuit, respondere adnuntiatis contra ipsum tamquam veris; ac Deo dilectam, & sacrorum habitui condecentem præbere satisfactionem? Verum licet ille nos jam moverit contra se ad sententiandum in ipsum, tamen nos nullo modo despicientes miserationem decentem sacerdotibus Dei, erga emendationem animarum, quæ peccaverunt; tertiam ei damus dilationem, intra quam nisi venerit, & liberum se constituerit ab adnuntiatis contra ipsum; finis quidem, qui inde propriæ inobedientiæ convenit, inscribetur. Nos vero sequentes venerabiles canones, & ea quæ a sanctæ memoriæ Agapito definita sunt, attendentes, justam in eum feremus sententiam. Inquirent igitur ipsum & Theagenes sanctissimus episcopus Synnadorum metropolita, & Bacchus sanctissimus episcopus metropolis Antiochiæ provinciæ Pisidarum, & Christophorus Deoamantissimi episcopi Porphyreonis Phœniciæ Paraliæ, ac Julianus & Ammonius religiosissimi presbyteri, & defensores sanctissimæ ecclesiæ magnæ, Paulusque & Macarius venerabiles diaconi & notarii: & si invenient, efficient, ut observet nostram audientiam intra alios decem dies. Et pro tollendo omnem ignorantiæ, seu, quod verius est, dissimulationis occasionem: fient quæ a nobis sententiata fuerint, manifesta toti Christianissimo populo hujus regiæ civitatis: & proclamatio apponetur, significans inquisitionem esse factam super Anthimum: & ipsum hortans, sero venire ad nos. Subsignavi.

ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

Μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου, τῇ πρὸ δεκαδύο καλανδῶν Ἰουνίων, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Κωνσταντινουπόλει, Ῥώμῃ, προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ, ἐν τῷ μεσαύλῳ τῷ δυτικῷ τοῦ σεβασμίου οἴκου τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῷ καὶ συνακροωμένων, κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ, τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, Σαβίνου τοῦ Κανουσίου, Ἐπιφανίου Ἐκλάνων, Ἀστερίου Σαλέρνων, Ῥουστικοῦ Φεσούλων, Λέοντος Νώλου, τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας, πρότερον μὲν ἀποσταλέντων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης γενομένῳ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης· Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ, Μεγάλου τῆς μητροπόλεως Βερροίας, Ἰωάννου Γαβάλων, Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παραλίου, Ἀρχελάου Κωρύκου, Δαυΐδου τοῦ Κιρκισίου, Αἰθερίου Μαριάμμης, καὶ Ἀλεξάνδρου Βαρκαίσων, Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης, Ἀναστασίου Ἰωτάβης, Ἰωάννου Ζωοράων, Ἀστερίου Ἀμάστρεως, Ἀνδρέου τοῦ Πανίου, Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου, Παύλου τοῦ Στεκτορίου, Ἀνδρέου Πέλτων, Θεοδώρου Μύρων, Ἀνδρέου Ἀμυζῶνος, Φλαβιανοῦ Κοτίαου, Ἡλίου Ἀδριανῶν, Μακεδονίου Βριανῶν, Θεοδωρήτου Ἀλίνδων, Ἁρμονίου Καλλιπόλεως, Λεοντίου Ἑλενουπόλεως, Λογγίνου Ὀρεστιάδος, Ἰωάννου Καισαρείας τῆς Βιθυνίας

ACTIO QUARTA.

Post Consulatum Flavii Belisarii clarissimi Prætoris, duodecimo Kalendarum Junii, indictione decimaquarta in Christoamantissima Roma Constantinopoli regia, præsidente domino nostro sanctissimo ac beatissimo œcumenico archiepiscopo Mena patriarcha, [a] in Mesaulio dysico venerabilis domus dominæ nostræ sanctæ & gloriosæ Dei genitricis semper Virginis Mariæ, quæ est prope sanctissimam magnam ecclesiam: & a dextra quidem considentibus & conaudientibus, secundum pium jussum piissimi & a Deo custoditi Imperatoris nostri Justiniani, sanctissimis ac Deoamantissimis episcopis, Sabino Canusino, Epiphanio Eclano, Asterio Salernitano, Rustico Fesulano, Leone Nolano, omnibus ex Italiæ regionibus prius quidem ab Apostolica sede missis, postea vero consentientibus sanctæ memoriæ Agapito, qui fuit Papa antiquæ Romæ, huc advenienti: Thalassio metropolita Berytano, Joanne Gabalorum, Christophoro Porphyreonis provinciæ Phœniciæ maritimæ, Archelao Coryceno, Davitho Circinsiano, Ætherio Mariammio, Alexandro Barcusano, Domno Maximianopolitano secundæ Palæstinæ, Anastasio Iotapeno, Joanne Zoorano, Asterio Amastreno, Andrea Paniano, Epitynchano Germæ provinciæ Hellesponti, Paulo Stectoriano, Andrea Peltano, Theodoro Myreno, Andrea Amyzonio, Flaviano Cotenensi, Elia Adrianopolitano, Macedonio Brianensi, Theodorito Alindensi, Harmonio Callipolitano, Leontio Helenopolitano, Longino Oresteno, Joanne Cæsarcensi Bithy-

[a] Hucusq. in Palatio Occidentali.

Anno Christi 536.

niæ, & Joanne Traianopolitano Phrygiæ Pacatianæ.

A sinistris vero, Hypatio metropolita Ephesino, Constantino Heracleno metropolita Europæ, Eusebio metropolita Cyzici, Thalassio metropolita Nicomediæ, Photino metropolita Chalcedonis, Theogene metropolita Synnadorum, Baccho Antiocheno metropolita Pisidiæ, Juliano metropolita Pergæ, Bosphorio Neocæsarensi metropolita Ponti Polemoniaci, Paulo metropolita Tyanensi, Acacio metropolita Pessinuntino, Epicteto Claudiopolitano metropolita Honoriadis, Petro metropolita Justinianopolitano secundæ provinciæ Cappadocum, Zacharia metropolita Mitylenensi, Hedisto metropolita Ciano, Marco metropolita Apamearum provinciæ Bithynorum, Auxentio metropolita Selymbriano, Joanne metropolita Bosphorano, Domitiano Zecchiano, Caloa Smyrnæ, Epiphanio Heracleano provinciæ Honoriadis, Abraamio Cratiano, Alexandro Coloniensi, Eugenio Tieno, Dominico Theodosiopolitano provinciæ Phrygiæ Pacatianæ, Eustathio Tiberiopolitano, Theodoto Euriano, Eusebio antiquæ civitatis, Theodoro Gordeno, Matthia Cymano, Alexandro Elusano, & Joanne Medaiano: assistentibusque ei, & simul audientibus, Theophane & Pelagio, Deoamantissimis diaconis Apostolicæ sedis: & Mena & Petro venerabilibus diaconis: & quibusdam subdiaconis sedis Apostolicæ, qui consentientes fuerunt Agapito facto Papæ antiquæ Romæ, huc advenienti: & Magno presbytero, & Heraclio diacono & ambasiatore Ephræmii sanctissimi patriarchæ Theopolitanæ ecclesiæ: Sabino diacono sanctæ resurrectionis Christi Dei nostri, ambasiatore Petri sanctissimi patriarchæ Hierosolymitani: Stephano diacono & ambasiatore Soterichi sanctissimi episcopi Cæsareensis metropolitæ primæ Cappadociæ: Gaïano presbytero & ambasiatore Elpidii sanctissimi episcopi Ancyrani metropolitæ primæ Galatiæ: Dionysio & Callinico diaconis & ambasiatoribus sanctissimi Photini episcopi metropolitæ Corinthi: præsente etiam venerabili clero regiæ urbis:

Euphemius venerabilis diaconus & notatiorum primicerius, dixit: Cum jam tertio convenerit sancta vestra synodus, juxta pium jussum Christo amantissimi & serenissimi Imperatoris nostri; & quædam gesta fuerint super venerabili Anthimo, & ejus requisitione a vestra sanctitate; sententiaque sancta a vobis prolata sit, diffiniens dilationem decem dierum ad inquisitionem ipsius; & proclamationem proponi jubens, invitando ipsum, ut veniat ad sanctam nostram synodum: cumque evenerit id quod a vobis mandatum erat ad effectum provenire, & inducias per vestram sanctam sententiam datas decurrisse; convenienteque & nunc sancta nostra synodo, ac observantibus audientiam vestram his qui in principio accusationem contra ipsum venerabilem Anthimum fecerunt, venerabilibus videlicet monachis hujus regiæ urbis & Theopolitanæ, petentibusque introitum habere, subjicimus ad notitiam.

Sanctissimus archiepiscopus dixit: Intrent. Et intravit Marinianus Deoamantissimus presbyter & prior monasterii Dalmatii sanctæ memoriæ, & primas: & cum ipso Deo dilectissimi presbyteri & archimandritæ venerabilium monasteriorum regiæ civitatis, Agapitus Dii, Dioscorus sanctæ Euphemiæ, Agapius Thalassii, Paulus Romanorum, Demetrius Phocæ, Antoninus Eusebii, Stephanus Olympii, Anastasius Romanorum, Dominicus Euphemii, Zoïlus Theodoti,

καὶ Ἰωάννου Τραιανουπόλεως, Φρυγίας Πακατιανῆς.

Ἐκ δὲ τοῦ εὐωνύμου μέρους, Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου, Κωνσταντίνου Ἡρακλείας τῆς μητροπόλεως Εὐρώπης, Εὐσεβίου τῆς μητροπόλεως Κυζίκου, Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας, Φωτεινοῦ τῆς μητροπόλεως Χαλκηδόνος, Θεογένους τῆς μητροπόλεως Συνάδων, Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας, Ἰουλιανοῦ τῆς μητροπόλεως Πέργης, Βοσπορίου Νεοκαισαρείας τῆς μητροπόλεως Πόντου Πολεμωνιακοῦ, Παύλου τῆς μητροπόλεως Τυάνων, Ἀκακίου τῆς μητροπόλεως Πισινοῦντος, Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος, Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας, Ζαχαρίου τῆς μητροπόλεως Μιτυλήνης, Ἡδίστου τῆς μητροπόλεως Κίου, Μάρκου τῆς μητροπόλεως Ἀπαμείας τῆς Βιθυνῶν ἐπαρχίας, Αὐξεντίου τῆς μητροπόλεως Σηλυβρίας, Ἰωάννου τῆς μητροπόλεως Βοσπόρου, Δομετιανοῦ Ζηκχίας, Καλώα Σμύρνης, Ἐπιφανίου Ἡρακλείας τῆς ἐπαρχίας Ὀνωριάδος, Ἀβραμίου Κρατίας, Ἀλεξάνδρου Κολωνείας, Εὐγενίου Τίου, Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς, Εὐσταθίου Τιβεριουπόλεως, Θεοδότου Εὐρίας, Εὐσεβίου παλαιᾶς πόλεως, Θεοδώρου Γόρδου, Ματθαίου Κύμης, Ἀλεξάνδρου Ἐλούζων, καὶ Ἰωάννου τοῦ Μηδαίου. συμπαρόντων δὲ αὐτῷ καὶ συνακροωμένων καὶ Θεοφάνους καὶ Πελαγίου, τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας, καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοσεβεστάτων [illegible], καί τινων εὐλαβεστάτων ὑποδιακόνων καὶ ἐκδίκων, καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἔτυχον παραγενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης γενομένῳ πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ Μάγνου πρεσβυτέρου, καὶ Ἡρακλείου διακόνου τῶν ἀποκρισιαρίων Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας, Σαβίνου διακόνου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων· Στεφάνου διακόνου καὶ ἀποκρισιαρίου Σωτηρίχου τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης, Γαϊανοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης, Διονυσίου καὶ Καλλινίκου διακόνων καὶ ἀποκρισιαρίων Φωτεινοῦ τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου. παρόντος δὲ καὶ τοῦ εὐλαβεστάτου κλήρου τῆς βασιλευούσης πόλεως·

Εὐφήμιος ὁ θεοσεβέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπε· Τρίτον ἤδη συνελθούσης τῆς ἁγίας ὑμῶν συνόδου κατὰ κέλευσιν εὐσεβῆ τοῦ φιλοχρίστου καὶ γαληνοτάτου ἡμῶν βασιλέως, καί τινων ἐπὶ Ἀνθίμῳ τῷ εὐλαβεῖ καὶ τῇ τούτου ἀναζητήσει πραχθέντων παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, ψήφου τε ὁσίας παρ' ὑμῶν προελθούσης, προθεσμίαν τε ἡμερῶν δέκα πρὸς τὴν ἀναζήτησιν αὐτοῦ ὁριζούσης, καὶ πρόγραμμα παρακελευσαμένης προτεθῆναι, προτρέπον αὐτὸν παραγενέσθαι πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον· ἐπειδὴ συνέβη τό, τε παρ' ὑμῶν προσταχθὲν ἔργῳ προελθεῖν, καὶ τὴν δεδομένην κατὰ τὴν ὁσίαν ὑμῶν ψῆφον προθεσμίαν διαδραμεῖν· συνελθούσης καὶ νῦν τῆς ἁγίας συνόδου, παραφυλαττόντων δὲ τὴν ὑμετέραν ἀκρόασιν τῶν καὶ ἐν ἀρχῇ τὴν μέμψιν κατὰ τοῦ αὐτοῦ εὐλαβεστάτου Ἀνθίμου ποιησαμένων εὐλαβῶν μοναχῶν, τῆς τε βασιλίδος ταύτης πόλεως, καὶ ἐκ τῆς Θεουπολιτῶν διοικήσεως, καὶ τῆς Ἱεροσολυμιτῶν γε μὴν ἐπαρχίας, καὶ αἰτούντων εἰσόδου τυχεῖν, ὑποβάλλομεν πρὸς τὸ πα[illegible].

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν, εἰσίτωσαν. Καὶ εἰσῆλθε Μαρινιανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης, καὶ ἔξαρχος· καὶ σὺν αὐτῷ οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται τῶν κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐαγῶν μοναστηρίων, Ἀγαπητὸς τῆς Δίου, Διόσκορος τῆς ἁγίας Εὐφημίας, Ἀγάπιος τῆς Θαλασσίου, Παῦλος τῶν Ῥωμαίων, Δημήτριος τοῦ Φωκᾶ, Ἀντωνῖνος τῆς Εὐσεβίου, Στέφανος τῆς Ὀλυμπίου, Ἀναστάσιος τῶν Ῥωμαίων, Κυριακὸς τῆς Εὐφη-

μίου,

ANNO CHRISTI 536.

μίου, Ζώϊλας τῆς Θεοδότου, Ἰουλιανὸς τῆς Εὐφημίου, Στέφανος τῶν Προμώτου, Ζήνων τῆς ἁγίας Θεοτόκου ἐν τῇ πηγῇ, Ἀλέξανδρος τοῦ Καλαμίου, Δάδας τῆς Καιουμᾶ, Κυριακὸς τοῦ ἁγίου Ἰωάννου τῶν Σύρων, Ἐλπίδιος τῆς Βασσιανοῦ, Ζώσιμος τῆς Μαξιμίνου, Πολυχρόνιος τῶν Κρητικῶν, Παῦλος τῆς ἁγίας Ἑρμιόνης, Ῥόδων τῆς Θεοδώρου, Γεννάδιος τῆς Κυριακοῦ, Θεόδωρος τῆς Μαρωνίου, Σίλας τῆς Ἠλία, Παῦλος τοῦ Σαμουηλίου, Ἰωάννης τῆς Θεοδώρου, Κυρίων τῶν Αἰγυπτίων, Βασίλειος τῆς Κυρακωνᾶ, Ἰωάννης τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ἐν τοῖς Μοδέστου, Μάρκος τῆς Θεοδώρου, Μαρῖνος τῆς Παύλου, Φλαβιανὸς πρεσβύτερος καὶ δευτερεύων τοῦ Λυκαόνων, Θεόκτιστος τῆς ἁγίας Θεοτόκου πλησίον τῶν Ἰώβ, Θεόδωρος τῆς Τρύφωνος, Ἐλευθέριος τοῦ ἁγίου Κυριακοῦ, Κοσμᾶς τοῦ ἁγίου Ἰωάννου ἐν τοῖς Σπουδίου, Πέτρος τῆς ἁγίας Θεοτόκου καὶ τοῦ ἁγίου Διομήδους ἐν Ἱερουσαλὴμ, Ἀλέξανδρος τῆς Ἀβρααμίου, Θεόδωρος τῆς Ἰώβ, Τρύφων τῆς Ἐλπιδίου, Στέφανος τῆς Κώνστα, Βαβύλας τῆς Δανιὴλ ἐν τῷ στύλῳ, Ἰωάννης τῆς Ἀναστασίου, Ἄνθιμος τῆς Νέωνος, Τιμόθεος τῆς Ἀστερίου, Ἰωάννου τοῦ ἁγίου Μιχαὴλ τῶν Χαρισίου, Ἰωάννης τῆς Μάρας πλησίον τῆς Ἀετίου κιστέρνης, Φωκᾶς τῆς Ἰωνᾶ πλησίον τοῦ δευτέρου, Ζώσιμος τῆς Εὐτυχίου τοῦ Λυκαόνων, Στρατόνικος τῆς Δομετίου, Πολυχρόνιος τῆς Αἰθρίου, Ἀνδρέας τῶν Ῥωμαίων πλησίον τῆς κιστέρνης, Μαρτύριος τῆς Πέτρου πλησίον τῶν ἀποστόλων, Ἀνδρέας τῆς ἁγίας Θεοτόκου πλησίον τοῦ ἁγίου Λουκᾶ, Μάρκος τοῦ ἁγίου Κηρύκου, Ἰάκωβος τῆς Ἀβίβου Σύρος, Ἀττικὸς τῶν Εὐκρατάδων, Ἰωσὴφ τῆς ἁγίας Θεοτόκου ἐν τῷ Λιθοστρώτῳ, Παῦλος τοῦ ἁγίου ἀποστόλου Πέτρου πλησίον τοῦ παλατίου, Ἀναστάσιος πρεσβύτερος καὶ δευτερεύων τοῦ ἁγίου Φιλίππου ἐν τῷ Βρεφοτροφείῳ, Γεώργιος τῆς Κύρου, Εὐσέβιος τῆς Συμεωνίου, Ζωτικὸς τοῦ ἁγίου Ἀνδρέου πλησίον τῆς Σατορνίνου πόρτης, Θεόδωρος μονῆς ὑπ' αὐτοῦ κατασταθείσης πλησίον τοῦ μαρτυρίου τοῦ ἁγίου Λαυρεντίου. καὶ τῶν ἀπὸ Θεούπολιν, Παῦλος μοναχὸς καὶ ἀποκρισιάριος μονῆς Μάρωνος, Σευηριανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ζωαρᾶ τῶν Θέρμων Σύρος, Κασίσας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Λουκᾶ Σύρος, Συμεώνης διάκονος καὶ ἀποκρισιάριος τῆς Ἰακώβου, Ἰωάννης διάκονος καὶ ἀποκρισιάριος τῆς Θεοδώρου, Στέφανος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Εὐξερίου, Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ κυροῦ Θωμᾶ Σύρος, Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἀαρὼν Σύρος, Φωτεινὸς μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ ἁγίου Στεφάνου, Θεόδωρος διάκονος καὶ ἀποκρισιάριος τῆς ἐκκλησίας Ἐρενδηλλωνῶν, Σέργιος πρεσβύτερος καὶ περιοδευτής· οἱ πάντες πράττοντες ὑπέρ τε ἑαυτῶν καὶ τῶν λοιπῶν. ἔτι μὴν καὶ τῶν ὑπὸ τοὺς ἁγίους Χριστοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν τόπους, Δομνῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μαρτυρίου, Ἡσύχιος πρεσβύτερος καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Θεοδοσίου, Κασσιανὸς πρεσβύτερος καὶ ἡγούμενος τῆς λαύρας τοῦ μακαρίου Σάββα, Κυριακὸς πρεσβύτερος καὶ ἡγούμενος τῶν Πυργίων τοῦ Ἰορδάνου, Νίσταβος πρεσβύτερος τῆς λαύρας τοῦ μακαρίου Φιρμίνου, Τερέντιος πρεσβύτερος τῆς νέας λαύρας, Λεόντιος μοναχὸς καὶ τοποτηρητὴς τῆς ἐρήμου πάσης, Τραϊανὸς πρεσβύτερος τῶν Πυργίων τοῦ Ἰορδάνου, Πολύευκτος διάκονος τῆς μονῆς τοῦ Ἀββᾶ Θεοδοσίου, Θεόδωρος διάκονος καὶ μοναχὸς τῆς νέας λαύρας, Κήρυκος διάκονος τῆς αὐτῆς νέας λαύρας, Ἀναστάσιος διάκονος μονῆς τοῦ μακαρίου Μαρτυρίου, Μάμας μοναχὸς τῆς αὐτῆς μονῆς, Ἰωάννης μοναχὸς τῆς αὐτῆς μονῆς, Ἰουλιανὸς μοναχὸς μονῆς τοῦ Ἀββᾶ Θεοδοσίου· οἱ πάντες πράττοντες ὑπέρ τε τῶν οἰκείων μοναστηρίων, καὶ πάντων τῶν ἐν τῇ ἐρήμῳ τῆς ἁγίας πόλεως μοναχῶν. Ἰωάννης πρεσβύτερος Πεδιάδος, καὶ ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν· Θεωνᾶς πρεσβύτερος τοῦ Σινᾶ ὄρους, καὶ ἀποκρισιάριος τοῦ τε ὄρους, καὶ τῆς ἐκκλησίας Φαρὰν, καὶ λαύρας Ῥαϊθοῦ, ὑπὲρ πάντων τῶν ἐκεῖσε μοναχῶν· Στρατήγιος διάκονος καὶ μοναχὸς μονῆς τοῦ μακαρίου Ἰωάννου, ὑπὲρ πάντων τῶν ἀπὸ Σκυθόπολιν μοναχῶν.

Julianus Euphemii, Stephanus Promoti, Zenon sanctæ Dei genitricis ad fontem, Alexander Calamii, Dadas Caiumæ, Dominicus sancti Joannis Syriorum, Elpidius Bassiani, Zosimus Maximini, Polychronius Cretensium, Paulus sanctæ Ermionæ, Rhodon Theodori, Gennadius Dominici, Theodorus Maronii, Silas Eliæ, Paulus Samuelis, Joannes Theodori, Cyrion Ægyptiorum, Basilius Cyraconæ, Joannes sancti Thomæ apostoli inter illa Modesti, Marcus Theodori, Marinus Pauli, Flavianus presbyter & secundarius Lycaonum, Theoctistus sanctæ Dei genitricis prope illa Job, Theodorus Tryphonis, Eleutherius sancti Dominici, Cosmas sancti Joannis ad Studium, Petrus sanctæ Dei genitricis & sancti Diomedis in Hierusalem, Alexander Abraamii, Theodorus Job, Tryphon Elpidii, Stephanus Constæ, Babylas Danielis in columna, Joannes Anastasii, Anthemius Neonis, Timotheus Asterii, Joannes sancti Michaëlis illorum Charisii, Joannes Maræ prope Aëtiam cisternam, Phocas Ionæ prope Secundum, Zosimus Eutychii Lycaonum, Stratonicus Dometii, Polychronius Æthrii, Andreas Romanorum prope cisternam, Martyrius Petri prope apostolos, Andreas sanctæ Dei genitricis prope sanctum Lucam, Marcus sancti Cyrici, Jacobus Abibi Syrus, Atticus Eucratadarum, Joseph sanctæ Dei genitricis in Lithostroto, Paulus sancti Petri apostoli prope palatium, Anastasius presbyter & secundarius sancti Philippi in brephotrophio, Georgius Cyri, Eusebius Symeonii, Zoticus sancti Andreæ prope Saturnini portam, Theodorus monasterii ab ipso constituti prope martyrium sancti Laurentii: & de Theopoli, Paulus monachus & ambasiator monasterii Maronis, Severianus presbyter & archimandrita monasterii Zoaræ Thermarum Syrus, Cassisas presbyter & archimandrita monasterii Lucæ Syrus, Symeones diaconus & ambasiator monasterii Jacobi, Joannes diaconus & ambasiator monasterii Theodori, Stephanus presbyter & prior monasterii Euxerii, Joannes presbyter & archimandrita monasterii domni Thomæ Syrus, Thomas presbyter & archimandrita monasterii Aaron Syrus, Photinus monachus & ambasiator monasterii sancti Stephani, Theodorus diaconus & ambasiator ecclesiæ Erendelenorum, Sergius presbyter & lustrator: qui omnes & pro seipsis agunt, & reliquis: ac etiam pro his, qui sunt sub sanctis Christi veri Dei nostri locis, Domnus presbyter & archimandrita monasterii beati Martyrii, Hesychius presbyter & legatus monasterii beati Theodosii, Cassianus presbyter & prior monasterii lauræ beati Sabbæ, Dominicus presbyter & prior Turrium Jordanis, Nestabus presbyter lauræ beati Firmini, Terentius presbyter novæ lauræ, Leontius monachus & vicarius totius eremi, Traianus presbyter Turrium Jordanis, Polyeuctus diaconus monasterii abbatis Theodosii, Theodorus diaconus & monachus novæ lauræ, Cyricus diaconus ejusdem novæ lauræ, Anastasius diaconus monasterii beati Martyrii, Mamas monachus ejusdem monasterii, Joannes monachus ejusdem monasterii, Julianus monachus monasterii beati Theodosii: qui omnes pro propriis monasteriis agunt, & pro omnibus monachis de eremo sanctæ civitatis. Joannes presbyter Campestris, & pro omnibus ibidem monachis: Theonas presbyter montis Sinaï, & legatus ejusdem montis, & ecclesiæ Pharan, ac lauræ Raithu, pro omnibus ibidem monachis: Strategius diaconus & monachus monasterii beati Joannis, pro omnibus monachis de Scythopoli.

Anno Christi 536.

Sanctissimus archiepiscopus dixit: Legantur quæ A gesta sunt pro hac materia. Et lectæ fuerunt duæ actiones per Macarium venerabilem diaconum & notarium: tertia vero per Calonymum venerabilem diaconum & notarium.

Sanctissimus archiepiscopus & tota synodus dixit: Si id, quod a nobis interlocutum est super inquisitione venerabilis Anthimi, viri Deoamantissimi ad hoc deputati fecerunt, edoceri volumus.

Theagenes sanctissimus episcopus metropolis Synnadorum, dixit: Secundum jussum vestræ sanctitatis, & totius sub cælo vobiscum venerabilis synodi, fui una cum Baccho Dei amantissimo episcopo clarissimæ metropolis Antiochenæ provinciæ Pisidarum, B & Christophoro Deoamantissimo episcopo Porphyreonis sub Phœnicia maritima, & Juliano ac Ammonio Deoamantissimis presbyteris & procuratoribus sanctæ magnæ ecclesiæ, Pauloque & Macario venerabilibus diaconis & notariis venerabilis vestri episcopatus, in venerabili oratorio sancti martyris Sergii inter illa Hormisdæ: & quærentibus nobis venerabilem Anthimum, ostensa fuit nobis domus, ubi prius moram habere dicebatur, & invenimus clausam exsistentem ostio. Venimus autem & ad alia loca, ad requirendum ipsum venerabilem Anthimum, in quibus putabatur esse: & sciscitantes non potuimus C scire, ubi moratur, ex quo exivit de sanctissima magna nostra ecclesia. Rursus postea in alia die abeuntes in venerabili domo sancti archangeli Michaëlis, quæ jacet in palatio, convocavimus venerabiles clericos ipsius oratorii, & interrogavimus eos de ipso venerabili viro. Qui cum juramento dixerunt neque vidisse, neque scire ubi moratur. Et hæc eadem studui nota facere vestræ sanctitati.

Bacchus sanctissimus episcopus metropolis Antiochenæ Pisidarum provinciæ, dixit: Juxta sanctam interlocutionem vestræ sanctitatis, fui & ego una cum Theagene, & Christophoro, sanctissimis episcopis, ac Juliano ac Ammonio Deoamantissimis presbyteris & ecclesiæ defensoribus, Pauloque & Macario Deoamantissimis diaconis & notariis: & quæsivi una cum D ipsis venerabilem Anthimum in diversis locis, & nullatenus ipsum invenire potui.

Christophorus sanctissimus episcopus Porphyreonis Provinciæ Phœniciæ maritimæ, dixit: Secundum ea quæ a vestra beatitudine nobis jussa fuerunt, & a sancta synodo vobiscum sedente, fuerunt simul Theagenes & Bacchus sanctissimi episcopi una cum vilitate mea, atque etiam Julianus & Ammonius Deoamantissimi presbyteri & ecclesiæ defensores: insuper etiam & Paulus ac Macarius venerabiles diaconi & notarii venerabilis episcopatus vestri: & quæsivimus venerabilem Anthimum, ut accusationes contra ipsum mo- E tas in hac sacra vestra synodo, adnuntiaremus ei: & hortaremur ipsum, quoad possibile, respondere ad querelas. Et primum fuimus in locis Hormisdæ, in qua domo permanebat, priusquam ipse raperet pontificalem sedem hujus regiæ urbis: quam domum invenimus clausam ostiis. Interrogavimus autem eos qui ibidem exspectabant, si ipsum viderant: & audivimus ipsos dicentes non vidisse ipsum a multis diebus. Similiter etiam fuimus in venerabili domo sancti archangeli Michaëlis in palatio, (visus enim fuit prius ibidem frequentare) & interrogavimus clericos ibidem, si apparuerat eis in iis diebus venerabilis Anthimus, qui a nobis quæritur: & ab ipsis cum juramentis

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν. Ἀναγινωσκέσθω τὰ πεπραγμένα ταύτης ἕνεκα τῆς ὑποθέσεως. καὶ ἀνεγνώσθησαν αἱ μὲν δύο πράξεις, διὰ Μακαρίου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου· ἡ δὲ τρίτη, διὰ Καλωνύμου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, ϗ πᾶσα ἡ ἁγία σύνοδος, εἶπεν· Εἰ τὸ παρ' ἡμῶν διαλαληθὲν ἐπὶ ἀναζητήσει Ἀνθίμου τοῦ εὐλαβοῦς πεπράχασιν οἱ πρὸς τοῦτο ἀποτεμφθέντες θεοφιλέστατοι ἄνδρες, διδαχθῆναι βουλόμεθα.

Θεαγένης ὁ ὁσιώτατος ἐπίσκοπος τῆς μητροπόλεως Συννάδων εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ πάσης τῆς ὑπ' οὐρανὸν σὺν ὑμῖν εὐαγοῦς συνόδου, γενόμενος ἅμα Βάκχῳ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ τῆς Ἀντιοχέων λαμπρᾶς B μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας, ϗ Χριστοφόρῳ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Πορφυρεῶνος τῆς ὑπὸ Φοινίκην παράλιον, ϗ Ἰουλιανῷ ϗ Ἀμμωνίῳ τοῖς θεοφιλεστάτοις πρεσβυτέροις ϗ ἐκκλησιεκδίκοις ταύτης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ Παύλῳ ϗ Μακαρίῳ τοῖς θεοσεβεστάτοις διακόνοις ϗ νοταρίοις τοῦ εὐαγοῦς ὑμῶν ἐπισκοπείου, ἐν τῷ σεπτῷ εὐκτηρίῳ τοῦ ἁγίου μάρτυρος Σεργίου, ἐν τοῖς Ὁρμίσδου, ϗ ζητούντων ἡμῶν Ἄνθιμον τὸν εὐλαβέστατον, ἐπεδείχθη ἡμῖν οἶκος, ἔνθα πρότερον τὰς διατριβὰς ἐλέγετο ἔχειν· καὶ εὕρομεν κλεῖν ἐπικειμένην τῇ θύρᾳ. ἐγενόμεθα δὲ ϗ ἐν ἑτέροις τόποις, πρὸς ἀναζήτησιν τοῦ αὐτοῦ εὐλαβεστάτου Ἀνθίμου, ἐν οἷς ἐνομίζετο εἶναι· ϗ περιεργασάμενοι οὐκ ἠδυνήθημεν γνῶναι ποῦ διάγει, ἁπάντων ὡς ἐξ ἑνὸς στόματος λεγόντων μὴ ἑωρακέναι αὐτὸν, μήτε εἰδέναι, ποῦ διά- C γει, ἀφ' οὗ ἐξῆλθε τῆς ἁγιωτάτης ἡμῶν μεγάλης ἐκκλησίας. πάλιν μετὰ ταῦτα ἐν ἄλλῃ ἡμέρᾳ ἀπελθόντες ἐν τῷ σεβασμίῳ οἴκῳ τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ, τῷ διακειμένῳ ἐν τῷ βασιλικῷ παλατίῳ, ϗ συγκαλεσάμενοι τοὺς εὐλαβεστάτους κληρικοὺς τοῦ αὐτοῦ εὐκτηρίου, ἠρωτήσαμεν αὐτοὺς περὶ τοῦ εὐλαβεστάτου ἀνδρός· ϗ ἔφησαν μεθ' ὅρκου, μήτε ἑωρακέναι, μήτε εἰδέναι ποῦ διατρίβει· ϗ ταῦτα αὐτὰ ἐσπούδασα δῆλα καταστῆσαι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ.

Βάκχος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας εἶπε· Κατὰ τὴν ὁσίαν τῆς ὑμετέρας ἁγιωσύνης διαλαλιὰν, γενόμενος κἀγὼ ἅμα Θεαγένει ϗ Χριστοφόρῳ τοῖς ὁσιωτάτοις ἐπισκόποις, καὶ Ἰουλιανῷ καὶ Ἀμμωνίῳ, τοῖς θεοφιλεστάτοις πρεσβυτέροις, καὶ ἐκκλησιεκδίκοις, ϗ Παύλῳ, ϗ Μακαρίῳ, τοῖς θεοφιλεστάτοις διακόνοις ϗ νοταρίοις· ϗ D ἀναζητήσας σὺν αὐτοῖς Ἄνθιμον τὸν εὐλαβέστατον ἐν διαφόροις τόποις, οὐδαμῶς αὐτὸν εὑρεῖν δεδύνημαι.

Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παραλίου, εἶπε· Κατὰ τὰ κελευσθέντα ἡμῖν παρά τε τῆς ὑμετέρας μακαριότητος, καὶ τῆς συγκαθημένης ὑμῖν ἁγίας συνόδου, γενόμενοι ἅμα Θεαγένης τε ϗ Βάκχος οἱ ὁσιώτατοι ἐπίσκοποι ϗ μητροπολῖται, σὺν τῇ ἐμῇ εὐτελείᾳ, οὐ μὴν ἀλλὰ ϗ Ἰουλιανὸς ϗ Ἀμμώνιος οἱ θεοφιλέστατοι πρεσβύτεροι ϗ ἐκκλησιέκδικοι τῆς ἁγιωτάτης ἐκκλησίας, πρὸς ἔτι δὲ ϗ Παῦλος ϗ Μακάριος, οἱ θεοσεβέστατοι διάκονοι ϗ νοτάριοι τοῦ εὐαγοῦς ὑμῶν ἐπισκοπείου, ἀνεζητήσαμεν Ἄνθιμον τὸν εὐλαβέστατον, ἐφ' ᾧ ϗ τὰς κινουμένας ἐπὶ ταύτης ἡμῶν τῆς ἱερᾶς συνόδου κατ' E αὐτοῦ κατηγορίας, προσαγγεῖλαι αὐτῷ, ϗ προτρέψαι κατὰ τὸ δυνατὸν, ἀπαντῆσαι αὐτὸν, ϗ πρὸς τὰς μέμψεις ἀπολογήσασθαι. ϗ πρῶτον μὲν ἐν τοῖς Ὁρμίσδου γενόμενοι, ἐν ᾧ οἴκῳ κατήμενε πρὸ τοῦ ἁρπάσαι αὐτὸν τῆς βασιλίδος ταύτης πόλεως ἀρχιερατικὸν θρόνον, κατέναντι εὕρομεν ταῖς θύραις ἐμβεβλημένην· τοὺς δὲ τοὺς ἐκεῖσε προσκαρτεροῦντας διηρωτήσαμεν, ὅπου αὐτὸν ἐθεάσαντο, ἠκούσαμεν λεγόντων μὴ ἑωρακέναι τοῦτον ἀπὸ πολλῶν ἡμερῶν. ὡσαύτως δὲ καὶ ἐν τῷ σεπτῷ οἴκῳ τοῦ ἁγίου ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ παλατίῳ γενόμενοι. ἐωρᾶτο γὰρ τὸ πρότερον τοῖς ἐκεῖσε πολάζων, ϗ πυθόμενοι παρὰ τῶν αὐτόθι κληρικῶν, εἴγε ἐφάνη αὐτοῖς ἐν ταῖς ἡμέραις ταύταις ὁ παρ' ἡμῶν ἐπιζητούμενος εὐλαβέστατος Ἄνθιμος· μεθ' ὅρκων παρ' αὐτῶν ἐπί-

ἀπήεμεν, ὡς οὔτε εἶδον αὐτὸν, οὔτε γινώσκουσιν, ὅπου ἐστίν· οὐκ ἐν τούτοις δὲ μόνον, ἀλλὰ καὶ ἐν ἑτέροις μνημονευθεῖσιν ἡμῖν γεγονότες τόποις, καὶ παισὶ δέ τισι ποι συναντήσαντες, καὶ τούτοις διερωτήσαντες, καθὼς καὶ οἱ σὺν ἐμοὶ σταλέντες ὁσιώτατοι καὶ θεοφιλέστατοι ἐπίσταται ἄνδρες, παρ' οὐδενὸς ἠδυνήθημεν γνῶναι, ὅπου διάγει ὁ πολλάκις εἰρημένος εὐλαβέστατος Ἄνθιμος.

Ἰουλιανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κατὰ τὴν ὁσίαν πρόσταξιν τῆς ὑμετέρας ἁγιωσύνης, ἀπελθὼν ἅμα Θεαγένει, καὶ Βάκχῳ, καὶ Χριστοφόρῳ τοῖς ὁσιωτάτοις ἐπισκόποις, καὶ Ἀμμωνίῳ τῷ θεοφιλεστάτῳ πρεσβυτέρῳ μου καὶ ἐκδίκῳ, καὶ Παύλῳ καὶ Μακαρίῳ τοῖς θεοσεβεστάτοις διακόνοις καὶ νοταρίοις, ἀνεζήτησα σὺν αὐτοῖς Ἄνθιμον τὸν εὐλαβῆ ἐν πλείστοις καὶ διαφόροις τόποις, ἐν οἷς τοῦτον εὑρεῖν ἐνομίσαμεν, καὶ οὐδαμοῦ τοῦτον εὑρεῖν ἠδυνήθημεν· καὶ τοῦτο δὲ διδάσκω τὴν ὑμετέραν ἁγιωσύνην, ὅτι προετέθη καὶ τὸ πρόγραμμα τῆς ὑμετέρας ἁγιωσύνης, καὶ οὐδὲ οὕτως αὐτὸν εὑρεῖν ἠδυνήθημεν.

Ἀμμώνιος πρεσβύτερος καὶ ἐκκλησιέκδικος εἶπε· Κατὰ τὰ κελευσθέντα παρὰ τῆς ὑμῶν ἁγιωσύνης ἐξῆλθον ἅμα τοῖς εἰρημένοις θεοφιλεστάτοις ἐπισκόποις, καὶ Ἰουλιανῷ τῷ θεοφιλεστάτῳ πρεσβυτέρῳ καὶ συνεκδίκῳ μου, καὶ Παύλῳ καὶ Μακαρίῳ τοῖς θεοφιλεστάτοις διακόνοις καὶ νοταρίοις, πρῶτον μὲν ἐν τῷ οἴκῳ, ἐν ᾧ κατήγετο Ἄνθιμος ὁ εὐλαβέστατος, ὥστε εὑρεθέντα αὐτὸν ἐκεῖσε, ἐμφανῆ αὐτῷ καταστῆσαι τὰ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου προσταχθέντα· καὶ τὰς θύρας τοῦ αὐτοῦ οἴκου ἠσφαλισμένας εὑρόντες ἔξωθεν διὰ κατήνας, ἐπυνθανόμεθα τῶν τε παρατυχόντων, καὶ τοῦ ὀστιαρίου τοῦ οἴκου, ποῦ ἄρα διάγει ὁ εἰρημένος εὐλαβέστατος ἀνήρ· οἱ δὲ ἔφασαν παντελῶς μὴ ἐπίστασθαι, μηδὲ γὰρ ὀφθῆναι αὐτὸν κατὰ τὸν αὐτὸν οἶκον ἐκ πλείστου χρόνου. ἐξήλθομεν δὲ καὶ ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου ἀρχαγγέλου Μιχαήλ· καὶ τοὺς ἐν αὐτῷ θεοσεβεστάτους κληρικοὺς συναγαγόντες, ὡρκώσαμεν, εἰ γε ἐπίστανται κατὰ τὸ αὐτὸ εὐκτήριον, ἢ ἐν ἑτέρῳ τόπῳ διάγειν τὸν εἰρημένον εὐλαβέστατον ἄνδρα· οἱ δὲ ἀπεκρίναντο μηδεμίαν παντελῶς τοιαύτην εἴδησιν περὶ αὐτοῦ ἔχειν. ἐξήλθομεν δὲ καὶ ἐν ἑτέροις διαφόροις τόποις τοῦτον ἀναζητοῦντες· καὶ οὐδαμῶς ἰσχύσαμεν καταλαβέσθαι, ἔνθα διάγει· πάντων ταὐτὰ ἀπομνυμένων, ὅτι οὐδαμῶς ἐπίστανται ποῦ νῦν ἐστι· διδάσκω δὲ τὴν ὑμῶν ἁγιωσύνην, ὡς καὶ τὸ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου γενόμενον πρόγραμμα, προσκαλούμενον τὸν εὐλαβέστατον Ἄνθιμον, παραγενέσθαι καὶ ἀπολογήσασθαι τῇ ἁγίᾳ ὑμῶν ταύτῃ συνόδῳ, προετέθεικαμεν δημοσίᾳ ἀπὸ ἡμερῶν ἑπτά· ὥστε καὶ δι' αὐτοῦ μανθάνοντα τὰ παρασταθέντα τῇ ὑμῶν ἁγιωσύνῃ ἐμφανῆ ἑαυτὸν καταστῆσαι, καὶ οὐδὲ οὕτω τὴν οἱανδήποτε δήλωσιν ἑαυτοῦ ἐποιήσατο.

Παῦλος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος εἶπε· Κατὰ πρόσταξιν δέσποτα τῆς ὑμετέρας μακαριότητος καὶ τῆς θείας ὑμῶν συνόδου ἀπήλθομεν ἅμα τοῖς προειρημένοις θεοφιλεστάτοις ἀνδράσι, καὶ Μακαρίῳ τῷ θεοσεβεστάτῳ συνδιακόνῳ μου καὶ νοταρίῳ ἐν διαφόροις τόποις· καὶ ἀναζητήσαντες Ἄνθιμον τὸν εὐλαβέστατον, τοῦτον εὑρεῖν οὐκ ἠδυνήθημεν.

Μακάριος ὁ θεοσεβέστατος διάκονος, νοτάριος, καὶ ἀποκρισιάριος εἶπε· Τοῖς ἅμα ἐμοὶ ἀποσταλεῖσιν ὁσιωτάτοις ἀνδράσιν ἀκολουθῶν, κἀγὼ τὰ αὐτὰ κατατίθημαι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος καὶ πᾶσα ἡ ἁγία σύνοδος εἶπε· Ἀναγινωσκέσθω καὶ τὸ προτεθὲν πρόγραμμα κατὰ τὴν ἤδη προελθοῦσαν ψῆφον. καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Μηνᾶς ἀρχιεπίσκοπος Ῥώμης Κωνσταντινουπόλεως καὶ οἰκουμενικὸς πατριάρχης, καὶ πᾶσα ἡ ἐνδημοῦσα τῇ αὐτῇ φιλοχρίστῳ νέᾳ Ῥώμῃ σύνοδος, Ἀνθίμῳ τῷ εὐλαβεστάτῳ.

Εἰ μέν τις ἦν σοι τοῦ προσήκοντος λόγος, καὶ τῶν ἐξηλεγμένων αὐτῶν μεταμελείας ἐλπὶς, οὐδὲν ἂν τῶν παρόντων ἐδέησε κηρυγμάτων· πάλαι δὲ ἂν τῷ τῆς ἀοιδίμου μνήμης πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητῷ φανερὰν τὴν σαυτοῦ γνώμην

scimus, quod neque viderunt eum, neque sciunt, ubi sit. Et non solum in iis locis, sed & in aliis locis fuimus nobis commemoratis. Et quibusdam pueris suis obviavimus, & interrogavimus eos: & secundum quod sanctissimi & Deoamantissimi viri, qui mecum missi sunt, sciunt, a nullo potuimus scire, ubi moratur sæpe dictus venerabilis Anthimus.

Julianus Deoamantissimus presbyter & ecclesiæ defensor, dixit: Secundum sanctum mandatum vestræ sanctitatis abiens simul cum Theagene, Baccho, & Christophoro sanctissimis episcopis, & Ammonio amantissimo compresbytero meo & defensore, Pauloque & Macario venerabilibus diaconis & notariis, quæsivi una cum ipsis venerabilem Anthimum in diversis locis & pluribus, in quibus ipsum invenire arbitrabamur: & nullibi ipsum invenire potuimus. Et hoc significamus vestræ sanctitati, quod proposita est & proclamatio vestræ sanctitatis: & neque sic ipsum invenire potuimus.

Ammonius Deoamantissimus presbyter, & ecclesiæ defensor, dixit: Juxta ea quæ jussa sunt a vestra sanctitate, fui una cum prædictis Deoamantissimis episcopis, & Juliano presbytero & condefensore meo, & cum Paulo & Macario venerabilibus diaconis & notariis, primum quidem in domo, in qua permanebat venerabilis Anthimus: ut eo ibidem invento, intimaremus ei, quæ a vestra sancta synodo mandata erant: & invenientes portas ipsius domus ab extra catena obseratas, interrogavimus eos, qui aderant, & ostiarium domus, ubinam moraretur prædictus venerabilis vir. Dixerunt nescire, neque vidisse ipsum ex plurimo tempore in ipsa domo. Venimus autem & in oratoriam domum sancti Michaëlis archangeli, & congregantes venerabiles ibidem clericos, adjuravimus, si sciunt prædictum venerabilem virum morari in ipso oratorio, aut in alio loco. Illi autem cum juramento responderunt nullam omnino talem scientiam de ipso habere. Fuimus autem & in diversis aliis locis, quærentes ipsum, & nullo modo valuimus comprehendere, ubi moratur: omnibus eadem affirmantibus, quod nullo modo sciunt, ubi nunc sit. Significo autem & vestræ sanctitati, quomodo & proscriptionem a sancta synodo vestra factam, rogantem venerabilem Anthimum venire, & respondere sanctæ huic synodo vestræ, publice proposuimus a septem diebus: ut & per ipsam sciat, quæ exhibita sunt vestræ sanctitati, & certus ipse constituatur: & neque sic ullam umquam sui demonstrationem fecit.

Paulus venerabilis diaconus & notarius dixit: Secundum præceptum vestræ dominationis & beatitudinis vestræ synodi, fuimus simul cum prædictis Deoamantissimis viris, & Macario condiacono meo & notario, ad diversa loca & quæsivimus venerabilem Anthimum, & eum invenire non potuimus.

Macarius venerabilis diaconus notarius & ambasiator dixit: Sequendo sanctissimos viros, qui simul mecum missi sunt, eadem & ego depono.

Sanctissimus archiepiscopus & tota synodus dixit: Legatur proscriptio proposita secundum jam præcedentem sententiam. Et accipiens Diodorus diaconus & notarius legit:

Menas archiepiscopus Constantinopolis Romæ & œcumenicus patriarcha, & tota synodus in ipsa Deo amata Roma Constantinopoli congregata, Anthimo venerabili.

Si quidem aliqua ratio conveniens tibi fuisset, & spes pœnitentiæ de peccatis commissis; nihil certe opus fuisset præsentium proclamationum. Sed olim sanctæ memoriæ Agapito Papæ antiquæ Romæ manifestam fecisti opinionem tuam, & jam in ipsis reprehen-

sibilibus dogmatibus incusationem emeruisti, cum A pontifex Trapezuntinus esses: sed neque inquisitionem illius sustinuisti: & cum a nobis tanto tempore ad pœnitentiam evocatus fueris, non moderatior te ipso factus es, & inobedientiam tuam meliorem sacerdotali humanitate, sicut visum est, ostendisti. Et quidem quæ a te gesta sunt, nulla venia digna sunt. Verumtamen adhuc hominum lubrico peccata adscribendo, & clementiam usque ad multum tempus erga eos, qui peccaverunt, & occasionem emendationis, licet tarde, sæpius factam invenientes; præsenti littera te provocamus, admonentes tuam venerabilitatem, non stare in ipsa contentione, usque ad finem, & venire ad sanctam synodum intra numerum sex dierum: B & opinionem, quam in rectis dogmatibus adeptus es, pura voce ostendere: palamque facere universis aliis, quanta potest ad revocationem his qui lapsi sunt, patrum mitissimorum, & judicum clementissimorum admonitio. Si vero & hanc nostram vocationem despexeris, tibi de cetero non in tempore locus pœnitentiæ erit: Nobis enim non aliunde, quam ex his quæ fecisti, ea quæ judicii sunt, inducentur. Subsignavi. Proposita mensis Maii die quintadecima, indictione quartadecima, post Consulatum Flavii Belisarii gloriosissimi.

Sanctissimus archiepiscopus dixit: Venerabiles diaconi & notarii, qui nobis subscribunt, edoceant nos, cujus rei gratia, cum sententia determinet dilationem C decem dierum, proclamatio proposita sex tantum dierum det terminum.

Notarii dixerunt: Edocemus quomodo sancta sententia terminum decem dierum dedit ad inquisitionem, & ad proclamationem: non autem jussit statim proclamationem proponi. Facta igitur ipsius inquisitione usque ad dies tres, & illo ignoto exsistente, necessarium fuit per reliquos septem dies proponi ipsam sanctam proscriptionem vestræ beatitudinis, & sanctæ synodi vobiscum congregatæ, quæ ipsi manifesta faciat ea, quæ a vobis ordinata sunt: illam igitur diem merito portat ipsa proclamatio, in qua apposita fuit.

Sanctissimus archiepiscopus dixit: Sanctissimi com- D ministri, qui nobiscum præsentes sunt ex regione Italiæ, & Deoamantissimi diaconi, & venerabilissimi notarii sedis Apostolicæ, audierunt supplicationes oblatas fidelissimo ac Deo custodito Imperatori nostro, & libellos oblatos sanctæ ac beatæ memoriæ Agapito, & accusationes quas fecerunt contra impium Anthimum apud nos illi, qui ipsos porrexerunt: & sicut accusatio in ipsum provenit super appropriatissimis: hoc quidem, quod non vult consentire rectis & apostolicis doctrinis veræ fidei nostræ: hoc vero quod ad errorem & hæresim Eutychis declinat, & depositos ac anathematizatos a sancta Chalcedonensi œcumenica synodo, & ab Apostolica sede, & ab ecclesiastico statu, qui ex illa usque nunc fuit, propter communicatio- E nem & opinionem ad Eutychen, amplexatur: respicientes ad synodales epistolas factas a sanctæ ac beatæ memoriæ patre nostro Agapito Papa antiquæ Romæ contra Anthimum: cogitantesque ipsius usque ad finem inobedientiam: & quod neque canonicis vocationibus obedire, neque accusationes in ipsum adductas repellere voluit: quam super his omnibus opinionem habent, dicere dignentur.

Et Menas in Deo venerabilis lector, & secundarius notariorum Apostolicæ sedis antiquæ Romæ, legit vocem, quæ sic habet:

A κατασκευασάμενος, καὶ τὴν ἐπὶ τοῖς ἤδη κατεγνωσμένοις δόγμασι μέμψιν ἀπολυσάμενος, ὅτε τῆς γοῦν Τραπεζουντίων ἱερᾶς ἐπεβαίνες. ἀλλ' οὔτε τὴν ὑπ' ἐκείνῳ ζήτησιν ὑπομείνας, ὑφ' ἡμῶν τε προσκεκλημένος πολλάκις, καὶ τοσοῦτον πρὸς μετάμελον χρόνου τυχὼν, οὐδὲν σαυτοῦ γέγονας μετριώτερος· ἱερατικῆς τε φιλανθρωπίας, ὡς ἔοικε, κρείττω τὴν ἑαυτοῦ δείξας ἀπείθειαν. καὶ ἦν μὲν οὐδὲ συγγνώμης ἄξια τὰ πεπραγμένα παρὰ σοῦ· πλὴν ἀλλ' ἔτι τῷ τῶν ἀνθρώπων ὀλισθηρῷ τὰ πταίσματα λογιζόμενοι, καὶ τὴν μέχρι πολλοῦ πρὸς τοὺς ἡμαρτηκότας ἀνεξικακίαν, βραδείας γοῦν ὅμως ἐπανορθώσεως προφάσεις πολλάκις γενομένην εὑρόντες, καὶ τῷ παρόντι σε προκαλούμεθα γράμματι, μὴ μέχρι παντὸς ἐπὶ τῆς αὐτῆς ἑστάναι φιλονεικίας, τὴν δὲ παρακινοῦντες εὐλάβειαν ἡμερῶν τε εἴσω τὸν B ἀριθμὸν ἓξ τῇ τε ἁγίᾳ παραγενέσθαι συνόδῳ, καὶ ἣν ἐπὶ τοῖς ὀρθοῖς κέκτησαι δόγμασι γνώμην καθαρᾷ διαδεῖξαι φωνῇ σαφές τε τοῖς ἄλλοις ἅπασι καταστῆσαι, ὁπόση πατέρων ἐπιεικῶν καὶ δικαστῶν ἔτι φιλανθρώπων παραίνεσις τοῖς ὀλισθήσασι δύναται πρὸς ἀνάκλησιν. εἰ γὰρ δὴ καὶ ταύτης ἡμῶν τῆς κλήσεως ὑπερίδοις, σοὶ τὸ ἐκ ἐν καιρῷ τὰ τῆς μετανοίας ἔσται λοιπὸν, ἡμῖν δὲ οὐχ ἑτέρωθεν ἢ ἐξ ὧν πέπραχας, τὰ τῆς κρίσεως εἰσαχθήσεται. ὑποσημειωσάμην ὑπογραφή· προετέθη μηνὶ Μαΐῳ πεντεκαιδεκάτῃ, ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης, μετὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ ἐνδοξοτάτου.

Ο ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ ὑπογράφοντες ἡμῖν εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι διδασκέτωσαν ἡμᾶς, τίνος C χάριν τῆς ψήφου δέκα ἡμερῶν προθεσμίαν ὁριζούσης, τὸ προτεθὲν πρόγραμμα ἓξ καὶ μόνον δίδωσι διορίαν.

Οἱ νοτάριοι εἶπον· Διδάσκομεν, ὡς ἡ μὲν ὁσία ψῆφος προθεσμίαν δέδωκεν ἡμερῶν δέκα, ἐπί τε τῇ ἀναζητήσει καὶ τῷ προγράμματι· οὐκ εὐθὺς δὲ παραχρῆμα τὸ κήρυγμα προτεθῆναι. γενομένης τοίνυν τῆς αὐτοῦ ἀναζητήσεως μέχρις ἡμερῶν τριῶν, καὶ ἐκείνου ἀφανοῦς ὑπάρχοντος, ἀναγκαῖον ἦν τὰς ὑπολοίπους ἑπτὰ ἡμέρας προτεθῆναι τὸ αὐτὸ ὅσιον πρόγραμμα τῆς τε ὑμετέρας μακαριότητος, καὶ τῆς συνούσης ὑμῖν ἁγίας συνόδου τὸ ποιοῦν αὐτῷ τὰ παρ' ὑμῶν προστεταγμένα φανερά. ἐκείνην τοίνυν εἰκότως τὴν ἡμέραν φέρει τὸ αὐτὸ κήρυγμα, καθ' ἣν καὶ προτέθειται.

Ο ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε. Οἱ ἐκ τῆς Ἰταλῶν χώρας D συμπαρόντες ἡμῖν ὁσιώτατοι συλλειτουργοὶ καὶ θεοφιλέστατοι διάκονοι, καὶ οἱ εὐλαβέστατοι νοτάριοι τῆς ἀποστολικῆς καθέδρας, ἐπακούσαντες τῶν τε ἐπιδεδομένων δεήσεων τῷ θεοφυλάκτῳ ἡμῶν καὶ πιστοτάτῳ βασιλεῖ, καὶ τῷ Ἀγαπητῷ τῷ τῆς ἁγίας καὶ μακαρίας μνήμης προσδεδομένων λιβέλλων, καὶ ὧν παρ' ἡμῖν αὐτῆς οἱ τούτους ἐπιδεδωκότες ἐποιήσαντο μέμψεων, κατὰ Ἀνθίμου * τοῦ εὐλαβοῦς· καὶ ὡς ἐπὶ τοῖς κυριωτάτοις ἡ ὑπ' αὐτῷ προήχθη κατηγορία· τοῦτο μὲν οὐχ ἑλομένου τοῖς ὀρθοῖς καὶ ἀποστολικοῖς τῆς ἀληθινῆς ἡμῶν πίστεως συγκατατίθεσθαι δόγμασι· τοῦτο δὲ, καὶ πρὸς τὴν Εὐτυχοῦς πλάνην τε καὶ κακοδοξίαν ἀποκλίναντος, καὶ τοὺς παρὰ τῆς ἐν Καλχηδόνι ἁγίας καὶ οἰκουμενικῆς συνόδου, καὶ τῆς ἀποστολικῆς καθέδρας, καὶ τῆς ἐξ ἐκείνου μέχρι νῦν κρατούσης ἐκκλησιαστικῆς καταστάσεως καθαιρεθέντας τε καὶ E ἀναθεματισθέντας διὰ τὴν πρὸς Εὐτυχῆ κοινωνίαν τε καὶ ὁμοφροσύνην περιπτυσσομένου· ἀφορῶντες δὲ καὶ πρὸς τὰς συνοδικὰς ἐπιστολὰς τὰς γενομένας παρὰ τοῦ τῆς ἁγίας καὶ μακαρίας μνήμης γενομένου ἡμῶν πατρὸς τῆς πρεσβυτέρας Ῥώμης πάπα Ἀγαπητοῦ κατὰ Ἀνθίμου. συλλογιζόμενοι δὲ καὶ τὴν μέχρι παντὸς αὐτοῦ ἀπείθειαν, μήτε κανονικαῖς κλήσεσιν εἶξαι, μήτε τὰς ἐπαχθείσας αὐτῷ μέμψεις ἀποδύσασθαι βουληθέντος, ἣν ἐπὶ τούτοις ἅπασι γνώμην ἔχουσιν, εἰπεῖν ἀξιούτωσαν.

Καὶ ἀνέγνω φωνὴν Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ δευτερεύων τοῦ νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, ἔχουσαν οὕτως.

* Legit interp. ἀσεβοῦς

Sanctissimi episcopi partium Italiæ, & viri venerabiles diaconi Apostolicæ sedis, dixerunt:

Definitionem sanctæ recordationis patris nostri quondam Papæ Agapiti, synodicis epistolis pro Mena san-

ctiſſimo archiepiſcopo hujus regiæ urbis Conſtantinopolitanæ factis, additam, de perſona Anthimi Trapezuntis quondam epiſcopi, nos ſequi per omnia profitemur.

Sanctiſſimus archiepiſcopus dixit: Et reliqua ſancta ſynodus nobiſcum congregata, quæ audivit omnia, quæ a principio ſuper materia contra Anthimum geſta ſunt, omnibuſque quæ a nobis dicta ſunt attendens, dignetur manifeſta facere, quæ vult provenire in Anthimum.

Sancta ſynodus per Hypatium ſanctiſſimum epiſcopum Epheſinum metropolitam provinciæ Aſianorum, dixit:

SENTENTIA SYNODI Conſtantinopolitanæ contra Anthimum.

Idem initium ſententiæ in Acacium epiſtola vi. Felicis III.

MUltarum tranſgreſſionum Anthimus reus demonſtratus eſt. Venerabiles quidem patrum leges tamquam non poſitas ad nihilum reputavit, & paulo minus ſuo exemplo omnem eccleſiaſticum ſtatum conturbavit, introducendo ſe in patriarchalem ſedem hujus regiæ urbis, quæ nullo modo ſibi convenit; communemque confuſionem ſacerdotibus Dei ac populis fideliſſimis operatus eſt. Quin immo non hoc ſolum ſibi ſtudium erat, ſed & Eutychis opinionem habet. Cumque ſic obtinere potuerit magnum pontificium, quemadmodum dictum eſt, paulatim putavit oportere depaſcere ſanctiſſimas Dei eccleſias tali morbo, & contrarium quam divinæ voces dicant, pro congregando rationales oves Dei, ovilis diviſiones excogitabat adverſus omnes, ut ita dicatur, eccleſias: ut periclitando unionem ſanctiſſimarum eccleſiarum, tantis piiſſimi Imperatoris noſtri laboribus reformatam in multas diviſiones ſcinderet. Denique paulatim hanc corruptionem ſignificabat, ſimulans quidem ſuſcipere ſanctas ſynodos: Nicænam dicimus contra impium Arrium, Conſtantinopolitanam contra hæreticum Macedonium, & Epheſinam primam contra impium Neſtorium, ac Chalcedonenſem contra impium Eutychem, ſaltem ipſas habens in ſacris diptychis: cum inſerta ipſis ſynodis eſſet ſancta memoria beatiſſimi Leonis Papæ: & nullo tempore aliter vel percipit, vel participat ſanctiſſimis Dei myſteriis, & celebritatem ipſorum prædicat, & in hac ſanctiſſima magna eccleſia facit: & reſiliens univerſaliter a rectis ipſorum confeſſionibus, neque magnorum pontificum, neque venerabilium Priorum, qui eum ob talia reprehendunt, voces omnino tolerat, aut aliquam defenſionem dat: quomodo non parvum ſingulo die affert ſcandalum in talibus: infidelibus quidem irridentibus, fidelibus vero dolentibus: ut qui parum credunt, adhuc magis conturbentur, & in pejus incidant. In talibus enim cum magnus Imperator ſeipſum diſpoſuerit, ad memoriamque ſibi revocaverit ſententiam Principis apoſtolorum, qua dicit: paratos nos ſemper eſſe oportere ad reſpondendum omni petenti rationem de ea, quæ in nobis eſt, ſpe; nihil plus juvit: ſed ad ejus ſerenitatem deceptibilibus rationibus uſus, promiſit omnia facere, quæcumque ſummus pontifex magnæ ſedis Apoſtolicæ decerneret: & ad ſanctiſſimos patriarchas ſcripſit ſequi per omnia Apoſtolicam ſedem. At magno Deo & Salvatore noſtro Jeſu Chriſto non permittente talia uſque in finem procedere, miſſus eſt huic regiæ urbi, ſecundum ipſius deitatem, Agapitus ſanctæ & beatæ memoriæ Papa beatiſſimus, qui ſtatim ſacris canonibus manum cum Deo porrexit, & ipſum de ſede ſibi non conveniente depulit, data venia his, qui talis rei participes aut communicatores ſunt: & regiæ ac Deo cuſtoditæ civitati ſacrum ornatum ſuum reddidit, cum oſtendit veſtram

1. Pet. 3. 15.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε. Καὶ ἡ λοιπὴ συνεδρεύουσα ἡμῖν ἁγία σύνοδος ἐπακούσασα πάντων, τῶν ἐξ ἀρχῆς ἐπὶ τῇ κατὰ Ἄνθιμον ὑποθέσει πραχθέντων, καὶ τοῖς παρ' ἡμῶν εἰρημένοις ἅπασι προσέχουσα, ἃ βούλεται προελθεῖν ἐπ' αὐτῷ, φανερὰ ποιῆσαι καταξιωσάτω.

Ἡ ἁγία σύνοδος διὰ Ὑπατίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας, εἶπε.

Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ψῆφος τῆς συνόδου, κατὰ Ἀνθίμου.

ΠΟλλῶν παραβάσεων Ἄνθιμος ὑπεύθυνος ἀποδέδεικται, τῶν μὲν πατρικῶν θείων θεσμῶν ὡς οὐδὲ κειμένων καταπεφρονηκώς, καὶ μικροῦ δεῖν τῷ κατ' αὐτὸν παραδείγματι πᾶσαν ἐκκλησιαστικὴν συνταράξας κατάστασιν, τῷ μηδαμόθεν αὐτῷ προσήκοντι πατριαρχικῷ θρόνῳ τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας ἐπεμβαλὼν ἑαυτὸν, καὶ κοινήν τινα σύγχυσιν τοῖς τε ἱερεῦσι τοῦ Θεοῦ, καὶ τοῖς πιστοτάτοις λαοῖς ἐργασάμενος· καίτοι οὐδὲ τοῦτο μόνον αὐτῷ κατὰ τῶν ἁγιωτάτων ἐκκλησιῶν ἐσπουδάζετο, τὴν Εὐτυχοῦς δὲ δόξαν λανθάνουσαν ἔχων, ἐπειδὴ τῆς οὕτω μεγάλης ἀρχιερωσύνης ἐγκρατὴς ἠδυνήθη γενέσθαι, καθ' ὃν εἴρηται τρόπον, κατὰ μικρὸν ᾤετο δεῖν τὴν τοιαύτην αὐτοῦ νόσον ἐπινέμεσθαι ποιεῖν τὰς ἁγιωτάτας τοῦ Θεοῦ ἐκκλησίας, καὶ τοὐναντίον, ἤπερ αἱ θεῖαι φωναὶ λέγουσιν, ἀντὶ τοῦ συνάγειν τὰ λογικὰ τῆς ποίμνης τοῦ Θεοῦ πρόβατα, διαιρέσεις ἐμηχανᾶτο κατὰ πάσης ὡς εἰπεῖν ἐκκλησίας, ὡς κινδυνεύσαι τὴν τοσούτοις κατορθωθεῖσαν πόνοις τοῦ φιλοχρίστου ἡμῶν βασιλέως τῶν ἁγιωτάτων ἐκκλησιῶν ἕνωσιν, εἰς πολλὰς διαιρέσεις ἐν βραχεῖ χρόνῳ κατατεμεῖν· ἀμέλει κατὰ μικρὸν παρεδήλου τὴν τοιαύτην διαφθορὰν, σχηματιζόμενος μὲν δέχεσθαι τὰς ἁγίας συνόδους, τὴν ἐν Νικαίᾳ φαμὲν κατὰ τοῦ δυσσεβοῦς Ἀρείου, καὶ τὴν ἐν Κωνσταντινουπόλει τὴν κατὰ τοῦ δυσσεβοῦς Μακεδονίου, καὶ τὴν ἐν Ἐφέσῳ πρώτην, τὴν κατὰ τοῦ δυσσεβοῦς Νεστορίου, καὶ τὴν ἐν Καλχηδόνι τὴν κατὰ τοῦ δυσσεβοῦς Εὐτυχοῦς· κἂν τοῖς ἱεροῖς αὐτὰς ἔχων διπτύχοις, συγκειμένης αὐταῖς καὶ τῆς τοῦ μακαρίου πάπα Λέοντος μνήμης, κατὰ μηδένα χρόνον ἑτέρως ἢ μεταλαβὼν, ἢ μεταδιδοὺς τῶν παναγίων τοῦ Θεοῦ μυστηρίων, ἑορτήν τε αὐτῶν κηρύττων, καὶ ἐπὶ τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας ποιῶν· ἀποπηδῶν δὲ καθόλου τῶν ὀρθῶν αὐτῶν ὁμολογιῶν, καὶ οὐδὲ μεγάλων ἀρχιερέων, οὔτε μὴν εὐλαβεστάτων ἡγουμένων, ὑπὲρ τῶν τοιούτων ἐπισκηπτόντων αὐτῷ, παντελῶς ἀνεχόμενος, ἢ τὴν τυχοῦσαν ἀποδιδοὺς ἀπολογίαν· ὡς οὐ σμικρὸν ἑκάστης ἡμέρας αἴρεσθαι τὸ ἐπὶ τούτοις σκάνδαλον, τῶν μὲν ἀπίστων ἐπιγελώντων, τῶν δὲ πιστῶν ὀδυρομένων. καὶ τῶν ὀλιγοπίστων ἔτι μᾶλλον θορυβουμένων τε καὶ εἰς τὸ χεῖρον καταπιπτόντων. ἐπὶ ταῖς τοιούταις καὶ βασιλεὺς ὁ μέγας ἑαυτὸν καθεὶς, καὶ τῆς τοῦ πρώτου τῶν ἀποστόλων ἀναμνήσας αὐτὸν ὑφηγήσεως, ἥ φησιν, ἐπείγεσθαι ἡμᾶς ἀεὶ χρῆναι γίνεσθαι πρὸς ἀπολογίαν παντὶ τῷ ἀπαιτοῦντι λόγον περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, πλέον οὐδὲν ὤνησεν· ἀλλὰ καὶ πρὸς τὴν αὐτοῦ γαληνότητα λόγοις ἀπατηλοῖς χρησάμενος, ἐπηγγέλλετο πάντα ποιήσειν, ὅσα ὁ τῆς μεγάλης ἀποστολικῆς καθέδρας ἀρχιερεὺς ὑφηγήσαιτο· καὶ πρὸς δὲ τοὺς ἁγιωτάτους πατριάρχας ἔγραψεν, ἀκολουθεῖν διὰ πάντων τῇ ἀποστολικῇ καθέδρᾳ. Τοῦ μεγάλου δὲ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μὴ μέχρι παντὸς τὰ τοιαῦτα προϊέναι συγχωροῦντος, ἐπέστη ταύτῃ τῇ βασιλίδι πόλει, κατὰ τὴν αὐτοῦ θέαν, Ἀγαπητὸς ὁ τῆς ἁγίας καὶ ἀοιδίμου μνήμης ὁ μακαριώτατος πάπας· καὶ τοῖς μὲν ἱεροῖς κανόσιν εὐθὺς μετὰ Θεοῦ χεῖρα ὀρέξας, τὸν μὲν τῆς οὐ προσηκούσης αὐτῷ καθέδρας ἀπήλασε, συγγνώμης δὲ τοὺς μετασχόντας ἤτοι κεκοινωνηκότας τοῦ τοιούτου πράγματος μετέδωκε· καὶ τῇ βασιλίδι καὶ φιλοχρίστῳ πόλει, τὸν ἑαυτῆς ἱερατικὸν ἀποδέδωκε κόσμον, τὴν ὑμετέραν ἀναδείξας

beatitudinem huic sacræ magnæ sedi præesse. Quoniam vero & in dogmatibus impietatis quæ prope sibi infinita crimina impendit, supplicationesque & libelli multi porrecti sunt piissimo Imperatori nostro, & beatissimo Papæ, a diversis venerabilibus viris: & multis quidem sudoribus ipse beatissimus Papa animam ipsius paternaliter revocare studuit; sic tamen insanabiliter habere invenit, & pia dogmata recusantem; insuper etiam & criminantem vocem illam de duabus naturis, (quod adversus Eutychem maxime sancta Chalcedonensis synodus definivit:) prorsus negando: & recte condemnatos a sancta synodo recusantem evitare, immo e contra ipsos amplexantem; & quantum in ipso est, studentem ostendere Dioscorum & ipsum Eutychem prorsus insontes, inter quos hæreticare deprehensus est: sententiam profert in scriptis plenam clementia & decenti sanctitate, differens ei tempus pœnitentiæ: decernensque, donec a tali opinione mutatus satisfecerit his, quæ a sanctis patribus doctrinaliter & canonice diffinita sunt, ipsum non habere nomen catholici, neque sacerdotis. Hæc autem secutus piissimus Imperator noster, respiciensque ad supplicationes, suæ serenitati a diversis personis venerabilibus porrectas, vestramque beatitudinem & nos omnes in ipsum super isto convenire, bene satisfaciendo, justum judicavit. Nosque venerabiles canones sanctorum patrum nostrorum sequentes, sacris vocationibus ipsum advocavimus, & tempus pœnitentiæ ei dedimus, & latenti ac medelam recusanti proclamatione manifesta fecimus, quæ a nobis facta sunt. Cumque in his omnibus ipsum ad conversionem adducere non potuerimus, apertam hanc ipsius hæresis demonstrationem accipientes, sequentesque ea, quæ a beatissimo Papa bene examinata sunt, conspicimus (si hoc vobis adstaret) omnino ipsum tanquam membrum inutile & putridum abjici de corpore sanctarum Dei ecclesiarum, & extra episcopatum Trapezuntinum esse, & alienum ab omni sacra dignitate & potestate, & juxta ipsius sanctissimi Papæ sententiam, a catholica appellatione.

A μακαριότητα τῆς μεγάλης ταύτης ϗ ἱερᾶς ἡγεῖσθαι καθέδρας. ἐπειδὴ δὲ ϗ τῆς ἐπὶ τοῖς δόγμασιν ἀσεβείας, ἐγκλήματα αὐτῷ μυρία εἰκότως ἐπεφέρετο, δεήσεις τε ϗ λίβελλοι πολλοὶ τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ, ϗ αὐτῷ τῷ μακαριωτάτῳ πάπᾳ παρὰ διαφόρων εὐλαβῶν ἀνδρῶν ἐπεδίδοντο· πολλοῖς μὲν ἱδρῶσι τὴν αὐτοῦ ψυχὴν ἀνακαλέσασθαι πατρικῶς ἐσπούδασεν ὁ αὐτὸς ἁγιώτατος πάπας. ὡς δὲ ἀνιάτως ἔχοντα εὗρε, ϗ τὰ μὲν εὐσεβῆ δόγματα παραιτούμενον, καὶ προσέτι γε διαβάλλοντα ϗ τὴν ἐν δύο φύσεσι φωνὴν, τοῦτο ὅπερ κατὰ Εὐτυχοῦς μάλιστα ἡ ἐν Καλχηδόνι ἁγία διώρισε σύνοδος, καθάπαξ ἀρνούμενον· τοὺς δὲ ὀρθῶς κατακριθέντας ὑπὸ τῆς αὐτῆς ἁγίας συνόδου παραιτούμενον ἀποσείσασθαι· τοὐναντίον μὲν οὖν ϗ περιπτυσσόμενον αὐτοὺς, ϗ τό γε ἐπ' αὐτῷ, Διόσκορόν τε ϗ αὐτὸν Εὐτυχέα δεικνύναι σπουδάζοντα καθάπαξ ἀθῴους, ἐφ' οἷς ἑάλω κακοδοξῶν· ψῆφον ἐν γράμμασιν ἐξάγει φιλανθρωπίας τε ἅμα καὶ ἁγιοπρεποῦς ὁσιότητος μεστήν· ἐνδίδωσι μὲν αὐτῷ μετανοίας καιρὸν, ἀποφηνάμενος δὲ ἕως πρὸς τὴν τοιαύτην γνώμην μεταβαλὼν, τὸ ἱκανὸν τοῖς παρὰ τῶν ἁγίων πατέρων διωρισμένοις δογματικῶς τε καὶ κανονικῶς ποιήσει, μήτε καθολικοῦ, μήτε ἱερέως αὐτὸν ἔχειν ὄνομα. τούτοις ἑπόμενος ὁ φιλόχριστος ἡμῶν βασιλεὺς, ἀπιδὼν δὲ καὶ εἰς τὰς ἐπιδεδομένας τῇ αὐτοῦ γαληνότητι παρὰ τῶν διαφόρων εὐλαβῶν προσώπων δεήσεις, τήν τε ὑμετέραν μακαριότητα καὶ ἡμᾶς σύμπαντας, εἰς ταυτὸν ἐπὶ τούτῳ συνελθεῖν εὖ ποιῶν, ἐδικαίωσε· ϗ τοῖς θείοις τῶν ἁγίων ἡμῶν πατέρων ἀκολουθοῦντες κανόσι, κλήσεσί τε ἱεραῖς αὐτὸν προσεκαλεσάμεθα, καὶ καιρὸν αὐτῷ μετανοίας ἐνδεδώκαμεν· καὶ ἀποκρυπτόμενον, ϗ τὴν ἰατρείαν ἀπαγορεύοντα, ϗ κηρύγμασι δῆλα τὰ παρ' ἡμῶν ἐποιοῦμεν. ὡς δὲ τούτοις ἅπασιν αὐτὸν εἰς ἐπιστροφὴν ἀγαγεῖν οὐκ ἰσχύσαμεν, σαφῆ ταύτην ἀπόδειξιν τῆς αὐτοῦ κακοδοξίας λαβόντες, ἀκολουθοῦντες δὲ ϗ τοῖς ὑπὸ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα καλῶς διεσχηματισμένοις, συνορῶμεν, εἰ τοῦτο ὑμῖν παρασταίη, καθάπαξ αὐτὸν ὡς μέλος ἀχρεῖον καὶ σαπρὸν ἀποβληθῆναι τοῦ σώματος τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, ϗ τῆς Τραπεζουντίων ἐπισκοπῆς ἔξω γενόμενον, ϗ πάσης ἱερᾶς ἀλλοτριούμενον ἀξίας ϗ ἐνεργείας, καὶ κατὰ τὴν αὐτοῦ τοῦ ἁγιωτάτου πάπα ψῆφον, τῆς τοῦ καθολικοῦ προσηγορίας.

Sententia Menæ contra Anthimum.

Sanctissimus ac beatissimus œcumenicus patriarcha & archiepiscopus dixit: Cum Salvator noster Jesus Christus verus Deus noster dederit potestatem propriis sacerdotibus evellendi, & plantandi; demoliendi, & ædificandi; oravimus quidem omne tempus nobis esse ædificandi & plantandi, nullum autem evellendi & demoliendi. Sed dira est (ut videtur) veritatis transgressio, & via maxima ad perditionem his qui usi sunt. Est enim diligenter considerantibus voluntatem Anthimi videre, [a] in ipsum multas sacras sanctiones transgressas. Nam erga divinum non servavit confessionem: sed exinde a spe separatus, quomodo non visus est esse contrarius accusator proprii defectus? Hanc itaque & nos tanquam quamdam usurpationem ulceris insanabilis sistere conabimur, si excisionem membri quod passum est faciemus: Circumsentientes dolorem illinc eventurum, necessitati sumus venire ad præsentem sententiam. Ducimur quidem ex hac mœroribus: sed universum plus tribuimus communi utilitati catholicæ ecclesiæ quilibet nostrum, quam suis propriis compassionibus. Quia igitur diversæ in ipsum consultive & canonice quærimoniæ factæ sunt, & quidem sanctæ memoriæ Agapitus, Papa Romanus, pœnitentiæ tempus ei dans, usquequo universa, quæ a sanctis patribus diffinita sunt, visus fuerit recepisse; neque sacerdotis, neque catholici nomen ipsum habere permit-

[a] Pro ab ipso.

Ψῆφος Μηνᾶ κατὰ Ἀνθίμου.

D Ὁ ἁγιώτατος ϗ μακαριώτατος οἰκουμενικὸς ἀρχιεπίσκοπος ϗ πατριάρχης Μηνᾶς εἶπε· Τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, δεδωκότος ἐξουσίαν τοῖς οἰκείοις ἱερεῦσιν, ἐκτίλλειν τε ϗ καταφυτεύειν, καθαιρεῖν τε καὶ οἰκοδομεῖν, ηὐχόμεθα τοῦ μὲν οἰκοδομεῖν τε ϗ καταφυτεύειν ἅπαντα ἡμῖν εἶναι καιρὸν, μηδένα δὲ τοῦ ἐκτίλλειν τε ϗ καθαιρεῖν. ἀλλὰ δεινὸν, ὡς ἔοικεν, ἡ τῆς ἀληθείας παράβασις, καὶ μεγίστη τοῖς χρησαμένοις ὁδὸς πρὸς ἀπώλειαν. ἔνεστι γὰρ ἀκριβῶς σκοπουμένοις τὴν Ἀνθίμου προαίρεσιν, πολλοὺς εἰς αὐτὸν ἱερατικοὺς ἰδεῖν παραβαθέντας θεσμούς. ὁ δὲ τὴν πρὸς τὸ θεῖον οὐ διατηρήσας ὁμολογίαν, ἀλλὰ καὶ τῆς ἐκεῖθεν ἀναχωρήσας ἐλπίδος, πῶς οὐ τῆς οἰκείας ἄντικρυς εἶναι δόξειε κατήγορος ἀ-E πωλείας; ταύτην τοιγαροῦν ϗ ἡμεῖς ὥσπερ τινὰ ἕλκους τῶν ἀνιάτων νομὴν ἐπισχήσειν οἰόμεθα, εἰ τὴν τοῦ πεπονθότος μέλους ἐκτομὴν ποιησόμεθα, προφρονοῦντες τὴν ἐντεῦθεν συμβησομένην ὀδύνην, πρὸς τὴν παροῦσαν ἐλθεῖν ἠναγκάσμεθα ψῆφον· βαλλόμενοι μὲν ταῖς ἐκ ταύτης ἀνίαις· τῷ δὲ κοινῷ τῆς καθολικῆς ἐκκλησίας συμφέροντι τὸ σύμπαν νέμοντες, ἤπερ ταῖς αὐτοῦ ἕκαστος ἡμῶν οἰκείαις συμπαθείαις. ἐπειδὴ γὰρ διαφόρων ἐπ' αὐτῷ μέμψεων δογματικῶν καὶ κανονικῶν γενομένων, ὁ μὲν τῆς ὁσίας μνήμης πάπας τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητὸς, μεταμελείας αὐτῷ καιρὸν ἐνδιδοὺς, ἕως ἂν ἅπαντα τὰ τοῖς ἁγίοις πατράσι διωρισμένα φανείη δεξάμενος, οὐδὲ ἱερέως, οὐδὲ καθολικοῦ προσηγορίαν αὐτὸν ἔχειν συγχωρεῖ-

ἡμεῖς δὲ, καὶ γὰρ περὶ τῶν αὐτοῦ ἐνοχλουμένοις περιορᾷν οὐκ ἐνῆν τὰ λεγόμενα, τὴν ἱερεῦσι πρέπουσαν ἐπὶ τοῖς τοιούτοις ὁδὸν μετιόντες, κανονικαῖς αὐτὸν ἐκαλέσαμεν κλήσεσιν, ἀνακωχάς τε παρεσχόμεθα πρὸς μετάγνωσιν. καὶ τὸ δὴ πέρας, οὐδὲ τῶν εἰθισμένων ἀπεσχόμεθα προγραμμάτων. ὁ δὲ τοσοῦτον ἐδέησε τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς, ἢ τῆς τῶν προσηγγελμένων ἀπολογίας, ὡς μηδὲ παραγενέσθαι καθάπαξ, μηδὲ αὐτὴν γοῦν τὴν παρ' ἡμῶν ἐξέτασιν ὑποστῆναι. καὶ γὰρ ἦν αὐτοῦ κατήγορος, ὡς ἔοικεν, ἡ συνείδησις, καὶ τὸ τῆς ἐγκεκληκότος ὑποχωρεῖν, καθαρὰν εἶναι τοῦ πταίσματος συγκατάθεσιν. ψυχή τε πλημμελεῖν εἰθισμένη, δύσκολος εἰς μετάνοιαν· κἂν ὅτι μάλιστα πολλὰ ᾖ τὰ εἰς ταύτην ἀνθέλκοντα. ὅθεν ἐπιδακρύσαντες τῇ ἀμεταμελήτῳ τῆς αὐτοῦ προαιρέσεως ἀπειθείᾳ, καὶ τῇ [a] καταλαβούσῃ τὴν ἐκείνου ψυχὴν ἐπιστενάζοντες πλάνῃ· ἑπόμενοι τῇ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν παναγίᾳ φωνῇ, διδασκούσῃ μηδὲ τῶν οἰκείων φείδεσθαι μελῶν, εἴ πως ἡμῖν σκανδάλου παραίτια γίνοιντο, ἀλλὰ καὶ τὴν τούτων ἐκτομὴν ποιεῖσθαι παρεγγυώσῃ, πρὸς τὴν τοῦ παντὸς ἀκεραιότητα σώματος· ἀποβλέποντες δὲ καὶ πρὸς τὰ πρῴην ψηφισθέντα παρὰ τοῦ ἐν ἁγίοις Ἀγαπητοῦ τοῦ τῆς ὁσίας μνήμης πάπα τῆς πρεσβυτέρας Ῥώμης· καὶ ὡς οὐδὲ καιρὸν λαβὼν μετανοίας, εἵλετο τῆς καλλίονος γνώμης [b] γενέσθαι, τοὺς ὑπ' αὐτοῦ σκανδαλισθέντας πληροφορῆσαι· καὶ μὴν καὶ πρὸς τὰ νῦν παρὰ τῆς συνούσης ἡμῖν ἁγίας κεκριμένα συνόδου, καὶ τῆς Τραπεζουντίων τὸν αὐτὸν Ἄνθιμον ἱερωσύνης ἔξω καθεστάναι συγχωροῦμεν· πάσης τε ἑτέρας αὐτὸν ἱερατικῆς προσηγορίας ἅμα καὶ ἀξίας καὶ ἐνεργείας ἀλλότριον εἶναι τοῦ λοιποῦ, καὶ ὅλως τοῦ ἐν ὀρθοδόξοις ἀριθμεῖσθαι ψηφιζόμεθα· οὐδὲ τῆς αὐτῆς Τραπεζουντίων ἔτι καθάπαξ, οὐδὲ τῆς βασιλίδος ταύτης ἐπιβῆναι δυνάμενον πόλεως.

[a] al. περιβαλούσῃ.

[b] al. φοβερός.

Καὶ μετὰ τὸ ἀναστῆναι τὴν ἁγίαν σύνοδον, οἱ ἐκ τῆς ἀνατολικῆς, καί τινες δὲ τῶν ἄλλων ἐπισκόπων, καὶ οἱ μοναχοὶ, καὶ οἱ κληρικοὶ ἐβόησαν·

Πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. Πέτρον, καὶ Ζωορᾶν, καὶ Σευῆρον, ἄρτι ἀναθεμάτισον. τοὺς ἐχθροὺς τοῦ Θεοῦ, ἄρτι ἀναθεμάτισον. ὀρθόδοξον βασιλέα ἔχων, τί φοβῆσαι; τοὺς παραβαπτιστὰς ἔξω βάλε. καὶ ἐπιδιδόντων τῶν μοναχῶν Ἱεροσολύμων χάρτην, ἅπαντες ἐβόησαν· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τὸν λίβελλον τῶν μοναχῶν ἄρτι δέξαι, ὁ λίβελλος ἄρτι ἀναγνωσθήτω· τοὺς κατ' οἶκον βαπτίζοντας ἔξω βάλε. τὸ σπήλαιον τοῦ Ζωορᾶ ἄρτι στρέψον. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. τὸν παραβαπτιστὴν ἄρτι ἀναθεμάτισον. τοῦ Χριστιανοῦ βασιλέως πολλὰ τὰ ἔτη, ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη· τὰ σπήλαια τῶν αἱρετικῶν ἄρτι καιέσθω· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τὰ μοναστήρια Πέτρου ἄρτι στρέψον· νικᾷ ἡ πίστις τοῦ βασιλέως. ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; Πέτρος μοναστήρια διατί ἔχει; πάντας τοὺς αἱρετικοὺς ἐκεῖ ἔχει· Σευῆρον καὶ Πέτρον καὶ Ζωορᾶν ἄρτι ἀναθεμάτισον. ἡ τριὰς τοὺς τρεῖς ἀναθεματίζει· ἀνάθεμα Σευήρῳ καὶ Πέτρῳ, καὶ Ζωορᾷ. Σευῆρον τὸν Μανιχαῖον ἄρτι ἀναθεμάτισον· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· τοὺς ἐχθροὺς τοῦ Χριστοῦ ἄρτι ἀναθεμάτισον, τοὺς αἱρετικοὺς ἄρτι ἀναθεμάτισον, τοὺς ἀναθεματισθέντας ἄρτι ἀναθεμάτισον· νικᾷ ἡ πίστις τῶν Χριστιανῶν.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· Νομίζομεν μηδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν τὴν προαίρεσιν καὶ τὸν ζῆλον τοῦ εὐσεβοῦς καὶ θεοφυλάκτου ἡμῶν βασιλέως, ὃν ἐπὶ τῇ ὀρθοδόξῳ ἡμῶν ἔχει πίστει· καὶ προσήκει μηδὲν τῶν ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κινουμένων παρὰ γνώμην αὐτοῦ καὶ κέλευσιν γίνεσθαι. παρακαλοῦμεν τοίνυν τὴν ὑμετέραν ἀγάπην ἐπὶ τοῦ παρόντος ἡσυχάσαι, ὥστε καιρὸν ἡμᾶς λαβεῖν ἀνενεγκεῖν εἰς τὰς εὐσεβεῖς αὐτοῦ ἀκοὰς τὰ παρ' ὑμῶν ἐκβοηθέντα. ἡμεῖς γὰρ, ὡς καὶ ἡ ὑμῶν ἐπίσταται ἀγάπη, τῷ ἀποστολικῷ θρόνῳ ἐξακολουθοῦμέν τε, καὶ πειθόμεθα, καὶ τοὺς κοινωνοὺς αὐτοῦ, κοινωνοὺς ἔχομεν· καὶ τοὺς αὐτοῦ κατακριθέντας, καὶ ἡμεῖς κατακρίνομεν.

A tit. Nos autem, quia non est possibile, molestatos de ipsis despicere quæ dicuntur, via sacerdotibus conducenti in talibus ambulantes, canonicis ipsum induximus vocationibus, induciasque tribuimus ad recognitionem: &, quod jam ultimum est, neque a consuetis proscriptionibus abstinuimus. Ipse vero tantum abhorrebat ad melius mutatione, [a] quam defensione denuntiatorum, quod nec omnino venire voluerit, nec hic videlicet inquisitionem a nobis factam sustinere. Nam erat ei accusator, ut videtur, conscientia: & cedendo accusatoribus, induxit delicti consensionem. Et anima peccare consueta difficilis ad pœnitentiam; etsi maxime multa fuerint ad hanc trahentia. Unde super impœnitenti inobedientia voluntatis ipsius lacrymantes; & super errore, qui illius animam apprehendit, ingemiscentes, sequendo sanctissimam vocem magni Dei & Salvatoris nostri, quæ docet non parcere propriis membris, si alicujus scandali causa nobis fiunt; sed ipsius incisionem facere insinuat, ad integritatem totius corporis: respicientesque ad ea, quæ pridie a sanctæ memoriæ Agapito Papa antiquæ Romæ; & quod nullum pœnitentiæ tempus accipiat, nec elegit melioris opinionis esse, satisfaciendo his, qui ab ipso scandalizati sunt; atque etiam ad quæ nunc judicata sunt a sancta synodo nobiscum existente: ipsum Anthimum constitui extra pontificium Trapezuntinum concedimus: & ipsum alienum esse ab omni alia sacra appellatione, simul & dignitate, ac efficacia de cetero, & omnino inter orthodoxos non numerari sententiamus: neque posse ascendere omnino ad ipsam Trapezuntinam, neque ad hanc regiam urbem.

[a] Pro an.

Et postquam sancta synodus surrexit; qui de Oriente erant, & quidam ex aliis episcopis, & monachi ac clerici clamaverunt:

Multi anni Imperatoris: multi anni Patriarchæ. Petrum, Zoaram, & Severum modo anathematiza. Orthodoxum Imperatorem habes, quid times? Eos qui parabaptizant, ejice foras. Et cum monachi Hierosolymorum porrexerunt chartam, universi clamaverunt: Multi anni Patriarchæ: libellum monachorum modo suscipe, libellus modo legatur. Eos qui per domum baptizant, ejice foras: speluncam Zoaræ modo everte: multi anni Patriarchæ. Parabaptistam modo anathematiza. Christiani Imperatoris multi anni, orthodoxi Imperatoris multi anni. Speluncæ hæreticorum modo incendantur. Multi anni Patriarchæ: monasteria Petri modo everte: vincit fides Imperatoris. Orthodoxus regnat, quem times? Petrus quare habet monsteria? omnes hæreticos ibi habet. Severum, Petrum, & Zoaram, modo anathematiza. Trinitas tres anathematizat. Anathema Severo, Petro, & Zoaræ. Severum Manichæum modo anathematiza. Vincit fides Christianorum, multi anni Patriarchæ: inimicos Christi modo anathematiza. Hæreticos modo anathematiza: anathematizatos modo anathematiza: vincit fides Christianorum.

Matth. 5.

Sanctissimus archiepiscopus dixit: Putamus caritatem vestram non ignorare voluntatem & zelum pii Imperatoris nostri, quem habet ad orthodoxam fidem nostram: & nihil eorum, quæ in sanctissima ecclesia moventur, convenit fieri præter opinionem & jussum ipsius. Rogamus itaque vestram caritatem inpræsentiarum quiescere, ut nos tempus accipiamus adducere ad pias suas aures ea, quæ a nobis exclamata fuerunt. Nos enim, sicut scit vestra caritas, Apostolicam sedem sequimur & obedimus: & ipsius communicatores, communicatores habemus: & condemnatos ab ipsa, & nos condemnamus.

A

Subscriptiones.

Menas Dei miseratione episcopus Constantinopolitanus, diffinivi & subscripsi.

Hypatius Dei miseratione episcopus Ephesinus metropolita provinciæ Asianorum, definivi & subscripsi.

Constantinus Dei miseratione episcopus Heracleæ a Deo amatæ metropolis provinciæ Europæ, sanctæ Dei catholicæ ecclesiæ & apostolicæ ecclesiæ, definivi & subscipsi.

Eusebius episcopus Cyzici, definivi & subscripsi.

Ego Sabinus episcopus sanctæ ecclesiæ Canusinæ definitionem sanctæ recordationis patris nostri Papæ Agapiti, de persona Anthimi quondam Trapezuntini episcopi sequendo in omnibus subscripsi.

Ego Epiphanius episcopus sanctæ ecclesiæ [a] Asculanæ, definitionem
& reliqua similiter per litteras Latinas.

Ego Asterius episcopus sanctæ ecclesiæ Salernitanæ, definitionem
& reliqua similiter per litteras Latinas.

Ego Rusticus episcopus sanctæ ecclesiæ Fesulanæ, definitionem
& reliqua similiter.

In nomine Domini nostri Jesu Christi, Leo episcopus ecclesiæ Nolanæ, definitionem
& reliqua similiter.

Theophanes diaconus sanctæ ecclesiæ Romanæ, definitionem
& reliqua similiter.

Pelagius diaconus sanctæ ecclesiæ Romanæ, definitionem
& reliqua similiter.

B

Anastasius Dei miseratione episcopus Nicænæ metropolis provinciæ Bithyniorum, per lectionem, sciens, quæ facta sunt, assentiens omnibus definitis, subsignavi.

Auxentius Dei miseratione episcopus [b] Sebastensis, per lectionem, *& reliqua.*

Theodulus episcopus Iconiensis metropolis, subscripsi.

Theagenes episcopus Synnadorum, definivi & subscripsi.

Bacchus episcopus Antiochiæ provinciæ Pisidarum, definivi & subscripsi.

C

Mamas episcopus Melitenes, definivi & subscripsi.

[c] Hilarius episcopus Pergensis, definivi & subscripsi.

Bosphorius episcopus Neocæsareensis [d], subscripsi.

Paulus episcopus Tyanensis, definivi & subscripsi.

Conon episcopus Sidensis, definivi & subscripsi.

Acacius episcopus Pessinuntinus, definivi & subscripsi.

Procopius episcopus Gangrensis, definivi & subscripsi.

Petrus episcopus Justinianopolitanus [e], definivi & subscripsi.

Marcus episcopus Apameæ [f], definivi & subscripsi.

Hedistus episcopus Cii definivi & subscripsi.

D

Hyacinthus episcopus Melitinensis, definivi & subscripsi.

Joannes episcopus Bosphoriensis, definivi & subscripsi.

Thalassius episcopus Berytius, definivi & subscripsi.

Magnus episcopus [g] Berrhœanus * provinciæ gentus Syriorum, definivi & subscripsi.

Subscriptiones per litteras Syrias.

Christophorus episcopus Porphyreonius provinciæ Phœniciæ, definivi & subscripsi.

E

Etherius episcopus Mariammius, [h] definivi & subscripsi.

Domitianus episcopus [i] Zecchlanus, definivi & subscripsi.

Eusebius episcopus [k] antiquæ civitatis, definivi & subscripsi.

Athanasius episcopus [l] Jotapæ, definivi & subscripsi.

Domnus episcopus Maximianopolitanus, definivi & subscripsi.

Archelaus episcopus Corycensis, definivi & subscripsi.

ΥΠΟΓΡΑΦΑΙ.

Μηνᾶς ἐλέῳ Θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης, ὁρίσας ὑπέγραψα.

Ὑπάτιος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας, ὁρίσας ὑποσημηνάμην.

Κωνσταντῖνος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν τὴν φιλόχριστον μητρόπολιν τῆς Εὐρωπαίων ἐπαρχίας ἁγίας, τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Εὐσέβιος ἐπίσκοπος Κυζίκου, ὁρίσας ὑποσημηνάμην.

καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαϊκῶν γραμμάτων.

καὶ τὰ λοιπὰ διὰ Ῥωμαϊκῶν ὁμοίως.

καὶ τὰ λοιπὰ ὁμοίως.

καὶ τὰ λοιπὰ ὁμοίως.

καὶ τὰ λοιπὰ διὰ Ῥωμαϊκῶν ὁμοίως.

καὶ τὰ λοιπὰ διὰ Ῥωμαϊκῶν ὁμοίως.

Ἀναστάσιος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστάς, σύμψηφος γενόμενος πᾶσι τοῖς ὁρισθεῖσιν, ὑποσημηνάμην.

Αὐξέντιος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Σεβαστηνῶν διὰ τῆς ἀναγνώσεως, καὶ τὰ λοιπά.

Θεόδουλος ἐπίσκοπος τῆς Ἰκονιέων μητροπόλεως, ὑποσημηνάμην.

Θεαγένης ἐπίσκοπος Συννάδων, ὁρίσας ὑποσημηνάμην.

Βάκχος ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδῶν ἐπαρχίας, ὁρίσας ὑποσημηνάμην.

Μάμας ἐπίσκοπος Μελιτινῆς, ὁρίσας ὑποσημηνάμην.

Ἱλαριανὸς ἐπίσκοπος Πέργης, ὁρίσας ὑποσημηνάμην.

Βοσπόριος ἐπίσκοπος Νεοκαισαρείας, ὑποσημηνάμην.

Παῦλος ἐπίσκοπος Τυάνων, ὁρίσας ὑποσημηνάμην.

Κόνων ἐπίσκοπος Σίδης, ὁρίσας ὑποσημηνάμην.

Ἀκάκιος ἐπίσκοπος Πισσινουντων, ὁρίσας ὑποσημηνάμην.

Προκόπιος ἐπίσκοπος Γάγγρας, ὁρίσας ὑποσημηνάμην.

Πέτρος ἐπίσκοπος Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας, ὁρίσας ὑποσημηνάμην.

Μάρκος ἐπίσκοπος Ἀπαμείας, ὁρίσας ὑποσημηνάμην.

Ἥδιστος ἐπίσκοπος Κίου, ὁρίσας ὑποσημηνάμην.

Ὑάκινθος ἐπίσκοπος τῆς [a] Μελιτινῶν μητροπόλεως, ὑποσημηνάμην.

Ἰωάννης ἐπίσκοπος Βοσπόρου, ὁρίσας ὑποσημηνάμην.

Θαλάσσιος ἐπίσκοπος Βηρυτοῦ, ὁρίσας ὑποσημηνάμην.

Μάγνος ἐπίσκοπος Βεῤῥοίας τοῦ πρώτου Σύρου ἔθνους, ὁρίσας ὑποσημηνάμην.

Ὑπογραφαὶ διὰ Συριακῶν γραμμάτων.

Χριστοφόρος ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παραλίου, ὁρίσας ὑποσημηνάμην.

Αἰθέριος ἐπίσκοπος Μαριάμμης, ὁρίσας ὑπέγραψα.

Δομετιανὸς ἐπίσκοπος Ζευχίας, ὁρίσας ὑπέγραψα.

Εὐσέβιος ἐπίσκοπος Παλαιᾶς πόλεως, ὑπέγραψα.

Ἀναστάσιος ἐπίσκοπος Ἰωτάπης, ὁρίσας ὑπέγραψα.

Δόμνος ἐπίσκοπος Μαξιμιανουπόλεως, ὁρίσας ὑπέγραψα.

Ἀρχέλαος ἐπίσκοπος Κωρύκου, ὁρίσας ὑπέγραψα.

Ἰωάννης

---

[a] al. Esculanorum.
[b] al. Selymbriæ.
[c] al. Julianus.
[d] al. Ponti Polemoniaci.
[e] al. provinciæ secundæ Cappadociæ.
[f] al. Bithyniæ.
[g] al. Berrhœæ Syriæ.
* [al.] Gentis primæ.
[h] al. Syriæ secundæ.
[i] al. Zeuchlorum.
[k] al. Astyanitiquæ.
[l] al. Palæstinæ secundæ.

[a] Forte, Μιλησίων. Milesiorum.

ANNO CHRISTI 536.

Ιωάννης ἐπίσκοπος Ζωορῶν, ὁρίσας ὑπέγραψα.
Αλέξανδρος ἐπίσκοπος Βαρκούσων, ὁρίσας ὑπέγραψα.

Πελάγιος ἐπίσκοπος Παρνασσοῦ, ὁρίσας ὑπέγραψα.
Εὐγένιος χάριτι Θεοῦ ἐπίσκοπος τῆς κατὰ Τίον ἐκκλησίας, ὁρίσας ὑπέγραψα.
Εὐστάθιος ἐπίσκοπος Τιβεριουπόλεως, ὁρίσας ὑπέγραψα.
Επιφάνιος ἐπίσκοπος Ηρακλείας Ποντικῆς, ὁρίσας ὑπέγραψα.

Αβραάμιος ἐπίσκοπος Κρατίας, ὁρίσας ὑπέγραψα.
Παῦλος ἐπίσκοπος πόλεως Στικτωρίου, ὁρίσας ὑπέγραψα.
Ιωάννης ἐπίσκοπος Καισαρείας, ὁρίσας ὑπέγραψα.

Αστέριος ἐπίσκοπος τῆς κατὰ Αμαστριν ἐκκλησίας, ὁρίσας ὑπέγραψα.
Ανδρέας ἐπίσκοπος τῆς Πελτηνῶν πόλεως, ὁρίσας ὑπέγραψα.
Λεόντιος ἐπίσκοπος Ελενουπόλεως, ὁρίσας ὑπέγραψα.
Ανδρέας ἐπίσκοπος τῆς Πανιτῶν, ἤτοι Θεοδοσιουπολιτῶν, ὁρίσας ὑπέγραψα.
Επιτύγχανος ἐπίσκοπος Γέρμης, ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐπίσκοπος τῆς Γορδιηνῶν πόλεως, ὁρίσας ὑπέγραψα.
Ιωάννης ἐπίσκοπος Τραϊανουπόλεως Φρυγίας Πακατιανῆς, ὁρίσας ὑπέγραψα.

Κυριακὸς ἐπίσκοπος Θεοδοσιουπόλεως, ὁρίσας ὑπέγραψα.
Θεοδώριτος ἐπίσκοπος Αλινδων, ὁρίσας ὑπέγραψα.
Ματθίας ἐπίσκοπος Κύμης, ὁρίσας ὑπέγραψα.

Φλαβιανὸς ἐπίσκοπος Κοτίνων, ὁρίσας ὑπέγραψα.
Θεόδωρος ἐπίσκοπος Μύρου, ὁρίσας ὑπέγραψα.

Μακεδόνιος ἐπίσκοπος Βρόζου, ὁρίσας ὑπέγραψα.

* al. Αγίων.

Μάρκελλος ἐπίσκοπος * Ανίων, ὁρίσας ὑπέγραψα.
Πέτρος ἐπίσκοπος τῆς Αλαβλασίων πόλεως, ὁρίσας ὑπέγραψα.

Ιωάννης ἐπίσκοπος Μηδαίου, ὁρίσας ὑπέγραψα.
Μαρτύριος ἐπίσκοπος τῆς Βαρατίων πόλεως, ὁρίσας ὑπέγραψα.

Παντελέων ἐπίσκοπος τῆς Ιουλιανουπολιτῶν πόλεως, ὁρίσας ὑπέγραψα.
Ζώσιμος ἐπίσκοπος τῆς Αντανδρίων πόλεως, ὁρίσας ὑπέγραψα.
Κυριακὸς ἐπίσκοπος τῆς Σοφηνῆς τῆς Αρμενίας πρώτης ἐπαρχίας, ὁρίσας ὑπέγραψα.
Λικίνιος ἐπίσκοπος Πατάρων, ὁρίσας ὑπέγραψα.
Παῦλος ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως, ὁρίσας ὑπέγραψα.
Επιφάνιος ἐπίσκοπος τῆς Πατραίων πόλεως, ὁρίσας ὑπέγραψα.
Τρύφων χάριτι Θεοῦ ἐπίσκοπος τῆς Κολβασίων πόλεως, ὁρίσας ὑπέγραψα.
Εὐστάθιος ἐπίσκοπος τῆς Τλωέων πόλεως, ὁρίσας ὑπέγραψα.
Μάγνος πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἀποστολικοῦ θρόνου τῆς Θεουπολιτῶν καὶ ἀποκρισιάριος τοῦ ἁγιωτάτου πατριάρχου Εφραιμίου, ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων, ἐπὶ τῇ καθαιρέσει Ανθίμου τοῦ αἱρετικοῦ, ἀλλότριον αὐτὸν ἔχω τῆς ἱερατικῆς ἀξίας, καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν, καὶ ὑπέγραψα.
Ηράκλειος διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου, καὶ τοῦ ἁγιωτάτου πατριάρχου Εφραιμίου, ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προγεγραμμένων ὁσίων ἡμῶν πατέρων, καὶ τὰ λοιπὰ ὁμοίως, ὑπέγραψα.
Σαβῖνος διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ιε-

A Joannes episcopus [a] Zoorensis, definivi & subscripsi.

[a] al. Zoororum Palæstinæ tertiæ.

Alexander episcopus Barcusanus definivi & subscripsi.
Pelagius episcopus Parnassi, definivi & subscripsi.
Eugenius episcopus Dei gratia ecclesiæ Tiensis, definivi & subscripsi.
Eustathius episcopus Tiberiopolensis, definivi & subscripsi.
Epiphanius episcopus Heracleanus Ponticus, definivi & subscripsi.
Abraamius episcopus Cratianus, definivi & subscripsi.
Paulus episcopus civitatis Stectorianæ, definivi & subscripsi.
Joannes episcopus [b] Cæsareensis, definivi & subscripsi.

[b] al. Cæsareæ Bithyniæ.

B Asterius episcopus Amastrensis ecclesiæ, definivi & subscripsi.
Andreas episcopus [c] Paltenus, definivi & subscripsi.

[c] al. Peltanensis.

Leontius episcopus Helenopolitanus, definivi & subscripsi.
Andreas episcopus Panensis, sive Theodosiopolitanus, definivi & subscripsi.
Epitynchanus episcopus Germæ, [d] definivi & subscripsi.

[d] al. provinciæ Hellesponti.

Theodorus episcopus Gortynensis, [e] definivi & subscripsi.

[e] al. Cretæ. At in Græco Gordena est civitas Hellesponti.

Joannes episcopus Traianopolitanus Phrygiæ Pacatianæ, definivi & subscripsi.
Dominicus episcopus Theopolitanus, definivi & subscripsi.
C Theodoritus episcopus Alindenus, definivi & subscripsi.
Matthias episcopus Cymanus, definivi & subscripsi.
Flavianus episcopus Cotenensis, definivi & subscripsi.
Theodorus episcopus Myranus definivi, & subscripsi.
Macedonius episcopus Brozianus, definivi & subscripsi.
Marcellus episcopus Areensis, definivi & subscripsi.
Petrus episcopus [f] Alablasiopolitanus definivi & subscripsi.

[f] al. Alablasensis.

Joannes episcopus Medaiensis, definivi & subscripsi.
Martyrius episcopus Barathenus, definivi & subscripsi.
D Pantaleon episcopus Julianopolitanus, [g] definivi & subscripsi.

[g] al. Galatiæ.

Zosimus episcopus Antandropolitanus, definivi & subscripsi.
Dominicus episcopus Sophenensis provinciæ Armeniæ primæ, definivi & subscripsi.
[h] Licinius episcopus Patarensis, definivi & subscripsi.

[h] al. Lucianus.

Paulus episcopus Ocnoandensis definivi & subscripsi.
Epiphanius episcopus Patreopolitanus, definivi & subscripsi.
Tryphon Dei gratia episcopus [i] Colbaciopolis, definivi & subscripsi.

[i] al. Colaciopolis.

Eustathius episcopus [k] Neopolitanus, definivi & subscripsi.

[k] al. Tloënsis.

E Magnus presbyter & prior apostolicæ sedis Theopolitanæ, & ambasiator sanctissimi patriarchæ Ephræmii, sequendo definita a suprascriptis sanctis patribus nostris, super depositione Anthimi hæretici, alienum ipsum habeo a sacerdotali dignitate, & ab ipso nomine Christianorum, & subscripsi.
Heraclius diaconus & ambasiator apostolicæ sedis Theopolitanæ, & sanctissimi patriarchæ Ephræmii, sequens ea quæ definita sunt a supradictis patribus nostris, *& reliqua similiter*, subscripsi.

Sabinus diaconus sanctæ Resurrectionis Christi Dei nostri, & ambasiator Petri sanctissimi patriarchæ

Hierosolymorum, sequendo ea, quæ definita sunt a A supradictis sanctis patribus nostris, & *cetera similiter* : subscripsi.

ῥοσολύμων ἀκολουθῶν τοῖς ὁρισθεῖσι παρὰ τῶν προειρημένων ὁσίων ἡμῶν πατέρων, καὶ τὰ λοιπὰ ὁμοίως, ὑπέγραψα.

Observatio Patris Philippi Labbe Societatis Jesu.

Reperiuntur plures quoque in manuscriptis codicibus, quos evolvi : ac nominatim qui sequuntur: Alexander Colonæ Cappadociæ secundæ, Alexander Paraxiorum nunc Justinianæ civitatis, Allodius Pemanerianus, Andreas Amyzonis, Antonius Calliopolis, Calloas Smyrnæ, Cosmus Andrapolitanus, Davithus Cyrestiæ *alias* Circinsianus, Elpidius Ancyræ per legatum, Epictetus Claudiopolis provinciæ Honoriadis, Epiphanius Barathæus Lycaoniæ, Eusebius Canorum provinciæ Carmaniæ, Flavianus Cotenorum, Joannes Podaliæ, Hedistus metropolitanus Cii, Longinus Orestanus, Matthias Cymæ, Paulus Naxianus, Photius Corinthi per legatum, Photinus Chalcedonis, Soterichus Cæsareæ Cappadociæ per legatum, Stratonicus Sysdiorum, Thalassius Nicomediæ, Theodorus Euriæ sive Evrææ veteris Epiri, Theodorus Gordiorum, Theodorus Pari insulæ, Zephyriorum & Amulgiorum Cii, Tryphon Corbasenus Pamphyliæ, Zacharias Mitylenes.

ACTIO QUINTA.

POst Consulatum clarissimi Flavii Belissarii, pridie Nonas Junias, indictione quartadecima, in Deo amata & regia urbe Constantinopoli, præsidente autem sanctissimo & beatissimo domino nostro œcumenico & patriarcha Mena, in atrio dytico venerandæ domus sanctæ & gloriosæ dominæ nostræ matris Dei & semper Virginis Mariæ, prope sanctissimam ecclesiam exsistentis : & a dextra quidem parte consistentibus illi & simul audientibus, juxta pium jussum a Christo amati & Deocustoditi Justiniani Imperatoris, excellentissimis & sanctissimis ac Deoamantissimis episcopis, Sabino Canusii, Epiphanio Asculanorum, Asterio Salernitanorum, Leone Nolanorum, Rustico Fesulanorum, Theophane diacono Romano, Pelagio diacono Romano, omnibus quidem ex Italica regione ab Apostolica sede, nuper missis, postea autem consentientibus Agapito Papæ antiquæ Romæ huc advenienti: Petro metropolis Justinianæ civitatis secundæ provinciæ Cappadociæ, Joanne Bosphori metropolita, Thalassio metropolita Beryti, Magno metropolita Berrhœæ, Joanne Gabalorum, Christophoro Porphyreonis provinciæ Phœniciæ paraliæ, Davitho Circesio, Etherio Mariamniæ, Alexandro Barcusano, Domno Maximianæ civitatis secundæ Palæstinæ, Andrea Panii, Epitynchano Germæ provinciæ Hellesponti, Theodoro Gordi, Eusebio Canorum provinciæ Persarmeniæ, Dominico Theodosiæ civitatis provinciæ Phrygiæ Pacatianæ, Joanne Traianæ civitatis provinciæ Phrygiæ Salutariæ, Dominico Sophenæ civitatis provinciæ Armeniæ primæ, Cassiâ Belabitenæ.

A sinistra vero parte, Hypatio metropolita Ephesio, Constantino Heracleæ metropolita Europeorum, Eusebio Cyzici metropolita, Thalassio metropolita Nicomediæ, Theagene metropolita Synnadorum, Baccho Antiochenæ metropolita Pisidiæ, Hilariano metropolita Pergæ, Bosphorio metropolita Neocæsareæ Ponti Polemoniaci, Paulo metropolita Tyanorum, Acacio metropolita Pessinuntis, Epicteto Claudiæ civitatis metropolita Honoriadis, Hedisto metropolita Cii, Archelao Corycorum, Joanne Zoororum, Anastasio Iotapæ, Anastasio Zecchiorum, Pelagio Parnassio, Abraamio Cratiæ, Alexandro Coloniæ, Paulo Stectorii, Andrea Peltorum, Theodoro Myrorum, Joanne Cæsareæ Bithyniæ, Eustathio Tiberiopolis civitatis, Leontio Helenæ civitatis.

Assistentibus illi & coaudientibus Theophane & Pelagio Deoamantissimis diaconis Apostolicæ sedis, & Petro & Mena Deoamantissimis notariis, & quibusdam venerabilibus subdiaconis, procuratoribus reliquorum clericorum ejusdem sedis Apostolicæ, qui & consentientes ibidem fuerunt Agapito sanctæ memoriæ Papæ antiquæ Romæ : & Magno presbytero, & Heraclio, diaconis & ambasiatoribus Ephræmii

ΠΡΑ͂ΞΙΣ ΠΕΜΠΤΗ.

ΜΕτὰ τὴν ὑπατείαν Φλαβίου Βελισαρίου τοῦ λαμπροτάτου, τῇ πρὸ μιᾶς νωνῶν Ἰουνίων, ἰνδικτιῶνος ιδʹ. ἐν τῇ φιλοχρίστῳ καὶ βασιλευούσῃ Ῥώμῃ, τῇ Κωνσταντινουπόλει προκαθεζομένου τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ ἀρχιεπισκόπου καὶ πατριάρχου Μηνᾶ, ἐν τῷ δυτικῷ τοῦ θυσιαστηρίου οἴκου τῆς ἁγίας δεσποίνης ἡμῶν ἐνδόξου θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τοῦ ὄντος πλησίον τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ ἐκ μὲν τοῦ δεξιοῦ μέρους συνεδρευόντων αὐτῷ καὶ συνακροωμένων, κατὰ εὐσεβῆ κέλευσιν τοῦ φιλοχρίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως Ἰουστινιανοῦ, τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, Σαβίνου τοῦ Κανουσίου, Ἐπιφανίου Ἐκλάνων, Ἀστερίου τῆς Σαλερνίτων, Λεοντίου Νωλάνων, Ῥουστικοῦ τῆς Φεσουλάνων, Θεοφάνους διακόνου Ῥώμης, Πελαγίου διακόνου Ῥώμης, ὄντων τῶν πάντων ἐκ τῆς Ἰταλῶν χώρας, πρώην μὲν ἀποσταλθέντων ἐκ τῆς ἀποστολικῆς καθέδρας, ὕστερον δὲ συνόντων παραγενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης γενομένῳ πάπᾳ πρεσβυτέρας Ῥώμης· Πέτρου τῆς μητροπόλεως Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδόκων ἐπαρχίας, Ἰωάννου τοῦ μητροπόλεως Βοσπόρου, Θαλασσίου τῆς μητροπόλεως Βηρυτοῦ, Μεγάλου τῆς μητροπόλεως Βεῤῥοίας, Ἰωάννου Γαβάλων, Χριστοφόρου Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παραλίου, Δαυίδου τοῦ Κιρκησίου, Αἰθερίου Μαριάμμης, Ἀλεξάνδρου Βαρκούσων, Δόμνου Μαξιμιανουπόλεως τῆς δευτέρας Παλαιστίνης, Ἀνδρέου τοῦ Πανίου, Ἐπιτυγχάνου Γέρμης ἐπαρχίας Ἑλλησπόντου, Θεοδώρου Γόρδου, Εὐσεβίου Κανόρων ἐπαρχίας Περσαρμενίας, Κυριακοῦ Θεοδοσιουπόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς, Ἰωάννου Τραιανουπόλεως ἐπαρχίας Φρυγίας Σαλουταρίας, Κυριακοῦ Σοφιανίνης ἐπαρχίας Ἀρμενίας πρώτης, Κασσίου τῆς Βηλαβιτηνῆς.

Ἐκ δὲ τοῦ εὐωνύμου μέρους, Ὑπατίου τῆς μητροπόλεως Ἐφέσου, Κωνσταντίνου Ἡρακλείας τῆς Εὐρωπαίων μητροπόλεως, Εὐσεβίου τῆς μητροπόλεως Κυζίκου, Θαλασσίου τῆς μητροπόλεως Νικομηδείας, Θεαγένους τῆς μητροπόλεως Συννάδων, Βάκχου Ἀντιοχείας τῆς μητροπόλεως Πισιδίας, Ἱλαριανοῦ τῆς μητροπόλεως Πέργης, Βοσπορίου τῆς μητροπόλεως Νεοκαισαρείας Πόντου Πολεμωνιακοῦ, Παύλου τῆς μητροπόλεως Τυάνων, Ἀκακίου τῆς μητροπόλεως Πισσινοῦντος, Ἐπικτήτου Κλαυδιουπόλεως τῆς μητροπόλεως Ὀνωριάδος, Ἡδίστου τῆς μητροπόλεως Κίου, Ἀρχελάου Κωρύκου, Ἰωάννου Ζωορῶν, Ἀναστασίου Ἰωτάπης, Δομετιανοῦ Ζηκχίας, Πελαγίου Παρνασσοῦ, Ἀβρααμίου Κρατίας, Ἀλεξάνδρου Κολωνείας, Παύλου τοῦ Στεκτορίου, Ἀνδρέου Πέλτων, Θεοδώρου Μύρων, Ἰωάννου Καισαρείας Βιθυνίας, Εὐσταθίου Τιβεριουπόλεως, καὶ Λεοντίου Ἑλενουπόλεως.

Συμπαρόντων αὐτῷ καὶ συνακροωμένων, Θεοφάνους καὶ Πελαγίου τῶν θεοφιλεστάτων διακόνων τῆς ἀποστολικῆς καθέδρας, καὶ Μηνᾶ καὶ Πέτρου τῶν θεοφιλεστάτων νοταρίων, καὶ τινῶν εὐλαβεστάτων ὑποδιακόνων, ἐκδίκων, καὶ λοιπῶν κληρικῶν τοῦ αὐτοῦ ἀποστολικοῦ θρόνου, οἳ καὶ συνόντες ἐτύγχανον παραγενομένῳ ἐνταῦθα Ἀγαπητῷ τῷ τῆς ἁγίας μνήμης γενομένῳ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης· καὶ Μάγνου πρεσβυτέρου καὶ Ἡρακλείου, διακόνων καὶ ἀπο-

ANNO CHRISTI 536.

ἀποκρισαρίων, Ἐφραιμίου τοῦ ὁσιωτάτου πατριάρχου τῆς ἐν Θεουπόλει ἁγιωτάτης ἐκκλησίας, Σαβίνου διακόνου τῆς ἁγίας τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, πληροῦντος τὰς ἀποκρίσεις Πέτρου τοῦ ὁσιωτάτου πατριάρχου Ἱεροσολύμων, Στεφάνου διακόνου καὶ ἀποκρισαρίου Σωτηρίχου, τοῦ ὁσιωτάτου ἐπισκόπου Καισαρείας τῆς μητροπόλεως Καππαδοκίας πρώτης, Γαϊανοῦ πρεσβυτέρου καὶ ἀποκρισαρίου Ἐλπιδίου τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀγκύρας τῆς μητροπόλεως Γαλατίας πρώτης, Διονυσίου καὶ Καλλινίκου, διακόνων καὶ ἀποκρισαρίων Φωτίου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς μητροπόλεως Κορίνθου· παρόντος δὲ καὶ τοῦ εὐλαβοῦς κλήρου τῆς βασιλευούσης πόλεως· Εὐφήμιος ὁ θεοφιλέστατος διάκονος καὶ πριμικήριος νοταρίων εἶπεν· οἱ κατὰ τήνδε τὴν βασιλίδα πόλιν εὐλαβέστατοι μοναχοί, καί τινες ἐκ τῶν Θεουπολιτῶν, καὶ Ἱεροσολυμιτῶν ὁρμώμενοι, δεήσεις προσδεδώκασι τῷ εὐσεβεστάτῳ καὶ γαληνοτάτῳ ἡμῶν βασιλεῖ, καὶ λιβέλλους τῇ ὑμετέρᾳ μακαριότητι. κατὰ κέλευσιν τοίνυν εὐσεβῆ τοῦ θεοφυλάκτου ἡμῶν βασιλέως συναχθείσης τῆς ἁγίας ὑμῶν συνόδου, ἔστησαν πρὸ τοῦ θείου ὑμῶν σεκρέτου, ἅμα Θεοδώρῳ τῷ περιβλέπτῳ ῥεφερενδαρίῳ, οἷα παρὰ τοῦ γαληνοτάτου δεσπότου ἡμῶν πρὸς ὑμᾶς ἐσταλμένῳ, ἀποκομιζόμενοι τὰς ἐπιδοθείσας παρ' αὐτῶν δεήσεις, καὶ ἀξιοῦσιν εἰσόδου τυχεῖν· καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· εἰσίτωσαν Θεόδωρός τε ὁ περίβλεπτος ῥεφερενδάριος τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, καὶ οἱ εὐλαβεῖς μοναχοί. καὶ εἰσῆλθον Θεόδωρός τε ὁ περίβλεπτος ῥεφερενδάριος τοῦ θεοφυλάκτου ἡμῶν δεσπότου τριβοῦνος καὶ νοτάριος, καὶ Μαριανὸς ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς Δαλματίου τοῦ τῆς ὁσίας μνήμης καὶ ἔξαρχος, καὶ οἱ σὺν αὐτῷ θεοσεβέστατοι πρεσβύτεροι καὶ ἀρχιμανδρῖται καὶ μοναχοί, οἱ καὶ ὑπογράψαντες τῷ ἐπιδοθέντι παρ' αὐτῶν λιβέλλῳ τῷ δεσπότῃ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ Μηνᾷ. ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε, λεγέτω κατὰ πρώτην τάξιν Θεόδωρος ὁ περίβλεπτος τὴν αἰτίαν, ἐφ' ἧς παραγέγονε πρὸς ἡμᾶς. Θεόδωρος ὁ περίβλεπτος τριβοῦνος, νοτάριος, καὶ ῥεφερενδάριος τοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου, εἶπε· θεοφιλέστατοι ἐπίσκοποι τῆς δευτέρας Σύρων ἐπαρχίας ἀναφορᾷ ἐχρήσαντο περί τινων ἐκκλησιαστικῶν κεφαλαίων, πρὸς τὸν εὐσεβέστατον καὶ θειότατον ἡμῶν δεσπότην, οὐ μὴν ἀλλὰ καὶ οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται τῶν ἁγίων μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως, καί τινες τῶν ἐκ τῆς ἀνατολικῆς διοικήσεως, καὶ ὑπὸ τὰ Ἱεροσόλυμα εὐλαβέστατοι μοναχοί, δεήσεις ἐπιδεδώκασι τῷ καλλινίκῳ ἡμῶν δεσπότῃ· θεσπίσαι τε κατηξίωσε τὸ αὐτοῦ κράτος, ταύτας δι' ἐμοῦ ἀποδοθῆναι τῇ ὑμετέρᾳ μακαριότητι, καὶ τοῖς ἐκ τῆς πρεσβυτέρας Ῥώμης ὁσιωτάτοις ἀνδράσι, καὶ τῇ λοιπῇ ἐνδημούσῃ ἁγίᾳ συνόδῳ· ἀγαγεῖν δὲ παρ' ὑμᾶς καὶ αὐτοὺς τοὺς τὰς δεήσεις ἐπιδεδωκότας, εὐλαβεστάτους ἄνδρας, ἐφ' ᾧ τούτοις ἐντυγχάνοντας ὑμᾶς, πέρας αὐτοῖς ἐπιθεῖναι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν· ἀναγινωσκέσθω τὰ παρὰ Θεοδώρου περιβλέπτου προκεχειρισμένα. καὶ λαβὼν Διόδωρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τὰς δύο δεήσεις, τήν τε ἐκ προσώπου τῶν ἐπισκόπων, καὶ τὴν ἐκ προσώπου τῶν μοναχῶν, ἀνέγνω.

Λίβελλος ἐπισκόπων, τῷ βασιλεῖ Ἰουστινιανῷ.

.·. .·. .·. .·. .·. .·. .·. .·. .·. .·.

Τῷ εὐσεβεστάτῳ καὶ γαληνοτάτῳ ὅλης τῆς οἰκουμένης μετὰ Θεὸν δεσπότῃ Φλαβίῳ Ἰουστινιανῷ τῷ φιλοχρίστῳ, καὶ αἰωνίῳ Αὐγούστῳ, καὶ αὐτοκράτορι, παρὰ Παύλου ἐπισκόπου Ἀπαμείας, καὶ τῶν λοιπῶν ἐπισκόπων τῆς δευτέρας Σύρων ἐπαρχίας.

Ἐμεγάλυνε καὶ νῦν κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι, καθὼς γέγραπται, εὐσεβέστατε βασιλεῦ. δικαίως γὰρ τὰ δίκαια διώκοντες, καὶ τὰ ἀληθῆ καὶ ὀρ-

sanctissimi patriarchæ in Diva civitate sanctissimæ ecclesiæ, Sabino diacono sanctæ Resurrectionis Christi Dei nostri, tenente ambassiatam sanctissimi Petri patriarchæ Hierosolymorum, Stephano diacono & ambasiatore Soterichi sanctissimi episcopi Cæsareæ metropolis Cappadociæ primæ; Caiano presbytero ambasiatore Elpidii sanctissimi episcopi Ancyræ metropolis Galatiæ primæ; Dionysio & Callinico diaconis & legatis Photii sanctissimi episcopi metropolis Corinthi: præsente autem & venerabili clero urbis regiæ, Euphemius Dei amantissimus diaconus & primicerius notariorum, dixit: Venerabiles monachi regiæ urbis & quidam * ex civibus suis & Hierosolymitanis surgentes, supplicationes dederunt piissimo & serenissimo Imperatori nostro, & libellos vestræ beatitudini. Juxta igitur pium jussum a Deo custoditi Imperatoris nostri, conveniente sancta vestra synodo steterunt ante præclarum secretum vestrum, Theodoro circumspecto referendario tamquam a serenissimo domino nostro ad vos stante, abstulimus oblatas ab ipsis supplicationes: & expetentibus introitum, nos vobis ad notitiam subjicimus.

* al. ex Theopolitanis & Hierosol.

Sanctissimus archiepiscopus dixit: Intrent, & Theodorus circumspectus referendarius piissimi Imperatoris nostri, & venerabiles monachi. Et intrarunt. Theodorusque circumspectus referendarius a Deo custoditi domini nostri, tribunus & notarius; & Marianus Deoamantissimus presbyter & prior domus Dalmatii sanctæ memoriæ, & princeps, & qui cum ipso erant venerabiles presbyteri & abbates & monachi, qui & subscripserunt libello ab ipsis oblato sanctissimo & beatissimo domino archiepiscopo œcumenico & patriarchæ Menæ. Qui sanctissimus archiepiscopus dixit: Dicat secundum primum ordinem Theodorus circumspectus tribunus causam, pro qua ad nos venit. Theodorus circumspectus tribunus, notarius & referendarius piissimi domini nostri dixit: Deoamantissimi episcopi secundæ Syriæ provinciæ relationem fecerunt de quibusdam ecclesiasticis capitibus piissimo & divinissimo domino nostro: & non solum ipsi, sed & venerabiles abbates sanctorum monasteriorum regiæ urbis hujus, & quidam ex Orientali diœcesi venerabiles monachi Hierosolymæ, dederunt serenissimo domino nostro: & non solum ipsi, sed & venerabiles abbates sanctorum monasteriorum, supplicationes: & statuit imperium ejus ipsas per me tradi vestræ beatitudini, & sanctissimis viris antiquæ Romæ, ac reliquæ præclaræ synodo congregatæ; adducereque ad vos ipsos venerabiles viros, qui supplicationes dederunt, ut in his interpellantes vos ipsis finem imponatis.

Sanctissimus archiepiscopus dixit: Legantur producta a circumspecto Theodoro. Accipiensque venerabilis Diodorus diaconus notarius duas supplicationes; alteram quidem ex parte episcoporum, alteram vero ex parte monachorum, legit:

Libellus episcoporum ad Imperatorem Justinianum, a Paulo episcopo Apameæ secundæ Syriæ, continens confessionem fidei orthodoxæ: laudesque Imperatoris, & querelas adversus Severum, Petrum, atque Zoaram.

Piissimo & serenissimo totius orbis post Deum domino Flavio Justiniano, a Christo amato & semper Augusto Imperatori, a Paulo episcopo Apameæ, & reliquis episcopis secundæ provinciæ Syrorum.

Magnificavit etiam & nunc Dominus facere nobiscum, facti sumus lætati, secundum quod scriptum est, piissime & Christoamantissime

Imperator. Juste enim justa sectantes, & vera & orthodoxa dogmata sanctorum Patrum quotidie scrutantes, & tenentes, prædicatis aperte omnibus orthodoxis populis Christum Deum nostrum omnium Imperatorem, & caput sanctæ ecclesiæ suæ, quam proprio sanguine acquisivit, redimens nos a morte, quam nobis superinduxit diabolus superbus per malignos suppositos sibi: & vere cognovimus, quod magnificavit Dominus sacrum & justum imperium vestrum, & omnes vestros adversantes vestræ potentiæ supposuit: quoniam sanctam & immaculatam fidem defendentes, purum frumentum, hoc est, recta dogmata, sicut incensum offertis suæ bonitati: paleas autem igne inextinguibili comburitis. Dicitis itaque hæreticos, qui non suscipiunt sanctas quatuor synodos, tamquam unam veræ definitionem fidei, primam videlicet trecentorum decem & octo, & aliam centum quinquaginta patrum, Ephesinamque primam, & sanctam universalem synodum Chalcedonensem, cum quibus & venerabilem epistolam sancti Leonis Papæ amplectimur, vere columnam orthodoxæ fidei exsistentem. Qui sancti patres nostri omnem hæreticum errorem & opinionem pravam destruentes, longe a sanctis Dei ecclesiis fecerunt: nosque docuerunt Filium Dei ex Patre quidem fuisse sine tempore, atque esse ipsi consubstantialem secundum deitatem: & Spiritum sanctum Patri, & ipsi Filio coadorandum, & conglorificandum, & unam esse Patris & Filii ac Spiritus sancti substantiam & deitatem, & in tribus hypostasibus sive personis: novissimis autem diebus ipsum æternum Filium Dei & Dominum nostrum incarnatum esse, & hominem factum, natumque ex Spiritu sancto & Maria vere Dei genitrice & semper Virgine, & esse nobis consubstantialem: ipsumque esse perfectum in deitate, & perfectum in humanitate: duarum naturarum proprietates minime abjiciens, sed in utraque natura cognitus; in una persona & una hypostasi inconfusibiliter, inconvertibiliter, & indivisibiliter: ut inde Nestorii & Eutychis profana & Deo odibilia dogmata potenter ejiciantur, & zizania radicitus exstirpentur, quæ orthodoxis ecclesiis inseminarunt. Unde nos quidem insensati, & hominis idololatræ Nestorii divisionem aufugientes, confitemur, quod ille negavit; sanctam, intemeratam, & semper Virginem, matrem almam Domini & Dei nostri Jesu Christi θεοτόκον. Eutychis autem deliri & insipientis profanum & fatuum dogma anathematizantes penitus, & expellentes, differentiam naturarum recognoscimus: & confitemur duas naturas post unionem in una hypostasi, in uno Christo Deo nostro: & non sicut fatui Eutychianistæ cum ipsorum doctore Eutyche, & Dioscoro ipsum suscipiente, non recte ante unionem duas naturas dicimus, unam vero post unionem; nam hoc est negare penitus Dei & Salvatoris nostri dispensationem, & inconvertibilem incarnationem, quam propter nostram salutem accepit. Qui enim prædicta blasphemant, fatui sunt, & alieni a confessione, quam princeps apostolorum Petrus confessus est dicens: *Tu Christus es Filius Dei vivi:* Nos autem qui pro vestro pio imperio rogamus, & puri fontis latices orthodoxiæ participamus, ac orthodoxis populis tradimus, hac fide vestram serenitatem coronatam conspicientes, ac exsuperantem omnem inimicum & rebellem pii imperii vestri; rogamus averti curvum in corde, & qui non ex tota & pura mente suscipit recta & irreprehensibilia dogmata prædictorum sanctorum patrum; sed in hypocrisi quidem fictus suscipit sanctas quatuor synodos, & gloriosam epistolam sancti Leonis Papæ, ut a personis fidelis judicetur; operibus autem negat, & non confitetur bonam & orthodoxam fi-

θόδοξα δόγματα τῶν ἁγίων ἡμῶν πατέρων ἑκάστης ἐρευνῶντες καὶ κρατοῦντες κηρύττετε φανερῶς πᾶσι τοῖς ὀρθοδόξοις λαοῖς Χριστὸν τὸν Θεὸν ἡμῶν βασιλέα τῶν ἁπάντων, καὶ κεφαλὴν τῆς ἐκκλησίας αὐτοῦ τῆς ἁγίας, ἣν τῷ ἰδίῳ αἵματι περιεποιήσατο, λυτρωσάμενος ἡμᾶς ἐκ θανάτου, οὗ ἐπήγαγεν ἡμῖν ὁ ἀλάστωρ διάβολος διὰ τῶν ὑποθηκῶν αὐτοῦ τῶν πονηρῶν· καὶ ἀληθῶς ἔγνωμεν, ὅτι ἐμεγάλυνε κύριος τὴν ἱερὰν ὑμῶν καὶ δικαίαν βασιλείαν, καὶ πάντας τοὺς ἐναντιουμένους, ὑποχειρίους τῷ κράτει ὑμῶν πεποίηκεν· ὅτι τὴν ἄμωμον καὶ ἁγίαν πίστιν ἐκδικοῦντες, τὸν μὲν σῖτον τὸν καθαρὸν, τουτέστι τὰ ὀρθὰ δόγματα, ὡς θυμίαμα προσφέρετε τῇ αὐτοῦ ἀγαθότητι, τὸ δὲ ἄχυρον πυρὶ ἀσβέστῳ κατακαίετε, φαμὲν δὴ τοὺς αἱρετικοὺς τοὺς μὴ δεχομένους τὰς ἁγίας τέσσαρας συνόδους, ὡς ἕνα ὅρον πίστεως ἀληθοῦς· τήν τε τῶν τιη΄. καὶ τὴν τῶν ρν΄. καὶ τὴν ἐν Ἐφέσῳ πρώτην, καὶ ἐν Καλχηδόνι ἁγίαν οἰκουμενικὴν σύνοδον· μεθ᾽ ὧν καὶ τὴν τιμίαν καὶ σεβασμίαν ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα Λέοντος ἀσπαζόμεθα, τὴν ὄντως στήλην ὀρθοδοξίας ὑπάρχουσαν. οἱ γὰρ ἅγιοι ἡμῶν πατέρες πᾶσαν αἱρετικὴν πλάνην καὶ κακοδοξίαν καθελόντες πόῤῥω τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν πεποιήκασι· διδάξαντες ἡμᾶς, γεγεννῆσθαι μὲν ἀχρόνως ἐκ τοῦ πατρὸς τὸν υἱὸν τοῦ Θεοῦ, καὶ εἶναι αὐτὸν ὁμοούσιον κατὰ τὴν θεότητα, καὶ τὸ πνεῦμα τὸ ἅγιον πατρὶ καὶ αὐτῷ τῷ υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξάζεσθαι, καὶ μίαν εἶναι πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος τὴν οὐσίαν καὶ τὴν θεότητα, καὶ ἐν τρισὶν ὑποστάσεσιν, ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν προαιώνιον υἱὸν τοῦ Θεοῦ καὶ Θεὸν ἡμῶν σαρκωθῆναί τε, καὶ ἐνανθρωπῆσαι, καὶ γεννηθῆναι ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς κατὰ ἀλήθειαν θεοτόκου καὶ ἀειπαρθένου, καὶ γενέσθαι ἡμῖν ὁμοούσιον· καὶ εἶναι τὸν αὐτὸν τέλειον ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, τὰς τῶν δύο φύσεων ἰδιότητας, μὴ ἀποβαλλόμενον, ἀλλ᾽ ἐν ἑκατέρᾳ φύσει γνωριζόμενον· τὸν αὐτὸν ἐν ἑνὶ προσώπῳ καὶ μιᾷ ὑποστάσει ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ὡς ἐντεῦθεν τὰ Νεστορίου καὶ Εὐτυχοῦς βδελυκτά τε καὶ θεομισῆ δόγματα κατὰ κράτος ἐκβάλλεσθαι, καὶ ἐκ ῥιζῶν ἀνασπᾶσθαι τὰ ζιζάνια, ἃ ταῖς ὀρθοδόξοις ἐκκλησίαις ἐνέσπειραν. ὅθεν τοῦ μὲν φρενοβλαβοῦς καὶ ἀνθρωπολάτρου Νεστορίου τὴν διαίρεσιν ἀποφεύγοντες, ὁμολογοῦμεν, ὅπερ ἐκεῖνος ἠρνήσατο, τὴν ἁγίαν ἄχραντον καὶ ἀειπάρθενον μητέρα τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ θεοτόκον. Εὐτυχοῦς δὲ τοῦ λήρου καὶ παράφρονος τὸ βδελυρὸν καὶ ἀνόητον δόγμα ἀναθεματίζοντες παντελῶς, καὶ ἐξορκίζοντες, τὴν δὲ διαφορὰν τῶν φύσεων ἐπιγινώσκομεν, καὶ ὁμολογοῦμεν δύο φύσεις μετὰ τὴν ἕνωσιν ἐν μιᾷ ὑποστάσει, καὶ ἐν τῷ ἑνὶ Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ οὐχ ὥσπερ οἱ ἀνόητοι Εὐτυχιανισταὶ μετὰ τοῦ διδασκάλου αὐτῶν Εὐτυχοῦς, καὶ Διοσκόρου τοῦ δεξαμένου αὐτὸν, οὐκ ὀρθῶς πρὸ τῆς ἑνώσεως δύο λέγομεν φύσεις, μίαν δὲ μετὰ τὴν ἕνωσιν. τοῦτο γάρ ἐστιν ἀρνήσασθαι παντελῶς τὴν τοῦ Θεοῦ ἡμῶν καὶ σωτῆρος οἰκονομίαν, καὶ ἄτρεπτον ἐνανθρώπησιν, ἣν κατεδέξατο διὰ τὴν ἡμετέραν σωτηρίαν. οἱ γὰρ τὰ εἰρημένα βλασφημοῦντες, ἀνόητοι καὶ ἀλλότριοι τῆς ὁμολογίας, ἧς ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος ὡμολόγησεν, εἰπών· σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. ἡμεῖς δὲ οἱ τῆς ὑμετέρας ὑπερευχόμενοι εὐσεβοῦς βασιλείας, τῆς καθαρᾶς πηγῆς τῶν ναμάτων τῆς ὀρθοδοξίας μετέχοντες, καὶ μεταδιδόντες τοῖς ὀρθοδόξοις λαοῖς, καὶ ταύτῃ τῇ πίστει τὴν ὑμετέραν γαληνότητα στεφανουμένην ὁρῶντες, καὶ νικῶσαν πάντα ἐχθρὸν, καὶ ὑπεναντίον τῆς εὐσεβοῦς ὑμῶν βασιλείας· παρακαλοῦμεν ἀποστραφῆναι τὸν ἐν σκαμβῇ καρδίᾳ, καὶ μὴ ἐξ ὅλης καὶ καθαρᾶς διανοίας δεξάμενον τὰ ὀρθὰ καὶ ἀνεπίληπτα δόγματα τῶν εἰρημένων ἁγίων πατέρων, ἀλλ᾽ ἐν ὑποκρίσει μὲν σχηματιζόμενον δέξασθαι τὰς ἁγίας τέσσαρας συνόδους, καὶ τὴν ἀοίδιμον ἐπιστολὴν τοῦ ἐν ἁγίοις πάπα Λέοντος, διὰ τὸ ἀξιόπιστον τῶν προσώπων· ἔργοις δὲ ἀρνησάμενον, καὶ μὴ ὁμολογήσαντα τὴν ἀγαθὴν καὶ ὀρθόδοξον πί-

τὸν αὐτοῦ, καὶ ἰδικῶς τὰς φωνὰς ἐκείνας, δι' ὧν Εὐτυχῆ τὸν παράφρονα τῆς ἐκκλησίας ἐξέωσαν, καὶ ἀπελάσαι τοῦτον τῆς ὑμετέρας εὐσεβοῦς πολιτείας, φαμὲν δὲ Ἄνθιμον, Σεβῆρον τε καὶ Πέτρον, τοὺς ἀναθεματισθέντας. καὶ νῦν ἀποστρεφόμεθα, καὶ ἀναθεματίζομεν, καὶ ἀλλοτρίους ἔχομεν τῆς τῶν ὀρθοδόξων κοινωνίας, αἱρετικοὺς ὄντας, καὶ χαίροντας ἀεὶ τῇ διαιρέσει τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, μεθ' ὧν καὶ τὸν προειρημένον Διόσκορον, ὡς ὀρθῶς εἰρηται δεξάμενον Εὐτυχέα τὸν δυσώνυμον, ἀποστρεφόμεθα, καὶ ἀναθεματίζομεν. οὕτω γὰρ ἔχοντες, καὶ οὕτω φρονοῦντες, καὶ τῷ τῆς ὁσίας μνήμης πάπᾳ καὶ ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ῥώμης Ἀγαπητῷ τῷ ἐπ' εὐλογίᾳ πασῶν τῶν ἐκκλησιῶν, καὶ τῆς ὑμετέρας εὐσεβοῦς πολιτείας ἐπιστάντι, καὶ ἀξιωθέντι τῶν εὐσεβῶν ὑμῶν ἰχνῶν, διὰ μετρίας ἐπιστολῆς, περὶ τούτων αὐτῶν ἐμφανίσαμεν. καὶ ὡς ἡγούμεθα, οὐκ ἔφθασε ταύτην ἀπολαβεῖν, προσκληθεὶς ὑπὸ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὃν ὁ κύριος μετέστησεν, ἵνα τὸ πλήρωμα τῆς κατορθώσεως τῇ ὑμετέρᾳ φυλάξῃ γαληνότητι. ὑμᾶς δὲ ὁ κύριος τῆς δόξης φυλάξαι τοὺς εὐσεβεῖς καὶ ζηλωτὰς, καὶ φύλακας τῆς ὀρθοδόξου πίστεως, ἣν παραδεδώκασιν ἡμῖν οἱ προλεχθέντες ἅγιοι πατέρες ἡμῶν, πάσῃ τῇ οἰκουμένῃ, καὶ ταῖς ἁγιωτάταις αὐτοῦ ἐκκλησίαις ἐν εἰρήνῃ καὶ εὐφροσύνῃ καὶ νίκῃ τῇ κατὰ τῶν ἐναντίων, προνοουμένους καὶ κυβερνῶντας τὴν ἐγχειρισθεῖσαν ὑμῖν παρὰ τῆς αὐτοῦ ἀγαθότητος βασιλείαν.

ΥΠΟΓΡΑΦΑΙ.

Παῦλος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Απαμείας, ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην.

Σευηριανὸς ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ἀρεθούσης, ὑπερευχόμενος τῆς εὐσεβοῦς καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Βαλανεωτῶν, ὑπερευχόμενος τῆς εὐσεβοῦς ἡμῶν καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην.

Στέφανος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Λαρίσσης ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην.

Νόννος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Ραφανείας, ὑπερευχόμενος τῆς εὐσεβοῦς ἡμῶν καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην.

Κυριακὸς ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Σελευκοβήλου, ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην.

Σέργιος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ὑμετέρας Επιφανείας, ὑπερευχόμενος τῆς εὐσεβοῦς ὑμῶν καὶ θεοφυλάκτου βασιλείας, ἐδεήθην.

Λίβελλος τῶν μοναχῶν καὶ τῶν μοναστηρίων.

Βασιλεῖ θεοφιλεστάτῳ, καὶ πανευσεβεστάτῳ, Ἰουστινιανῷ αὐτοκράτορι Αὐγούστῳ δέησις καὶ ἱκεσία παρὰ Μαριανοῦ, ἐλέῳ Θεοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου μονῆς Δαλματίου τοῦ μακαριωτάτου καὶ ἐξάρχου τῶν αὐτοῦ εὐαγῶν μοναστηρίων, καὶ τῶν ἐν αὐτῇ ἐνδημούντων ἀπὸ τῆς ὑπὸ τὰ Ἱεροσόλυμα ἐρήμου ἀρχιμανδριτῶν καὶ μοναχῶν, καὶ τῆς δευτέρας Συρίας, καὶ τοῦ ἁγίου ὄρους Σινᾶ, καὶ τριῶν Παλαιστινῶν.

Τὴν ἐν χειρὶ Θεοῦ καρδίαν τῆς ὑμετέρας εὐσεβείας, οὗ δ' ἂν θέλῃ κλινομένην ὁρῶντες, καὶ διὰ τοῦτο τῶν συνεχόντων πραγμάτων τὴν καλλίστην ὑμῶν πολιτείαν προτιμῶσαν τὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνην, καὶ τῶν πιστῶν λαῶν τὴν ἡσυχίαν, εἰκότως θαῤῥοῦμεν παρενοχλεῖν τῷ θεοφυλάκτῳ ὑμῶν κράτει, περὶ τῶν κοινῇ πᾶσι Χριστιανοῖς συμφερόντων. διδάσκομεν τοίνυν ὡς εἰσόδου τυχόντες πρὸ τούτων φανερῶν ἡμερῶν παρὰ τῇ ὑμετέρᾳ εὐσεβείᾳ, ἐδεήθημεν τῶν εὐσεβῶν ὑμῶν ἰχνῶν, τὸν ἐπιδεδομένον παρ' ἡμῶν λίβελλον τῷ

Θεόδωρος διάκονος καὶ μοναχὸς τοῦ ἁγίου Σεργίου τοῦ ἐν τῇ πεδιάδι, ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ αὐτῇ μονῇ μοναχῶν, καὶ τῇ πεδιάδι, ὑπέγραψα.

Κοσμᾶς μοναχὸς, καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ πρώτῃ Παλαιστίνῃ μοναχῶν, ὑπέγραψα.

Στρατήγιος διάκονος καὶ μοναχὸς, καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ δευτέρᾳ Παλαιστίνῃ μοναχῶν, ὑπογράψας ἐπιδέδωκα.

Σαλαμάνης ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ ἡγούμενος, καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ τρίτῃ Παλαιστίνῃ μοναχῶν καὶ ἀρχιμανδριτῶν, ὑπογράψας ἐπιδέδωκα.

Ἠλίας διάκονος καὶ μοναχὸς, καὶ ὑπὲρ πάντων τῶν ἐν Αὐγουστοπόλει τῆς τρίτης Παλαιστίνης μοναχῶν, ὑπογράψας ἐπιδέδωκα.

Ἀναστάσιος διάκονος καὶ μοναχὸς, καὶ ὑπὲρ πάντων τῶν ἐν Πέτραις τῆς τρίτης Παλαιστίνης μοναχῶν, ὑπογράψας ἐπιδέδωκα.

Φωτεινὸς μοναχὸς τοῦ ἁγίου Στεφάνου τοῦ ἐν Μαωζᾷ Ἰαμνίας πρώτης Παλαιστίνης, καὶ ὑπὲρ πάντων τῶν ἐν αὐτῷ μοναχῶν ποιούμενος τοὺς λόγους, ὑπέγραψα.

Ἰωάννης ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ μοναχὸς, καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ Αἰλᾷ τῆς τρίτης Παλαιστίνης μοναχῶν, ὑπογράψας ἐπιδέδωκα.

Παῦλος ἐλέῳ Θεοῦ μοναχὸς καὶ ἀποκρισιάριος μονῆς τοῦ μακαρίου Μάρωνος τῆς ἐξαρχούσης τῶν ἐν τῇ δευτέρᾳ Συρίᾳ ἁγίων μοναστηρίων, ποιούμενος τοὺς λόγους καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ αὐτῇ δευτέρᾳ Συρίᾳ ἀρχιμανδριτῶν καὶ μοναχῶν, ὑπέγραψα.

Ο ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπε· δήλων ὄντων τῶν περιεχομένων τοῖς ἀναγνωσθεῖσι λιβέλλοις κατὰ πρώτην τάξιν, οἱ ἐκ τῆς πρεσβυτέρας Ῥώμης συμπαρόντες ἡμῖν ὁσιώτατοι καὶ θεοφιλέστατοι ἄνδρες, εἴ τι τῶν προκειμένων ἕνεκεν ὑποθέσεως ἴσασι πεπραγμένον, εἰπεῖν ἀξιούτωσαν. τοῦτο γὰρ καὶ τῶν εὐλαβεστάτων μοναχῶν ᾐτηκότων ἀκηκόασι καὶ ἀνέγνω φωνήν. Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδικήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, ἔχουσαν οὕτως.

Paulus divina miseratione monachus & ambasiator monasterii beati Maronis, primatis omnium venerabilium monasteriorum in secunda Syria, faciens sermonem pro omnibus archimandritis & monachis de ipsa secunda Syria, subscripsi.

A Joannes Dei misericordia presbyter tertiæ Palæstinæ, subscripsi & porrexi.

Sanctissimus archiepiscopus dixit: Cum manifesta sint contenta in libellis lectis secundum primum ordinem; dignentur dicere sanctissimi & Deoamantissimi viri, qui nobiscum ex antiqua Roma adsunt, si quid sciant factum propter propositam materiam. Nam hæc audiverunt a venerabilibus monachis petentibus. Et Menas venerabilis lectorarius, & secundicerius notariorum Apostolicæ sedis antiquæ Romæ, legit vocem, quæ sic habet:

Sanctissimi episcopi partium Italiæ, ac venerabilissimi Apostolicæ sedis diaconi, dixerunt; In quo loco vel numero Severum & Petrum esse jamdudum Apostolicæ sedis decreverunt constituta, in epistolis sanctæ memoriæ Hormisdæ Papæ ad monachos secundæ Syriæ, & ad beatum Epiphanium hujus regiæ urbis archiepiscopum ostenditur diffinitum. Quarum auctoritatem præsto habentes, ipsam in præsentibus actibus legendam porrigimus.

Ἑρμηνεία τῆς προκειμένης διαλαλιᾶς.

Interpretatio præcedentis interlocutionis..

Οἱ ἁγιώτατοι ἐπίσκοποι μερῶν τῆς Ἰταλίας, καὶ οἱ εὐλαβέστατοι τῆς ἀποστολικῆς καθέδρας διάκονοι, εἶπον· Ἐν ποίῳ τόπῳ ἢ ἀριθμῷ Σευῆρον καὶ Πέτρον ἤδη πάλαι τῆς ἀποστολικῆς καθέδρας τὰ ψηφίσματα εἶναι ἐψηφίσαντο, ἐν ταῖς ἐπιστολαῖς τοῦ τῆς ἁγίας μνήμης πάπα Ὁρμίσδα πρὸς τοὺς τῆς δευτέρας Συρίας μοναχοὺς, καὶ πρὸς τὸν μακαριώτατον Ἐπιφάνιον ταύτης τῆς βασιλίδος πόλεως ἀρχιεπίσκοπον δηλοῦται ὡρίσθαι. ὧν ἔχοντες ἐν ἑτοίμῳ τὴν αὐθεντίαν, ταύτην ἐν τοῖς παροῦσιν ὑπομνήμασιν ἐπιδίδομεν ἀναγνωσθησομένην.

Ο ἁγιώτατος ἀρχιεπίσκοπος, εἶπεν· ἀναγνωσθήτω. καὶ ἀνέγνω Μηνᾶς ὁ θεοσεβέστατος ἀναγνώστης καὶ σεκουνδικήριος νοταρίων τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἐκ τῶν παρ' αὐτοῖς ἄκτων διὰ Ῥωμαϊκὰς ἐπιστολὰς, γραφείσας ὑπὸ Ὁρμίσδου τοῦ τῆς ὁσίας μνήμης γενομένου πάπα τῆς πρεσβυτέρας Ῥώμης. ὧν μετὰ τὴν ἀνάγνωσιν, Χριστοφόρος ὁ θεοσεβέστατος διάκονος, νοτάριος καὶ σεκρετάριος, τὴν ἑρμηνείαν ἀνέγνω. ἦν δὲ ἡ ἐπιστολὴ, διὰ Ῥωμαϊκῶν γραμμάτων· ἡ δὲ ἑρμηνεία αὐτῆς δι' Ἑλληνικῶν γραμμάτων ἔχει οὕτως.

B Sanctissimus archiepiscopus dixit: Legatur. Et Menas venerabilis lectoratius & secundicerius notariorum Apostolicæ sedis antiquæ Romæ legit ex actis apud ipsos Romanos epistolas ab Hormisda sanctæ memoriæ Papa antiquæ Romæ. Post quarum lectionem Christophorus venerabilis diaconus, notarius & secretarius, interpretationem legit. Erat autem epistola per litteras Latinas: cujus interpretatio per litteras Græcas, sic habet:

Ορμίσδας ἐπίσκοπος, πρεσβυτέροις, διακόνοις καὶ ἀρχιμανδρίταις τοῖς ἐν δευτέρᾳ Συρίᾳ οὖσι, καὶ C λοιποῖς ὀρθοδόξοις ἐν οἱῳδήποτε ἀνατολικῷ κλίματι διάγουσι, καὶ ἐν τῇ τῆς ἀποστολικῆς καθέδρας κοινωνίᾳ διαμένουσιν.

Hormisdas episcopus, presbyteris, diaconis, & archimandritis secundæ Syriæ, & reliquis orthodoxis in quocumque Orientali climate degentibus, & in Apostolicæ sedis communione permanentibus.

Ἀναγνωσθέντων γραμμάτων τῆς ὑμετέρας ἀγάπης, δι' ὧν τῶν ἐχθρῶν τοῦ Θεοῦ ἐφανερώθη, καὶ τῶν ἀπίστων ἡ ἐπίμονος μανία λυπηρῶς δήλη γέγονεν· οἵ τινες ἐπειδὴ τῷ κακῶς ζῶντι πνεύματι ἐμίσησαν τὸν κύριον, τὰ μέλη ἐκείνου ἀσεβῶς διώκουσιν, ὅσον ἀπὸ τῆς ἡμετέρας βεβαιότητός ἐστι γνῶναι· ηὐλόγησα τὸν κύριον, τὸν τὴν πίστιν τῶν ἑαυτοῦ στρατιωτῶν μεταξὺ τῶν ἐναντίων φυλάττοντα. καὶ πάλιν τῶν ἐκκλησιῶν τὸν σάλον, καὶ τῶν δούλων τοῦ Θεοῦ τὰς ἐπαχθείας, καὶ τοὺς κόπους κατανοήσας, στενάζων κατὰ τὸν προφήτην, ἐκέκραξα· ἀνάστα κύριε· δίκασον τὴν δίκην σου· μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν· ἡδέως καὶ τὰ ἑξῆς ὁμοίως ἐπάγω· μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ζητούντων σε· ἡ ὑπερηφάνια τῶν μισούντων σε ἀνέβη διὰ παντὸς πρὸς σέ. καὶ γὰρ ὥσπερ χρὴ ἡμᾶς τὸ ἑδραῖον τῆς πίστεως φυλάττειν, οὕτως οὐχ ἁρμόζει περὶ τῆς δικαιοσύνης τῆς θείας κρίσεως ἀπιστεῖν. οὐ νέος, ἀδελφοί, τῆς ἐκκλησίας οὗτος ὁ κόπος· ἀλλ' ἐν αὐτῷ τῷ ταπεινοῦσθαι, ὑψοῦται· καὶ δι' ἐκείνων, δι' ὧν πτωχεύειν δοκεῖ, πλουτίζεται. ἐν πείρᾳ ἐστὶ τοῖς πιστοῖς τοῦ Θεοῦ τὸ διὰ τοῦ θανάτου τῶν σωμάτων τὴν ζωὴν κερδαίνειν τῶν ψυχῶν. ἀποβάλλονται μὲν τὰ ῥέοντα, ἀλλ' ἐμπορεύονται τὰ αἰώνια· καὶ ἐν τῷ τὸν διωγμὸν ὁδο-

Lectis litteris vestræ dilectionis, per quas inimicorum Dei insipientia manifestata est, & infidelium furia pertinax dolenter manifesta facta fuit; qui quoniam in spiritu male viventes oderunt Dominum, membra illius impie persequuntur, quantum a nostra certitudine est cognoscere: benedixi Dominum, qui fidem militum suorum in medio hostium servavit. Et D rursus ecclesiarum commotionem & servorum Dei molestias ac labores considerans, gemens secundum prophetam clamavi: *Surge Domine, judica causam tuam: recordare opprobriorum tuorum, quæ ab insipiente sunt tota die:* libenter & cetera quæ sequuntur similiter induco: *Ne obliviscaris vocem quærentium te: superbia te odientium ascendit semper ad te.* Etenim sicut oportet nos firmitatem fidei custodire, ita non convenit de justitia divini judicii diffidere. Non novus hic, fratres, ecclesiæ labor: tamen dum in ipso humiliatur, exaltatur: & per illa, per quæ depauperari videtur, ditatur. Probatio est in fidelibus Dei, per mortem corporum vitam lucrari animarum. Amittunt quidem fluentia, sed acquiruntur æterna; & dum persecutio viam facit proba-

Psal. 73.

tioni, probatio fit causa dignitatis. Stulti & in cæcitate furentes ignorant, quod quos a conversatione hominum separare se posse putant, eos ad regnum Dei ducunt, ubi in ipsis periculis lætitiæ studium certe patet. Retributor enim magnorum donorum, suscipit certamina suorum. Quis enim non frangeretur in malis, nisi per contraria præmia consolaretur? Illa est spes, quæ non permittit in desperatione deficere. Excludit tribulationum amaritudinem dulcis gustus virtutum. Quis nam putaret præsentia magna, futura intelligens? Quis mortem abnegaret, nisi futurorum retributionem consideraret? Stare, dilecti mei, & firma cogitatione immobilem fidem servantes; laudem patientiæ, in qua est salus & bravium bonorum operum, nanciscemini & carpetis. Magna quippe sunt ad quæ indigni vocamur. Non retardet infirmitas; quoniam vocans retributor fidelis, & fortis adjutor est. Non decipiamur spe desideriorum, neque voluptatum: nec judicio anteponamus facilia. Non delicata, non adulatoria nobis Dominus noster promisit. Ille præmia promisit, non otia. Non conveniunt laus & pigritia. Quis remunerationis erit modus, si nulla sit cura virtutis? Arcta est porta, sed sunt ampla regna. Paucis est introitus, sed est probis. Nonne ista sunt prima verba ad eos, quos docuit? *Persequentur, & in synagogis flagellabunt vos:* Verumtamen per patientiam, sicut scriptum est, possideamus animas nostras; ne aliquando doleamus, ipsis per impatientiam amissis. Dominus noster patientiæ suæ ipse doctor primus, crucem subiit, in proprio exemplo formam præbens illis, quos adjuvare debebat. Ipse inter virtutes & labores, tenet lancem, stans adversus venena furentium; ut secundum iram persecutionis, ipse æterni imperii præbeat coronas. Pensate qualis Machabæorum exitus, quæ luctatio tolerantibus, quæ historia laudum secuta est: quali Judas & illa fratrum caterva mortis honore prædicatur: in quali ore est populus in monte perditus. Etenim ipsæ virtutes omnes pro custodia legis sunt: & cum similitudines ac umbræ futurorum sint, dignæ fuerunt tantorum exemplorum. Nos in patribus vidimus, palpavimus, probavimus, quid sequamur, quid materiæ conveniat, quid veritati non dissonet, quid redemptori nostro debeatur. Cordialiter communicamus vobis in his dogmatibus. Dicit enim quodam in loco sapientissimus Salomon, *Beatus qui prædicat verbum in aurem obedientis:* Gaudium est siquidem volentes alloqui, & hortari ad rectam viam eos, qui non resistunt. Tenemus enim pignus fidei vestræ, instantiam ex litterarum professione; per quam a transgressorum corruptela separati, ad dogmata & mandata Apostolicæ sedis rediitis: licet quidem tarde ad viam veritatis ascendatis. Sed benedictus Deus, qui non in finem obliviscitur: quique castigat, & sanat; neque permittit oves sui uniti ovilis insidiantium luporum rapina dispergi. Qui etiam per temperatam austeritatem suorum non negligit tutelam, neque salutem. Sed quid miramur, si illo uno & vero derelicto pastore, astutus raptor sanguine inquinatus, insidiis oves dispersas conturbavit? Qui autem propriam tutelam dereliquerunt, ipsi se ipsos periculis, in quibus dissipentur, immiserunt. Ita ergo nunc firmis gressibus insistis viæ patrum, ad quam recurristis. Potest enim Dei misericordia vestræ mercedi computare & aliorum similiter reformationem, qui a vobis ad rectum directi fuerint. At omnino vos ipsos evellite a cœno, in quo hæretici demersi tenentur: & excutite immunditiam pulveris qui adhæsit: generaliterque omnes ab apostolicis dogmatibus declinantes, fideli abdicatione condemnate. *Nulla si-*

Matth. 16. Luc. 21.

Eccli. 25.

1. Cor. 6.

A πειρῶν τῇ δοκιμῇ, αἰτία γίνεται τῆς ἀξίας ἡ δοκιμή. ἀνόητοι καὶ ἐν τῇ τυφλώσει μαινόμενοι ἀγνοοῦσιν, ὅτι οὓς ἐκ τῆς τῶν ἀνθρώπων ἀναστροφῆς χωρίζειν δύνασθαι νομίζουσι, τούτους εἰς τὴν βασιλείαν ἄγουσι τοῦ Θεοῦ. ὅπου δῆτα ἐν αὐτοῖς τοῖς κινδύνοις αἱ εὐφροσύναι, καὶ ἡ περὶ τὸ χαίρειν σπουδή. ἐκδέχεται γὰρ τοὺς ἀγῶνας τῶν ἰδίων, ὁ τῶν μεγάλων δωρεῶν ἀνταποδότης. τίς γὰρ οὐκ ἂν ἐθραύσθη ἐν τοῖς κακοῖς, εἰ μὴ διὰ τῶν ἐπάθλων παραμυθεῖτο τὰ ἐναντία; ἐκείνη ἐστὶν ἡ ἐλπὶς ἡ μὴ συγχωροῦσα ἐν τῇ ἀπελπισίᾳ ἡμᾶς ἀπειπεῖν. ἀποκλείει τῶν θλίψεων τὸ πικρὸν, ἡ γλυκεῖα γεῦσις τῶν ἀρετῶν. τίς γὰρ ἂν οἰηθείη τὰ παρόντα μεγάλα, ἐννοῶν τὰ μέλλοντα; τίς τὸν θάνατον ἀπαρνεῖται, εἰ τῶν μελλόντων τὴν ἀντάδοσιν κατανοήσειεν; ἵστητε, ἀγαπητοί μου, καὶ ἀσάλευτον τὴν πίστιν βεβαίῳ λογισμῷ φυλάττοντες, τῆς ὑπομονῆς τὸν ἔπαινον, ἐν ᾧ ἐστιν ἡ σωτηρία, καὶ τῶν ἀγαθῶν ἔργων τὸ βραβεῖον, B καρπώσασθε· μεγάλα εἰσὶν, εἰς ἃ καλούμεθα οἱ ἀνάξιοι. μὴ βραδυνάτω ἡ ἀσθένεια, ὅτι ὁ καλῶν ἀνταποδότης, πιστὸς καὶ δυνατὸς βοηθός ἐστι. μὴ τῇ τῶν καθηδυμένων ἐλπίδι ἀπατηθῶμεν, μήτε τῶν ἡδέων, μήτε προκρίνωμεν εὐχερῆ. οὐ τρυφηλὰ ἡμῖν ὁ κύριος ἡμῶν, οὐ κολακευτικὰ ἐπηγγείλατο, ἐκεῖνος ἔπαθλα ὑπέσχετο, οὐκ ἀργίας. οὐ συμβαίνουσιν ἔπαινος καὶ ῥαθυμία· τίς τῆς ἀντιμισθίας ἔσται τρόπος, εἰ οὐδεμία ἐστὶ φροντὶς τῆς ἀρετῆς; στενὴ ἡ πύλη, ἀλλὰ πλατεῖα τὰ βασίλεια. ὀλίγοις ἡ εἴσοδος, ἀλλὰ τοῖς δοκίμοις. οὐχ οὗτοί εἰσιν οἱ πρῶτοι λόγοι πρὸς ἐκείνους οὓς ἐδίδαξε; διώξουσι, καὶ ἐν ταῖς συναγωγαῖς μαστιγώσουσιν ὑμᾶς· διὰ τῆς ὑπομονῆς, καθὼς γέγραπται, κτησώμεθα τὰς C ἑαυτῶν ψυχὰς, μήποτε ταύτας διὰ τῆς οὐχ ὑπομονῆς ἀλγήσωμεν ἀπολέσαντες. πρῶτος εἰς τὸν σταυρὸν ὁ κύριος ἡμῶν, καὶ τῆς ὑπομονῆς ἑαυτοῦ διδάσκαλος, ἀνῆλθεν ἐν τῷ ἰδίῳ τύπῳ ὑποδείγματι ἐκείνοις, οἷς ἔμελλε βοηθεῖν. αὐτὸς μεταξὺ τῶν ἀρετῶν καὶ τῶν κόπων, τὸν ζυγὸν κατέχει, ἱστάμενος μετὰ τῶν δηλητηρίων τῶν μαινομένων, ἵνα κατὰ τὴν ὀργὴν τοῦ διωγμοῦ, αὐτὸς καὶ τῆς αἰωνίου βασιλείας τοὺς στεφάνους παράσχῃ. ἀναλογίσασθε, ποία τῶν Μακκαβαίων ἡ ἔξοδος· τοῖς καρτεροῦσιν ἡ πάλη, ἱστορία τῶν ἐπαίνων ἐξέπεσεν. ποία Ἰούδας, κἀκείνη τῶν ἀδελφῶν ἡ φάλαγξ, θανάτου τιμῇ ἀναγορεύεται· ἐν ποίοις ἐστὶ στόμασιν ὁ λαὸς ὁ ἐν τῷ ὄρει ἀναλωθείς. καὶ αὗται αἱ δυνάμεις ὑπὲρ τῆς τοῦ νόμου φυλακῆς, ὁμοιώματα καὶ σκιαὶ τῶν μελλόντων οὖσαι, ἠξιώθησαν παραδειγμάτων τοσούτων. ἡμεῖς ἐν τοῖς πατράσιν ἑωράκαμεν, ἐψηλαφήσαμεν, ἐδοκιμάσαμεν, ἐν τίνι ἀκολουθήσωμεν. D τί οὐκ ἐφαρμόζει τῇ ὑποθέσει; τί ἀνᾴδει τῆς ἀληθείας; τί οὐκ ὀφείλεται τῷ λυτρωτῇ; καταθυμίως κοινωνοῦμεν ἐν τούτοις ὑμῖν τοῖς δόγμασι. λέγει γάρ που ὁ σοφώτατος Σολομῶν· μακάριος ὁ κηρύσσων λόγοι εἰς ἀκοὴν ὑπακούοντος. εὐφροσύνη μὲν οὖν ἐστι τὸ διαλέγεσθαι τοῖς θέλουσι, καὶ πρὸς τὴν ὀρθὴν ὁδὸν τοὺς μὴ ἀντιπαλαίοντας προτρέπεσθαι. κατέχομεν γὰρ ἐνέχυρον τῆς πίστεως τῆς ὑμετέρας, τὴν ἀπὸ τῶν γραμμάτων ὁμολογηθεῖσαν ἔνστασιν, δι' ἧς ἐκ τῆς τῶν παραβατῶν λύμης χωρισθέντες εἰς τὰ τῆς ἀποστολικῆς καθέδρας δόγματα καὶ ἐντολὰς ἐπανήλθετε, εἰ καὶ μὲν οὖν ἐπιβάντες τῆς ὁδοῦ τῆς ἀληθείας. ἀλλ' εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ εἰς τέλος ἐπιλανθάνεται, ὃς παιδεύει καὶ ἰᾶται, καὶ οὐδὲ τῆς ἑνωμένης αὐτοῦ ποίμνης τὰ πρόβατα καρτερεῖ τῶν E ἐπιβουλευόντων λύκων τῇ ἁρπαγῇ διασκεδάσθαι. ὃς διὰ τῆς κεκραμένης αὐστηρίας, οὐδὲ τῆς ἀσφαλείας τῶν ἰδίων ὑπερορᾷ, οὐδὲ τῆς σωτηρίας. ἀλλὰ τί θαυμαστὸν, εἰ τὰ πρόβατα καταλειφθέντος ἐκείνου τοῦ ἑνὸς καὶ ἀληθινοῦ ποιμένος, διεσκόρπισεν ὁ πανοῦργος, ὁ αἵματι πεφυρμένος καὶ ἅρπαξ, ταῖς ἐνέδραις ἐτάραξεν; οἱ τὴν ἀσφάλειαν τὴν ἰδίαν καταλιμπάνοντες, αὐτοὶ ἑαυτοὺς τοῖς κινδύνοις ὑφ' ὧν σπαράττονται, ἐμβάλλουσιν. ὥστε καὶ νῦν γοῦν στερεοῖς βήμασιν ἐν τῇ ὁδῷ τῶν πατέρων πρὸς ἣν ἀνεδράμετε, ἵστητε. δύναται γὰρ τὸ τοῦ Θεοῦ ἔλεος καὶ τὴν τῶν ἄλλων ὁμοίως διόρθωσιν τῷ ὑμετέρῳ μισθῷ, εἰ παρ' ὑμῶν πρὸς τὸ εὐθὺς ὁδηγηθεῖεν, λογίσασθαι. ἀλλ' ἑαυτοὺς καθόλου ἀπὸ τοῦ βορβόρου, ἐν ᾧ οἱ αἱρετικοὶ καταποθέντες κεκράτηνται, ἀποσπάσατε, καὶ ἐκτινάξαντες τὴν ἀκαθαρσίαν τοῦ κονιορτοῦ τοῦ κολληθέντος, γενικῶς ἅπαντας τοὺς ἀπὸ τῶν ἀποστολικῶν δογμάτων ἀποκλίναντας, βεβαίᾳ ἀποκηρύξει κατακρίνατε. οὐδεμία τῷ

σκότει πρὸς τὸ φῶς κοινωνία. οὔτε οἱ διὰ τῆς εὐθείας ὁδοῦ βαδίζοντες τὰ ἑαυτῶν ἴχνη μετὰ τῶν ἀποκλινόντων πλάνης συνάπτουσι. καθεκτέος ἐστὶ τῆς πίστεως σύνδεσμος, καὶ παραιτητέα ἡ ἐκ τῆς ἀπίστου κοινωνίας λύμη, ὅτι κατὰ τὸν ἀπόστολον, ὃν τρόπον ὁ ἑαυτὸν προσκολλῶν τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν, οὕτως ὁ κολλώμενος τῇ πόρνῃ ἓν γίνεται σῶμα. ἀγαπῶσιν αἱ ἀρεταὶ τὰς ἀλλήλων κοινωνίας, καὶ τοὺς κολλωμένους αὐτῇ μεθ' ἑαυτῆς ἡ ἀσέβεια ἐν τῷ βυθῷ καταποντίζει. ἐν ὀφθαλμοῖς, ἐν τῷ στόματι, ἐν αὐταῖς ταῖς χερσὶν εἰσὶ τῶν πατέρων τὰ δόγματα, ἃ φυλάττειν ἐντελλόμεθα. καθ' ἑκάστην πρὸς τὴν φυλακὴν ἑαυτῶν αἱ σεβάσμιαι σύνοδοι περισφίγγουσι. μακρηγορία ἐστὶ καθ' ἕκαστον ταῦτα φανεροῦν. τὰ τῆς ἐν Χαλκηδόνι συνόδου, ἐν ᾗ πάντων τὸ σέβας περιέχεται. ἀλλὰ καὶ τὰ παρὰ τοῦ σεβασμιωτάτου Λέοντος προενεχθέντα ἐξ αὐτῆς τῶν ἀποστόλων τῆς καρδίας ὁρίσματα, καὶ γινώσκειν ἡμᾶς προσήκει, καὶ τηρεῖν. ἐν τούτοις τὸ σεβάσμιον τῆς πίστεως, ἐν τούτοις οἱ προμαχοῦντες τῆς ἀληθείας, ἐν τούτοις ὁ Χριστὸς γινώσκεται, ἐν τούτοις τῆς λυτρώσεως τῆς ἡμετέρας ἡ ἐλπὶς καὶ ὑπόθεσις φυλάττεται. οὗτός ἐστιν ἐκεῖνος, ὃ ἐν τῷ ἀποστόλῳ ἀνέγνωμεν, θεμέλιος· ἐν ᾧ ἑαυτόν τις παραλογίζεται, εἴ τις ξύλα, χόρτον, καλάμην καταναλισκόμενα τῷ πυρὶ ἐποικοδομῆσαι πειραθῇ. ἐν ταύταις ἀνῃρέθη τὰ Εὐτυχοῦς καὶ Νεστορίου ταῖς συνόδοις τὰ δηλητήρια, οἵ τινες ἐξ ἐναντίας τῆς δεσποτικῆς τοῦ σωτηρίου μυστηρίου οἰκονομίας· ἐν ὅσῳ ἐναντίῳ μεταξὺ ἑαυτῶν συλλογισμῷ φιλονεικοῦσι, ὑπό τινι τῆς ἱεροσυλίας ἰσότητι συμφωνοῦσι, ἄνισοι τῇ γνώμῃ καὶ ὁμόψυχοι τῇ ἀσεβείᾳ. ὧν ὁ ἕτερος μὴ θέλων τὴν παρθένον Μαρίαν θεοῦ εἶναι θεοτόκον, ἅπερ ἐν τῷ κυρίῳ ἡμῶν εἰσιν ἡνωμένα διαιρεῖ· ὁ δὲ ἕτερος, ἐν ὅσῳ ἰδιότητα τῶν συνελθουσῶν φύσεων καὶ τὰ ἀληθῆ συγχεῖ, τὸ μυστήριον τῆς ἡμετέρας λυτρώσεως σβέννυσιν· ἄλλος Φωτεινοῦ τὴν θρησκείαν, ἕτερος τοῦ Μανέντος τὴν ἀφροσύνην ἀσεβεῖ συγγενείᾳ συνάπτουσι. κατὰ τούτων, ἀδελφοὶ ἀγαπητοί, προενοήθησαν ἰατρεῖαι· ἐκείνας τῇ τοῦ λογισμοῦ δυνάμει ἐκδικήσατε, ἐπειδὴ εἰς ἀνατροπὴν αὐτῶν ὁρᾶτε τοὺς αἱρετικοὺς διὰ τῆς ἀσεβείας μαχομένους. μὴ ἔστω ἐν ὄκνῳ τῆς διδασκαλίας ἡ ἀλήθεια· ποίᾳ χρὴ σπουδῇ τὴν σωτηρίαν ἀγαπᾶσθαι, ὁπότε ὁρᾶτε τὴν θανατηφόρον ἀπώλειαν οὕτω στεργομένην; αἰδεσθῶμεν νωχελῶς σαφηνίζεσθαι τῆς ἀληθείας τοὺς νόμους, ὁπότε ἐπιμόνως διοικοῦνται αἱ πλάναι; καὶ τοὺς ἀρχηγοὺς μὲν τῶν κακῶν εὑρημάτων, ἃ προείπομεν συνοδικὰ θεσπίσματα, δικαίαις κατακρίσεσι μετέρχονται. ἀλλ' ἡμεῖς καὶ τούτων τοὺς ἀκολούθους ὅπως ἐκκλίνητε, ὁμοίως ὑπομιμνήσκομεν· οὓς ἡ ἀποστολικὴ καθέδρα καὶ κατέλαβε παραπλησίους ὄντας τοῖς ἑαυτῶν διδασκάλοις, καὶ τοῖς κατακριθεῖσι συνέζευξε· Τιμόθεον τὸν πατραλοίαν, καὶ Διόσκορον, καὶ Πέτρον, τοὺς Ἀλεξανδρεῖς, Ἀκάκιον τὸν Κωνσταντινουπολίτην, μετὰ τῶν ἑαυτοῦ ἀκολούθων· ὡσαύτως Πέτρον τῆς Ἀντιοχείας, τῷ προλεχθέντι ὅμοιον τῇ τε πλάνῃ καὶ τῷ ὀνόματι· ἀλλὰ καὶ Σεβῆρον τοῦ αὐτοῦ τόπου οὐδὲν ἧττον καὶ τοῦ ἰοῦ· Ξενέαν τὸν Ἱεραπολίτην, Κῦρον τὸν Ἐδέσης, Πέτρον τὸν Ἀπαμείας· οὐ μόνον ὑπὲρ τῆς οἰκείας, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν ἄλλων ὁμοίως ἀπωλείας, κατακριτέους. οἵ τινες, ἐν ὅσῳ ἑαυτοὺς τοῖς ῥύποις τῆς ἰδίας δόξης ἀπαύστως ἐξεκυλίουσιν, ἄλλους ὁμοίως ἐν τῷ διδάσκειν, τοὺς κακῶς αὐτοῖς ἀκολουθήσαντας ἐμόλυναν· διὰ σωτηριώδους συνειδήσεως ἐντολῆς ὑμῖν παραινῶ. πᾶν ὅτι ἐὰν ἐξ ἐναντίας τῶν πατρικῶν κανόνων, ἐξ οἱωνδήποτε ὑπομνημάτων προενεχθείη, ἀπώσασθε· μηδεὶς ὑμᾶς ἀπροσφόροις προστάγμασι, ἢ νεωτέροις ὁρίσμασι καινισάτω. εἰ μὲν γάρ εἰσι κοσμικοί, καὶ οὐ δύνανται τὰς ἐκκλησίας κατέχειν· ἐπειδὴ τούτοις ἁρμόζει τὸ διδάσκεσθαι, μᾶλλον ἢ διδάσκειν· ἀθέμιτον γὰρ τοῖς σεβασμίοις θυσιαστηρίοις ξένας προσφέρειν σπονδάς· ἐπειδὴ σαφεῖς εὐσεβέσιν ἐπιστήμαις ὅρους ἐν αὐτοῖς ὁμοίως τῆς ἰδίας τιμῆς τοῖς προοιμίοις προέγραψε, μεταξὺ Λευϊτῶν καὶ τοῦ ἰδίου λαοῦ διεῖλε τὴν λειτουργίαν. ἄλλη ἐστὶν ἡ τῶν ἀνθρώπων ἐξουσία, ἄλλαι αἱ τῶν ἱερέων ὑπηρεσίαι. παρώξυνε μᾶλλον τὸν κύριον, ἤπερ ἐξιλεώσατο, ὃς ἀλλότριον πῦρ ἐν τοῖς θείοις ἀδύτοις τὰ ἱερὰ μολύνας ἐπήνεγκε. τίς ἐστιν, ὃς ἑαυτῷ ἐν ἀλλοτρίοις θεσπίσμασι τοῦ κελεύειν τὴν αὐθεντίαν δύναται περιλαβεῖν; καὶ γὰρ οὐκ ἔστιν ἀμφίβολόν τι

A *quidem est communio tenebris ad lucem:* neque ambulantes per viam rectam, vestigia sua cum errore declinantium conjungunt. Tenendum est vinculum fidei, recusandaque est corruptela, quæ ex infideli communicatione enascitur: quoniam secundum apostolicum sermonem, quemadmodum *qui adhæret Deo, unus spiritus est cum eo: ita qui adhæret meretrici, unum corpus fit.* (Ibidem.) Amant ad invicem virtutes communionem: & impietas secum demergit in profundo adhærentes sibi. Ante oculos, in ore, in ipsis manibus sunt patrum dogmata, quæ quotidie custodire jubemur. Ad ipsorum custodiam venerabiles synodi nos adstringunt. Longum est singulatim omnia demonstare, quæ in Chalcedonensi synodo sunt, in qua omnium religio continetur. Verum & definitiones, quæ a sanctissimo Leone ex ipso B apostolorum corde prolatæ sunt, scire nos convenit, & servare in his pietatem fidei. In his propugnatores veritatis, in his Christus cognoscitur. In his nostræ redemptionis spes & argumentum custoditur. Hoc est illud fundamentum quod in Apostolo legimus: (1. Cor. 3.) in quo seipsum decipit, quisquis ligna, fenum, stipulam, consumptibilia igni superædificare conatus fuerit. In ipsis synodis necata sunt Eutychis, & Nestorii venena: qui quodammodo contrario inter se syllogismo contendunt: adversus autem divinam salutaris mysterii dispensationem, sub quadam sacrilegii æqualitate concordant: inæquales sententiis, & unanimes impietate. Quorum alter non vult Virginem Mariam Dei esse genitricem; quo quæ in Domino sunt unita, dividit: alter autem, C in quantum proprietates naturarum convenerunt, & veritates confundit, & mysterium nostræ redemptionis extinguit. Alter Photini sectam, alter Manetis insipientiam impia contagione conjungit. Contra istos, fratres dilectissimi, provisæ sunt medicinæ: illas cogitationis virtute vindicate; quoniam in ipsarum eversionem videtis hæreticos per impietatem pugnantes. Non sit in pigritia veritas doctrinæ. Quali studio oportet salutem diligere, quando videtis perditionem sic acceptam? Vereamur segniter declarare leges veritatis: cum obstinate errores defenduntur? Et auctores quidem malarum inventionum synodicæ sanctiones, quas prædiximus, justis condemnationibus insequuntur. At nos D etiam, ut horum sequaces declinetis, admonemus: similiter quos Apostolica sedes etiam deprehendit esse suppares eorum magistris, & condemnatis conjunxit: Timotheum parricidam, & Dioscorum & Petrum Alexandrinos: Acacium Constantinopolitanum cum ejus sequacibus: similiter Petrum Antiochenum prædicto similem, errore & nomine. Item etiam Severum ipsius loci ac veneni, Xenean Hierapolitanum, Cyrum Edessenum, Petrum Apameæ, non solum pro propria, verum etiam pro aliorum condemnandos perditione. (Fatendum pag. 105. meminit hujus Cyri [illegible]) Qui in quantum seipsos sordibus propriæ opinionis incessanter involvunt, alios similiter, qui secuti sunt ipsos, in docendo contaminaverunt. Per generale salutare mandatum vos moneo, quodcumque adversarium canonibus Patrum, ex quibuscumque actis prolatum, E abjicite. Nullus vos incongruis mandatis vel novis diffinitionibus innovet. Si enim sæculares sunt, & non possunt ecclesias retinere; quoniam his convenit doceri magis, quam docere. Nefas enim est venerabilibus altaribus nova offerre libamina: quoniam piis scientiis claras diffinitiones in ipsis proœmiis proprii honoris præscripsit; inter Levitas & suum populum ministerium divisit. Alia est hominum potestas, & alia sunt sacerdotum officia. Concitavit magis Dominum, quam placavit, (Levit. 10.) qui alienum ignem in divinis adytis obtulit sacra contaminans. Quis est, qui in alienis sanctionibus jubendi auctoritatem sibi ipsi assumere potest? Etenim nullum dubium est, cum punitum fuisse in templo

Anno Christi 536.

2. Par. 26.

pro solo conatu ministerii, qui honorem non debitum protulit, Ozias: nec in reverentia & ministerio permansit. Si autem monitus exemplo tantæ increpationis, a sacris ordinationibus timuisset jubendi auctoritatem sibiipsi assumere magis, quam adversus ista præsumpsisset, melius utique regnasset. Sed quoniam neque prohibentibus templi procuratoribus sedulus transgressor destitit, in ipsis altaribus abominabili lepra percussus, ministerium regni perdidit, officium sacerdotis invadens. Cognoscant itaque non esse Deo accepta, quæ ex ipsis mandatis a præsumptuosis subripiuntur: quando unum ad ostensionem sententiæ punitio [a] magni inordinatus servavit, alios velox flamma consumpsit. Idcirco si aliqua sunt aliquo colore religionis suscepta, vim habere non possunt tot auctoritatibus obviantia. Clamat Paulus apostolus: *Et si nos, vel angelus de cælo evangelizaverit vobis, præter quod evangelizavimus vobis, anathema sit.* Et non sufficit semel hoc dixisse, repetit & salubre mandatum: *Sicut prædiximus, & iterum modo dico, si quis vobis evangelizaverit præter quod accepistis, anathema sit.* Custodit enim prolatam pro custodia fidei sententiam, si quis apostolicam sequitur doctrinam. Et nobis quidem cura relicta est. Etenim duplicis legationis officium est: si quid in deprecationibus humile, si quid in causis justum, si quid in mandatis sanum, detulimus. Sed non propter hoc negligenda est via justitiæ: quoniam infidelitas proprios errores cum injustitia amat: non potest conjungi cum lapsu cadentium: sine nostra lue pereant, a propriis impietatibus non declinantes, neque errore flagellato. *Et altera manu:* Deus vos sanos custodiat, filii dilectissimi. Data quarto Idus Februarias, post Consulatum Agapeti clarissimi.

a Hic est, magnæ inordinationis.

Galat. 1.

Anno Christi 536.

A ϖροσφέροντα τιμὴν κεχειροτονημένην ὑπὲρ μόνης τῆς ἐγχειρήσεως τῆς λειτουργίας τετιμωρῆσθαι ἐν τῷ ναῷ. Οζίας ἐν τῇ εὐλαβείᾳ καὶ τῇ ὑπηρεσίᾳ διέμεινεν· εἰ δὲ νουθετηθεὶς τῷ ὑποδείγματι τῆς τοιαύτης ἐπιπλήξεως ἀπὸ τῶν ἱερῶν διατάξεων ἐφοβήθη μᾶλλον ἢ κατετόλμησε τούτων, ἄμεινον ἂν ἐβασίλευσε. ἀλλ' ἐπειδὴ μηδὲ κωλυόντων τῶν ἐπιμελητῶν τοῦ ναοῦ ὁ ἐπίμονος παραβάτης ἀπέστη, ἐν αὐτοῖς βδελύγματι λέπρας πληγεὶς τοῖς θυσιαστηρίοις, τὴν λειτουργίαν τῆς βασιλείας ἀπολέσας, τῇ ὑπηρεσίᾳ τοῦ ἱερέως ἐπελθών. γινωσκέτωσαν τοιγαροῦν μὴ εἶναι θεῷ προσδεκτά, ἅπερ ἐκ τῶν αὐτοῦ ἐντολῶν παρὰ τῶν τολμηρῶν ὑφαρπάζεται· ὁπότε ἵνα πρὸς ἐπίδειξιν τῆς ἀποφάσεως τὸ τῆς μεγάλης ἀνομίας τιμωρία ἐφύλαξεν, ἄλλους ταχεῖα φλὸξ κατηνάλωσε. διὸ δὴ εἴπερ τινὰ εἰσί τινι χρώματι θρησκείας δεδεγμένα, ἰσχὺν ἔχειν οὐ δύναται, τοσαύταις αὐθεντίαις ἐναντιούμενα. B βοᾷ Παῦλος ἀπόστολος· κἂν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμᾶς, παρ' ὃ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω. οὐχ ἅπαξ εἰρηκὼς τοῦτο ἠρκέσθη· ἐπανέλαβε δὲ τὴν ὑγιαίνουσαν ἐντολήν, ὡς προείπομεν, καὶ ἄρτι πάλιν λέγω· εἴ τις ὑμᾶς εὐαγγελίσηται, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. φυλάττει γὰρ τὴν προενεχθεῖσαν ὑπὲρ τῆς φυλακῆς τῆς πίστεως ἀπόφασιν, εἴ τις τῇ ἀποστολικῇ ἀκολουθεῖ διδασκαλίᾳ· καὶ ἡμῖν μὲν αὕτη φροντὶς ἐνελείφθη. καὶ γὰρ τῇ τοιᾷδε διπλῆς ὑπηρεσίᾳ πρεσβείας, εἴτε ἐν ταῖς δεήσεσι ταπεινόν, εἴτε ἐν ταῖς δικαιολογίαις εὔλογον, εἴτε ἐν ταῖς ἐντολαῖς ὑγιές, ὑπηνέγκαμεν· ἀλλὰ μὴ διὰ τοῦτο ἀμελητέα ἐστὶν ἡ ὁδὸς τῆς δικαιοσύνης· ἐπειδὴ τὰς ἰδίας πλάνας ἀγαπᾷ μετὰ ἀδικίας ἡ ἀπιστία, C οὐκ ἔστι συναφθῆναι μετὰ τοῦ τῶν πιπτόντων ὀλισθήματος· ἄνευ τῆς ἡμετέρας λύμης ἀπολλύσθωσαν οἱ ἀπὸ τῶν οἰκείων ἀσεβειῶν, μηδὲ μαστιγουμένης τῆς πλάνης, ἐκκλίνοντες. καὶ ἑτέρᾳ χειρί· ὁ θεὸς ὑμᾶς ὑγιαίνοντας διαφυλάξῃ, τέκνα ἀγαπητά. Ἐδόθη πρὸ τεσσάρων εἰδῶν Φεβρουαρίων, μετὰ τὴν ὑπατείαν Αγαπητοῦ τοῦ λαμπροτάτου.

Ex vetust. Codice Vaticano in editione Romana, epistola 77.

Hormisdæ epistola ad Epiphanium, qua ipsi vicariam sedis Apostolicæ præfecturam in recipiendis lapsis delegavit.

Επιστολὴ Ορμίσδου, πρὸς Επιφάνιον.

∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴ ∴

Hormisdas, Epiphanio episcopo Constantinopolitano.

Multo gaudio sum repletus, quod circa ecclesiæ pacem, & sanctissimi Imperatoris, & dilectionis tuæ tale studium, quale litteris indicasti, legatorum quoque meorum assertione cognovi. Manifesta enim hinc supernæ misericordiæ documenta produntur, quando & humani principes causam fidei cum reipublicæ ordinatione conjungunt; & ecclesiarum præsules, quod ad dispensationem suam pertinet, officii memores exsequuntur. Talibus indigebat post discordiæ procellas religio Christiana rectoribus: qui compressis provida dispositione turbinibus, di . peregrinatam pacem, depulsa tempestate reducerent: & in futura sæcula propositi sui exempla tendentes, sibi adscribendum indubitanter ostenderent, quidquid Deo placitum posteri pro sua imitatione fecissent. Benedicamus Deum, frater carissime, nostris hoc diebus fuisse concessum, & totis orationum & curarum viribus annitamur; ut quæ per Dei nostri opem bene correcta sunt, ipso adjuvante per omnia compleantur. Sperandum enim est, ut ad compagem corporis sui reliqua quoque quæ adhuc divisa sunt membra festinent, & a potioribus minora non discrepent: ad quod cum dilectio tua Christianæ studio caritatis hortetur, debet id ad quod incitat sequi, & quod amandum suadet amplecti. Similem enim jam fidei curam gerentes, per religiosam patientiam, par etiam præmium de boni

Ορμίσδας, Επιφανίῳ ἐπισκόπῳ Κωνσταντινουπόλεως.

D Πολλῆς ἐπλήσθην χαρᾶς, ὅτι περὶ τὴν εἰρήνην τῆς ἐκκλησίας, καὶ τοῦ ἁγιωτάτου βασιλέως, καὶ τῆς σῆς ἀγάπης τοιαύτη σπουδή, οἵαν διὰ τῶν γραμμάτων ἐμήνυσας, καὶ διὰ τῆς τῶν ἐμῶν πρέσβεων καταθέσεως ἔγνων. σαφὴς γὰρ ἐντεῦθεν τῆς οὐρανίου εὐσπλαγχνίας ἀπόδειξις προέρχεται, ὅταν καὶ οἱ τοῦ κόσμου βασιλεῖς τὰς ὑποθέσεις τὰς περὶ τῆς πίστεως μετὰ τῆς διοικήσεως τῆς πολιτείας συζευγνύωσι, καὶ οἱ τῶν ἐκκλησιῶν ἡγούμενοι τὰ συντείνοντα εἰς τὴν ἰδίαν οἰκονομίαν, μεμνημένοι τοῦ καθήκοντος, ἐκτελῶσι. τοιούτων ἔχρῃζε μετὰ τὰς τῆς διχονοίας καταιγίδας ἡ Χριστιανικὴ θρησκεία ἰθυντήρων· οἵ τινες καταπαυσάντων προνοητικωτάτῃ διατυπώσει τῶν θυελλῶν, τὴν ἐπιπολὺ ξενωθεῖσαν εἰρήνην, ἐξελαθέντος τοῦ χειμῶνος ἐπανάξωσι, E καὶ εἰς τοὺς μέλλοντας μετὰ ταῦτα αἰῶνας τῆς ἰδίας προθέσεως τὰ ὑποδείγματα ἐκτείνοντες, ἑαυτοῖς ἐπιγραφῆναι ἀναμφιβόλως ἐπιδείξωσιν, ὅ τι τῷ θεῷ ἀρέσκον οἱ μεταγενέστεροι ἀπὸ τῆς αὐτῶν μιμήσεως, ποιήσουσιν. εὐλογήσωμεν τὸν θεόν, ἀδελφοί, ταῖς ἡμῶν τοῦτο ἡμέραις συγκεχωρημένον γενέσθαι· καὶ πάσαις εὐχῶν καὶ μεριμνῶν δυνάμεσιν ἐπερειδώμεθα, ἵνα ἅπερ διὰ τῆς τοῦ θεοῦ ἡμῶν συνεργίας καλῶς ἤρχθη, αὐτοῦ βοηθοῦντος ἐν πᾶσι πληρωθῶσιν. ἐλπὶς γάρ ἐστιν, ὅτι περ εἰς τὴν ἁρμονίαν τοῦ οἰκείου σώματος καὶ τὰ λοιπὰ καὶ ἔτι νῦν διῃρημένα μέλη σπουδάσουσι, καὶ ἀπὸ τῶν κρειττόνων τὰ ἥττονα οὐ διαφωνήσουσιν. εἰς ὃ ἐπείπερ μὲν ἡ σὴ διάθεσις τῇ σπουδῇ τῆς Χριστιανικῆς ἀγάπης προτρέπεται, ὀφείλεις εἰς ὃ διεγείρει ἀκολουθῆσαι, καὶ ὅπερ ἀγαπᾶσθαι συμβουλεύει, περιπτύξασθαι. ὁμοίαν γὰρ λοιπὸν τῆς πίστεως φροντίδα χειρίζοντες, διὰ τῆς εὐσεβοῦς ὑπομονῆς, ἴσον καὶ τὸ ἔπαθλον τοῦ ἀγαθοῦ ἔργου

Anno Christi 536.

ἔργου ἐκβάσει ἐλπίζομεν. οὔτε γὰρ ταῖς δυσχερείαις ἐστὶ παραχωρητέον· οὐ καταπονεῖται ταῖς τραχέσιν ἡ πίστις, οὐδὲ εἰς τὰ τῶν οὐρανῶν ὑψώματα διὰ κατωφερείας τις ἐπικτείνεται, οὔτε τῆς ἀντιμείψεως, ἄνευ τῆς τοῦ καμάτου γυμνασίας τις ἀξιοῦται. διὸ ἵνα μὴ ἐκκακῶμεν τὸ ἀγαθὸν ποιοῦντες, ἰδικῶς ὑπομιμνησκόμεθα. καὶ γὰρ μακάριοι, ὡς μαρτυρεῖ ὁ ψαλμῳδός, οἱ φυλάσσοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ, ὅτι οὐχὶ ἀρχὴ τοῦ καμάτου τὴν ἀντίμειψιν τοῦ ἐπάθλου εἴωθεν εὑρίσκειν, ἀλλὰ τὸ τέλος. τοιγαροῦν ἴσην σπουδὴν τῆς μερίμνης ἀναλαβόμενοι, οἷς ἐστι μία ἐν τῇ κοινωνίᾳ καὶ τῇ πίστει ἡ ἑταιρεία· ὃν τρόπον περὶ τῆς ἑνωθείσης τῷ ἀποστολικῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ἐκκλησίας, ἐπίσης ἀγαλλιώμεθα ἐν κυρίῳ. οὕτω καὶ περὶ τῆς τῶν λοιπῶν, καθὼς ἐνδιαθέτως παραινεῖς, ἀποκαταστάσεως, φροντίσωμεν πρῶτον, ἵνα τὴν πίστιν καὶ τὴν πληρότητα ἡμῶν, ἄσπιλον ἀπὸ παντὸς μιάσματος φυλάξωμεν. ἢ γὰρ οἶδας, ἀδελφὲ τιμιώτατε, ποῖοι τὴν ἐκκλησιαστικὴν ὁμόνοιαν φυλάττουσι σύνδεσμοι, τίνα ἡμᾶς ἀπὸ τῶν αἱρετικῶν φυλάττουσιν ἐπιβουλῶν, καὶ διὰ ποίων ἡ τῶν κανόνων φυλάττεται αὐθεντία. τούτων ἐν τῇ ἰδίᾳ ἰσχύι πάσῃ περιοχῇ φυλαττομένων, ἴασις τοῖς ἐλπίζουσι προσενεχθήσεται. ἔχει γὰρ τῶν ἐκκλησιαστικῶν κανόνων ἡ τάξις, καὶ αὐτῆς τῆς δικαιοσύνης ὁ τύπος, ὅπως εὔλογος θεραπεία τοῖς καλοθελῶς καὶ πιστῶς ἐλπίζουσι, μὴ ἀρνηθείη· οὐδὲ τίς ἐστιν οὕτως ἀπὸ τῆς φιλανθρωπίας διῃρημένος, ὃν οὐχὶ ἀπὸ τῆς σκληρότητος τοῦ δισμοῦ ἐπικάμψῃ ἡ ἀπανοῦργος ἁπλότης· ἀλλ' ἵνα ἀσφαλῶς τοῦτο ἢ χωρὶς μέμψεως, ἢ τινὸς νεφέλης πλάνης ἰσχύσῃ προελθεῖν, ἀγαπητὲ ἀδελφέ, τὸ ἐμὸν πρόσωπόν σε ἐν τούτῳ χρὴ ὑπελθεῖν, ἐπιστάμενον ἐν ταῖς τοιαύταις ὑποθέσεσι, καθὼς προείρηται, τί ποιητέον ἐστί, τί φυλακτέον· οὕτω πάντων προνοούμενος, ὡς μὴ ἀμφιβάλλοντα λόγον ταύτης τῆς διατυπώσεως τῷ Θεῷ ἀποδώσοντα· οὕτω μέν τοι, ἵνα τούτους οἵ τινες ὑμῖν τῇ κοινωνίᾳ συναφθῶσι, καὶ δι' ὑμῶν, τῷ ἀποστολικῷ θρόνῳ τὰ ὑμέτερα γράμματα ἡμῖν δηλώσωσιν, οἷς ἢ τὰ περιεχόμενα, τοῖς λιβέλλοις, οὓς ἂν προσενέγκωσιν, ἐμφερέσθω. οὕτω γὰρ καὶ τοῦ Σευήρου, καὶ τῶν τούτῳ συμπλεκομένων, καὶ τῶν ὁμοίων ἀπολυθήσονται πλάνης, ἢ οὐδὲ τούτων, οἵ τινες ἰαθῆναι δυνήσονται τὴν ζημίαν ὑπομείνωμεν. ὅπερ διὰ τοῦτο ὑμῖν ἰδικῶς ᾠήθημεν ἐπιθεῖναι πρὸς τὴν ὑμετέραν ἐπιμέλειαν, τὰ ἡμέτερα μεταφέροντες βάρη· ἐπείπερ οὐ μικρὰς ἤδη ἀποδείξεις τοῖς αἱρετικοῖς ἀνθιστάμενοι δεδώκατε. ἢ οὐ χρὴ περὶ τούτου διστάζειν, ὃν καλῶς συνέβη δόκιμον ἀποδειχθῆναι. ἅμα προσλαβέσθαι τὰ θεραπείας τῆς ἰάσεως, ἀναζώσασθαι τὴν αὐθεντίαν τῆς δικαιοσύνης· καὶ οὕτω περὶ τοὺς ἱκέτας τῇ φιλανθρωπίᾳ ἁπαλύνεσθαι, ἵνα τοὺς ἐν τῷ τῶν αἱρετικῶν μιάσματι ἐπιμένοντας, ἢ τούτους, οἳ τὸ ἀνεύθυνον ὑποκρίνονται, καὶ μετὰ τῶν ἡμετέρων μόνῃ τῇ φωνῇ συμφωνοῦσιν, ἀπὸ τούτων, ὧν ὑπὲρ τῆς ἀποκαταστάσεως τῆς ἐκκλησίας φροντὶς καὶ πρόνοια ἐστὶν ἀπὸ τῆς ἐκκλησίας. οὐδὲ γὰρ συντελεῖ περὶ τούτους ἐκκλησιαστικὴν κεράσαι αὐστηρίαν. οὐ γὰρ ἔσται λοιπὸν τοῦ ἐλέους τὰ ἀγαθὰ διὰ τὴν τῶν προνοηθῆναι ὀφειλόντων ἀνάγκην συναχθέντα, ἐὰν ἀδιακρίτως ἔσονται κοινὰ καλοῖς καὶ κακοῖς. καὶ ἐπειδὴ τῶν Ἱεροσολυμιτῶν ὁμοίως ποιήσασθαι ᾠήθη ἐν τοῖς οἰκείοις γράμμασι μνήμην ἡ σὴ ἀγάπη, ὧν ἢ πρὸς ἡμᾶς ἦλθεν τις ὁμολογία, ἀναγκαῖον ἡγησάμεθα καὶ ἀναγνῶναι τὰ γραφέντα, καὶ ἀποκρίνασθαι τὰ πρέποντα. οἵ τινες εἰ τὰς τῶν ἁγίων πατέρων διατυπώσεις φυλάττουσιν, εἰ ἐκείνης τῆς πίστεως τὰ θεμέλια σέβονται, καὶ ἀπὸ τούτων τῶν δι' αὐτῶν τοῦ ἁγίου πνεύματος κατανύξαντος ὁρισθέντων, οὐκ ἀναχωρήσουσιν. εἰ γάρ εἰσι τέλεια, ὥσπερ εἰσί, ἢ προσθήκης οὐ δέονται, ἢ καλῶς βέβαια, ἢ διὰ τοῦτο οὐκ ἀνταμείπτα· ὅπου δι' αὐτῶν πάντα τὰ τῶν αἱρετικῶν δηλητήρια κατεπατήθη· οὐδέ τι ἡ ἐν Καλχηδόνι σύνοδος, ὅπερ χρήσιμον, οἱαδήποτε ἐπιμέλεια ἰσχύσατο ἐπινοῆσαι, παρέδραμεν· ἢ τῆς τῶν προλαβόντων ὁμοίως τὰ δόγματα, ἢ τηλαυγέστερον ἐφανέρωσεν, ἢ ἐπαναληφθείσῃ τῇ αὐθεντίᾳ ἐβεβαίωσεν ἰδικόν τινα κατὰ Νεστορίου καὶ Εὐτυχοῦς ἀναδεξαμένη ἀγῶνα· τοῦ μὲν ἑτέρου τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ θεότητα ἀπὸ τῆς σαρκὸς χωρί-

A operis speramus effectu: neque enim difficultatibus est cedendum. Non fatigatur asperis fides: nec ad cælorum ardua per proclive contenditur: nec remunerationem citra laboris exercitia quis meretur. Unde ne facientes bona, deficiamus, specialiter admonemur: *Beati* etiam, teste Psalmista, *qui custodiunt judicium, & faciunt justitiam in omni tempore:* quia non initium laboris remunerationem præmii consuevit invenire, sed terminus. Ergo par studium sollicitudinis assumentes, quibus est una in communione & credulitate societas; quemadmodum de adunata sedi Apostolicæ Constantinopolitana ecclesia pariter exsultamus in Domino; ita de reliquarum quoque, sicut affectuose admones, reintegratione curemus primum, ut fidem B integritatemque nostram immaculatam ab omni contagione servemus. Nosti enim, frater sanctissime, quæ ecclesiasticam servent vincula concordiam, quæ nos ab hæreticorum tueantur insidiis, per quæ etiam canonum custodiatur auctoritas. His in robore suo omni circumspectione servatis, remedia sperantibus conferentur. Habet enim & ecclesiasticarum ordo regularum, & ipsius forma justitiæ, ut medicina rationabilis benigne & fideliter sperantibus non negetur: nec quisquam ita est ab humanitate discretus, quem non a rigore districtionis inclinet incauta simplicitas. Sed ut caute hoc, citra querelam aut erroris alicujus nævum valeat expediri; dilectissime frater, personam meam te C in hoc oportet induere, scientem in hujusmodi causis, sicut prædictum est, quid faciendum sit, quid cavendum: ita omnia providenda, ut non ambigas a te rationem dispensationis hujus Deo esse reddendam: ita tamen ut eos, qui vobis fuerunt communione sociati, vel per vos, sedi Apostolicæ vestra nobis scripta declarent: quibus etiam continentia libellorum, quos obtulerint, inseratur. Sic enim & Severi, [a] vel complicum ejus, aut similium absolvemus errores: nec eorum qui sanari potuerint, dispendia patiemur. Quod ideo vobis specialiter credimus imponendum, ad diligentiam vestram nostra onera transferentes: quia non parva jam documenta resistentes hæreticis edidistis: nec debet de eo ambigi, quem bene contigerit explo- D rari. Simul assume remedia medicinæ, simul accingere auctoritate justitiæ: & sic circa supplices humanitate mollire, ut in hæreticorum contagione perdurantes, aut eos qui innocentiam simulant, & cum nostris sola voce consentiunt, ab his, quibus pro ecclesiæ reintegratione consulitur & providetur, excludas. Nec enim expedit circa hos ecclesiasticam temperare censuram. Non enim erunt miserationis bona pro eorum, quibus consuli oportet, necessitate collata, si indiscrete fuerint bonis malisque communia. Et quia Hierosolymitanorum quoque faciebat in tuis litteris tua dilectio mentionem, quorum etiam ad nos quædam delata professio, necessarium duximus vel recensere quæ scripta sunt, vel respondere quæ congrua. Qui si sanctorum E patrum constituta custodiunt, si illa fidei fundamenta venerantur; ab his, quæ per eos sancto Spiritu compungente definita sunt, non recedent. Aut enim perfecta sunt, ita ut sunt, & adjectione non indigent: aut bene valida, & ideo non mutanda: quando per ea omnia hæreticorum venena compressa sunt. Nec quidquam Chalcedonensis synodus, quod utile qualibet diligentia potuisset excogitare, præteriit: quæ præcedentium quoque dogmata vel clarius manifestavit, vel repetita auctoritate firmavit: speciale quoddam adversus Nestorium & Eurychen aggressa certamen: alterum deitatem Dei nostri Jesu Christi a carne separan-

Anno Christi 536.

Galat. 6.
Psal. 105.

[a] Hic ms. addit vel Supplicii, p. e Sulpicii f. fallit; sed ut maniabet ridiculo errore.

ANNO CHRISTI 536.

tem, & ideo sanctam Mariam Dei genitricem pronuntiare vitantem: alterum veritatem carnis in Domino renuentem. Quando Dominus noster Jesus Christus idem Filius Dei, idem filius hominis, una in duabus persona naturis divinitatis, & carnis, nec naturis adunatione confusis, non velut quarta persona addita Trinitati, sed ipse Filius Dei *exinanivit semetipsum, & formam servi accepit.* Propter quod & unam nec divisibilem profitemur essentiam Trinitatis: & proprietatem tamen suam scimus inesse personis. Unam enim Patris confitemur esse personam, unam Filii Dei cum assumpta carne, unam Spiritus sancti: & personas proprietatibus designantes, & per unitatem essentiæ inseparabile Trinitatis mysterium confirmantes. Neque enim ambigi potest Verbum Dei intra matris viscera per carnem, humanam assumpsisse naturam; nec post a se factam intra vulvam naturarum unitionem divisum. Nam ut humanitas sine Deo non est edita, sic in cruce non est impassibilis divinitas a carnis passione divisa: quod Virginis partus & intemerata fecunditas, & singularis a mortuis resurrectio, & ad cælos declarat ascensio. Hæc si quemadmodum a patribus constituta sunt, servant, credant, nec definita transcendant: a quo tramite qui declinant, ipsi sibi nebulam dubitationis offundunt. Nobis autem illud Apostolicum contentiosis respondere necesse est, *Nos hanc consuetudinem non habemus, nec ecclesia Dei.* Hæc ideo breviter, quia nec ambigi convenit de rebus juxta fidem sæpius definitis: & pæne supervacua est allegatio, quæ adhibetur instructis; cum super hac re & ad clementissimum principem filium nostrum non pauca præstruxerim. Et quia de Hierosolymitanorum propositione respondimus, hoc quoque æstimavimus, salutis eorum causa competenter addendum, ut si communionis apostolicæ desiderant unitatem, professionem suam scripto inditam, quam legatis nostris apud Constantinopolim positis obtulerunt, aut per suos ad nos dirigant, aut fraternitati vestræ tradant; eodem tamen, sicut diximus, tenore conscriptam: quæ ad nos modis omnibus sub vestra ordinatione deferatur. Nam de Thessalonicensibus, quorum ad nos legati sub clementissimi & fidelissimi principis filii nostri ordinatione venerunt, ne quid omisisse credamur, nosse vos volumus; secundum hoc quod domino nostro inspirante placuerit, causam omnem nostra dispensatione tractandam; & si, quod oportet, impleverint, ordinandam. Hæc per fratrem nostrum & coëpiscopum venerabilem virum Joannem, sed & filios nostros Heraclianum presbyterum, & Constantinum diaconum, ecclesiastico honore dignissimos, ad causam pertinentia conscripsisse contenti; gratulati sumus in viro ordinis nostri par meritum, & religiosum nos invenisse propositum, & cum legatione mandata sapientiæ & moribus congruentia. Votiva enim res & plena gaudii est, ut sint justa æstimatione probabiles, quos communionis & officii contigerit esse consortes. *Et alia manu:* Deus te sanum custodiat, frater venerabilis. (Data VII. Kalendas Aprilis, Valerio V.C. Consule.)

Philip. 2.

1. Cor. 2.

A ζοντας, καὶ διὰ τοῦτο τὴν ἁγίαν Μαρίαν Θεοτόκον ἀπαγγέλλειν ἐκκλίνοντας· τὸ δὲ ἑτέρου τὴν ἀλήθειαν τῆς σαρκὸς ἐν τῷ κυρίῳ ἀπαναινομένου. ἐπειδὴ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὢν ὁ υἱὸς Θεοῦ, ὁ αὐτὸς ἄνθρωπος, ἓν πρόσωπον ἐν δύο φύσεσι, καὶ θεότητος καὶ σαρκὸς, οὐδὲ τῶν φύσεων ἐν τῇ ἑνώσει συγχυθεισῶν· οὐχ ὡς τετάρτου προσώπου προστεθέντος τῇ τριάδι, ἀλλ' αὐτὸς ὁ υἱὸς τοῦ Θεοῦ ἐκένωσεν ἑαυτὸν καὶ μορφὴν δούλου ἔλαβε. διὸ καὶ μίαν, καὶ οὐδὲ διαιρετὴν ὁμολογοῦμεν οὐσίαν τῆς τριάδος, καὶ τὴν ἰδίαν ὁμοίως ἰδιότητα ἴσμεν ἐν εἶναι τοῖς προσώποις. ἓν γὰρ τοῦ πατρὸς ὁμολογοῦμεν εἶναι πρόσωπον, ἓν τοῦ υἱοῦ τοῦ Θεοῦ, μετὰ τῆς προσληφθείσης σαρκὸς, ἓν τοῦ πνεύματος τοῦ ἁγίου· καὶ τὰ πρόσωπα ταῖς ἰδιότησι σημαίνοντες, καὶ διὰ τῆς ἑνότητος τῆς οὐσίας, τὸ ἀχώριστον τῆς τριάδος μυστήριον ὁμολογοῦντες. οὔτε γὰρ δυνατὸν ἀμφιβάλλεσθαι τὸν λόγον τοῦ Θεοῦ ἐν τοῖς τῆς μητρὸς σπλάγχνοις διὰ τῆς σαρκὸς, τὴν ἀνθρωπίαν προσειληφέναι φύσιν. καὶ μὴ μετὰ τὴν παρ' αὐτοῦ γενομένην ἐν τῇ μήτρᾳ τῶν φύσεων ἕνωσιν διῃρημένον. καθάπερ γὰρ οὐκ ἔστιν ἐν αὐτῷ ἀνθρωπότης ἄνευ Θεοῦ γεννηθεῖσα, οὕτως ἐν τῷ σταυρῷ ἡ ἀπαθὴς θεότης, οὐκ ἔστιν ἀπὸ τοῦ τῆς σαρκὸς πάθους διῃρημένη· ὅπερ ὁ τῆς παρθένου τόκος, καὶ ἡ ἄχραντος γονιμότης, καὶ ἡ ἐξαίρετος ἐκ νεκρῶν ἀνάστασις, καὶ ἡ εἰς οὐρανοὺς δηλοῦσιν ἄνοδος. ταῦτα εἰ, καθὼς παρὰ τῶν πατέρων ὡρίσθη, φυλάττουσι, πιστεύουσι, καὶ μηδὲ τὰ ὡρισμένα παραβαίνουσιν· ἀφ' ἧς τρίβου οἱ ἐκκλίνοντες, αὐτοὶ ἑαυτοῖς νέφος ἀμφιβολίας περιχέουσιν. ἡμῖν δὲ ἐκεῖνο τὸ ἀποστολικὸν, τοῖς φιλονείκοις, ἀποκρίνασθαι ἀνάγκη ἐστίν· ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ ἡ ἐκκλησία C τοῦ Θεοῦ. ταῦτα διὰ τοῦτο διὰ βραχέων, ἐπειδὴ οὔτε ἀμφιβάλλεσθαι πρέπει περὶ πραγμάτων τῶν περὶ τῆς πίστεως πολλάκις ὁρισθέντων, καὶ παντελῶς περιττὴ ἐστὶν ἡ δικαιολογία, ἡ προσφερομένη τοῖς παρεσκευασμένοις, ἐπειδὴ περὶ τούτου τοῦ πράγματος, καὶ πρὸς τὸν ἐνδοξότατον καὶ φιλανθρωπότατον βασιλέα τὸν ἡμέτερον υἱὸν, οὐκ ὀλίγα ἐσημάναμεν. καὶ ἐπειδὴ περὶ τῆς τῶν Ἱεροσολυμιτῶν ὁμολογίας ἀπεκρινάμεθα, καὶ τοῦτο ὑπελάβομεν τῆς τούτων σωτηρίας χάριν ἁρμοδίως προσθεῖναι, ἐὰν τῆς καθολικῆς ἐκκλησίας ἐπιποθῶσι τὴν ἕνωσιν, τῆς ἰδίας ὁμολογίας τὸ ὕφος ἐγγράφως μηνυθεῖσαν, ἣν τοῖς ἡμετέροις πρεσβευταῖς ἐν Κωνσταντινουπόλει διάγουσι προσήνεγκαν, διὰ τῶν ἰδίων πρὸς ἡμᾶς ἀποστείλωσιν, ἢ τῇ ὑμετέρᾳ ἀδελφότητι δώσουσι, τῇ αὐτῇ μέντοι, καθὼς εἴπομεν, δυνάμει συγγεγραμμένην, ἥ τις πρὸς ἡμᾶς πᾶσι τοῖς τρόποις δι' ὑμετέρας διατυπώσεως, κομισθήσεται. περὶ γὰρ Θεσσαλονικέων, ὧν πρὸς ἡμᾶς οἱ πρέσβεις διὰ τῆς τοῦ πιστοτάτου καὶ ἐνδοξοτάτου βασιλέως τοῦ ἡμετέρου υἱοῦ διατυπώσεως ἦλθον, ἵνα μή τι παραλελοιπέναι δόξωμεν, γνωρίσαι ὑμᾶς βουλόμεθα κατὰ ταῦτα, ἅπερ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐμπνέοντος ἤρεσεν, τὴν ὑπόθεσιν πᾶσαν τῇ ὑμετέρᾳ διασκέψει φυλαχθῆναι, καὶ εἰ ὅπερ χρὴ πληρώσουσι, διατυπώσεως. ταῦτα διὰ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν τοῦ σεβασμιωτάτου ἀνδρὸς Ἰωάννου, ἀλλὰ καὶ διὰ τῶν υἱῶν ἡμῶν, Ἡρακλειανοῦ τοῦ πρεσβυτέρου, καὶ Κωνσταντίνου τοῦ διακόνου, τῆς ἐκκλησιαστικῆς τιμῆς ἀξίων, τὰ πρὸς τὴν ὑπόθεσιν ἀνήκοντα ἀρκεσθέντες ἀντιγράψαι, ἥσθημεν ἐν ἀνδρὶ τῆς ἡμετέρας τάξεως ἴσην ἀξίαν καὶ θείαν πρόθεσιν ἡμᾶς εὑρηκέναι, καὶ μετὰ τῆς πρεσβείας ἐντολὰς τῇ φρονήσει καὶ τοῖς τρόποις συνᾴδοντα. εὐκταῖον γὰρ πρᾶγμα καὶ πλῆρες χαρᾶς, ἵνα ὦσι ἀκριβῶς δόκιμοι, οὓς τῆς κοινωνίας καὶ τῆς τάξεως συνέβη εἶναι συγκλήρους. καὶ ἄλλῃ χειρί· ὁ Θεός σε ὑγιῆ διαφυλάξῃ, ἀδελφὲ τιμιώτατε.

Sanctissimus archiepiscopus dixit: Nunc venerabilissimi notarii sanctissimæ ecclesiæ nostræ, si quæ sunt chartæ apud eos, præsentem causam concernentes, ipsas nobis manifestas faciant. Et productis chartis per venerabilem Cosmam diaconum, notarium & chartophylacem, Macarius venerabilis diaconus & notarius, libellum ex persona clericorum Theopolis, & relationem synodi ibidem in regia urbe congregatæ, utrumque ad Joannem inter sanctos archiepiscopum

E Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· νῦν καὶ οἱ θεοφιλέστατοι νοτάριοι τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας, εἴ τινές εἰσι παρ' αὐτοῖς χάρται τὴν παροῦσαν ὁρῶντες ὑπόθεσιν, δήλους ἡμῖν τούτους ποιείτωσαν, καὶ προκομισθέντων τῶν χαρτῶν διὰ Κοσμᾶ τοῦ θεοσεβεστάτου διακόνου, νοταρίου, καὶ χαρτοφύλακος, Μακάριος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τὸν ἐκ προσώπου τῶν Θεουπόλεως κληρικῶν λίβελλον, καὶ τὴν ἀναφορὰν τῆς ἐνδημούσης τηνικαῦτα τῇ βασιλίδι πόλει συνόδου ἀμφότερα πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην

ANNO CHRISTI 536.

ἀρχιεπισκόπῳ γενομένῳ τῆς αὐτῆς βασιλίδος πόλεως ἀνέγνω. A καὶ Καλώνυμος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος ἀπὸ κώδικος τὴν πρὸς Ἰωάννην τὸν τῆς ὁσίας μνήμης ἀρχιεπίσκοπον γενόμενον Ἱεροσολύμων ἐπιστολὴν, καὶ τὴν πρὸς Ἐπιφάνιον τὸν τῆς θεοφιλοῦς μνήμης, τῆς Τυρίων γενόμενον ἐπίσκοπον, ἀνέγνω. ἔτι μὴν καὶ τὴν πεμφθεῖσαν ὑπό τε αὐτοῦ Ἰωάννου τοῦ τῆς Ἱεροσολυμιτῶν ἐπισκόπου, καὶ τῆς ὑπ' αὐτὸν συνόδου, πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην ἐπιστολὴν ἀνέγνω. καὶ Στέφανος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος, τὴν σταλεῖσαν ἀναφορὰν παρὰ Ἐπιφανίου ἐπισκόπου γενομένου Τύρου, καὶ τῆς ὑπ' αὐτὸν συνόδου ἀνέγνω. καὶ Παῦλος ὁ θεοσεβέστατος νοτάριος καὶ διάκονος, τὴν σταλεῖσαν ἀναφορὰν σὺν τοῖς πεπραγμένοις ἀπὸ τῶν ἐπισκόπων Συρίας δευτέρας, πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην γενόμενον ἀρχιεπίσκοπον τῆς βασιλίδος πόλεως. ἅ τινα συμπάντα ἐντέτακται.

Δέησις κληρικῶν καὶ μοναχῶν Ἀντιοχείας πρὸς Ἰωάννην τὸν B πατριάρχην, καὶ τὴν ἐνδημοῦσαν σύνοδον, κατὰ Σευήρου.

Τῷ ὁσιωτάτῳ καὶ μακαριωτάτῳ καὶ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ οἰκουμενικῷ πατριάρχῃ Ἰωάννῃ, καὶ τῇ ἐνδημούσῃ ἁγίᾳ συνόδῳ ἀξίωσις παρὰ κληρικῶν καὶ μοναχῶν τοῦ ἀποστολικοῦ θρόνου τῆς Ἀντιοχείας μεγαλοπόλεως ἁγίας τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας.

Νῦν, εἴ πέρ ποτε, καιρὸς, ὦ μακαριώτατοι, πάσας τῆς οἰκουμένης τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, ὡς ἐξ ἑνὸς στόματος τὸ προφητικὸν ἐκεῖνο ἐκβοῆσαι· εὐφρανθήτωσαν οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ, καὶ πάντα τὰ ἐν αὐτῇ, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. C τὸ γὰρ τὰ σκῆπτρα Ῥωμαίων τοῖς οὕτως εὐσεβέσι καὶ φιλοχρίστοις ἐγχειρισθῆναι βασιλεῦσι, ἐλευθερίαν δὲ χαρισθῆναι καὶ παῤῥησίαν τοῖς τὴν ὀρθόδοξον πρεσβεύουσι θρησκείαν, πῶς οὐχὶ ταύτην πείθει εἰκότως τοὺς πιστοὺς βοῆσαι τὴν φωνήν; ἀλλ' ἐν οὕτω κοινῇ τῆς οἰκουμένης ἑορτῇ μία ἐκ πάντων ἢ κομιδῇ σὺν ὀλίγαις ἡ τῶν Ἀντιοχέων ἐκκλησία, κατηφείας καὶ θρήνων πεπλήρωται. λύκον γὰρ ἀντὶ ποιμένος, ἵνα εἴδωμεν ὅπως, δεξαμένη κακοπαθεῖ. ποίαν γὰρ τραγῳδίαν οὐκ ἀπέκρυψε τὰ τολμηθέντα παρὰ Σευήρου κακά; ὃς πρῶτον μὲν, ἵν' ὅπως βεβίωκε παραλείπωμεν, φειδοῖ τῶν ὑμετέρων ἀκοῶν, οὐδεμίᾳ πώποτε φαίνεται κοινωνήσας ἐκκλησίᾳ· D ἔπειτα συκοφαντίας βέλεσι κατατοξεύσας τε καὶ παρασκευάσας ἐξελαθῆναι τὸν ἔνθεσμον ποιμένα Φλαβιανὸν τὸν μακαριώτατον, τὸν ἐκείνου θρόνον βιαίως καὶ ἀκανονίστως ὑφήρπασε· κἀντεῦθεν μισθωτοῦ δίκην οὐ μόνον οὐκ ἐποίμανε τὴν ποίμνην τοῦ Χριστοῦ, οὐδὲ ἔφυγεν, ὅπερ ἦν ἀγαπητὸν, αὐτὸς τὰ τῶν θηρίων ἔδρα, σφάζων τε καὶ διασκορπίζων τὰ πρόβατα. καινοφωνίας δὲ καὶ βλασφημίας κατὰ τοῦ Θεοῦ πλαττόμενος, οὐδενὸς τῶν ἁγίων ἡμῶν πατέρων ἐφείσατο· διατελεῖ δὲ πᾶσαν ἡμέραν, ὡς εἰπεῖν, τὰς ὑπὲρ εὐσεβείας ἀθροισθείσας ἀποκηρύττων συνόδους. ὁ γὰρ τὴν ἐν Καλχηδόνι ἁγίαν σύνοδον ἀναθεματίσαι τε καὶ πολεμῆσαι τολμήσας, τὴν μάλιστα βεβαιώσασαν τὸ σύμβολον τῶν τιη'. ἁγίων πατέρων, ἀποδεξαμένην E δὲ καὶ τοὺς ρν'. ὁσίους καὶ ἁγίους πατέρας, ἔτι μὴν καὶ τοὺς ἐν Ἐφέσῳ κατὰ Νεστορίου τοῦ δυσσεβοῦς συνελθόντας ὁμοίως ὁσίους πατέρας· εὔδηλον ὡς καὶ τὰς εἰρημένας ἀποστρέφεται καὶ μισεῖ, ὡς ταύτης ἀδελφάς. καὶ ὅσους μὲν φόνους ἁγίων εἰργάσατο μοναχῶν, Ἰουδαϊκαῖς χερσὶ τὴν τοιαύτην ἐγχειρίσας σφαγὴν, οὔτε ὑμᾶς, ὁσιώτατοι, οὐδὲ τῶν ἄλλων ἔλαθεν οὐδένα. θέαμα γὰρ ἦσαν κείμενοι δεινὸν, ἄνδρες ἀσκητικοῖς ἀγῶσι μέχρι πολιᾶς ἐναθλήσαντες, γυμνοὶ καὶ ἄταφοι ἐῤῥιμμένοι, ὑπὲρ τοὺς τριακοσίους ὄντες, ἐκ τῆς δευτέρας Σύρων ἐπαρχίας ὡρμώμενοι, κυσὶ σπαράγματα καὶ οἰωνοῖς προκείμενοι. ὅμοια δὲ καὶ ὡσαύτως ἐλεεινὰ, καὶ ὅσα ἐν τοῖς ξενῶσιν αὐτῷ πε-

ipsius regiæ urbis, legit. Et Calonymus venerabilis diaconus & notarius, ex codice epistolam ad Joannem sanctæ memoriæ archiepiscopum Hierosolymorum, & ad Epiphanium piæ memoriæ Tyriorum episcopum, legit. Insuper etiam epistolam missam ab ipso Joanne Hierosolymorum episcopo, & synodo sua ad sanctum Joannem, legit. Et Stephanus venerabilis notarius, & diaconus, relationem missam ab Epiphanio Tyrio & synodo sub eo congregata, legit. Et Paulus venerabilis notarius & diaconus relationem cum gestis destinatam ab episcopis secundæ Syriæ, ad sanctissimum Joannem archiepiscopum regiæ urbis: quæ omnia inserta fuere.

Supplicatio clericorum & monachorum Antiochiæ, ad Joannem patriarcham, & synodum congregatam contra Severum.

Ex vetusto interpret. Citatur in Concilio Niceno II. actione 5.

Sanctissimo ac beatissimo archiepiscopo, œcumenico patriarchæ Joanni, & sanctæ synodo congregatæ, supplicatio a clericis & monachis apostolici throni Antiochenæ magnæ civitatis catholicæ sanctæ ecclesiæ Dei.

Εἰσόδου γενομένης κατὰ τὸ σύνηθες ἐν τῇ ἁγιωτάτῃ ἡμῶν μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ κυριακῇ τῇ ιε'. τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς ἰνδικτιῶνος ἐπιδημήσαντος, παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου, ὡς οὐκ ἀγνοεῖ καὶ ἡ ὑμετέρα θεοφίλεια, ἐν τῷ γενέσθαι αὐτὸν σὺν τῷ θεοφιλεῖ κλήρῳ περὶ τὸν ἄμβωνα, φωναὶ γεγόνασιν ἀπὸ τοῦ λαοῦ, λέγουσαι· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστης, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἀκοινώνητοι διὰ τί μένομεν; διὰ τὶ τοσαῦτα ἔτη διὰ τί οὐ κοινωνοῦμεν; ἐκ τῶν χειρῶν σου κοινωνῆσαι θέλομεν. εἰς ἄνελθε εἰς τὸν ἄμβωνα, εἰς πεῖσον τὸν λαόν σου· διὰ πολλῶν ἐτῶν κοινωνῆσαι θέλομεν. ὀρθόδοξος εἶ, τίνα φοβῆσαι; ἄξιε τῆς τριάδος. πολλὰ τὰ ἔτη τοῦ βασιλέως· πολλὰ τὰ ἔτη τῆς Αὐγούστης. Σεβῆρον τὸν Μανιχαῖον ἔξω βάλε. ὁ μὴ λαλῶν, Μανιχαῖός ἐστιν. ἀνασκαφῇ τὰ ὀστᾶ τῶν Μανιχαίων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. ἄξιε τῆς τριάδος, ἡ ἁγία σύνοδος ἄρτι κηρυχθήτω· ἄξιε τῆς τριάδος. ἡ ἁγία Μαρία θεοτόκος ἐστὶν, ἄξιε τοῦ θρόνου. ἡ ἁγία Μαρία θεοτόκος ἐστίν· ἡ ἁγία σύνοδος τοῦτο εἶπεν· ὁ μὴ λαλῶν, Μανιχαῖός ἐστι· νικᾷ ἡ πίστις τῆς τριάδος, νικᾷ ἡ πίστις τῶν ὀρθοδόξων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον, ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; νικᾷ ἡ πίστις τοῦ βασιλέως· νικᾷ ἡ πίστις τῆς Αὐγούστης. τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. ἄξιε τῆς τριάδος, Ἰουστῖνε Αὔγουστε, SU NICAS. τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη. ἢ ἔξελθε, ἢ κηρύξεις. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. Ἰουστῖνε Αὔγουστε, SU NICAS. τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. Ἰουστῖνος βασιλεύει, τίνα φοβῆσαι; Σεβῆρον τὸν Μανιχαῖον ἔξω βάλε· τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. ὁ μὴ ἀναθεματίζων Σεβῆρον, Μανιχαῖός ἐστιν. ἀνάθεμα Σεβήρῳ τῷ Μανιχαίῳ. ὁ μὴ λαλῶν, Μανιχαῖός ἐστιν. ἔξω βάλε Σεβῆρον, τὸν νέον Ἰούδαν ἔξω βάλε. τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. εἰς μαρτύρομαι· ἢ κηρύξεις, ἢ ἔξελθε. πίστις ἐστὶν, οὐκ ἔνι θεωρεῖν. ἀδελφοὶ χριστιανοὶ, μία ψυχή. Ἰουστῖνε Αὔγουστε, SU NICAS. εἰ φιλεῖς τὴν πίστιν, Σεβῆρον ἀναθεμάτισον. εἰς μαρτύρομαι, εἰς σύρω σε, εἰς τὰς θύρας κλείω. ὁ μὴ λαλῶν, Μανιχαῖός ἐστι. μαρτύρομαί σε, οὐδὲ παρ' ἐμέ. ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη. Σεβῆρον τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε. ὁ μὴ λαλῶν, Μανιχαῖός ἐστιν. εἰς σύναξιν τῇ συνόδῳ, εἰς ἄρτι κήρυξον μὰ τὸ εὐαγγέλιον οὐδὲν παρ' ἐμέ. εἰς μαρτύρομαι, πολλὰ τὰ ἔτη τοῦ βασιλέως. τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη τοῦ ὀρθο-

Bibentius presbyter & archimandrita monasterii vocati Romanorum, subscripsi.

Alexander presbyter & archimandrita monasterii Cyclopum, subscripsi.

Jordanes presbyter & archimandrita monasterii sanctæ Mariæ prope sanctum Lucam, subscripsi.

Zenobius presbyter & archimandrita monasterii Maronii in Sycis, subscripsi.

Anatolius presbyter & archimandrita monasterii Philippi, subscripsi.

Jacobus presbyter & archimandrita monasterii sanctæ Mariæ prope Bucolios, subscripsi.

Helias presbyter & archimandrita Samuelis in Sycis, subscripsi.

Leontius presbyter & archimandrita monasterii sancti Archangeli in Pusco, subscripsi.

a *al.* Libitius.

Quomodo prædicata sunt synodi.

INtroitu facto secundum consuetudinem in sanctissima magna ecclesia nostra, die dominica, XV. instantis mensis Julii, indictione XI. a domino sanctissimo archiepiscopo & œcumenico patriarcha Joanne, (sicut non ignorat vestra erga Deum dilectio) dum ipse una cum venerabili clero esset circa ambonem, voces factæ sunt a populo dicentes: Multi anni Patriarchæ: Multi anni Imperatoris: Multi anni Augustæ: Multi sint anni Patriarchæ. Quid manemus incommunicati? per tot annos quare non communicavimus? ex tuis manibus communicare volumus. Heus ascende ad ambonem. Heus persuade populo tuo: per multos annos communicare volumus. Orthodoxus es, quem times, digne Trinitate? Multi sint anni Imperatoris: multi anni Augustæ. Severum Manichæum foras ejice: qui non loquitur, Manichæus est: effodiantur ossa Manichæorum. Sanctam synodum modo prædica. Multi sint anni Imperatoris. Multi sint anni Patriarchæ, digne Trinitate. Sancta synodus modo prædicetur, digne Trinitate. Sancta Maria θεοτόκος, id est, Dei genitrix est, digne throno. Sancta Maria Dei genitrix est. Sancta synodus hoc dixit: Qui non loquitur, Manichæus est. Vincit fides Trinitatis, vincit fides orthodoxorum. Sanctam synodum modo prædica: orthodoxus regnat, quem times? Vincit fides Imperatoris, vincit fides Augustæ. Novi Constantini multi sint anni. Novæ Helenæ multi anni. Multi anni Patriarchæ, digne Trinitate. Justine Auguste, tu vincis. Novi Constantini multi anni. Vel exeas, vel prædicabis. Multi anni Imperatoris, Justine Auguste, tu vincis. Synodum Chalcedonensem modo prædica. Justinus regnat, quem times? Severum Manichæum foras ejice. Synodum Chalcedonensem modo prædica: qui non anathematizat Severum, Manichæus est. Anathema Severo Manichæo. Qui non loquitur, Manichæus est. Ejice foras Severum. Novum Judam ejice foras. Insidiatorem Trinitatis ejice foras. Sanctam synodum modo prædica. Heus obtestor, vel prædicabis, vel exies: fides est, non licet aspicere. Fratres Christiani, una anima. Justine Auguste, tu vincis: si fidem amas, Severum anathematiza. Heus heus obtestor, multi anni Imperatoris. Heus traho te, heus portas claudo; qui non loquitur, Manichæus est. Obtestor te, nihil ad me attinet: orthodoxus regnat, quem times? Orthodoxi Imperatoris multi sint anni. Severum insidiatorem Trinitatis ejice foras, Judam novum ejice. Qui non loquitur, Manichæus est. Heus congregationem, synodo. Heus modo prædica, per evangelium nihil ad me attinet. Heus obtestor, multi anni Imperatoris. Novi Constantini multi anni: orthodo-

Anno Christi 536.

xi Imperatoris multi anni; novæ Helenæ multi anni. Severum ejice foras, novum Judam ejice foras, insidiatorem Trinitatis ejice foras. Multi anni Imperatoris: fratres Christiani, una anima fides est, non licet simpliciter. Sancta Maria, Dei genitrix est. Hæc & synodus dixit. Hæc cum exclamassent, data est eis hæc responsio a sanctissimo & beatissimo archiepiscopo & patriarcha œcumenico Joanne: Patienter sustinete, fratres, ut prius adoremus sanctum altare, & post hoc do vobis responsionem. Et cum ipse intrasset ad sanctum altare, manserunt clamantes: Multi anni Imperatoris, multi anni Augustæ: Heus obtestor, non exibis, nisi anathematizes Severum: anathema Severo aperte dic; heus exclude. Heus obtestor, multi anni Imperatoris. Tum demum ascendens super ambonem B sanctissimus ac beatissimus archiepiscopus & patriarcha noster œcumenicus Joannes, acclamavit hæc: Scitis labores meos, dilectissimi, quos & in presbyteratu cum essem subivi, & nunc sustinui pro fide, & sustineo usque ad mortem. Non opus ergo est turbatione, aut tumultu. Neque enim aliquid transgressum est de recta fide [a] statuendum: neque sanctam synodum quis anathematizare audet: sed omnes sanctas synodos, quæ confirmaverunt sanctum symbolum trecentorum decem & octo patrum Nicææ congregatorum, orthodoxas cognoscimus, & maxime ipsas tres sanctas synodos, hoc est, Constantinopolitanam, Ephesinam, & magnam Chalcedonensem. Nam specialiter symbolum trecentorum decem & octo sanctorum patrum in quo C baptizamur, ipsæ sanctæ tres synodi consonanter confirmaverunt. Post acclamationem vero insistentibus ipsis per plures horas in ipsis vocibus addebant: Non descendes, nisi anathematizes. Multi anni Patriarchæ; digne Trinitate. Multi anni Imperatoris, multi anni Augustæ. Congregationem synodi Chalcedonensis modo prædica: non recedo, nisi prædicaveris. Usque tarde hic sumus, congregationem ad crastinum prædica. Commemorationem patrum ad crastinum prædica: nisi responsionem accepero, usque sero hic sum. Congregationem patrum Chalcedonensium crastina die prædica. Hodie si prædicaveris, cras perficietur. Non recedimus, nisi prædicaveris. Eos qui Nestorium & Eutychem anathematizaverunt, ad crastinum prædi- D ca. Nisi responsionem accepero, usque sero hic sum.

Et acclamavit sanctissimus & beatissimus archiepiscopus noster patriarcha œcumenicus Joannes sic: Quoniam perfici petiistis congregationem sanctorum patrum Chalcedonensium, cognoscentes scietis, quod & hoc faciemus consilio piissimi & Christoamantissimi Imperatoris nostri.

Perseverantibus autem ipsis, & easdem voces exclamantibus, & addentibus: Non recedimus per sanctum evangelium: congregationem patrum Chalcedonensium in crastinum prædica: prædicata fuit congregatio per Samuelem diaconum sic: Notificamus vestræ caritati, quod crastina die perficiemus memoriam sanctorum patrum nostrorum episcoporum, in E Chalcedonensi metropoli congregatorum, qui una cum sanctis patribus Constantinopoli, & in Epheso congregati, confirmaverunt symbolum trecentorum decem & octo sanctorum patrum Nicææ congregatorum; congregabimur autem huc. Et post acclamationem congregationis, iterum permansit populus, & voce quamplurimum clamavit, Severus nunc anathematizatus est: insidiator Trinitatis jam anathematizatus est: adversarius Patrum nunc anathematizatus est: qui anathematizabat synodum Chalcedonensem, modo anathematizatus est. Non exeo, nisi modo responsionem accipio; obtestor, orthodoxus es: modo anathematiza: aut anathematiza, aut nihil.

[a] Hæc vox statuendum, redundat.

A δόξου βασιλέως πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη. Σευῆρον ἔξω βάλε, τὸν νέον Ἰούδαν ἔξω βάλε, τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. ἀδελφοὶ Χριστιανοί, μία ψυχή, πίστις ἐστὶν, οὐκ ἔνι ἁπλῶς. ἡ ἁγία Μαρία, Θεοτόκος ἐστίν. ταῦτα καὶ ἡ σύνοδος εἶπε. ταῦτα αὐτῶν ἐκβοησάντων, ἐδόθη αὐτοῖς ἀπόκρισις παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου αὕτη· μακροθυμήσατε, ἀδελφοί, ἵνα πρότερον προσκυνήσωμεν τὸ ἅγιον θυσιαστήριον· καὶ μετὰ τοῦτο δίδωμι ὑμῖν ἀπόκρισιν. καὶ εἰσελθόντος εἰς τὸ ἅγιον θυσιαστήριον, ἐπέμειναν κράζοντες· πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστης. εἰς μαρτύρομαι. οὐκ ἐξέρχῃ, ἐὰν μὴ ἀναθεματίσῃς Σευῆρον, ἀνάθεμα Σευήρῳ, φανερῶς εἰπέ. εἰς ἀπόκλεισον, εἰς B μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. καὶ λοιπὸν ἀνελθὼν ἐπὶ τοῦ ἄμβωνος ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης, προσεφώνησε ταῦτα· οἴδατε τοὺς ἐμοὺς ἀγῶνας, ἀγαπητοί, οὓς καὶ ἐν τῷ πρεσβυτερίῳ ὢν, κατεβαλόμην, καὶ νῦν ἀντέσχον τῆς ὀρθοδοξίας, καὶ ἀντέχομαι ἕως θανάτου· οὐ χρεία τοίνυν ταραχῆς ἢ θορύβου· οὔτε γάρ τι παρεβάθη τῆς ὀρθῆς πίστεως· οὔτε ἁγίαν σύνοδον τολμᾷ τις ἀναθεματίσαι. ἀλλὰ πάσας τὰς ἁγίας συνόδους, τὰς βεβαιωσάσας τὸ ἅγιον σύμβολον τῶν τιη. ἁγίων πατέρων τῶν συνελθόντων κατὰ τὴν Νικαέων ὀρθοδόξους γινώσκομεν, καὶ μάλιστα τὰς ἁγίας τρεῖς συνόδους ταύτας, τουτέστι τὴν ἐν Κωνσταντινουπόλει, καὶ τὴν ἐν Ἐφέσῳ, καὶ τὴν μεγάλην τὴν ἐν Χαλκηδόνι. ἰδικῶς γὰρ τὸ σύμβολον τῶν C τιη. ἁγίων πατέρων εἰς ὃ βαπτιζόμεθα, αὗται αἱ ἅγιαι τρεῖς σύνοδοι, ὁμοφρόνως ἐβεβαίωσαν. καὶ μετὰ τὴν προσφώνησιν ἐπιμενόντων αὐτῶν ἐπὶ πλείονας ὥρας ταῖς αὐταῖς φωναῖς, καὶ προστιθέντων, οὐ κατέρχῃ, ἐὰν μὴ ἀναθεματίσῃς· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, ἄξιε τῆς τριάδος· πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστης· τὴν σύναξιν τῆς συνόδου Χαλκηδόνος ἄρτι κήρυξον· οὐκ ἀναχωρῶ, ἐὰν μὴ κηρύξῃς, ἕως ὀψὲ ὧδέ ἐσμεν, τὴν σύναξιν εἰς τὴν αὔριον κήρυξον, τὴν μνήμην τῶν πατέρων αὔριον κήρυξον, τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριον κήρυξον. σήμερον ἐὰν κηρύξῃς αὔριον ἐπιτελεῖται. οὐκ ἀναχωροῦ, ἐὰν μὴ κηρύξῃς· τοὺς ἀναθεματίσαντας Νεστόριον καὶ Εὐτυχέα εἰς τὴν αὔριον κήρυξον· ἐὰν μὴ λάβω ἀπόκρισιν, ἕως ὀψὲ ὧδέ εἰμι. D

Καὶ προσεφώνησεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος ἡμῶν καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης οὕτως. ἐπειδὴ σύναξιν ᾐτήσατε τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι ἐπιτελεσθῆναι, γινώσκοντες γνώσεσθε, ὅτι καὶ τοῦτο ποιήσομεν, γνώμῃ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως.

Ἐπιμενόντων δὲ αὐτῶν καὶ τὰς αὐτὰς φωνὰς ἐκβοώντων, καὶ προστιθέντων, οὐκ ἀναχωροῦ μὰ τὸ ἅγιον εὐαγγέλιον. τὴν σύναξιν τῶν πατέρων ἄρτι κήρυξον, τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριον ποίησον· ἐκηρύχθη ἡ σύναξις διὰ Σαμουὴλ διακόνου οὕτως. γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι περ τῇ αὔριον μνήμην ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατέρων ἡμῶν E καὶ ἐπισκόπων γενομένων τῶν κατὰ τὴν Χαλκηδονέων μητρόπολιν συναχθέντων, καὶ βεβαιωσάντων ἅμα τοῖς ἐν Κωνσταντινουπόλει καὶ ἐν Ἐφέσῳ συναχθεῖσιν ἁγίοις πατράσι, τὸ σύμβολον τιη. ἁγίων πατέρων, τῶν συναχθέντων κατὰ τὴν Νικαέων. συναγόμεθα δὲ ἐνταῦθα. καὶ μετὰ τὴν προσφώνησιν τῆς συνάξεως, πάλιν ἐπέμεινεν ὁ λαός, καὶ μιᾷ φωνῇ ἐπιπολὺ ἔκραζον. Σευῆρος ἄρτι ἀναθεματίσθη· ὁ ἐπίβουλος τῆς τριάδος ἄρτι ἀναθεματίσθη· ὁ κατὰ τῶν πατέρων, ἄρτι ἀναθεματίσθη· ὁ ἀναθεματίσας τὴν σύνοδον Χαλκηδόνος, ἄρτι ἀναθεματίσθη· οὐκ ἐξέρχομαι, ἐὰν μὴ ἄρτι ἀπόκρισιν λάβω· μαρτύρομαι, ὀρθόδοξος εἶ, ἄρτι ἀναθεμάτισον. ἢ ἀναθεμάτισον, ἢ οὐδὲν παρ' ἐμέ.

Anno Christi 536.

ANNO CHRISTI 536.

Καὶ ἐπὶ πολὺ τοῖς αὐτοῖς ἐπιμενόντων αὐτῶν, παρόντων Θεοφίλου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ηρακλεωτῶν, καὶ Θεοδώρου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῶν Γαγγρηνῶν, καὶ Υπατίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Κλαυδιουπολιτῶν, καὶ Ιωάννου τοῦ θεοφιλεστάτου ἐπισκόπου Βοσπόρου, καὶ Πυθαγόρου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Σινωπέων, καὶ Ισαακίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Πεντεπόλεως τῆς Ελλάδος, καὶ Ιωάννου τοῦ θεοφιλεστάτου ἐπισκόπου Σεμνέων τῆς Παμφύλων χώρας, καὶ Αμαντίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Νικοπολιτῶν, καὶ Αμμωνίου τοῦ θεοφιλεστάτου ἐπισκόπου, τῆς Αβυδηνῶν, Πλάτωνος τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Κρατιανῶν, Εὐσταθίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Φιλαδελφέων, καὶ Πελαγίου τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Αζανιτῶν, καὶ ἑτέρων θεοφιλεστάτων ἐπισκόπων τῶν καὶ συναινούντων τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ Ιωάννῃ, προσεφωνήθη ταῦτα· ὅτι ὁ Σευῆρος χωρίσας ἑαυτὸν τῆς ἁγίας ταύτης ἐκκλησίας ἑαυτὸν κρίματι ὑπέβαλε, πρόδηλον πᾶσι. ἑπόμενοι τοίνυν καὶ ἡμεῖς τοῖς θείοις κανόσι καὶ τοῖς ἁγίοις πατράσιν, ἀλλότριον τοῦτον ἡγούμεθα· καὶ ὑπὸ τῶν θείων κανόνων, διὰ τῆς αὐτοῦ βλασφημίας κατακριθέντα, ἀναθεματίζομεν καὶ ἡμεῖς. τούτων παρακολουθησάντων, τῇ κυριακῇ τῇ ἑξῆς, ἥτις ἐστὶν ἑξκαιδεκάτη τοῦ Ιουλίου μηνὸς, ἡμέρα δευτέρα, ἐπιτελουμένης τῆς μνήμης τῶν προλεχθέντων ἁγίων πατέρων, πάλιν τῆς εἰσόδου γινομένης παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ιωάννου, εὐθέως ἅμα τῷ γενέσθαι αὐτὸν πλησίον τοῦ ἄμβωνος, φωναὶ ἦλθον ἀπὸ παντὸς τοῦ λαοῦ οὕτως· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστης· τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη. τῆς νέας Ελένης πολλὰ τὰ ἔτη. τὸ λείψανον Μακεδονίου τῇ ἐκκλησίᾳ. Ιουστῖνε Αὔγουστε, SU NICAS. Εὐφημία Αὐγοῦστα, SU NICAS. τοὺς ἐν ἐξορίᾳ διὰ τὴν πίστιν, τῇ ἐκκλησίᾳ. ἀνασκαφείη τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφείη τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τίς ἐστι Νεστόριος, ἐγὼ οὐκ οἶδα. ἀνάθεμα αὐτῷ ἀπὸ τῆς τριάδος. τίς ἐστι Νεστόριος, ἐγὼ οὐκ οἶδα, ἀνάθεμα αὐτῷ, μετ' Εὐτυχέος. ἀνασκαφείη τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφείη τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τοὺς Μανιχαίους ἔξω βάλε. Ιουστῖνε Αὔγουστε, SU NICAS. Σευῆρον τὸν Ιούδαν ἔξω βάλε. τοὺς Μανιχαίους τῆς ἐκκλησίας ἔξω βάλε. τοὺς δύο Στεφάνους ἔξω βάλε. τὸ λείψανον Μακεδονίου ἄρτι φέρε, τὸ ὄνομα Μακεδονίου ἄρτι ταγῇ. δεόμεθα ταῖς ὅλαις φωναῖς τοῦ βασιλέως· τὸν νέον Τζουμᾶν ἔξω βάλε, ὁ νέος Τζουμᾶς Αμάντιός ἐστι. τὸν λῆρον τοῦ παλατίου ἔξω βάλε. Εὐφήμιον καὶ Μακεδόνιον, τῇ ἐκκλησίᾳ. τὰ συνοδικὰ εἰς Ρώμην ἄρτι ἀπελθέτωσαν. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, τοῦ νέου Ιωάννου πολλὰ τὰ ἔτη. ἄξιε τῆς τριάδος Ιουστῖνε Αὔγουστε, SU NICAS. πολλὰ τὰ ἔτη τῆς Αὐγούστης. τὸ λείψανον Μακεδονίου τῇ ἐκκλησίᾳ. οἱ τούτους ἀεὶ νικῶσι. Εὐφημίου καὶ Μακεδονίου τὰ ὀνόματα ἄρτι ταγῇ. τελείαν ἑορτὴν τῇ ἐκκλησίᾳ. τοὺς ψευδομάρτυρας Μακεδονίου ἔξω βάλε. τὰς τέσσαρας συνόδους τοῖς διπτύχοις, Λέοντα τὸν ἐπίσκοπον Ρώμης τοῖς διπτύχοις. ἡ ἁγία Μαρία θεοτόκος ἐστί. τοῦτο ἡ σύνοδος εἶπε· τὰ δίπτυχα τῷ ἄμβωνι. ὁ μὴ λαλῶν, Μανιχαῖός ἐστι. τὰ δίπτυχα τῷ ἄμβωνι. ἄρτι τὸν Θεόν σοι· Ιουστῖνε Αὔγουστε, SU NICAS. κουράτωρα οὐκ ἔχεις, τὰ δίπτυχα ἄρτι φέρε. Ιουστῖνος βασιλεύει, τὰ δίπτυχα ἄρτι φέρε. τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη, τῆς νέας Ελένης πολλὰ τὰ ἔτη. οὕτως ἔχεις τὸν δεσπότην, ἄρτι φέρε τὰ δίπτυχα. οὕτως ἔχεις τὴν Αὐγοῦσταν, τὰ δίπτυχα ἄρτι φέρε· οἱ κανόνες τούτους οὐκ ἐξέβαλον. εἰς τάξιν, εἰς τάξιν, εἰς τάξιν. καὶ προσεφωνήθη ταῦτα.

Et insistentibus ipsis plurimum in eisdem, præsentibus Theophilo Deoamantissimo episcopo Heracleano, Theodoro episcopo Gangrenorum, Hypatio episcopo Claudiopolitano, Joanne episcopo Bosphorio, Pythagora episcopo Sinopeno, Isaacio episcopo Pentapolitano Græciæ, Joanne religiosissimo episcopo Semneorum regionis Pamphyliorum, Amantio religiosissimo episcopo Nicopolitano, Ammonio religiosissimo episcopo Abydeno, Platone religiosissimo episcopo Cratiano, Eustathio religiosissimo episcopo Philadelphiæ, & Pelagio religiosissimo episcopo Azanitano, & aliis Dei amantissimis episcopis, consentientibus sanctissimo ac beatissimo episcopo patriarchæ œcumenico Joanni, acclamata fuerunt hæc: Quod Severus, qui seipsum ab hac ecclesia separavit, judicio seipsum submiserit, omnibus manifestum est. Sequentes itaque & nos divinos canones ac sanctos patres, alienum ipsum putamus; & a divinis canonibus per suam blasphemiam condemnatum, anathematizamus & nos. His secutis, sequenti[a] dominica, quæ est decimasexta mensis Julii, secunda die, finita memoria prædictorum sanctorum patrum. Rursusque facto introitu a sanctissimo & beatissimo archiepiscopo patriarcha œcumenico Joanne, statim dum ipse appropinquaret ambonem, voces a toto populo venerunt sic: Multi anni Patriarchæ: multi anni Imperatoris: multi anni Augustæ, novæ Helenæ multi sint anni. Reliquias Macedonii ecclesiæ restitue. Justine Auguste, tu vincis. Euphemia Augusta, tu vincis. Eos, qui sunt in exsilio propter fidem ecclesiæ restitue: exhumentur ossa Nestorianorum: exhumentur ossa Eutychianistarum. Quis est Nestorius, ego nescio: anathema sit ipse a Trinitate: Quis est Nestorius, ego nescio. Anathema ipsi cum Eutyche. Exhumentur ossa Nestorianorum, exhumentur ossa Eutychianistarum. Manichæos ejice foras. Justine Auguste, tu vincis. Severum Judam ejice foras. Manichæos de ecclesia ejice. Duos Stephanos ejice foras. Reliquias Macedonii modo fer. Nomen Macedonii modo ordinetur. Totis vocibus Imperatori supplicamus. Novum Tzumam ejice foras. Novus Tzumas Amantius est. Nugatorem ejice de palatio. Euphemium & Macedonium ecclesiæ restitue: [b] synodica Romana modo valeant. Multi anni Patriarchæ, novi Joannis multi anni. Digne Trinitate, Justine Auguste, tu vincis: multi anni Augustæ. Reliquias Macedonii ecclesiæ restitue: in iis semper vinces. Euphemii & Macedonii nomina modo ordinentur ad perfectam festivitatem ecclesiæ. Falsos testes Macedonii ejice foras. Quatuor synodos diptychis. Leonem episcopum Romanum diptychis. Sancta Maria Dei genitrix est. Hoc synodus dixit. Diptycha amboni. Qui non loquitur, Manichæus est. Diptycha amboni: modo Deum tibi: Justine Auguste, tu vincis. Curatorem non habes, diptycha modo porta. Justinus regnat, diptycha modo porta. Orthodoxi Imperatoris multi sint anni: novæ Helenæ multi anni. Sic habes dominum. Modo porta diptycha. Sic habes Augustam, diptycha modo porta. Canones non ejecerunt istos. Heus ordina, heus ordina, heus ordina. Et acclamata sunt hæc.

[a] *Legendum* sequenti feria: *nam* κυρία feria *est*: *& eo anno* 518. *litt. Dom G.* feria 2. *fuit* 16. *Julii.*

Vet. int. semper Etumas, *&* Etzumam.

[b] *Græc.* synodica Romam modo abeant, *sive* mittantur.

Κατὰ τὴν χθὲς ἡμέραν, ἀρκούντως ἐπληροφορήσαμεν τὴν ὑμετέραν ἀγάπην, καὶ νῦν δὲ τὸν ζῆλον ὑμῶν σαφῶς ἐπιστάμενοι, ἐκεῖνα ἐσπεύσαμεν, καὶ σπεύδομεν ποιεῖν, ὅσα καὶ τὸν Θεὸν θεραπεύει, καὶ ὑμᾶς διὰ πάντων ἐν πᾶσι πληροφορεῖ. ὅτι δὲ μάλλει ἡμῖν τὸ μηδὲν παρασαλεύεσθαι τῆς ὀρθῆς πίστεως, οἶμαι κατὰ διαφόρους χρόνους καὶ τρόπους πεῖραν παρει-

Hesterna die sufficienter satisfecimus vestræ caritati: nunc vero zelum vestrum aperte cognoscentes, illa festinavimus, & festinamus facere, quæ & Deum colunt, & vobis per omnia & in omnibus satisfaciunt. Quod autem debeat nihil nobis removeri de recta fide, arbitror vestram dilectionem diversis temporibus

& modis experientiam accepisse. Et idcirco fundamentum fidei sanctum sanctorum patrum traditione firmum permanere, gratia Domini nostri & Salvatoris Jesu Christi studuimus: sperantes per ipsum & dissidentes ecclesias unire, undique ordinem divinorum canonum inviolabiliter tenentes. Neque enim conceditur aliquid removeri; & de novitate vocis, & subtilitate sermonis occupari fideles: sed adhærere sancto symbolo, in quo omnes baptizati sumus, & quod cum sancto Spiritu Nicæna synodus exclamavit, & sanctorum patrum in Constantinopoli congregatio confirmavit, & sancta synodus Ephesina confirmavit, & sancta magna synodus Chalcedonensis similiter sigillavit; quam nullo modo aut ratione amovere quis poterit, cum omnem male opinantibus tollat occasionem. Hanc itaque fidem immobilem tenentes, ad invicem non dubitetis: sed omnem vocum novitatem, ac omnem in sermonibus subtilitatem abjicientes, uno ore sanctam & consubstantialem Trinitatem glorificemus, quæ custodiat in pace vitam piissimi & Christianissimi Imperatoris, nostri ac omnium nostrum. Patri enim & Filio & Spiritui sancto gloria nunc & semper, & in sæcula sæculorum. Amen.

Hac autem acclamatione facta permanserunt clamantes: Si nullus modo egreditur, obtestor te, portas claudo. Fratres orthodoxi una anima: fratres per fidem una anima. Justine Auguste, tu vincis. Qui non loquitur, Manichæus est. Sanctus, Sanctus, Sanctus, Trinitas vicit. Ex hoc tempore non times Amantium Manichæum, Justinus regnat: quid times Amantium, digne Trinitate? & hoc bonum tibi reservatum est. Qui synodum amat, ita honoratur. Multi anni Imperatoris: multi anni Augustæ: multi anni Patriarchæ. Vincit fides orthodoxorum. Et rursus perseverantibus ipsis plurimum in eisdem vocibus, acclamata sunt eis hæc. Quod omne studium posuerimus complacere vobis, & inscandalizatos vos conservare, clare cognoscitis: sed quoniam omnia canonice & bono ordine fieri oportet, permittite nobis, congregare Deo amantissimos episcopos, ut secundum divinos canones omnia proveniant, consilioque & jussu piissimi Imperatoris nostri: omnes enim acclamationes vestras suæ serenitati aperiemus. Et cum ipsi clausissent portas, & in eisdem exclamationibus permanentibus, accipiens diptycha sanctissimus & beatissimus archiepiscopus & patriarcha œcumenicus Joannes, jussit ordinari sanctas quatuor synodos sanctorum patrum, videlicet in Nicæa congregatorum, & in Constantinopoli similiter convenientium sub Nectario sanctæ memoriæ, ac in Epheso congregatorum super depositione Nestorii, necnon illorum de Chalcedona super dejectione Eutychis, & ejusdem impii Nestorii: ordinarique jussit nomina in sancta memoria defunctorum archiepiscoporum hujus regiæ urbis, Euphemii & Macedonii, ac etiam Leonis Romani pontificis. Tunc voce magna de populo tamquam uno ore clamarunt: *Benedictus Dominus Deus Israel, quia visitavit, & fecit redemptionem populo suo.* Magna autem hora ex utraque parte consistentibus & psallentibus hanc psalmodiam, cantores supervenientes converterunt se dicere Trisagium: & cum ipsi incepissent, totus populus quievit, & audiebat attentis auribus Trisagium. Et post lectionem sancti evangelii, ex more sacra missa finita, & januis clausis, ac sancta lectione juxta consuetudinem lecta, tempore diptychorum cucurrit omnis multitudo cum magno silentio circum circa altare, & audiebant. Et cum solum lectæ fuissent a diacono appellationes prædictarum sanctarum synodorum, & sanctæ memoriæ archiepiscoporum, Euphemii, & Macedonii, & Leonis, voce magna universi clamave-

A λαβεῖν τὴν ὑμετέραν ἀγάπην. διὸ καὶ τὸν θεμέλιον τῆς πίστεως κατὰ τὴν τῶν ἁγίων πατέρων παράδοσιν, ἀῤῥαγῆ διαμένειν τῇ χάριτι τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ ἐσπουδάσαμεν· ἐλπίζοντες δι' αὐτῆς, καὶ τὰς διεστώσας ἐκκλησίας ἑνῶσαι, πανταχοῦ τὴν τάξιν τῶν θείων κανόνων ἀθίκτως κρατοῦντες. οὐδὲ γὰρ ἐξχωρεῖ τι παρασαλεύεσθαι, καὶ περὶ καινοφωνίας καὶ λεπτολογίας ἀπασχολεῖσθαι τοὺς πιστούς· ἀλλὰ προσέχειν τῷ ἁγίῳ συμβόλῳ, ἐν ᾧ πάντες ἐβαπτίσθημεν, ὅπερ ἐξεφώνησεν ἡ ἐν Νικαίᾳ σὺν ἁγίῳ πνεύματι σύνοδος, καὶ ἐκύρωσεν ἡ ἐν Κωνσταντινουπόλει τῶν ἁγίων πατέρων συνέλευσις, καὶ ἐβεβαίωσεν ἡ ἐν Ἐφέσῳ ἁγία σύνοδος, καὶ ἐπεσφράγισεν ὁμοίως ἡ ἐν Χαλκηδόνι μεγάλη ἁγία σύνοδος· ὃν κατ' οὐδένα τρόπον ἢ λόγον παρασαλεῦσαί τις δυνήσεται, πᾶσαν ἀναιροῦντα τοῖς
B κακοδόξοις πρόφασιν. ταύτην τοίνυν τὴν πίστιν ἀσάλευτον κρατοῦντες, πρὸς ἀλλήλους μὴ ἀμφιβάλλητε, ἀλλὰ πᾶσαν καινοφωνίαν, καὶ πᾶσαν καινοτομίαν, καὶ πᾶσαν λεπτολογίαν ἀπωθούμενοι, ἑνὶ στόματι τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα δοξάσωμεν· ἥτις φυλάξοι ἐν εἰρήνῃ τὴν ζωὴν τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, καὶ πάντων ἡμῶν. τῷ γὰρ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι πρέπει ἡ δόξα, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ταύτης τῆς προσφωνήσεως γενομένης, ἐπέμειναν κράζοντες· ἐὰν μὴ ἄρτι οὐδεὶς ἐκβαίνει, μαρτύρομαί σε, τὰς θύρας κλείω. ἀδελφοὶ ὀρθόδοξοι, μία ψυχή· ἀδελφοὶ διὰ πίστιν, μία ψυχή. Ἰουστῖνε Αὔγουστε, SU NICAS. ὁ μὴ λαλῶν, Μανιχαῖός ἐστιν· ἅγιος, ἅγιος, ἅγιος, ἡ τριὰς ἐνίκησεν. ἀπάρτι οὐ φοβῆσαι Ἀμάντιον τὸν Μανιχαῖον. Ἰουστῖνος βασιλεύει,
C Ἀμάντιον τί φοβῆσαι, ἄξιε τῆς τριάδος; καὶ τοῦτο τὸ καλόν σοι ἐτηρεῖτο· ὁ φιλῶν τὴν σύνοδον, οὕτω τιμᾶται. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστης, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. νικᾷ ἡ πίστις τῶν ὀρθοδόξων. καὶ πάλιν ἐπιμενόντων αὐτῶν ἐπὶ πολὺ ταῖς αὐταῖς φωναῖς, προσεφωνήθη αὐτοῖς ταῦτα· ὅτι διὰ πάντων σπουδὴν ἐθέμεθα θεραπεῦσαι ὑμᾶς, καὶ ἀσκανδαλίστους φυλάξαι, σαφῶς ἐπίστασθε. ἐπειδὴ δὲ δεῖ πάντα κανονικῶς, καὶ μετὰ εὐταξίας γίνεσθαι, συγχωρήσατε ἡμῖν συναγαγεῖν τοὺς θεοφιλεστάτους ἐπισκόπους, ἐφ' ᾧ τι κατὰ τοὺς θείους κανόνας πάντα προβῆναι, γνώμῃ καὶ κελεύσει τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως. τὰς γὰρ ἐκβοήσεις ὑμῶν πάσας ἀνοίσομεν, ἐπὶ τὴν αὐτοῦ γαληνότητα. καὶ κλεισάντων
D αὐτῶν τὰς θύρας, καὶ ἐπιμενόντων ταῖς αὐταῖς ἐκβοήσεσι, λαβὼν τὰ δίπτυχα ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης, ἐκέλευσε τὰς ἁγίας τέσσαρας συνόδους τεθῆναι, τῶν τε ἐν Νικαίᾳ συνελθόντων ἁγίων πατέρων; καὶ τῶν ἐν Κωνσταντινουπόλει ὡσαύτως συναχθέντων ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνήμης, καὶ τῶν ἐν Ἐφέσῳ ἐπὶ τῇ ἐκβολῇ Νεστορίου, καὶ τῶν ἐν Χαλκηδόνι ἐπὶ τῇ ἐκβολῇ Εὐτυχοῦς, καὶ τοῦ αὐτοῦ δυσσεβοῦς Νεστορίου, καὶ τὰ ὀνόματα τῶν τελευτησάντων ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένων ἀρχιεπισκόπων ταύτης τῆς βασιλίδος πόλεως, Εὐφημίου καὶ Μακεδονίου, καὶ μέντοι καὶ Λέοντος τοῦ γενομένου ἀρχιεπισκόπου Ῥώμης. τότε φωνῇ μεγάλῃ πάντες οἱ τοῦ λαοῦ, ὡς ἐξ ἑνὸς στόματος ἐβόησαν· εὐλογητὸς κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο,
E καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ * ἐπὶ πολλὴν δὲ ὥραν ἀντιφωνούντων ἑκατέρων τῶν μερῶν καὶ ψαλλόντων τὴν ψαλμῳδίαν ταύτην, οἱ ψάλται ἐπιστραφέντες ἀνελθόντες εἰπεῖν τὸν τρισάγιον. καὶ αὐτῶν ἀρξαμένων, πᾶς ὁ λαὸς ἐπαύσατο, καὶ ὑπήκουσε τοῦ τρισαγίου. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου, ἐξ ἔθους τῆς θείας λειτουργίας ἐπιτελουμένης, καὶ τῶν θυρῶν κλεισθεισῶν, καὶ τοῦ ἁγίου μαθήματος κατὰ τὸ σύνηθες λεχθέντος, τῷ καιρῷ τῶν διπτύχων μετὰ πολλῆς ἡσυχίας συνέδραμον ἅπαν τὸ πλῆθος κύκλῳ τοῦ θυσιαστηρίου, καὶ ἠκροῶντο. καὶ ὡς μόνον ἐλέχθησαν αἱ προσηγορίαι τῶν εἰρημένων ἁγίων τεσσάρων συνόδων παρὰ τοῦ διακόνου, καὶ τῶν ἐν ὁσίᾳ τῇ μνήμῃ ἀρχιεπισκόπων Εὐφημίου καὶ Μακεδονίου, καὶ Λέοντος, μεγάλῃ φωνῇ

* *In alio ms. & in editione Regia, hic additur:* καὶ πάλιν δεύτερον ἔκραξαν· εὐλογητὸς κύριος Ἰησοῦς ὁ βασιλεὺς, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

ἔκραξαν ἅπαντες, δόξα σοι κύριε. καὶ μετὰ ταῦτα, μετὰ πάσης εὐταξίας ἐπληρώθη σὺν Θεῷ ἡ θεία λειτουργία.

Ἐπιστολὴ Ἰωάννου τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου γενομένου τῆς βασιλευούσης ταύτης πόλεως καὶ οἰκουμενικοῦ πατριάρχου, γραφεῖσα Ἰωάννῃ τε τῷ τῆς ὁσίας μνήμης γενομένῳ ἀρχιεπισκόπῳ Ἱεροσολύμων, καὶ πᾶσι τοῖς ἐνδημοῦσι τηνικαῦτα μητροπολίταις.

Τοῖς συμψύχοις καὶ ὁμοδόξοις τὸν σύνδεσμον τῆς ἀγάπης ἐν εἰρήνῃ Χριστὸς ὁ Θεὸς ἡμῶν ἄνωθεν δεδωκὼς, κοινὰ καὶ τὰ παρ' αὐτῶν πραττόμενα εἶναι δικαιοῖ. ἐπεὶ τοίνυν θεία τις οὐρανόθεν γέγονε κίνησις τοῦ φιλοχρίστου λαοῦ τῆς βασιλίδος ταύτης πόλεως, καὶ πάντα τὰ ἐκβοηθέντα παρ' αὐτοῦ, καὶ ἐκφωνηθέντα παρ' ἐμοῦ, δῆλα τῷ κόσμῳ γεγένηται, ἀναγκαῖον ἐλογισάμην σημᾶναι τῇ σῇ θεοφιλίᾳ· ἵνα τῇ συνεργείᾳ τοῦ ἁγίου πνεύματος ταῦτα γνοῦσα, ἐπιστηριχθῇς τῷ λόγῳ τῆς ἀληθείας· ἐπειδὴ μάλιστα ἡ ἐνδημοῦσα ἁγία σύνοδος τῇ αἰτήσει πάντων τοῦ μοναχικοῦ τάγματος, ἐγγράφως τι ὥρισε, καὶ ἅπερ ὥρισε τῇ σῇ ἁγιότητι διὰ τάχους ἐκπέμψαι ἐσπουδάσαμεν.

Ἄλλη ἐπιστολὴ τοῦ αὐτοῦ τῆς ἁγίας μνήμης οἰκουμενικοῦ πατριάρχου Ἰωάννου ἰδικὴ, γραφεῖσα Ἐπιφανίῳ τῷ τῆς θεοφιλοῦς μνήμης γενομένῳ ἐπισκόπῳ Τύρου.

Ὁ πάντα πρὸς τὸ συμφέρον Θεὸς ἄνωθεν οἰκονομῶν, καὶ νῦν τὴν σὴν θεοσέβειαν ἐν θλίψει κατὰ τὸν προφήτην πλατυνθεῖσαν, ἐπὶ τὴν στενὴν πύλην τῆς βασιλείας τῶν οὐρανῶν, ἀνέτως εἰσελθεῖν παρεσκεύασεν. ἰδοὺ γὰρ τοῦ οὐρανίου κινήματος κατὰ τῶν ἀποστατῶν τῆς ἐκκλησίας πνεύματι Θεοῦ γενομένου, ὅσοι μὲν ἀνάξιοι ὤφθησαν τῆς ἀχράντου ὑπηρεσίας τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κρίματι αἰωνίῳ ὑπεβλήθησαν. ὅσοι δὲ τῆς ὀρθοδόξου πίστεως ἐραστὰὶ ἐφάνησαν, πολλῷ μᾶλλον διὰ τῆς τοιαύτης κινήσεως ἐλαμπρύνθησαν. τοιγαροῦν τῆς ἐνδημούσης ἁγίας συνόδου τῇ φιλοχρίστῳ καὶ βασιλίδι πόλει ἐκ διαφόρων ἐπαρχιῶν δῆλα ποιησάσης τὰ πραχθέντα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας πάσῃ τῇ ὑφ' ἡμῶν, ἀναγκαῖον ἔκρινα καὶ τῇ σῇ τιμιότητι θεοφιλείᾳ· ἵνα τὰ παρ' αὐτῶν καὶ δι' αὐτῶν πραχθέντα ἀναγνοὺς καὶ γνοὺς, ὁσιώτατε, σύμψηφος καὶ ὁμόψυχος ἔσῃ· καὶ κἂν ὀψέ ποτε τῶν κυκλωσάντων σε ἐχθρῶν λυτρωθείης. ἅπαντα τοίνυν τὰ πεπραγμένα κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας, δῆλα ποιῆσαι τοῖς ὁμοδόξοις εὐλαβεστάτοις συλλειτουργοῖς καὶ μοναχοῖς καὶ φιλοχρίστοις λαοῖς, καθὼς ἂν συνίδῃς, σπούδασον, θεοφιλέστατε.

Ἀντίγραφον Ἰωάννου Ἱεροσολύμων, καὶ τῶν ὑπ' αὐτὸν ἐπισκόπων πρὸς Ἰωάννην τὸν Κωνσταντινουπόλεως.

Τῷ δεσπότῃ μου τῷ θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ συλλειτουργῷ Ἰωάννῃ, καὶ τῇ ἐνδημούσῃ κατὰ τὴν φιλόχριστον Κωνσταντινούπολιν ἁγίᾳ συνόδῳ, Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκοπος Ἱεροσολύμων, καὶ ἡ κατὰ τὰς τρεῖς Παλαιστίνας τελοῦσα ὑπὸ τοῖς ἁγίοις Χριστοῦ τοῦ ἐπὶ πάντων Θεοῦ τόποις ἁγία σύνοδος, ἐν κυρίῳ χαίρειν.

Ἐπειδὴ διπλῆ τίς ἐστιν ἡ τῶν δακρύων κίνησις· ἡ μὲν πρὸς ὀδύνην φέρουσα, ἡ δὲ πρὸς εὐφροσύνην. Ἰωσὴφ γὰρ ὁ πατριάρχης ἀναγνωριζόμενος τοῖς ἀδελφοῖς, μεγάλα ἐκ βαθυμῶν ἐδάκρυσε· καὶ Παῦλος φησὶ τὸ σκεῦος τῆς ἐκλογῆς, ὅτι ἡ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται, ἡ δὲ κατὰ Θεὸν, σωτηρίαν· ἐντυχόντες ἐν ἀδακρυτὶ τοῖς ἐπισταλεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, καὶ πραχθεῖσι, θυμηδίας ἐπλήσθημεν· ὥστε ἂν ἡμᾶς εἰπεῖν μετὰ τοῦ μεγάλου προφήτου Δαβίδ· εὐφράνθημεν ἐπὶ τοῖς εἰρηκόσιν ἡμῖν, εἰς οἶκον κυρίου πορευσόμεθα. καὶ, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου καὶ, ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, τῷ

runt, Gloria tibi Domine. Et post hoc cum omni modestia completa fuit cum Deo divina missa.

Epistola sanctæ memoriæ Joannis archiepiscopi hujus regiæ urbis œcumenici patriarchæ, scripta Joanni sanctæ memoriæ archiepiscopo Hierosolymitano, & omnibus metropolitis ibidem congregatis.

Christus Deus noster, qui ejusdem animæ & fidei hominibus vinculum caritatis in pace cælitus dedit, quæ ab ipsis gesta sunt, communia esse justum dicit. Quoniam igitur divinus quidam cælitus motus fuit Christianissimi populi hujus regiæ civitatis, ac omnia ab ipso exclamata, & a me pronuntiata, multo manifestata sunt: necessarium putavi tuæ significare caritati, ut cum hæc Spiritus sancti operatione cognoveris, verbo veritatis confirmeris; quia maxime sancta synodus congregata petitione totius monastici ordinis diffinivit in scripturis; & quæ diffinivit, tuæ sanctitati quam celerrime mittere studuimus.

Alia epistola ejusdem sanctæ memoriæ œcumenici patriarchæ Joannis, specialiter scripta Epiphanio Deo amabilis memoriæ episcopo Tyri.

Deus qui omnia ad utilitatem desuper dispensat, tuam nunc pietatem in tribulatione secundum prophetam dilatatam, ad angustam portam regni cælorum quiete introire curavit. Ecce enim cælestis motus contra apostatas ecclesiæ, Spiritu Dei factus est. Quicumque enim indigni visi fuerunt inviolabili ministerio magni Dei & Salvatoris nostri Jesu Christi, æterno judicio subjecti sunt: qui autem orthodoxæ fidei amatores apparuerunt, multo magis per hujusmodi motum clarificati sunt. Igitur cum sancta synodus in Christoamata civitate ex diversis provinciis congregata, manifesta fecerit ea, quæ gesta sunt contra inimicos veritatis; omnino necessarium judicavi & tuæ mittere caritati: ut cum ea, quæ ab ipsis, & per ipsos formata sunt, legeris & intellexeris, sanctissime, & consentaneus, & ejusdem animi sis: & tandem si aliquando inimici te circumdederunt, libereris. Universa igitur gesta contra inimicos veritatis, manifesta facere religiosissimis & ejusdem fidei comministris & monachis ac Christoamantissimis populis, sicut certe teneris, stude, Deoamantissime.

Rescriptum Joannis Hierosolymitani & episcoporum qui sub eo sunt, ad Joannem Constantinopolitanum.

Domino meo, Deoamantissimo & sanctissimo comministro Joanni, & sanctæ synodo in Constantinopoli congregatæ, Joannes Dei miseratione episcopus Hierosolymorum, & sancta synodus trium Palæstinarum, existens sub sanctis locis Christi Dei omnium, in Domino salutem.

Quoniam duplex est lacrymarum motus; alter quidem, qui in dolorem fert: alter vero qui in lætitiam: (nam Joseph patriarcha cum recognosceretur a fratribus, magnopere ex intimo desiderio lacrymatus est: & Paulus vas electionis dicit, quod *tristitia mundi mortem operatur: quæ autem secundum Deum est, salutem:*) incidentes non illacrymabiliter in his, quæ a vestra sanctitate gesta & scripta sunt, lætitia repleti sumus: ita ut & nos magno cum propheta David dicamus, *Lætati sumus in his quæ dixerunt nobis, in domum Domini ibimus.* Et, *hæc est mutatio dexteræ Excelsi.* Et illud: *Confitemini Deo deorum, qui fecit mi-*

Anno Christi 518. — Genes. 45. — 2. Cor. 7. 10. — Psal. 121. — Psal. 76. 11. — Psal. 135.

ANNO CHRISTI 536.

Psal. 105. 2.
1. Reg. 3.

rabilia magna solus, quoniam in sæculum misericordia ejus. Et illud: *Quis loquetur potentias Domini; auditas faciet omnes laudationes ejus?* Ecce enim Deus dicit per Samuelem: *Facio opera mea in Israël, ut omnis qui audit, crepitet ambas aures suas.* Hæc & temporibus nostris opere provenerunt. Nam abominationem illam desolationis (monstrum pestiferum Severum dicimus: qui iniquitatem in altum locutus est per sua blasphema verba, contra sanctam magnam & œcumenicam Chalcedonensem synodum dicta: [a] neque principium cognitum nobis est, neque quis sit: qui Antiochenam sedem inique ac tyrannice, ac contra ecclesiasticos canones subripuit: & qui etiam secundum illum Ægyptium in Actibus, concitavit & induxit in eremum sicarios) anathemati subjecit, & alienum B fecit ab omni sacerdotali collegio, dignitate, & re, per vestram sanctitatem, quæ malum odit. Qui enim dedit Hieremiæ prophetæ superædificare & demoliri, eradicare & plantare; & Petro apostolorum principi solvere & ligare; hoc communiter donavit sacerdotio. Sanctissimos itaque & Deo dilectos monachos, qui sub magna illa & regia civitate habitant, ac etiam ipsius Deo dilectum populum propter Dei zelum laudamus: quoniam & usque ad mortem perstiterunt, ut lupum Antiochenæ civitatis de pascuis ovium expellerent; qui seipsum occultabat, & majoribus conabatur, quam ipse posset: & qui secundum illud Balac, maledicere conabatur, quem Dominus non maledicit. In caput igitur ipsius omnia maledictionis evenerunt: & C benedictus est Israël [b] qui intelligit. Et periit quidem Balac, similique modo & Balaam vates: qui opera actuum suorum suscepit, & anathematizatus est, & ibi cum servo otioso & malo pœnam sustinet. Sed hæc quidem illi. Nos autem idem cum his, quæ gesta sunt & scripta a vestra sanctitate, sapimus & consentiati sumus: & anathematizamus omnem hæresim, Nestorium hominis idololatram, ac Eutychem vana sapientem, & Manem, & Severum veneficum, nec non & ipsius conscripta: habentes in [c] sententiis nostris & amplexantes sancta quatuor concilia: concilium videlicet trecentorum decem & octo sanctorum patrum, in Nicæa congregatorum contra impium Arrium, exponentium sanctum symbolum, in quo baptizati sumus, D ac baptizamus: & centum quinquaginta sanctorum patrum, in Constantinopoli contra Eunomium impugnatorem Spiritus congregatorum, qui prædictum symbolum confirmaverunt: & ducentorum patrum, in Epheso congregatorum, qui deposuerunt Nestorium hominis idololatram, qui & ipsum sanctum symbolum amplexati sunt: ac magnam & œcumenicam synodum sexcentorum triginta patrum in Chalcedona divinitus congregatorum, qui etiam confirmaverunt, & tenuerunt ipsum sanctum symbolum, & sigillaverunt ea, quæ gesta fuerunt adversus Nestorium hominis idololatram, & deposuerunt Eutychem vana sentientem: suscipiunt autem & venerabiles epistolas sanctæ & Deoamabilis memoriæ Leonis Romani archiepiscopi & patriarchæ. Congratulantes itaque in his E vestræ sanctitati, & consentientes his, quæ a vobis facta & scripta sunt, & vobis communicativi exsistentes propheticum illud eloquium dicimus: *Celebra Juda festivitates tuas, redde Domino vota tua: ideo non apposuisti, ut esses in vetustatem.* Nobiscum ergo eadem orate, sanctissimi: communia enim sacerdotum sunt: & sanctam ac glorificatam Virginem Dei genitricem Mariam, una nobiscum supplicate, intercedere pro pace sanctissimarum ecclesiarum, & victoria, ac perpetuitate piissimi & serenissimi Imperatoris nostri.

[a] Fors. qui neque a principio cognitus.

Act. 21.

Numer. 23.

[b] Scil. qui intelligit.

Matth. 25.

[c] al. sceniis

Nahum 1.

A ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ, τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ἰδοὺ γὰρ ὁ Θεὸς φησὶ διὰ τοῦ Σαμουὴλ· ποιῶ τὰ ἔργα μου ἐν Ἰσραὴλ, ὥστε παντὸς ἀκούοντος, ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ. ταῦτα καὶ ἐπὶ τῶν χρόνων τῶν ἡμετέρων, ἔργῳ προῆλθε. τὸ γὰρ βδέλυγμα τῆς ἐρημώσεως, τὸ τέρας τὸ ἀντιμύστριον Σευῆρον φαμὲν, τὸν ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντα διὰ τῶν βλασφήμων αὐτοῦ λόγων, τῶν κατὰ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς συνόδου τῆς ἐν Χαλκηδόνι λεχθέντων, οὐδὲ τὴν ἀρχὴν γινωσκόμενον ἡμῖν, οὐδὲ ὅστις ἐστί· τὸν τῆς Ἀντιοχέων ἀδίκως καὶ τυραννικῶς καὶ παρὰ τὸν ἐκκλησιαστικὸν κανόνα ὑφαρπάσαντα θρόνον, τὸν κατὰ τὸν Αἰγύπτιον ἐκεῖνον, τὸν ἐν ταῖς πράξεσιν ἀναστατώσαντα καὶ ἐξαγαγόντα B εἰς τὴν ἔρημον τοὺς σικαρίους, ἀναθέματι ὑποβέβληκε, καὶ ἀλλότριον παντὸς ἱερατικοῦ συλλόγου, καὶ ἀξίας, καὶ πράγματος πεποίηκε διὰ τῆς ὑμετέρας μισοπονήρου ἁγιωσύνης. ὁ γὰρ παρασχηκὼς Ἱερεμίᾳ τῷ προφήτῃ τὸ ἀνοικοδομεῖν, καὶ κατασκάπτειν, καὶ ἐκριζοῦν, καὶ καταφυτεύειν· καὶ Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων τὸ λύειν καὶ δεσμεῖν, καὶ τῇ κοινῇ πάντως ἐγχειρισθὲν ἱερωσύνῃ· τοὺς μὲν οὖν θεοφιλεστάτους, καὶ ὁσιωτάτους μοναχοὺς τοὺς ὑπὸ τὴν μεγάλην ἐκείνην καὶ βασιλίδα πόλιν οἰκοῦντας, οὐ μὴν ἀλλὰ καὶ τὸν φιλόχριστον ταύτης λαὸν, τοῦ κατὰ Θεὸν ζήλου ἐμακαρίσαμεν· καὶ ὅτι μέχρι θανάτου διαγωνίσωνται, ὥστε τὸν λύκον τῆς Ἀντιοχέων τῆς νομῆς ἀπελάσαι τῶν προβάτων, τὸν λαθόντα ἑαυτὸν, καὶ μείζοσιν ἐγχειρήσαντα ἢ κατ᾽ αὐτὸν, καὶ κατὰ τὸν Βαλὰκ ἐκεῖνον ἀρᾶσθαι πειραθέντα, ὃν οὐκ ἀρᾶται ὁ κύριος. ἐπιστρέψαι εἰς κεφαλὴν αὐτοῦ, τὰ τῆς ἀρᾶς πάντα ἐκβέβηκε· καὶ εὐλόγηται ὁ C συνετὸς Ἰσραήλ· καὶ ἀπώλετο μὲν ὁ Βαλὰκ, τὸν ὅμοιον δὲ τρόπον, καὶ Βαλαὰμ μάντις τὰ ἐπίχειρα τῶν αὐτοῦ πράξεων ἐδέξατο, ἀναθεματισθεὶς, καὶ τὴν ἐκεῖσε προσμένει μετὰ τοῦ δούλου τοῦ ὀκνηροῦ καὶ πονηροῦ, τιμωρίαν. ἀλλὰ ταῦτα μὲν ἐκεῖνοι· ἡμεῖς δὲ τοῖς πραχθεῖσι καὶ ἐπισταλεῖσι παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ὁμόφρονες καὶ ὁμόψηφοι τυγχάνομεν, καὶ ἀναθεματίζομεν πᾶσαν αἵρεσιν, καὶ Νεστόριον τὸν ἀνθρωπολάτρην, καὶ Εὐτυχέα τὸν ματαιόφρονα, καὶ τὸν Μάνην, καὶ Σευῆρον τὸν φαρμακὸν· οὐ μὴν ἀλλὰ καὶ τὰ τούτου συγγράμματα ἐν ταῖς ἑαυτῶν διανοίαις ἔχοντες· καὶ ἀσπαζόμενοι τὰς τέσσαρας ἁγίας συνόδους, τήν τε τῶν τιη. ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συναχθέντων κατὰ Ἀρείου τοῦ δυσωνύμου, τῶν ἐκθεμένων τὸ ἅγιον D σύμβολον, εἰς ὃ ἐβαπτίσθημεν, καὶ βαπτίζομεν· καὶ τὴν τῶν ἑκατὸν πεντήκοντα τῶν ἐν Κωνσταντινουπόλει, κατὰ Εὐνομίου τοῦ πνευματομάχου, τῶν τὸ εἰρημένον ἅγιον σύμβολον βεβαιωσάντων· καὶ τὴν τῶν διακοσίων τῶν ἐν Ἐφέσῳ τῶν καθελόντων Νεστόριον τὸν ἀνθρωπολάτρην, τὸ δὲ αὐτὸ ἅγιον σύμβολον περιπτυξαμένων· καὶ τὴν μεγάλην καὶ οἰκουμενικὴν σύνοδον τῶν χλ᾽. πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων, καὶ βεβαιωσάντων καὶ κρατυνάντων τὸ αὐτὸ ἅγιον σύμβολον, ἐπισφραγισάντων δὲ τὰ κατὰ Νεστορίου τοῦ ἀνθρωπολάτρου, καὶ ἀποβαλόντων Εὐτυχέα τὸν ματαιόφρονα, δεχόμενοι καὶ τὰς θεοφρεστάτας ἐπιστολὰς τοῦ τῆς ὁσίας καὶ θεοφιλοῦς μνήμης Λέοντος τοῦ γενομένου τῆς Ῥωμαίων ἀρχιεπισκόπου καὶ πατριάρχου. E συνευφραινόμενοι τοίνυν ἐπὶ τούτοις τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, καὶ συναινοῦντες τοῖς παρ᾽ ὑμῶν ἐπισταλεῖσι, καὶ πραχθεῖσι, καὶ κοινωνικοὶ ὄντες ὑμῖν, τὸ προφητικὸν ἐκεῖνο λέγομεν λόγιον· ἑόρταζε Ἰούδα τὰς ἑορτάς σου, ἀπόδος τῷ κυρίῳ τὰς εὐχάς σου, διότι οὐ μὴ προσθῇς τοῦ εἶναι εἰς παλαίωσιν. καὶ ἡμῖν οὖν τὰ αὐτὰ ταῦτα συνεύχεσθε, ἁγιώτατοι. κοινὰ γὰρ τὰ τῶν ἱερέων. καὶ τὴν ἁγίαν καὶ δεδοξασμένην παρθένον καὶ θεοτόκον Μαρίαν σὺν ἡμῖν ἱκετεύσατε, πρεσβείαν ποιήσασθαι ὑπὲρ τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν, καὶ νίκης, καὶ διαμονῆς τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου ἡμῶν βασιλέως.

ANNO CHRISTI 536.

ΥΠΟΓΡΑ-

ΥΠΟΓΡΑΦΑΊ.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Καισαρέων, ἐῤῥῶσθαί με καὶ τῷ κυρίῳ διαρεστεῖν εὔχεσθε, δεσπόται ἅγιοι, καὶ θεοφιλέστατοι καὶ ὁσιώτατοι πατέρες.

Θεοδόσιος ἐπίσκοπος τῆς Σκυθοπολιτῶν, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Ζηνόβιος ἐπίσκοπος Ιαμνίας, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Ἰωάννης ἐπίσκοπος Τιβεριάδος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Πολυχρόνιος ἐπίσκοπος Αρεοπόλεως, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Εὐστάθιος ἐπίσκοπος Ανθηδόνος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Προκόπιος ἐπίσκοπος τῆς Νεαπολιτῶν, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Στέφανος ἐπίσκοπος τοῦ Μαϊουμᾶ Ασκάλωνος ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Πέτρος ἐπίσκοπος Ελεύσης, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Μαρκελλῖνος ἐπίσκοπος Νεοκαισαρείας, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Γρηγόριος ἐπίσκοπος Ελευθεροπόλεως, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Ἰωάννης ἐπίσκοπος Ιεριχοῦντος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Αντωνῖνος ἐπίσκοπος τῆς Ασκάλωνος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Ἰωάννης ἐπίσκοπος Μηνοΐδος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Παῦλος ἐπίσκοπος Πέλλης, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Αλφειὸς ἐπίσκοπος Συκαμαζῶνος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Βάσσος ἐπίσκοπος Καπιτωλιάδος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Προκόπιος ἐπίσκοπος Μαϊουμᾶ Γάζης, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Ἰσίδωρος ἐπίσκοπος τῆς Ζωοροων, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Οὐάλης ἐπίσκοπος τῆς Παρεμβολῆς, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Πέτρος ἐπίσκοπος Φινοῦς, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Επιφάνιος ἐπίσκοπος Ραφίας, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

.. ..
καὶ τὰ λοιπὰ διὰ Ρωμαϊκῶν γραμμάτων.

Ηλίας ἐπίσκοπος Ιόππης, ἐῤῥῶσθαί με καὶ τὰ λοιπά.

Προκόπιος ἐπίσκοπος Αμαθοῦντος, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Σολομῶν ἐπίσκοπος Αζίλης, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Κόνων ἐπίσκοπος Ιππου, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Λεόντιος ἐπίσκοπος Σωζούσης, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Κύριλλος ἐπίσκοπος Γαζαίων, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Στέφανος ἐπίσκοπος Ορέων, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Μέγας ἐπίσκοπος τῆς Μαξιμιανουπολιτῶν, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Γρηγόριος ἐπίσκοπος Βακάθας, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Βαρώχιος ἐπίσκοπος Δώρων, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Απολλώνιος ἐπίσκοπος τῆς Διοσπολιτῶν, ἐῤῥῶσθαί με, καὶ τὰ λοιπά.

Επιστολὴ Επιφανίου ἐπισκόπου Τύρου, καὶ τῶν ὑπ' αὐτὸν, πρὸς τὴν ἐνδημοῦσαν ἐν Κωνσταντινουπόλει σύνοδον.

Τοῖς πάντα θεοφιλεστάτοις, καὶ ὁσιωτάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς, Θεοφίλῳ, Βασιλίσκῳ, Μαρκιανῷ, καὶ πάσῃ τῇ ἐνδημούσῃ κατὰ τὴν βασιλίδα καὶ φιλόχριστον πόλιν, Θεοῦ χάριτι, ἁγίᾳ συνόδῳ, Επιφάνιος, καὶ οἱ ὑπ' αὐτὸν ἐπίσκοποι, ἐν κυρίῳ χαίρειν.

Εὐλογητὸς ὁ Θεὸς ὁ τῆς εἰρήνης κύριος, ὃς ἐπέστειλεν ὑμῖν τὸ τίμιον γράμμα τῆς ὑμῶν ἁγιωσύνης, οὕτω πανταχόθεν ἐκλάμπον περί τε τὸν πνευματικὸν ζῆλον, καὶ περὶ ὑπὲρ τῆς ἀλη-

SUBSCRIPTIONES.

Joannes Dei miseratione episcopus Cæsariensis, me bene valere, & Domino beneplacere orate, domini sancti, ac Deoamantissimi & sanctissimi patres.

Theodosius episcopus Scythopolitanus, me bene valere, &reliqua.

Zenobius episcopus Iamnianus, me bene valere,& reliqua.

Joannes episcopus Tiberiadis, valere me, & reliqua.

Polychronius episcopus Areopolitanus, valere me, & reliqua.

Eustathius episcopus Anthedonianus, valere me, & reliqua.

B Procopius episcopus Neapolitanus, valere me, & reliqua.

Stephanus episcopus Maiumæ Ascalonis, valere me, & reliqua.

Petrus episcopus Eleusinus, valere me, & reliqua.

Marcellinus episcopus Neocæsareensis, valere me, & reliqua.

Gregorius episcopus Eleutheropolitanus, valere me, & reliqua.

Joannes episcopus Hierichuntinus, valere me, & reliqua.

Antonius episcopus Ascalonis, valere me, & reliqua.

Joannes episcopus Monoidis, valere me, & reliqua.

Paulus episcopus Pellæ, valere me, & reliqua.

C Alphius episcopus Sycaminenus, valere me, & reliqua.

Bassus episcopus Capitolianus, valere me, & reliqua.

Procopius episcopus Maiumæ-Gazanus, valere me, & reliqua.

Isidorus episcopus Zoorenus, valere me, & reliqua.

Valens episcopus Parembolanus, valere me, & reliqua.

Petrus episcopus Eleusensis, valere me, & reliqua.

Epiphanius episcopus Raphianus, valere me, & reliqua.

Pres. . . . . . episcopus . . . . valere me, & reliqua, per litteras Latinas.

Elias episcopus Joppenus, valere me, & reliqua.

Procopius episcopus Amathuntinus, valere me, & reliqua.

D Salomon episcopus [a] Abelanus, valere me, & reliqua.

Conon episcopus Hipponius, valere me, & reliqua.

Leontius episcopus Sozusenus, valere me, & reliqua.

Cyrillus episcopus Gazeanus, valere me, & reliqua.

Stephanus episcopus Oranus, valere me, & reliqua.

Megas episcopus Maximianopolitanus, valere me, & reliqua.

Gregorius episcopus Bacathenus, valere me, & reliqua.

[b] Barochius episcopus Dororum, valere me, & reliqua.

Apollonius episcopus Diospolitanus, valere me, & reliqua.

E *Epistola Epiphanii episcopi Tyrii, & eorum, qui sub eo sunt, ad synodum Constantinopolitanam.*

Per omnia Deoamantissimis & sanctissimis fratribus & comministris, Theophilo, Basilisco, Marciano, & universæ sanctæ synodo, Dei gratia in regia ac Dei amantissima civitate congregatæ, Epiphanius, & qui sub eo sunt episcopi, in Domino salutem.

Benedictus Deus pacis Dominus, qui misit nobis honorabilem litteram vestræ sanctitatis, ita resplendidam circa spiritalem zelum & super veritatis

[a] al. Abilanus.

[b] al. Marocius.

certamina, ac circa orthodoxæ fidei prædicationem: A quæ omnia in ipsa coadunata accipere oportet ad firmum fundamentum & scamnum pacis sanctissimarum ecclesiarum, & sacerdotum, qui in eis sunt, ac cujuslibet civitatis fidelium, & eorum qui rectam confessionem amplexantur. Tantam enim facit divinorum canonum curam, quod eum qui nullo umquam modo aut tempore amplexatus est communionem sanctæ catholicæ & apostolicæ ecclesiæ, aut orthodoxam fidem honoravit, sed in sedem apostolicæ ecclesiæ Antiochenæ tyrannice se intrusit, anathemati affixit: & nudum esse omni honore sententiavit, & nomine & dignitate, & efficacia, Christiano, aut hieratico convenientc, seu convenire valente: & alienum ipsum a divina communione secundum divinos canones consti- B tuit. Etenim fuit consequens sequi intemeratorum evangeliorum doctrinam, secundum quam Dominus ait: *Qui videntur in seipsis aliquid habere, & hoc omnino auferatur: & his qui ex justitia habent, addatur.* Vestræ ergo justæ condemnationis dignus visus est impius Severus, qui ad blasphemiam simul & calumniam, linguam quam habet, acuit adversus sanctam magnam Chalcedonensem synodum, & seipsum justificat ex impio sensu & maligna intentione. At Domini & Salvatoris nostri Jesu Christi potentia, ipsum de prato ecclesiæ justa sententia extraxit: cum in vobis Deoamantissimis spiritalis resplenduerit gratia, per quam & nos assentientes & consentiativi efficimur: eosdem nexus in illum inferentes, quos ho- C norabilis littera vestræ sanctitatis canonice infert. Quisnam sermo sufficiet ad enumerationem eorum, in quibus ille peccavit contra divinos canones, & ecclesiasticum ordinem? Erexit supercilium in arrogantiam: & fastuosus in anathematizationibus videtur, in homeliis & impiis conscriptionibus adversus sanctos patres: & (quod verius est) adversus spiritalem doctrinam divinorum apostolorum, ipse per seipsum ad redargutionem disponit in universis vanis sermonibus, quos scripsit. Etenim convenit in impia hæresi positos & mentem perturbare, & non sufficere usque ad finem cooperire morbum quem habent, & qui ipsorum corrodit intellectum. Sed non fuit ita audax, ut im- D poneret vinculum ex auctoritate, quo separaret clericos aliarum civitatum a communione divina, non consilio, neque consensu suorum episcoporum. Quid autem? Non præsumpsit alienos clericos canonice ligatos a propriis episcopis, ad ipsum confluentes, ad prædicationem animæ corruptivam ab ipso subornatos, & ad suam communionem assumptos, sine permissione ejus qui ligaverat, permittere in ecclesiasticis ministeriis ministrare? Et utrumque horum egit in Tyriis. Sed & eos, qui dignitatem presbyteralem acceperant, & in principio se opponebant ipsi vane vociferanti impiam doctrinam, postea vero secum concordantes, paravit in habitu diaconatus ministrare, injuste ipsos honore presbyterorum privans: cumque E eum qui ipsos ordinaverat, non potuerit supplantare, ut suæ doctrinæ condescenderet; hujus occasione ordinationem ab ipso impositam exuit, quod jam ab ipso in civitate Arcenensi factum fuerat. Insuper autem nonne fuit extendens temeritatem suam, qui adulterando divinos canones, in alienis diœcesibus ordinat suffraganeos: alibi autem mansionarios, credens sufficienter habere impugnare & dissolvere jura episcopis a sacris canonibus diffinita? Ad testimonium autem horum est accipere Tripolitanam, itemque & ipsam Arcenensem, ecclesias. Apparet autem quod fuit ausus permittere episcopo ordinare in diœcesi alterius civitatis, cujus episcopus adhuc supererat. Minister autem fuit huic Stephanus episcopus Orthosiensis,

Luc. 8.

θείας ἀγῶνας, καὶ περὶ τὸ κήρυγμα τῆς ὀρθοδόξου πίστεως· ἃ δεῖ πάντα λαβεῖν ἐν αὐτῷ συνηγμένα πρὸς θεμέλιον καὶ βάθρον ἀσφαλὲς τῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν, καὶ τῶν ἐν αὐταῖς ἀρχιερέων, καὶ τῶν ἐν ἑκάστῃ πόλει πιστῶν, καὶ τὴν ὀρθὴν ὁμολογίαν περιπτυσσομένων. ὅσην δὲ ποιεῖται καὶ τῶν θείων κανόνων ἐπιμέλειαν, ἐξ ὧν τὸν κατ' οὐδένα τρόπον ἢ χρόνον ἀσπασάμενον τὴν πρὸς τὴν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν κοινωνίαν, ἢ τὴν ὀρθόδοξον τιμήσαντα πίστιν, τῷ δὲ θρόνῳ τῆς Ἀντιοχέων ἀποστολικῆς ἐκκλησίας ἐπιπηδήσαντα τυραννικῶς, ἀναθέματι περιέβαλε· γυμνὸν εἶναι ἀποφηνάμενον παντὸς πράγματος, ὀνόματος, ἀξίας, ἐνεργείας Χριστιανῷ ἢ ἱερατικῷ ἁρμοζούσης, ἢ ἁρμόσαι δυναμένης, καὶ ἀλλότριον τῆς θείας κοινωνίας, κατὰ τοὺς θείους κανόνας αὐτὸν B κατέστησε. καὶ γὰρ ἦν ἀκόλουθον συνέπεσθαι τῇ τῶν ἀχράντων εὐαγγελίων θείᾳ διδασκαλίᾳ· καθ' ἣν φησιν ὁ κύριος· τοὺς δοκοῦντας ἐν ἑαυτοῖς ἔχειν τι καὶ τοῦτο πάντως ἀφαιρεῖσθαι, καὶ τοῖς ἔχουσιν, ἐκ δικαιοσύνης προστίθεσθαι. τῆς οὖν δικαίας ἐξ ὑμῶν κατακρίσεως ἐπάξιος ὤφθη Σευῆρος ὁ δυσσεβὴς, πρὸς βλασφημίαν ἅμα καὶ συκοφαντίαν ὀξύνας, ἣν ἔχει γλῶτταν κατὰ τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς συνόδου, τῆς ἐν Χαλκηδόνι συναχθείσης, καὶ δικαιῶν ἑαυτὸν, ἐξ ἀσεβοῦς φρονήματος καὶ πονηρᾶς προαιρέσεως. ἀλλ' ἡ τοῦ δεσπότου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμις, τοῦ τῆς ἐκκλησίας λειμῶνος αὐτὸν ἐξήλασε δικαίᾳ ψήφῳ, τῆς ἐν ὑμῖν τοῖς θεοφιλέσι διαλαμψάσης πνευματικῆς χάριτος, πρὸς ἣν συγκατατιθέμενοι καὶ σύμψηφοι γινόμεθα· τοὺς αὐτοὺς δεσμοὺς ἐπιφέροντες ἐπ' ἐκεῖνον, οὓς καὶ τὸ τίμιον γράμμα τῆς ὑμετέρας C ὁσιότητος, ἐπάγει κανονικῶς· τίς γὰρ ἀρκέσει λόγος, εἰς ἀπαρίθμησιν ὧν ἐκεῖνος ἥμαρτεν εἰς ὑπεναντίωσιν τῶν θείων κανόνων, καὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας; τὴν ὀφρὺν ἀνατείνας, εἰς ἀλαζονείαν, καὶ κόμπος ἐν τοῖς ἀναθέμασι φαινόμενος, ἐν ὁμιλίαις καὶ συγγράμμασιν ἀσεβέσι κατὰ τῶν ἁγίων πατέρων· τὸ δέ γε ἀληθέστερον, κατ' αὐτῆς τῆς πνευματικῆς διδασκαλίας τῶν θεσπεσίων ἀποστόλων, αὐτὸς καθ' ἑαυτὸν πρὸς ἔλεγχον καθιστάμενος ἐν ἅπασιν οἷς γέγραφε ματαίοις λόγοις. καὶ γὰρ προσήκει τοὺς ἐγκειμένους αἱρέσει δυσσεβεῖ καὶ τὸν νοῦν παρέχεσθαι, καὶ μηδὲ διαρκεῖν ἄχρι παντὸς συγκαλύπτειν ὅπερ ἔχουσι νόσημα, καταβόσκον αὐτῶν τὴν διάνοιαν. ἀλλ' οὐκ ἦν οὕτως D τολμηρὸς, ὥστε καὶ δεσμὸν ἐξ αὐθεντίας ἐπιθεῖναι, χωρίζοντα τῆς θείας κοινωνίας κληρικοὺς ἄλλων πόλεων, μηδὲ γνώμης, μηδὲ συναινέσεως μετέχειν τῶν αὐτῶν ἐπισκόπων. τί δέ; οὐ τεθάρρηκε τοὺς καταδεδεμένους κανονικῶς ἀλλοτρίους κληρικοὺς ἐκ τῶν οἰκείων ἐπισκόπων προσφυγόντας αὐτῷ, καὶ πρὸς τὸ ψυχοφθόρον ὑπαλειφθέντας παρ' αὐτοῦ κήρυγμα πρὸς τὴν ἑαυτοῦ κοινωνίαν, καὶ δίχα τῆς παρὰ τοῦ καταδήσαντος ἀφέσεως ἐπιτρέψαι ταῖς ἐκκλησιαστικαῖς λειτουργίαις ὑπηρετεῖν; ἑκάτερον δὲ τούτων πεποίηκε κατὰ τὴν Τυρίων. ἀλλὰ καὶ τοὺς μετειληφότας ἀξίας πρεσβυτέρων, ἀντιτεθέντας μὲν αὐτῷ τὴν ἀρχὴν, κενοφωνοῦντι τὴν ἀσεβῆ διδασκαλίαν, ὕστερον δὲ συμπνεύσαντας αὐτῷ, παρεσκεύασεν ἐν τῷ σχήματι τῆς διακονίας λειτουργεῖν, ἀθέσμως αὐτοὺς τῆς τῶν πρεσβυτέρων τιμῆς ἀφελόμενος· ἐπειδὴ μὴ τότε τὸν αὐτοὺς χειροτονήσαντα σκελίσαι ἦν, E συγκαταθέσθαι ταῖς ἀσεβέσιν αὐτοῦ διδασκαλίαις, καὶ προφάσει τούτου, τὴν ἐπιτεθεῖσαν παρ' αὐτοῦ χειροτονίαν ἐξελόμενος· ὃ δὴ γεγένηται παρ' αὐτοῦ κατὰ τὴν Ἀρκηνῶν. πρὸς δὲ τούτοις οὐκ ἦν ἀποτείνων τὰ τῆς αὐτοῦ θρασύτητος, καὶ παραχαράττων τοὺς θείους κανόνας, ἐν ἀλλοτρίαις παροικίαις προχειριζόμενος ποτὲ μὲν χωρεπισκόπους, ἄλλοτε δὲ περιοδευτὰς νομίζων ἱκανῶς ἔχειν ἀπομάχεσθαι καὶ ἐκλύειν τὰ παρὰ τῶν θείων κανόνων ὡρισμένα δίκαια τοῖς ἐπισκόποις. τούτων εἰς μαρτυρίαν ἔστι λαβεῖν, τὴν Τριπολιτῶν καὶ πάλιν τὴν Ἀρκηνῶν. φαίνεται δὲ τολμήσας ἐπιτρέψαι χειροτονεῖν ἐπισκόπῳ, κατὰ τὴν οὐσίαν ἑτέρας πόλεως, ἧς ἔτι περιῆν ὁ ταύτης ἐπίσκοπος. ὑπουργὸς δὲ γέγονε τούτῳ, Στέφανος ὁ τῆς Ὀρθωσιάδος ἐπίσκοπος,

τολμήσας χειροτονίαν ἐπιθεῖναι, κατὰ τὴν ἐνορίαν τῆς Ἀνταραδίων, ἔτι περιόντος Θεοδοσίου τοῦ τῆς θεοφιλοῦς μνήμης ἐπισκοπήσαντος τὴν εἰρημένην πόλιν. τί δ' ἂν φαίημεν καὶ πρὸς τὸ διαβοηθὲν καθ' ὅλον, ὡς εἰπεῖν, τὸν κύκλον τῆς γῆς; εἴγε ἄρα πρὸς ἀλήθειαν ἐστὶν, προείλετο τὴν αὐτῷ δεδομένην χειροτονίαν πρεσβυτέρου παρὰ τῶν σχισματικῶν, ἐξ ἑτέρων πάλιν αὐτὸς μεταδοῦναι τῆς χειροτονίας. τὸ δὲ πέπραχεν ἐν σπουδῇ κατεπειγόμενος δράξασθαι τοῦ λογικοῦ ποιμνίου τῆς Ἀντιόχου, καὶ πάσης ἄλλης ἐκκλησίας ὀρθοδόξου, καὶ μεταγαγεῖν ἐπ' ἀπωλείᾳ τῇ βδελυκτῇ καὶ μυσαρᾷ φωνῇ φερούσῃ σκώληκας, ἐξ ὧν αὐτὸς ἐθησαύρισε καθ' ἑαυτοῦ, μηδὲν ὑγιὲς ἤγουν ὀρθὸν πρὸς τὴν ὀρθόδοξον πίστιν φθεγγόμενος. ἀλλ' ἔστι τῶν ἐσπιλωμένων αὐτῷ πράξεων, καὶ πρὸς τοὺς ἐξενιασθέντας παρ' αὐτοῦ τὸ φιλότιμον, διπλῆς ἐντεῦθεν ἐξυφαινομένης τῆς ἁμαρτίας, καὶ πρὸς τὴν χείρω κατάκρισιν αὐτὸν παριστώσης. πρῶτον μὲν γὰρ ἡ συλλογὴ τοῦ χρυσίου τῶν ἐκκλησιαστικῶν πραγμάτων τῆς Ἀντιόχου, λυμαινομένων καὶ σπαθιζομένων καὶ πρὸς ἀνίατον ἐπανόρθωσιν καθισταμένων ἐγίνετο. δεύτερον ὅτι τοῖς ἐκ τῶν ἐκείνου σιτιζομένοις, ἐπιτέθειτο πᾶσαν ἐξαναστῆσαι ταραχὴν, καὶ πάντα θόρυβον διασκεδάζειν ἐν ταῖς τῶν πόλεων ἐκκλησίαις, καὶ τοῖς εἰσκεκλεισμένοις ἐν μοναστηρίοις· καὶ σπέρματα σχισμάτων διεῤῥάνετο παρ' αὐτῶν. πρὸς ὃ δὴ λαβεῖν ἐστὶν ἐναργῶς ἀντιμαχόμενον αὐτὸν καὶ ταῖς προφανῶς ἐν τοῖς ἁγίοις εὐαγγελίοις θείαις διδασκαλίαις τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· κηρύξαντος μὲν αὐτοῦ τὴν εἰρήνην, καὶ ταύτην ἐπιζητεῖν· τὰ σκάνδαλα δὲ βδελύττεσθαι, καὶ τὸν τούτων αἴτιον, εἰς ἄμεινον λαβεῖν τὸ καταδῦσαι πρὸς τῷ τραχήλῳ λίθον μυλίτην, καὶ βυθίσαι κατὰ τὸ γραφικὸν, ἑαυτόν. ἀλλὰ ταῦτα μὲν ἐράσμια Σευήρῳ τῷ δυσσεβεῖ, τὸ δὲ τῆς εἰρήνης χρῆμα, παντελῶς ἀποφευκτόν. καὶ τὸ μὲν καθ' ἕκαστον εἰ διεξελθεῖν πειραθείημεν, ἀπέραντος ἡμῖν ὁ λόγος ἔσται. πλὴν ταῦτα καταλέξαντες, καὶ τὸ πλῆθος τῶν παραλελειμμένων ἄλλοις ἀφηγεῖσθαι συγχωρήσαντες, καθάπερ εἰρήκαμεν, ὁμόφρονες ὑμῖν τοῖς θεοφιλέσι γεγόναμεν, ἐφάπαξ τοῖς ἐπιτιμίοις εἰς αὐτὸν εἰκότως κατεδήσατε, ἐπιτεθείκαμεν δὲ τὸν ἴσον ὅρον, καθελόντες καὶ ἀναθέματι καταδήσαντες, καὶ Ἰωάννην τινὰ παραμονάριον, κατὰ τὸν πάνσεπτον οἶκον τῆς ἁγίας ἐνδόξου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τὸν διακείμενον κατὰ τὴν τῶν Τυρίων περιφανῆ μητρόπολιν· εὑρηκότες αὐτὸν ἐν ὑποκρίσει καὶ κατὰ δόλον ἡμῖν συλλειτουργήσαντα, καὶ τῆς θείας μετασχόντα κοινωνίας. ἐξ ὧν τοῦτο δεῖ πράττειν καὶ συλλειτουργὸς ἡμῖν τυγχάνων, κατὰ τὸ λεληθὸς τοῖς σχισματικοῖς διαλεγόμενος ἀμέσως, ἔδραμεν ἑκοντὶ κατὰ τὴν Ἀντιόχου. καὶ Σευήρῳ δυσσεβεῖ προσρίψας ἑαυτὸν, ἀπέστη τῆς ὀρθοδόξου πίστεως, ἐκείνῳ δὲ συνεκοινώνησε περί τι τὸ δαιμονιῶδες αὐτοῦ φρόνημα, καὶ τοῖς δυσσεβέσιν ἀναθεματισμοῖς κατὰ τῶν ἁγίων ἡμῶν πατέρων, καὶ τῆς τιμίας ἐπιστολῆς τοῦ τῆς ὁσίας μνήμης Λέοντος, τοῦ τῆς Ῥωμαίων γενομένου ἀρχιεπισκόπου, οἰκείᾳ χειρὶ ταῦτα συγγραψάμενος, καὶ κατασφαλισάμενος ἐκεῖνον. πρὸς δὲ τούτοις, ὅτι κατὰ τὴν τῶν Τυρίων ἐπανελθὼν, παραδέδωκε τοῖς σχισματικοῖς τὸν εὐκτήριον οἶκον τῆς θεοτόκου, καθιδρυθέντα τοῖς ἀπὸ τῆς πόλεως· ἐκκλησίαν ἐν αὐτῷ τολμήσας καὶ παρασυνάξεις καὶ παραβαπτίσματα πληροῦσθαι· καὶ δοῦναι τοῦτο σπέρμα μεγάλης ταραχῆς τῷ πιστοτάτῳ λαῷ τῆς πόλεως, ὁρᾶσθαι τὸ κατὰ μηδένα χρόνον γεγονὸς, ἐκ δύο τόπων τῶν νεοφωτίστων φαίνεσθαι τὰς προελεύσεις, ἐναντίως ἐχόντων ἀλλήλοις, καὶ πολέμους καὶ θορύβους διασκευάζων, κατὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας, καὶ τοῦ πιστοτάτου λαοῦ τῆς πόλεως, ὧν ἔλεγχος τὰ πεπραγμένα κατὰ τὸ δικαστήριον. ἐφ' οἷς ὁ τίμιος σταυρὸς ἐλιθάσθη παρὰ τῶν ἐμφωλευόντων σὺν αὐτῷ κατὰ τὸν εἰρημένον εὐκτήριον οἶκον τῆς θεοτόκου· καί τινες τοῦ πλήθους τῶν Χριστιανῶν καὶ τῶν εὐλαβεστάτων κληρικῶν πληγάδες γεγόνασι. συνέβη δὲ κἀμὲ, τὸν τῆς Τυρίων ἐπίσκοπον ἄχρι θανάτου κινδυνεῦσαι, δι' ὧν αὐτὸς μετά γε τῶν συνόντων αὐτῷ θανατηφόρους ἐξήρτυσεν ἐπιβουλάς. ὥστε δὲ μηδὲ ἐλλεῖψαι

A qui ausus fuit manum imponere in diœcesi Antaradensi, superstite adhuc Theodosio bonæ memoriæ episcopo prædictæ civitatis. Quid autem dicemus & ad id, quod per totum orbem (ut ita dicamus) divulgatum est? Si ergo verum est quod accepit ordinationem presbyteri sibi a schismaticis datam, & aliis rursus ipsam ordinationem communicat: quod cum studio fecit festinans nancisci rationabile ovile Antiochenum, & omnis alterius orthodoxæ ecclesiæ, & in perditionem traducere sua abominabili & scelesta voce, quæ vermes portat; ex quibus ipse sibi thesaurizavit, nihil sanum aut rectum erga orthodoxam fidem loquens: sed est ei turpissimarum actionum ambitio & erga eos, qui ab ipso provisionati sunt: duplici exinde apparente B peccato, quod ad majorem condemnationem ipsum repræsentat. Primum enim collectio auri ecclesiasticarum rerum Antiochenæ ecclesiæ, quæ dissipantur & disperguntur, & ad incurabilem restaurationem constitutæ sunt. Secundum, quod his qui ex provisionibus aluntur, mandavit omnem concitare turbationem, & omnem tumultum in ecclesiis civitatum dispergere, ac etiam in claustris monasteriorum; & semina schismaticorum ab ipsis sparsa sunt. Ad quod est accipere ipsum aperte repugnare divinis doctrinis, in sanctis evangeliis proclamatis magni Dei & Salvatoris nostri Jesu Christi: ipso quidem pacem prædicante, & ipsam inquirere, & scandala abominari; & qui ipsorum causa sunt, ligare ad collum lapidem molarem, & submergere C in profundum, secundum quod scriptum est. At hæc quidem desiderabilia sunt Severo impio: pacis autem negotium omnino refugit; quod quidem si per quodlibet percurrere conaremur, infinita nobis esset oratio. Verumtamen hæc ediximus: & multitudinem prætermissorum aliis enarrare concessimus, &, quemadmodum diximus, idem vobiscum Deo dilectis sapere facti sumus: & punitionibus, quibus cum semel merito ligastis, æqualem diffinitionem superimposuimus, & deponentes anathemate alligavimus: & Joannem quemdam [a] paramonarium venerabilis domus sanctæ & gloriosæ Dei genitricis semper Virginis Mariæ, quæ jacet in clara metropoli Tyriorum, cum invenerimus ipsum in hypocrisi & dolo nobiscum ministrasse, D & divina communione participasse: propter quæ hoc jam faciens, & comminister nobis exsistens, & clanculum cum schismaticis immediate disputans, sponte cucurrit ad Antiochenam ecclesiam. Et cum Severo impio se projecerit, recessit ab orthodoxa ecclesiæ fide, & illi communicavit circa dæmoniacum ejus sensum: & impia anathematizatione adversus sanctos patres nostros, ac venerabilem epistolam sanctæ memoriæ Leonis Romani archiepiscopi propria manu conscripsit; & tuetur illum, scilicet Severum. Adde & his quod revertens ad ecclesiam Tyriorum, tradidit schismaticis devotam domum Dei genitricis, constitutam ab illis de civitate: & ecclesiam ac synagogas in ipsa, & parabaptismata facere ausus est: & dare hoc semen magnæ turbationis fidelissimo populo civitatis: E cum videret id quod nullo tempore factum est, apparere, scilicet processiones ex duobus locis, [b] neophotistis ad invicem contrariantibus, bellaque ac tumultus parantibus adversus sanctissimam ecclesiam nostram, & fidelissimum populum civitatis: quarum rerum testimonium sunt ea, quæ in loco judicii facta sunt. Inter quæ & venerabilis crux lapidata est ab his, qui cum ipso nidificant in prædicto oratorio Dei genitricis; & quidam de multitudine Christianorum, & venerabilium clericorum flagellati fuerunt. Contigit autem & me Tyriorum episcopum usque ad mortem periclitari, propter quod ipse cum his, qui sibi assentiunt, mortiferas insidias parabat. Ut autem nihil de opportunis

Matth. 18. 6.

[a] al. mansionarium.

[b] Hoc est, recens baptizatis.

relinqueretur, quæ a vestra sanctitate facta sunt; narravimus in ecclesia his, qui de clero sunt, & fidelissimo populo civitatis: & spiritalem superinduti celebritatem, regratiabilem emisimus vocem Domino Deo Salvatori omnium Jesu Christo, & piissimo ac potentissimo Imperatori nostro, & Christianissimæ Imperatrici, ac sanctissimo patriarchæ regiæ urbis, necnon & vobis Deo dilectis, quorum communionem amplectimur: & ad eam quam habetis fidem, idem sapere dispositi sumus, & vobiscum avertimur, inferentes adjudicatum anathematismum contra omnem hæreticum, præcipue autem contra Nestorium manifestum hominis idololatram: insuper etiam & contra Eutychem & Severum, qui ad blasphemiam & calumniam obnoxius constitutus est. Nam hæc perpetravit adversus sanctam magnam & œcumenicam synodum Chalcedonensem. Item & adversus Joannem Paramonarium venerabilis domus Dei genitricis, quæ jacet in clara metropoli Tyriorum, propter enarratos suos pessimos actus; ex quibus probatum est, ipsum venire contra divinos canones. Et rogamus vestram sanctitatem, confirmare mulctam, quæ canonice contra ipsum posita est. Amplectimur autem & honoramus sanctam synodum trecentorum decem & octo patrum Nicææ congregatorum, ad reprehensionem & depositionem Arrii: & symbolum orthodoxum, quod ab ipsa expositum est, confitemur in fiducia, & prædicamus in ecclesia, in ipso baptizati & baptizantes: Et sanctam synodum centum quinquaginta patrum in regia urbe congregatam, ad depositionem Macedonii impugnatoris Spiritus: Ac sanctam synodum ducentorum patrum in Ephesо congregatam ad depositionem impii Nestorii: Necnon & magnam sanctam synodum sexcentorum in Chalcedona congregatam, quæ prædictum symbolum trecentorum decem & octo Patrum confirmavit, deponendo Nestorium hominis idololatram, & impium Eutychem & Dioscorum, qui idem cum ipso sapiebat; & quæ omnem hæresim exprobravit. Unde est accipere omnes hæreticis dogmatibus contaminatos impie se habere erga ipsam sanctam magnam & universalem synodum. Hoc enim infixum est naturaliter hæreticis, ut pugnent contra eos qui ipsos redarguunt. Cum ipsa autem synodo recipimus & omnes epistolas sanctæ memoriæ Leonis archiepiscopi antiquæ Romæ, recte ac irreprehensibiliter habentes, omnesque (ut ita dicamus) hæreses demonstrantes; præcipue illam Nestorii & Eutychis impiorum. Rogamus itaque vestram sanctitatem, ut cum cognoscat intentionem nostram, & quomodo in omnibus sequimur vestras secundum Deum voluntates, pro nobis faciatis postulationes ad omnium Dominum Deum Jesum Christum: ut & pacem in nobis acquisitam augeat, & ad dilectam sibi justam unionem conjungat sanctissimas ecclesias, ad gloriam ipsius Domini Dei, & gaudium piissimorum & Christoamatorum Imperatorum nostrorum, & ornatum sanctissimi archiepiscopi regiæ urbis, ac spiritalem lætitiam omnium nostrum, & fidelissimi ac orthodoxi populi cujuslibet civitatis. Voces vero a multitudine Christianorum Tyri in ecclesia emissas, cum ea quæ a sanctitate vestra facta sunt, intellexerunt; lætitia repleti, subjunxerunt in prædicta littera, & divinum eorum zelum inde vestræ caritati præsentantes; & ad illam intellectum habuerunt, & mentem direxerunt: & capitulis positis in vestris justis judiciis, de revocatione corporum sanctorum patrum nostrorum Euphemii, & Macedonii, & inscriptione nominum suorum in sacris diptychis: & quia jam intelligentiam Deo dilectam habetis, sententiam tulistis, quæ probat ipsos esse revocatos, & salutationes in sacris libris inscriptas; cum nihil omnino eorum, quæ præcedenti tempore contra ipsos inju-

τῶν δικαίων, καὶ τὰ πεπραγμένα παρὰ τῆς ὑμῶν ὁσιότητος, διήλθομεν ἐπ' ἐκκλησίας τοῖς ἀπὸ τοῦ κλήρου, καὶ τῷ πιστοτάτῳ λαῷ τῆς πόλεως· καὶ πνευματικὴν ἀναδησάμενοι πανήγυριν, εὐχάριστον ἀφήκαμεν φωνὴν τῷ δεσπότῃ Θεῷ καὶ σωτῆρι τῶν ὅλων Ἰησοῦ Χριστῷ, καὶ τῷ εὐσεβεστάτῳ καὶ κρατίστῳ ἡμῶν βασιλεῖ, καὶ τῇ πιστοτάτῃ βασιλίδι, καὶ τῷ ὁσιωτάτῳ πατριάρχῃ τῆς βασιλευούσης, καὶ τοῖς θεοφιλέσιν ὑμῖν· ὧν τὴν κοινωνίαν ἀσπαζόμεθα, καὶ πρὸς ἣν ἔχετε πίστιν ὁμόφρονες καθεστῶτες ἀποστρεφόμεθα σὺν ὑμῖν, ἐπιφέροντες τὸν ἔνδικον ἀναθεματισμὸν κατὰ παντὸς μὲν αἱρετικοῦ· διαφερόντως δὲ κατὰ Νεστορίου φανέντος ἀνθρωπολάτρου· πρὸς τούτοις δὲ, καὶ κατὰ Εὐτυχοῦς, καὶ Σεβήρου τοῦ πρὸς βλασφημίαν καὶ συκοφαντίαν ἐνόχου καταστάντος. ταῦτα γὰρ κατεπράξατο κατὰ τῆς ἁγίας μεγάλης οἰκουμενικῆς συνόδου, τῆς ἀθροισθείσης ἐν Χαλκηδόνι. ἔτι δὲ, καὶ κατὰ Ἰωάννου τοῦ γενομένου παραμοναρίου τοῦ πανσέπτου οἴκου τῆς θεοτόκου, τοῦ διακειμένου κατὰ τὴν Τυρίων λαμπρὰν μητρόπολιν διὰ τὰς ἀφηγηθείσας αὐτοῦ κακίστας πράξεις· ἐξ ὧν ἀποδέδεικται τοῖς θείοις κανόσιν ἐναντίως ἐλθών. καὶ παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην, ἐπικυρῶσαι τὸ κατ' αὐτοῦ τεθὲν κανονικῶς ἐπιτίμιον. περιπτυσσόμεθα δὲ καὶ τιμῶμεν τὴν ἐν Νικαίᾳ συνελθοῦσαν ἱερὰν σύνοδον τῶν τιη'. πρὸς ἔλεγχον καὶ καθαίρεσιν Ἀρείου, καὶ τὸ παρ' αὐτῆς ἐκτεθειμένον ὀρθόδοξον σύμβολον ὁμολογοῦμεν ἐν παρρησίᾳ, καὶ κηρύσσομεν ἐπ' ἐκκλησίας, ἐν αὐτῷ βαπτισθέντες, καὶ βαπτίζοντες· καὶ τὴν τῶν ρν'. τῶν συνελθόντων κατὰ τὴν βασιλίδα πόλιν πρὸς καθαίρεσιν Μακεδονίου τοῦ πνευματομάχου· καὶ τὴν Ἐφέσῳ τῶν διακοσίων πατέρων συνδραμοῦσαν ἁγίαν σύνοδον πρὸς καθαίρεσιν Νεστορίου τοῦ δυσσεβοῦς, καὶ τὴν μεγάλην ἁγίαν σύνοδον τὴν ἀθροισθεῖσαν ἐν Χαλκηδόνι τῶν χλ'. κυρώσασαν κατὰ τὸ προοίμιον τὸ σύμβολον τῶν τιη'. καθελοῦσαν δὲ Νεστόριον τὸν ἀνθρωπολάτρην, καὶ τὸν ἀσεβέστατον Εὐτυχῆ, καὶ Διόσκορον τὸν τούτῳ γενόμενον ὁμόφρονα, καὶ πᾶσαν αἵρεσιν διελέγξασαν. ὅθεν καὶ πάντας δεῖ τοὺς ἐσπιλωμένους τοῖς αἱρετικοῖς δόγμασιν ἔστι λαβεῖν δυσμενῶς ἔχοντας πρὸς αὐτὴν τὴν ἁγίαν μεγάλην οἰκουμενικὴν σύνοδον. τοῦτο γὰρ ἐμπέφυκε κατὰ φύσιν τοῖς κακοδόξοις ἐκπολεμοῦσθαι κατὰ τῶν αὐτοὺς διελεγχόντων. σὺν αὐτῇ δὲ τῇ ἁγίᾳ συνόδῳ δεχόμεθα καὶ πάσας τὰς ἐπιστολὰς τοῦ τῆς ὁσίας μνήμης ἀρχιεπισκόπου γενομένου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος, ὀρθῶς καὶ ἀνεπιλήπτως ἐχούσας, καὶ καταγωνιζομένας πάσας, ὡς εἰπεῖν, αἱρέσεις, ἐξαιρέτως δὲ τὴν Νεστορίου καὶ Εὐτυχοῦς τῶν δυσσεβῶν. παρακαλοῦμεν τοίνυν τὴν ὑμετέραν ὁσιότητα, μαθοῦσαν τὸν ἡμέτερον σκοπὸν, καὶ ὅπως ἐν πᾶσιν ἀκολουθοῦμεν τοῖς ὑμετέροις κατὰ Θεὸν βουλήμασι, τὰς ὑπὲρ ἡμῶν ποιήσασθαι πρεσβείας πρὸς τὸν τῶν ὅλων δεσπότην καὶ Θεὸν τὸν Ἰησοῦν Χριστὸν, ὥστε τὴν ἐν ἡμῖν κρατοῦσαν εἰρήνην ἐπαυξῆσαι, καὶ πρὸς τὴν ἠγαπημένην αὐτῷ δικαίαν ἕνωσιν συνάψαι τὰς ἁγιωτάτας ἐκκλησίας, εἰς δόξαν αὐτοῦ τοῦ δεσπότου Θεοῦ, καὶ καύχημα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, καὶ κόσμον τοῦ ὁσιωτάτου τῆς βασιλίδος ἀρχιεπισκόπου, καὶ πνευματικὴν ἀγαλλίασιν πάντων ἡμῶν, καὶ τοῦ πρὸς ἑκάστην πόλιν πιστοτάτου καὶ ὀρθοδόξου λαοῦ. τὰς δὲ παρὰ τοῦ πλήθους τῶν Χριστιανῶν τῶν Τυρίων ἀναβοήσεις ἐπὶ τῆς ἐκκλησίας φωνὰς, ὅτε μεμαθήκασι τὰ πεπραγμένα παρὰ τῆς ὑμῶν ὁσιότητος, εὐφροσύνης ἐμφορηθέντες, καθυπετάξαμεν τῷ προκειμένῳ γράμματι, τὸν ἔνθεον αὐτῶν ζῆλον ἐντεῦθεν παριστῶντες τῇ ὑμετέρᾳ θεοφιλείᾳ· κἀκεῖνο δὲ προσηχηκότες τὸν νοῦν, καὶ τὴν διάνοιαν ὁδηγηθέντες ἐκ τῶν ἐκκειμένων κεφαλαίων ταῖς ὑμετέραις δικαίαις κρίσεσι, περὶ τῆς ἀνακλήσεως τῶν σωμάτων τῶν γενομένων ἡμῶν ἁγίων πατέρων, Εὐφημίου καὶ Μακεδονίου, καὶ τῆς καταγραφῆς τῶν αὐτῶν προσηγοριῶν ἐν τοῖς ἱεροῖς διπτύχοις· ὅτι δὴ σύνεσιν φιλόθεον ἔχοντες ψῆφον ἐξηνέγκατε δοκιμάζουσαν αὐτοὺς ἀνακληθῆναι, καὶ τὰς προσηγορίας ἐγγραφῆναι ταῖς ἱεραῖς δέλτοις, μηδὲ καθάπαξ τῶν ἐπ' αὐτοῖς ἀδίκως πεπραγμένων

κατὰ τὸν φθάσαντα χρόνον ῥυπωσάντων τὴν ἔνθεον αὐτῶν πολιτείαν. τὴν ὁμοίαν ἐπὶ τούτοις παράκλησιν ἐπιτείνομεν, ἔκ τε κρίσεως τοῦ παναγίου πατριάρχου τῆς βασιλευούσης πόλεως, καὶ τῆς ὑμετέρας ὁσιότητος, καὶ τῆς πρὸς τὸν εὐσεβῆ καὶ φιλόχριστον ἡμῶν βασιλέα γενομένης ἱκετείας λαβεῖν ἐν φιλοτιμίᾳ, καὶ τὸ σῶμα τοῦ γεγονότος ἡμῶν πνευματικοῦ πατρὸς καὶ πατριάρχου τῆς Ἀντιοχέων Φλαβιανοῦ, ἀποκαταστῆναι τῷ καταλόγῳ τῶν προκοιμηθέντων ἁγίων πατέρων κατ' αὐτὸν τὸν ἀποστολικὸν θρόνον· ἐντάξαι δὲ καὶ τὴν τιμίαν αὐτοῦ προσηγορίαν ταῖς ἱεραῖς δέλτοις. δίκαιον γὰρ τὸν ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τῆς εἰς αὐτὸν ὀρθῆς ὁμολογίας κεκμηκότα, καὶ τῶν αὐτὸν συκοφαντησάντων ὑπομείναντα τὴν μοχθηρὰν ψῆφον, μετασχεῖν, ὧν κατὰ κρίσιν τῆς ὑμετέρας θεοφιλείας μετέχουσιν οἱ γεγονότες αὐτοῦ συλλειτουργοὶ καὶ συναγωνισταὶ πατριάρχαι τῆς βασιλευούσης πόλεως, Εὐφήμιος καὶ Μακεδόνιος, δηλαδὴ, οἱ τῆς ὁσίας μνήμης, ὥστε τὸν εὐσεβῆ καὶ γαληνὸν ἡμῶν βασιλέα καταξιῶσαι θεσπίσαι τοῦτο δὴ προελθεῖν ὡς τάχος, εἰς δόξαν τῆς ἀχράντου καὶ ὁμοουσίου τριάδος· φυλαττούσης τὴν εὐσεβῆ καὶ φιλόθεον αὐτοῦ βασιλείαν ἐν γαλήνῃ, καὶ πρὸς ἀναίρεσιν πάσης βαρβαρικῆς ἀπονοίας, καὶ τὸν ὁσιώτατον πατριάρχην τῆς βασιλευούσης ἐν εἰρήνῃ μετὰ τῆς ὑμετέρας ὁσιότητος· ἐξ ὑμῶν γὰρ καὶ τὰ πρὸς εὐχαριστίαν ἔχοντα τὸ κρεῖττον ἐρρίζωνται, καὶ τὰ διαβολικὰ σκάνδαλα παντελῶς ἐξελήλαται.

ste facta sunt, ipsorum divinam vitam contaminaverit. Similem deprecationem super his extendimus, ut ex judicio sanctissimi patriarchæ regiæ urbis, ac vestræ sanctitatis, necnon ex supplicatione facta ad piissimum Imperatorem nostrum, in veneratione accipiat & corpus spiritalis patris nostri Flaviani patriarchæ Antiocheni, & restituere catalogo sanctorum pattum, in ipsa apostolica sede prædormientium, ordinarique ipsius venerabilem appellationem in sacris libris. Justum enim est eum, qui pro Christo Deo nostro, & ejus recta fide fatigatus est, & qui sustinuit ærumnosam sententiam eorum, qui eum calumniabantur; participare his quibus secundum judicium vestræ sanctitatis participarunt, qui ipsius commystæ fuerunt, & concertatores, patriarchæ regiæ urbis, Euphemius scilicet & Macedonius sanctæ memoriæ: ut & pius ac sincerissimus Imperator noster sancire dignetur, hoc & quampræsto venire, ad gloriam intemeratæ ac consubstantialis Trinitatis. Quæ custodiat ipsius pium & Deo dilectum imperium in tranquillitate, & ad destructionem totius barbaricæ contumaciæ: custodiatque sanctissimum patriarcham regiæ urbis in pace una cum vestra sanctitate. Per vos enim, quæ ad Deum gratiarum actionem habent, firmantur, & diabolica scandala omnino refringuntur.

ΥΠΟΓΡΑΦΑΙ.

Ἐπιφάνιος ἐπίσκοπος τῆς Τυρίων μητροπόλεως, ὑπέγραψα.
Ἀνδρέας ἐπίσκοπος τῆς Σιδωνίων πόλεως, ὑπέγραψα.
Ἰωάννης ἐπίσκοπος τῆς Πτολεμαΐων, ὑπέγραψα.
Θεόδωρος ἐπίσκοπος τῆς Πορφυρεῶνος, ὑπέγραψα.
Ἠλίας ἐπίσκοπος τῆς Ζηνοπολιτῶν, ὑπέγραψα. καὶ οἱ λοιποί.

SUBSCRIPTIONES.

Epiphanius episcopus metropolis Tyriorum, subscripsi.
Andreas episcopus Sidonensis, subscripsi.
Joannes episcopus Ptolemaïdanus, subscripsi.
Theodorus episcopus Porphyrionis, subscripsi.
Elias episcopus Zenopolitanus, subscripsi. Et reliqui.

Εἰσὶν αἱ βοηθεῖσαι φωναὶ ἐκ τοῦ Χριστιανικωτάτου πλήθους, ἐν τῇ ἀρχαίᾳ ἁγίᾳ ἐκκλησίᾳ μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου, καὶ δύο ἐπιστολῶν, μιᾶς μὲν παρὰ Ἰωάννου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς βασιλίδος πόλεως, τῆς δὲ ἑτέρας παρὰ τοῦ ὁσιωτάτου Θεοφίλου ἐπισκόπου Ἡρακλείας πρὸς τὸν ὁσιώτατον ἐπίσκοπον Ἐπιφάνιον· ὁμοίως δὲ καὶ τρίτης γεγραμμένης ἐπιστολῆς παρὰ τῶν συνελθόντων κατὰ τὴν βασιλίδα πόλιν ὁσιωτάτων ἐπισκόπων, πρὸς τὸν ἀπομνημονευθέντα τῆς Τυρίων θεοφιλέστατον ἀρχιεπίσκοπον. ἀναγνωσθείσης δὲ, οὐδὲν ἧττον παραχρῆμα ἀναφορᾶς γενομένης παρὰ τῶν προειρημένων ὁσιωτάτων ἐπισκόπων τῶν κατὰ βασιλίδα πρὸς τὸν ὁσιώτατον καὶ μακαριώτατον οἰκουμενικὸν πατριάρχην τῆς αὐτῆς βασιλίδος πόλεως, ἐν ᾗ ἀνεθεματίσθη Σεβῆρος ὁ ἐπίσκοπος τῆς Ἀντιοχέων, κατὰ τὰ ἐμφερόμενα τῷ αὐτῷ ἀναγνωσθέντι χάρτῃ διὰ Σεργίου τοῦ εὐλαβεστάτου διακόνου ἐν μηνὶ κατὰ Τυρίους Λώῳ, εἰκάδι ὀγδόῃ, ἤτοι Σεπτεμβρίου ἑξκαιδεκάτῃ, τοῦ πρώτου τεσσαρακοστοῦ ἑξακοσιοστοῦ, ἰνδικτιῶνος δωδεκάτης. αὗται· τοῦ Αὐγούστου πολλὰ τὰ ἔτη, τῆς Αὐγούστης πολλὰ τὰ ἔτη, τῆς συγκλήτου πολλὰ τὰ ἔτη. τῶν ἐπάρχων πολλὰ τὰ ἔτη. Ἰωάννου Κόμητος πολλὰ τὰ ἔτη. Ἐπιφανίου τοῦ πατριάρχου πολλὰ τὰ ἔτη. εἷς Θεὸς ὁ τοῦτο ποιήσας, ὁ μέγας Θεὸς τοῦτο παρέχει, εἷς Θεὸς, μία δὲ πίστις· εἷς Θεὸς, μία πίστις, εἰς εἰρήνην τῶν ἐκκλησιῶν, εἰς εἰρήνην τῶν ὀρθοδόξων. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη, Ἐπιφανίου ὀρθοδόξου πολλὰ τὰ ἔτη, ἃ ἐποίησεν ἡ σύνοδος, καὶ σὺ ποίησον· ἃ ἐποίησεν ἡ σύνοδος, ταῦτα ποίησον. Ἰωάννου ὀρθοδόξου πολλὰ τὰ ἔτη, εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. νικᾷ ἡ πίστις τοῦ Αὐγούστου, ἐκ Θεοῦ τὸ βασίλειον τοῦτο. νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, ὀρθοδόξου πατρὸς πολλὰ τὰ ἔτη. ὁ μὴ λαλῶν οὐκ ἔστι πιστὸς, ἃ ἐποίησεν ἡ σύνοδος, ἔμβα ποίησον· ἃ πέπραχεν ἡ ἁγία τοῦ Θεοῦ σύνοδος, ἔμβα ποίησον. νικᾷ ἡ πίστις τοῦ Αὐγούστου, εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. Βιταλιανοῦ πατρικίου πολλὰ τὰ ἔτη, Βιταλιανοῦ ὀρθοδόξου πολλὰ τὰ ἔτη. Ἐπιφανίου ὀρθοδόξου πολλὰ τὰ ἔτη, ἔμβα ἀναθημάτισον καθὼς καὶ οἱ πατέρες, ἔμβα ἀναθημάτισον καθὼς καὶ ἡ σύνο-

Hæ sunt voces emissæ a Christianissimo populo in sancta antiqua ecclesia post lectionem sancti evangelii, & duarum epistolarum: unius quidem a Joanne sanctissimo archiepiscopo regiæ urbis, alterius vero a sanctissimo Theophilo episcopo Heracleano ad sanctissimum episcopum Epiphanium; similiter & tertiæ epistolæ scriptæ a sanctissimis episcopis in regia urbe congregatis, ad commemoratum Deo dilectum episcopum Tyriorum: & lecta etiam nihilominus statim relatione facta a prædictis sanctissimis episcopis in regia urbe congregatis, ad sanctissimum & beatissimum œcumenicum patriarcham regiæ urbis, in qua anathematizatus fuit Severus episcopus Antiochenus, secundum ea, quæ continentur in ipsa charta, lecta per Sergium venerabilem diaconum, in mense secundum Tyrios Loo, vicesima octava, sive Septembris decima sexta [a] indictione duodecima. Augusti multi anni. Augustæ multi anni. Senatus multi anni. Multi sint anni Præfectorum. Joannis Comitis multi sint anni. Epiphanii patriarchæ multi sint anni. Unus Deus est, qui hoc fecit: magnus Deus hoc impartiatur. Unus Deus est, & una fides. Unus Deus & una fides, ad pacem ecclesiarum, ad pacem orthodoxorum. Joannis patriarchæ multi anni. Quæ synodus fecit, & tu fac. Quæ fecit synodus, hæc fac. Joanni orthodoxo multi anni, in æternum imperium hoc. Vincit fides Augusti. Ex Deo imperium hoc. Novi Constantini multi anni. Orthodoxi patris multi anni. Qui non loquitur, non est fidelis. Quæ fecit synodus, ἔμβα, fac. Quæ sancta Dei synodus egit, ἔμβα, facito. Vincit fides Augusti. In æternum imperium hoc. Vitaliani Patricii multi anni: Vitaliani orthodoxi multi sint anni. Epiphanii orthodoxi multi sint anni. ἔμβα, anathematiza, sicut & Patres. ἔμβα, anathematiza, sicut & sy-

[a] In Græco additur, anno 641.

Anno Christi 536.

nodus: ἔμβα, anathematiza Severum & Mandritam: ἔμβα, anathematiza Severum & Joannem. Et ascendente sanctissimo archiepiscopo in ambonem, exclamaverunt: Bene Deus tulit te. Unus Deus, una fides. Unus Deus, qui hoc fecit. Sursum mitte episcopos, sursum mitte orthodoxos. Et ascendentibus Deo dilectis Joanne episcopo Ptolemaïdano, & Theodoro episcopo Porphyreonis, & Helia episcopo Rachleno, iterum exclamaverunt: Epiphanii patriarchæ multi sint anni. Sicut sancti testificati sunt, testificatus es tu, & vicisti. Age mitte episcopos, age mitte orthodoxos. Iste solus propter fidem mortuus est, iste solus labores assumpsit. Testificatus es, & vicisti. Iste solus propter fidem vivit. Testificatus es, & fides tua vicit. Emisit ipsos Trisagium, emisit ipsos Dei genitrix. Ejecit Severum Dei genitrix, qui turbavit ecclesias. Ejecit ipsos mysterium: ejecit ipsos quem lapidaverunt: ejecit ipsos, cui injuriati fuerant. Ejice hos extra civitatem, non est civitas abscissorum. Ægyptios ejice. Imperator orthodoxus est: in æternum imperium hoc. Speluncam latronum ejice, speluncam schismaticorum tolle, combure. Sursum mitte principes. Omnes dolosos foras mitte. Mitte foras Romanum. Sursum mitte, quorum misertus es. foras mitte [a] Synthecarium & Manichæum. Romanus dolosus est. Romanum mitte foras. Manichæum ejice foras, purga ecclesias. Tecum est, & fœdere jungit episcopos. Mitte age episcopos. Anathema Severo, & iis qui idem cum eo sentiunt, & Mandritæ. Anathema Severo, Eutychi, & Nestorio, & Mandritæ. Officina Mandritæ quare aperta est? ἔμβα, anathematiza, sicut patriarcha Romanus, Eliam Botryenum. Pistorem modo anathematiza. Episcopum ejus loco illuc mitte. Episcopos hæreticos foras ejice. Justinus imperat: non licet timere. Orthodoxus est. Augusti multi anni. In sæculum imperium hoc. Novus est Constantinus, non licet timere. Novæ Helenæ multi anni. Vitaliani Patricii multi sint anni. Vitaliani Magistri militum multi sint anni. Præfectorum multi sint anni. Magistri multi sint anni. Multi sint anni totius Senatus. Eliæ Curatoris multi anni. Epiphanii archiepiscopi multi anni. Per victoriam Augusti, depone Botryenum tamquam Manichæum. Ægyptios mercatores lignorum non vult civitas. Ejice foras Acephalos: si vicerint, morimur. Flavianum patriarcham diptychis. Trinitas vicit. Accipe Dei genitricem. Imperator jussit, ut dixit synodus: Imperator jussit, & tota synodus. Schismaticus non est. Suscipe Dei genitricem: εἴσω, id est, intra, & munda sanctam domum. Qui non loquitur, non est fidelis. Ad Dei genitricem ducimus. Prædica, ducimus. Augusti multi anni. Unus Deus, una fides. Reliquias Flaviani mitte, fer: ad sanctam Mariam ducimus. Ecce secundo occluserunt, quæ intus: Cruciferum da nobis: crucem lapidaverunt, & recluserunt, quæ intus. In qua civitate hæc fiunt? Una fides fuit, non est perturbatio. Crux vicit, & non est tumultus. Trinitas vicit, & non est [b] perturbatio. Trinitas vicit, recessit Acephalus. Augustus vicit: ducimus ad Θεοτόκον, id est, Dei genitricem. Vicit Justinus. Eamus, Introeamus. Vicit Justinus, prædica congregationem. Vicit Justinus, diem prædica. Joannis patriarchæ multi anni. Augusti multi sint anni. Euphemiæ Augustæ multi anni. Epiphanii archiepiscopi multi anni: ubi testificatus es, prædica congregationem. Eamus, intremus intus ad Θεοτόκον, id est, Dei genitricem. Vicit Augustus, prædica congregationem. Castellum factum fuit, suscipe Dei genitricem. Conventus factus est, suscipe Dei genitricem. Eamus, intremus, & ibi anathematiza. Eamus, intremus, recessit Acephalus. Eamus, intremus depositus est Acephalus. Jubc, & vadimus crucem portantes, Vicit Au-

[a] al. Syndicagium.

[b] al. enormitas.

δος· ἔμβα, ἀναθεμάτισον Σεβῆρον καὶ τὸν Μανδρίτην, ἔμβα ἀναθεμάτισον Σεβῆρον καὶ Ἰωάννην. καὶ ἀνελθόντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἐν τῷ ἄμβωνι ἐξεβόησαν· καλῶς ὁ Θεὸς, ἐβάσταξέ σε, εἷς Θεὸς, μία πίστις. εἷς Θεὸς ὁ τοῦτο ποιήσας. ἄνω βάλε τοὺς ἐπισκόπους, ἄνω βάλε τοὺς ὀρθοδόξους. καὶ ἀνελθόντων τῶν θεοφιλεστάτων, Ἰωάννου ἐπισκόπου τῆς Πτολεμαΐδος, καὶ Θεοδώρου ἐπισκόπου τῆς Πορφυρεῶνος, καὶ Ἠλίου ἐπισκόπου τῆς Ῥαχλενῶν, πάλιν ἐξεβόησαν· Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη· ὡς οἱ ἅγιοι ἐμαρτύρησαν ἐμαρτύρησας, καὶ ἐνίκησας. πέμψον, φέρε τοὺς ἐπισκόπους· πέμψον, φέρε τοὺς ὀρθοδόξους. οὗτος μόνος διὰ πίστιν ἀπέθανεν, οὗτος μόνος ἀπέλαβε καμάτους· ἐμαρτύρησας καὶ ἐνίκησας, οὗτος μόνος διὰ πίστιν ἐνίκησεν. ἐμαρτύρησας, καὶ ἡ πίστις σου ἐνίκησεν. ἔβαλεν αὐτοὺς τὸ τρισάγιον, ἔβαλεν αὐτοὺς ἡ Θεοτόκος. ἔβαλε Σεβῆρον ἡ Θεοτόκος, ὃς ἐτάραξε τὰς ἐκκλησίας. ἔβαλεν αὐτοὺς τὸ μυστήριον· ἔβαλεν αὐτοὺς, ὃν ἐλίθασαν· ἔβαλεν αὐτοὺς, ὃν ὕβρισαν· τούτους ἔξω τῆς πόλεως. ποία πόλις τῶν ἀποσχιστῶν; τοὺς Αἰγυπτίους ἔξω βάλε, ὁ βασιλεὺς ὀρθόδοξος ἔνι. εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. τὸ σπήλαιον τῶν λῃστῶν ἔξω βάλε· τὸ σπήλαιον τῶν ἀποσχιστῶν ἆρον, καῦσον. ἄνω βάλε * τὸν πριγκιπίας· ὅλους τοὺς δολίους ἔξω βάλε, τὸν Ῥωμαικὸν ἔξω βάλε, ἄνω βάλε οὓς ἠλέησας. ἔξω βάλε τὸν συνθηκάριον καὶ Μανιχαῖον. ὁ Ῥωμαικὸς δόλιος ἔνι· τὸν Ῥωμαικὸν ἔξω βάλε, τὸν Μανιχαῖον ἔξω βάλε· καθάρισον τὰς ἐκκλησίας. μετὰ σοῦ ἐστι, καὶ συνθηκίζει τοὺς ἐπισκόπους, πέμψον φέρε τοὺς ἐπισκόπους, ἀνάθεμα Σεβήρῳ καὶ τοῖς φρονοῦσι τὰ αὐτοῦ, καὶ τῷ Μανδρίτῃ. ἀνάθεμα Σεβήρῳ, Εὐτυχεῖ, καὶ Νεστορίῳ, καὶ τῷ Μανδρίτῃ. τὸ ἐργαστήριον Ἐνπλίου διὰ τί ἠνοίγη; ἔμβα, ἀναθεμάτισον ὡς ὁ Ῥώμης πατριάρχης, Ἠλίαν τὸν Βοτρυωνὸν, τὸν ἀρτοκόπον ἄρτι ἀναθεμάτισον, ἐπίσκοπον ἀντ' αὐτοῦ ἐκεῖ πέμψον· ἐπισκόπους αἱρετικοὺς ἔξω βάλε. Ἰουστῖνος βασιλεύει, οὐκ ἔνι φοβηθῆναι. ὀρθόδοξος ἔνι. τοῦ Αὐγούστου πολλὰ τὰ ἔτη, εἰς αἰῶνας τὸ βασίλειον τοῦτο. νέος ἐστὶ Κωνσταντῖνος, οὐκ ἔνι φοβηθῆναι. νέας Ἑλένης πολλὰ τὰ ἔτη. Βιταλιανοῦ πατρικίου πολλὰ τὰ ἔτη, Βιταλιανοῦ στρατηλάτου πολλὰ τὰ ἔτη, τῶν ἐπάρχων πολλὰ τὰ ἔτη, τοῦ μαγίστρου πολλὰ τὰ ἔτη, τῆς ὅλης συγκλήτου πολλὰ τὰ ἔτη, Ἠλία κουράτωρος πολλὰ τὰ ἔτη, Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη. τὴν νίκην τοῦ Αὐγούστου, κάθελε τὸν Βοτρυωνὸν, ὡς Μανιχαῖον. Αἰγυπτίους ξυλεμπόρους οὐ θέλει ἡ πόλις. ἔξω βάλε τοὺς Ἀκεφάλους. εἰ ἐνίκησαν, ἀποθνήσκομεν. Φλαβιανὸν πατριάρχην τοῖς διπτύχοις. ἡ τριὰς ἐνίκησε. λάβε τὴν Θεοτόκον, ὁ βασιλεὺς ἐκέλευσεν, ὡς εἶπεν ἡ σύνοδος, ὁ βασιλεὺς ἐκέλευσε καὶ ὅλη ἡ σύνοδος. ἀποσχίστης οὐκ ἔνι. λάβε τὴν Θεοτόκον. ἔσω, καὶ καθάρισον τὸν οἶκον τὸν ἅγιον. ὁ μὴ λαλῶν, οὐκ ἔνι πιστός. εἰς τὴν Θεοτόκον ἄγομεν· κήρυξον, καὶ ἄγομεν. τοῦ Αὐγούστου πολλὰ τὰ ἔτη. εἷς Θεὸς, μία πίστις. τὸ λείψανον Φλαβιανοῦ πέμψον, φέρε. εἰς τὴν ἁγίαν Μαρίαν ἄγομεν. ἰδὲ δεύτερον ἔφραξαν τὰ ἔσω· τὸ σταυρεῖον δὸς ἡμῖν. τὸν σταυρὸν ἐλίθασαν, καὶ ἀνέφραξαν τὰ ἔσω. εἰς ποίαν πόλιν ταῦτα γίνονται; μία πίστις γέγονεν, οὐκ ἔνι ἀταξία. ὁ σταυρὸς ἐνίκησε, καὶ οὐκ ἔνι ἀταξία. ἡ τριὰς ἐνίκησε, καὶ οὐκ ἔνι ἀταξία· ἡ τριὰς ἐνίκησεν, ἀπῆλθεν ὁ Ἀκέφαλος, ὁ Αὔγουστος ἐνίκησεν· ἄγομεν εἰς τὴν Θεοτόκον, νικᾷ Ἰουστῖνος· ἄγομεν, εἰσέλθωμεν, νικᾷ Ἰουστῖνος, ἄρτι ἔσω ἄγομεν. νικᾷ Ἰουστῖνος, κήρυξον τὴν σύναξιν. νικᾷ Ἰουστῖνος, τὴν ἡμέραν κήρυξον. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη. Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη. τοῦ Αὐγούστου πολλὰ τὰ ἔτη. Εὐφημίας Αὐγούστης πολλὰ τὰ ἔτη. Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη· ὅπου ἐμαρτύρησας, κήρυξον τὴν σύναξιν. ἄγομεν, εἰσέλθωμεν ἔσω εἰς τὴν Θεοτόκον. ἐνίκησεν ὁ Αὔγουστος, κήρυξον τὴν σύναξιν. καστέλλιον ἐγένετο, λάβε τὴν Θεοτόκον. συναγωγὴ ἐγένετο, λάβε τὴν Θεοτόκον. ἄγομεν, εἰσέλθωμεν, κἀκεῖ ἀναθεμάτισον· ἄγομεν, εἰσέλθωμεν, ἀπῆλθεν ὁ Ἀκέφαλος. ἄγομεν, εἰσέλθωμεν, καθῃρέθη ὁ Ἀκέφαλος. κέλευσον, καὶ ὑπάγομεν σταυρὸν βαστάζοντες. νικᾷ ὁ Αὔ-

* Locus suspectus.

γουστος, ἄγομεν. εἰσελθῶμεν· νικᾷ ὁ Αὔγουστος, ἔσω ἀναθεμάτισον. τίνα μένεις; ὀρθόδοξος εἶ. λιτανείαν, κἀκεῖ εἰσέλθωμεν. νικᾷ Ἰουστῖνος, ἔνθεν ἔσω ἄγομεν. μαρτύρομαί σε, οὐδὲν ἀφῆκαν ἔσω. τὰ κειμήλια ἔλαβεν ὁ τοῦ μοδιαρείου. κήρυξον τὴν σύναξιν, τὴν νίκην τοῦ Αὐγούστου. μίαν ἀργίαν τῇ πόλει, μίαν ἀργίαν τοῖς ὀρθοδόξοις. ἔσωθεν, λῦσον τὸ οἰκοδόμημα, ὁ Ἀκέφαλος οὐκ ἔχει ὧδε τόπον, οὐκ ἔχει ὧδε τόπον ὁ Μανιχαῖος. Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη. εἷς Θεὸς, ὑγείαν αὐτῷ. καὶ προσφωνήσαντος τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου· παρακαλῶ τὴν ὑμετέραν ἀγάπην ἀνεξικάκως ἐνεγκεῖν, καὶ συγχωρῆσαι κἀμὲ καὶ τοὺς θεοφιλεστάτους ἐπισκόπους ἀναθεματίσαι τὸν Ἀκέφαλον. καὶ ἐνταῦθα γὰρ, καὶ ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἐν ὅλοις εὐκτηρίοις οἴκοις, καὶ ἐν ὅλαις ταῖς πόλεσι, καὶ ἐν ὅλῳ τῷ κόσμῳ ἀναθεματίζεται ἕως τοῦ αἰῶνος. καὶ πάλιν ἐξεβόησαν, ἡσυχίαν τῷ κυρίῳ ἡμῶν. καὶ λοιπὸν εἶπε πρὸς τοὺς ἀπὸ τοῦ πλήθους ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος Ἐπιφάνιος, ταύτην τὴν ὀρθὴν καὶ ἀμώμητον καὶ ἀληθινὴν πίστιν, ἣν παραδεδώκασιν ἡμῖν οἱ ἀπαρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, καὶ ἐδίδαξαν ἡμᾶς οἱ θεσπέσιοι καὶ πανάγιοι ἀπόστολοι, καὶ ἐξ αὐτῶν λαβόντες οἱ τρισμακάριοι ἡμῶν ἅγιοι πατέρες, οἱ ἐπὶ τῇ ὀρθῇ λάμψαντες πίστει, οἵ τε ἐν Νικαίᾳ τιή. καὶ οἱ ἐν βασιλευούσῃ Κωνσταντινουπόλει ρν΄. καὶ οἱ ἐν Ἐφέσῳ σ΄. καὶ οἱ ἐν Χαλκηδόνι χλ΄. καὶ οἱ λοιποὶ δὲ πάντες ὅσιοι καὶ ὁμόφρονες αὐτῶν ὀρθόδοξοι πατέρες παραλαβόντες, καὶ ἀεὶ ἐν ἑαυτοῖς ἐσχηκότες, καὶ ταύτην ἄτρεπτον φυλάξαντες, ἣν ἀεὶ ἐκηρύξαμεν ἐπ' ἐκκλησίας, καὶ κηρύσσομεν. ὑμῖν ἀγαπητοὶ, καὶ ἀναθεματίζομεν, καὶ ἀναθεματίσομεν ἀεὶ πάντας μὲν τοὺς αἱρετικοὺς μετὰ τῶν δυσσεβῶν αὐτῶν φρονημάτων, καὶ τῶν φρονούντων τὰ ὀλέθρια αὐτῶν διδάγματα· ἐξαιρέτως δὲ καὶ ὀνόματι ἀναθεματίζομεν Ἄρειον, Εὐνόμιον, Μακεδόνιον τὸν πνευματομάχον, Ἐβίωνα, Φωτεινὸν, Μάρκελλον, Θεόδοτον, Ἀρτεμᾶν, Παῦλον τὸν Σαμοσατέα, Νεστόριον τὸν ἀνθρωπολάτρην, καὶ δυσσεβῆ Οὐαλεντῖνον, Σκυθιανὸν, Μάνην, Μαρκίωνα, Βαρδησάνην, Ἀπολινάριον, Εὐτυχέα μετὰ τούτων πάντων τῶν αἱρετικῶν. καὶ ὁμοίως τούτοις πᾶσιν ἀναθεματίζομεν καὶ τὸν δυσσεβῆ Σευῆρον τὸν Ἀκέφαλον, καὶ ἀποσχίστην, καὶ ἀεὶ ἀλλότριον γενόμενον τοῦ δεσπότου ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἁγίας αὐτοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ τὸ δυσσεβὲς αὐτοῦ φρόνημα, ὡς ἀναθεματίσαντα τοὺς ἁγίους ἡμῶν ὀρθοδόξους πατέρας, καὶ σχίσματα καὶ ταραχὰς ἐμποιήσαντα ταῖς ἁγίαις ἐκκλησίαις τῶν ὀρθοδόξων Χριστιανῶν, παντὸς, ὡς εἰπεῖν, τοῦ κόσμου· καὶ διακόψαντες αὐτὸν οἱ ἀπὸ τοῦ πλήθους, ἐξεβόησαν. εἷς Θεὸς ὁ τοῦτο ποιήσας, εἷς Θεὸς, μία πίστις· εἰς εἰρήνην τῶν ἐκκλησιῶν. Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη, εἰς εἰρήνην τῶν ὀρθοδόξων, εἰς εἰρήνην τοῦ βασιλέως. ἀναθεμάτισον καὶ τὸν Μανδρίτην. πληρῶν δὲ ὁ αὐτὸς ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος τὰ λοιπὰ τῆς προσφωνήσεως καὶ τοῦ ἀναθέματος, ἔφη πρὸς αὐτοὺς ταῦτα· ὁμοίως δὲ ἀναθεματίζομεν καὶ Ἰωάννην τὸν Μανδρίτην, τὸν ἀποστάτην, καὶ ἀρνησίθεον, ἀφ' οὗ καὶ προσέλαβε τὸ δυσσεβὲς φρόνημα, παρὰ τοῦ αὐτοῦ ἀσεβεστάτου τοῦ Σευήρου. ἔστωσαν τοίνυν οἱ εἰρημένοι Σευῆρος ὁ Ἀκέφαλος, καὶ Ἰωάννης ὁ Μανδρίτης, καὶ τὸ δυσσεβὲς αὐτῶν φρόνημα μετὰ τῶν κοινωνούντων αὐτοῖς, ἀνάθεμα καὶ κατάθεμα ἀπὸ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν τῷ αἰῶνι τούτῳ, καὶ ἐν τῷ μέλλοντι, ἀμήν. ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· ἀμὴν, ἀμὴν, ἀμήν. εἷς Θεὸς ὁ τοῦτο ποιήσας· Ἐπιφανίου ἀρχιεπισκόπου πολλὰ τὰ ἔτη, Ἰωάννου Κόμητος πολλὰ τὰ ἔτη. ὅλους τοὺς αἱρετικοὺς ἀναθεμάτισον. μίαν ἀργίαν τῇ θεοτόκῳ. ἡ τριὰς ἐνίκησε, τὴν σύναξιν κήρυξον· ὁ σταυρὸς ἐνίκησε, τὴν σύναξιν κήρυξον. ἄνω βάλε * τοὺς πριγκιπίας, ἄνω βάλε τοὺς μετεβάτας. ἔσω εἰς τὴν θεοτόκον τὴν σύναξιν κήρυξον. ὁ μὴ λαλῶν οὐκ ἔστι πιστός. αὕτη ἡ ὥρα ἀρέσκει καὶ τοῖς πατράσι, αὕτη ἡ ὥρα Θεῷ ἀρέσκει, καὶ τῷ Αὐγούστῳ· νικᾷ Ἰουστῖνος, τὴν σύναξιν

* Forte, τοὺς πρίγκιπας.

A gustus, eamus, intremus. Vicit Augustus, intus anathematiza. Quem exspectas? orthodoxus es? Litaniam ibi ingrediamur. Vicit Justinus, huc introeamus, obtestor te, nihil dimiserunt intus. Cimelia accepit ille modiarii: proclama congregationem, per victoriam Augusti. Unum otium civitati, unum otium orthodoxis. Intra, solve ædificium. Acephalus non habebit hic locum, non habebit hic locum Manichæus. Epiphanii archiepiscopi multi anni. Unus Deus, salutem ipsi. Et cum sanctissimus ipse archiepiscopus acclamasset: Rogo vestram caritatem sine molestia tolerare, & concedere mihi, & Deo dilectis episcopis anathematizare Acephalum. Et hic enim & in oratorio sanctæ Dei genitricis & semper Virginis Mariæ, & in omnibus oratoriis, ac in omnibus ecclesiis, & in omnibus B civitatibus, ac in toto mundo anathematizatur usque in sæculum. Rursusque exclamaverunt: Otium domino nostro. Et postea sanctissimus archiepiscopus noster Epiphanius dixit ad illos de populo hæc: Rectam & immaculatam ac veram fidem, quam tradiderunt nobis a principio [a] venerabiles & ministri sermonis, & docuerunt nos divini & sanctissimi apostoli, & ab ipsis accipientes terbeati patres nostri sancti, qui in recta splenduerunt fide, Nicææ videlicet trecenti decem & octo, & in regia urbe Constantinopolitana centum quinquaginta, atque in Epheso ducenti, & in Chalcedona sexcenti triginta, & reliqui omnes sancti & orthodoxi C patres, idem cum ipsis sapientes, acceperunt, & semper in seipsis habuerunt, & habent, & ipsam immutabilem custodierunt: quam semper in ecclesia prædicavimus & prædicamus vobis, dilectissimi: & anathematizamus semper omnes hæreticos una cum suis impiis intelligentiis, & qui ipsorum impia dogmata sapiunt; præcipue autem & nominatim anathematizamus Arrium, Eunomium, Macedonium Spiritus impugnatorem, Ebionem, Photinum, Marcellum, Theodorum, Artemam, Paulum Samosatenum, Nestorium hominis idololatram, & impium Valentinum, Scythianum, Manem, Marcionem, Bardesanem, Apollinarem, Eutychem, cum omnibus hæreticis. Et similiter cum his omnibus anathematizamus & impium Seve-D rum Acephalum, & abscissum, & semper alienum factum a Domino Deo Jesu Christo, & a sancta ipsius catholica & apostolica ecclesia, & ipsius impium dogma, qui sanctos & orthodoxos patres nostros anathematizavit, & schismatica ac turbas in sanctis ecclesiis orthodoxorum Christianorum fecit per totum (ut ita dicam) mundum. Et [b] interpellantes ipsum loquentem illi de populo exclamaverunt: Unus Deus, qui hoc fecit. Unus Deus, una fides, ad pacem ecclesiarum. Epiphanii archiepiscopi multi anni, ad pacem orthodoxorum, ad pacem Imperatoris. Anathematiza & Mandritam. Implens autem ipse sanctissimus noster archiepiscopus reliqua acclamationis & anathematis, dixit ad eos hæc: Similiter autem anathemati-E zamus & Joannem Mandritam apostatam, & Dei abnegatorem, ex quo accepit impium sensum ab ipso impiissimo Severo. Sint ergo prædicti Severus Acephalus & Joannes Mandrita, & ipsorum impium dogma cum communicantibus ipsis anathema, & catathema a Patre, & Filio, & sancto Spiritu, in cælo & in terra, in isto sæculo & in futuro. Amen. Exclamaverunt illi de populo: Amen, Amen, Amen. Unus Deus, qui hoc fecit. Epiphanii archiepiscopi multi anni, Joannis Comitis multi anni. Omnes hæreticos anathematiza. Unum otium Dei genitrici. Trinitas vicit, collectam prædica. Crux vicit, collectam prædica. Sursum mitte principes. Sursum μετεβάτας. Intus ad Dei genitricem, collectam prædica. Qui non loquitur, non est fidelis. Hæc hora Deo placet & patribus; hæc hora Deo placet & Augusto. Vincit Justinus, colle-

[a] In Græc. oculati testes.

[b] Vet. cum illi interpellaverunt, ridiculè.

ANNO CHRISTI 536.

ctam prædica. Intra, aperi Θεοτόκον Dei genitricem. Intra, aperi, quam accepisti. Judæi gaudent, Dei genitricem aperi. Judæi gaudent, quoniam clausa sunt quæ intus. εἴσω, Intra, sanctifica, quam communicaverunt. Non est Anastasius; Justinus regnat, orthodoxus est. Non est Manichæus, orthodoxus est. Justinus regnat novus Constantinus. Non est Manichæus, sicut Anastasius. Joannis patriarchæ multi anni. Epiphanii orthodoxi multi anni. [a] Nepotem Mandritæ anathematiza. Qui contra te sunt scilicet anathematiza. Unum otium civitati: aperi, quam rapuerunt. Unus Deus, una fides. Mortuus est Amantius rebellis Trinitatis. Intra, indue, quam nudaverant. Vincit Justinus: prædica congregationem. Lucernarium intus fac, congregationem prædica. Sancta Trinitas, sanitatem da ei. Unus Deus, una fides. Omnium orthodoxorum multi anni. Mitte, fer alios episcopos. Heliam Bortyenum anathematiza. Joannis patriarchæ multi anni. Epiphanii patriarchæ multi anni. Augusti multi anni. Euphemiæ Augustæ multi anni. [b] Victoriam Imperatoris, intra intus. In æternum imperium hoc liberate ab Acephalo, liberate ab hæreticis. Postea vero Joannes reverentissimus episcopus Ptolemaïdis, dixit hæc ad populum: Anathematizamus quidem omnes, quos anathematizavit sanctissimus & beatissimus noster archiepiscopus & metropolita, ac omnes hæreses: præcipue autem impium & Dei impugnatorem Severum Acephalum & Manichæum, & Joannem impium & Dei impugnatorem Mandritam, & [c] avertimur ab ipsis communionem, & alienos ipsos notamus, & ab ipso nomine Christiano. Sint ergo anathema a Patre, & Filio, & Spiritu sancto, in cælo & in terra, in hoc sæculo & in futuro, Amen. Dixit autem & Theodorus reverentissimus episcopus Porphyreonis, hæc: Omnes quoscumque anathematizavit antea sanctissimus & beatissimus archiepiscopus noster metropolita, anathematizamus cum ipso. Cum ipsis autem anathematizamus & Severum Acephalum, & Joannem Mandritam, quia & ipse consensit hæreticis & impiis dogmatibus ipsius. Sint igitur anathema a Patre, & Filio, & Spiritu sancto, in cælo & in terra, & in hoc sæculo & in futuro, Amen. Dixit autem & Helias episcopus Rachlenus, hæc: Et nos secundum vestigia sanctissimi & beatissimi archiepiscopi nostri & metropolitæ ambulantes, & ipsius bonæ doctrinæ persuasi, credentes, quia supra & infra, justa & vera sanctissimis ecclesiis negotiatur; hujus rei gratia anathematizamus eos, qui non semel, non bis anathematizati sunt, sed & singulis diebus anathematizantur, Acephalum & Manichæum; Severum, & ejus impia dogmata, ac Joannem Mandritam, & ejus impia dogmata, una cum his, qui eis communicant: de ceteris enim superfluum est dicere. Sint itaque anathema a Patre, & Filio, & Spiritu sancto, in cælo & in terra, in hoc sæculo & in futuro, Amen.

Et exclamaverunt multitudo: Unus Deus Christus regnat: episcoporum multi sint anni, orthodoxorum multi anni. *Benedictus Dominus Deus* Jesus Rex, *quoniam visitavit, & fecit redemptionem populo suo.* Et adhuc turba exspectante & exclamante, ut congregatio fieret in oratorio sanctæ & gloriosæ Dei genitricis Virginis Mariæ, acclamavit ipsis sanctissimus archiepiscopus noster hæc: Quoniam magna hora est, & justum est nos divinam celebrare missam, per quam colitur Deus in utilitatem animarum nostrarum, sufficiant hæc. Multa enim sunt, quæ legenda sunt. Cum Deo igitur sancta Dominica sequenti in prædicto oratorio dominæ nostræ gloriosissimæ Dei genitricis Virginis Mariæ, reliqua legemus, & iterum anathemati-

[a] Gr. ἀνεψιὸν patruelem.

[b] Pro, per victoriam.

[c] Pro, avertimur.

Luc. 1.

κήρυξον. εἴσω ἄνοιξον τὴν Θεοτόκον, εἴσω ἄνοιξον, ἣν παρέλαβες. οἱ Ἰουδαῖοι χαίρονται, τὴν Θεοτόκον ἄνοιξον. οἱ Ἰουδαῖοι χαίρονται, ὅτι ἐσφάλισαι τὰ ἔσω. εἴσω, ἁγίασον, ἣν ἐκοινώνησαν. οὐκ ἔστιν Ἀναστάσιος, Ἰουστῖνος βασιλεύει, ὀρθόδοξος ἐνι. οὐκ ἔστι Μανιχαῖος, ὀρθόδοξος ἐνι. Ἰουστῖνος βασιλεύει ὁ νέος Κωνσταντῖνος. οὐκ ἔστι Μανιχαῖος, ὡς Ἀναστάσιος. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη, Ἐπιφανίου τοῦ ὀρθοδόξου πολλὰ τὰ ἔτη. τὸν ἀνεψιὸν τοῦ Μανδρίτου ἀναθεμάτισον, τοὺς κατὰ σοῦ ἀναθεμάτισον. μίαν ἀργίαν τῇ πόλει. ἄνοιξον, ἣν ἥρπασαν. εἷς Θεὸς, μία πίστις. ἀπέθανεν Ἀμάντιος ὁ ἀντάρτης τῆς τριάδος. εἴσω, ἔνδυσον, ἣν ἐγύμνωσαν. νικᾷ Ἰουστῖνος, τὴν σύναξιν κήρυξον. τὸ λυχνικὸν ἔσω ποίησον, τὴν σύναξιν κήρυξον. ἁγία τριὰς, τὴν ὑγίειαν δὸς αὐτῷ. εἷς Θεὸς, μία πίστις. ὅλων ὀρθοδόξων πολλὰ τὰ ἔτη. πέμψον, φέρε τοὺς ἄλλους ἐπισκόπους. Ἡλίαν τὸν Βοτρυηνὸν ἀναθεμάτισον. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη. Ἐπιφανίου πατριάρχου πολλὰ τὰ ἔτη. τοῦ Αὐγούστου πολλὰ τὰ ἔτη. Εὐφημίας Αὐγούστης πολλὰ τὰ ἔτη. τὴν νίκην τοῦ βασιλέως, εἴσω ἔσω. εἰς αἰῶνας τὸ βασίλειον τοῦτο, ἀπελάσατε τὸν Ἀκέφαλον, ἀπελάσατε τοὺς αἱρετικούς. καὶ λοιπὸν Ἰωάννης ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς Πτολεμαΐδος εἶπε πρὸς τοὺς ἀπὸ τοῦ πλήθους, ταῦτα. ἀναθεματίζομεν πάντας μὲν οὓς ἀνεθεμάτισεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος καὶ μητροπολίτης, καὶ πάσας τὰς αἱρέσεις, ἐξαιρέτως δὲ τὸν δυσσεβῆ καὶ θεομάχον Σεβῆρον τὸν Ἀκέφαλον καὶ Μανιχαῖον, καὶ Ἰωάννην τὸν δυσσεβῆ καὶ θεομάχον τὸν Μανδρίτην, καὶ ἀποστρεφόμεθα τὴν πρὸς αὐτοὺς κοινωνίαν, καὶ ἀλλοτρίους αὐτοὺς καλοῦμεν, καὶ αὐτοῦ τοῦ ὀνόματος τῶν Χριστιανῶν. ἔστωσαν οὖν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι, ἀμήν. εἶπε δὲ καὶ Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς Πορφυρεωνιτῶν ταῦτα. πάντας ὅσους προλαβὼν ἀνεθεμάτισεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἡμῶν ἀρχιεπίσκοπος, καὶ μητροπολίτης, ἀναθεματίζομεν σὺν αὐτῷ. σὺν αὐτοῖς δὲ ἀναθεματίζομεν Σεβῆρον τὸν Ἀκέφαλον, καὶ Ἰωάννην τὸν Μανδρίτην, ὡς συναινέσαντα τοῦτον τοῖς αἱρετικοῖς καὶ ἀσεβέσιν αὐτοῦ δόγμασιν. ἔστωσαν τοίνυν ἀνάθεμα, ἀπὸ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, ἐν τῷ αἰῶνι τούτῳ, καὶ ἐν τῷ μέλλοντι, ἀμήν. ἔφη δὲ καὶ Ἡλίας ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς Ραχλιανῶν ταῦτα. καὶ ἡμεῖς κατ' ἴχνος βαίνοντες τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἡμῶν ἀρχιεπισκόπου, καὶ μητροπολίτου, καὶ πειθόμενοι τῇ αὐτοῦ ἀγαθῇ διδασκαλίᾳ, καὶ ὡς ἄνω καὶ κάτω τὰ δίκαια καὶ τὰ ἀληθῆ ταῖς ἁγιωτάταις ἐκκλησίαις πραγματεύεται, τούτου χάριν ἀναθεματίζομεν τοὺς οὐχ ἅπαξ οὐ δὶς ἀναθεματισθέντας, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν ἀναθεματιζομένους, τὸν Ἀκέφαλον καὶ Μανιχαῖον Σεβῆρον, καὶ τὰ δυσσεβῆ αὐτοῦ φρονήματα, καὶ Ἰωάννην τὸν Μανδρίτην, καὶ τὰ δυσσεβῆ αὐτοῦ διδάγματα, μετὰ τῶν κοινωνούντων αὐτοῖς. περὶ γὰρ τῶν λοιπῶν περιττόν ἐστιν καὶ λέγειν. ἔστωσαν τοίνυν ἀνάθεμα ἀπὸ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν τῷ αἰῶνι τούτῳ καὶ ἐν τῷ μέλλοντι, ἀμήν.

Καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· εἷς Θεὸς Χριστὸς βασιλεύει· τῶν ἐπισκόπων πολλὰ τὰ ἔτη. τῶν ὀρθοδόξων πολλὰ τὰ ἔτη. εὐλογητὸς κύριος Ἰησοῦς ὁ βασιλεὺς, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. καὶ ἔτι ἐπιμεινάντων τῶν ἀπὸ τοῦ πλήθους, καὶ ἐκβοώντων περὶ τοῦ γενέσθαι ἁγίαν σύναξιν ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας ἐνδόξου καὶ θεοτόκου παρθένου Μαρίας, προσεφώνησεν αὐτοῖς ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ταῦτα. ἐπειδὴ πολλὴ ὥρα ἐστὶ, καὶ δίκαιόν ἐστι ποιῆσαι ἡμᾶς τὴν θείαν λειτουργίαν, δι' ἧς θεραπεύεται ὁ Θεὸς εἰς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν, ἀρκεσθῶμεν τούτοις. πολλὰ γάρ ἐστι τὰ ἔχοντα ἀναγνωσθῆναι. τῇ οὖν σὺν Θεῷ ἁγίᾳ κυριακῇ τῇ ἐπιούσῃ ἐν τῷ εἰρημένῳ εὐκτηρίῳ οἴκῳ τῆς δεσποίνης ἡμῶν τῆς ἐνδόξου καὶ θεοτόκου παρθένου Μαρίας τὰ λοιπὰ ἀναγινώσκομεν, καὶ πάλιν ἀνα-

θεματίζομεν

ANNO CHRISTI 536.

ἀναθεματίζομεν τὸν Ἀκέφαλον, καὶ πάντας τοὺς μετ᾽ αὐτοῦ. καὶ λοιπὸν ἐκήρυξε τὴν τοιαύτην ἁγίαν σύναξιν Ζαχαρίας ὁ θεοσεβέστατος ἀρχιδιάκονος. γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ, ὅτι τῇ ἐπιούσῃ κυριακῇ, εἰς δόξαν τοῦ δεσπότου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ὑπὲρ σωτηρίας, νίκης, καὶ διαμονῆς τοῦ φιλοχρίστου ἡμῶν βασιλέως Ἰουστίνου, καὶ τῆς εὐσεβεστάτης βασιλίδος Εὐφημίας, καὶ τῶν μειζόνων ἐξουσιῶν, καὶ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς βασιλίδος πόλεως Ἰωάννου, καὶ τῆς αὐτόθι ἐνδημούσης ἁγίας συνόδου, ἐν τῷ οἴκῳ τῆς ἁγίας Μαρίας τῷ ἐν Ἰαμψούφεις, τὴν ἁγίαν σύναξιν ποιούμεθα. τῇ δὲ αὐτῇ ἁγίᾳ κυριακῇ, ἕωθεν ἐνταῦθα συνερχόμεθα, ἵν᾽ ἐντεῦθεν μετὰ ψαλμῳδιῶν, καὶ κηρῶν, καὶ θυμιαμάτων ἐν τῷ αὐτῷ ἁγίῳ οἴκῳ καταντήσαντες τὴν λιτὴν καὶ τὴν ἁγίαν σύναξιν πληρώσωμεν. πάντες καὶ πᾶσαι μετὰ σπουδῆς συνέλθωμεν. καὶ μετ᾽ αὐτὸν, καὶ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος ἡμῶν εἶπεν οὕτως. γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ, ὡς ὅτι τῇ ἐπιούσῃ ἁγίᾳ κυριακῇ, ἐνταῦθα συνερχόμεθα· ἵνα ἐντεῦθεν μετὰ ψαλμῳδιῶν, καὶ κηρῶν, καὶ θυμιαμάτων λιτανεύοντες καταντήσωμεν ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, κἀκεῖσε τὴν ἁγίαν σύναξιν πληρώσωμεν. καὶ ἐξεβόησαν οἱ ἀπὸ τοῦ πλήθους· τὸν ἔφορον ἔξω βάλε, ὅλους ἀποσχίστας ἔξω βάλε. ἀνάθεμα τοῖς ἀποσχίσταις, ἀνάθεμα τοῖς δεχομένοις ἕνα ἐκείνων. κληρικοὺς ἀποσχίστας μηδεὶς δέξηται, τοὺς ἀποστάτας μηδεὶς δέξηται, τοὺς πολεμήσαντας τὸν σταυρὸν μηδεὶς δέξηται. καὶ λοιπὸν προσεφώνησεν αὐτοῖς ὁ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ταῦτα· τὸ μέντοι λυχνικὸν τῷ σαββάτῳ ἑσπέρας ἐν τῷ αὐτῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας σὺν Θεῷ ποιούμεθα· καὶ ἡσυχασάντων, ἐπληρώθη ἡ ἁγία σύναξις.

Ἐπιστολὴ τῶν ἐν δευτέρᾳ Συρίᾳ ἐπισκόπων, πρὸς Ἰωάννην πατριάρχην, καὶ τὴν σύνοδον.

Τῷ δεσπότῃ ἡμῶν τῷ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατρὶ πατέρων, ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ, Ἰωάννῃ, καὶ τῇ κατὰ τὴν βασιλίδα τῶν πόλεων ἐνδημούσῃ ἁγίᾳ καὶ θεοτιμήτῳ συνόδῳ, οἱ ἐλάχιστοι ἐπίσκοποι Συρίας δευτέρας.

Ὅταν ἀποβλέψωμεν πρὸς τὴν φορὰν τῶν περιστοιχισάντων ἡμᾶς χαλεπῶν, καὶ λογιζόμεθα τὴν ἐπιχυθεῖσαν σύγχυσιν ἀπροσδοκήτως ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, τὸ πᾶν εἰκότως ταῖς οἰκείαις ἐπιγράφοντες ἁμαρτίαις, τὴν τοῦ κυρίου μακροθυμίαν θαυμάζομεν. ὅταν δὲ πάλιν τὴν πρὸς τὸ κρεῖττον ἐνθυμηθῶμεν εὐκταίαν μεταβολὴν, τὴν ἀποστολικὴν ἐκείνην προαγόμεθα λέγειν φωνήν· χάρις τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. οὐ γὰρ παρεῖδεν εἰς τέλος ἡμᾶς, ἀλλ᾽ ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. ἵνα τοίνυν καὶ τοῖς λίαν ἀπίστοις τῆς ἀληθείας ἐπίγνωσις γένηται, καὶ διὰ τῶν πραγμάτων φανῶσιν ὡς ἀληθῶς ἀψευδεῖς αἱ τοῦ κυρίου φωναὶ, καὶ πρὸς τῇ ἄλλαις ἡ διαῤῥήδην βοῶσα. ἰδοὺ ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· καὶ λοιπὸν περισωθῶσι, καὶ ἐγκαταλεγῶσι τῇ ἱερᾷ ποίμνῃ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τὰ παρ᾽ αὐτῶν διασκεδασθέντα πρόβατα· δέδωκε, καὶ ἐπλάτυνεν ὁ Θεὸς ἐπὶ τῇ τῶν ἐκκλησιῶν εὐκοσμίᾳ κατὰ πᾶσαν τὴν οἰκουμένην εἰρήνης ἄφατον δωρεάν. βασιλέως γὰρ πιστοῦ χρηματίζοντος, καὶ τὴν καρδίαν ἐλλαμπομένου προμηθείᾳ τοῦ κρείττονος. καὶ ἀρχιερέως ὁσίου ψήφῳ θείας χάριτος διαφανέντος κατὰ τὴν βασιλίδα τῶν πόλεων, καὶ τῶν ἀποστολικῶν ὑπερμαχοῦντος δογμάτων, πῶς ἔνεστι μὴ λίαν τὸν λογισμὸν ὑπεραίρεσθαι καὶ εὐφραίνεσθαι τῇ τῶν ἀρίστων ἀπὸ τῶν χειρόνων ταχείᾳ μεταβολῇ, καὶ ἀποῤῥίπτειν ἀσμένως, καὶ ὡς οἷόν μάλιστα, τὰ φθοροποιὰ διαβόλου τὰ κέντρα, καταστάντες γὰρ εἰς γνῶσιν ἡμεῖς,

zabimus Acephalum, & omnes qui cum eo sunt. Et postea proclamavit hujusmodi congregationem Zacharias venerabilis archidiaconus: Notificamus vestræ caritati, quod sequenti Dominica ad gloriam Christi Dei nostri, & sanctæ ac gloriosissimæ Dei genitricis Virginis Mariæ dominæ nostræ, & pro salute ac victoria ac perennitate serenissimi Imperatoris nostri Justini, ac piissimæ Euphemiæ reginæ, & majorum potestatum, nec non sanctissimi archiepiscopi regiæ urbis Joannis, & ibidem congregandæ sanctæ synodi; in domo sanctæ Mariæ, quæ est in Iamsuphis, sanctam congregationem faciemus. Ipsa autem sancta Dominica matutino ibidem conveniemus, ut cum inde cum psalmodiis & cereis ac incensis ad ipsam sanctam domum pervenerimus, deprecationem, & sanctam congregationem expleamus: omnes viri, omnesque feminæ cum studio conveniamus. Et post ipsum sanctissimus archiepiscopus noster dixit sic: Notificamus vestræ dilectioni, quomodo sequenti sancta Dominica huc conveniemus: ut inde cum psalmodiis, & cereis, ac thuribus, in oratorio domus sanctæ Dei genitricis semper Virginis Mariæ pervenientes, deprecemur, & ibi sanctam congregationem compleamus. Et exclamavit turba: τὸν ἔφορον foras mitte; omnes schismaticos foras ejice. Anathema schismaticis. Anathema ei, qui unum illorum receperit. Clericos schismaticos nullus suscipiat. Apostatas nullus recipiat. Eos qui contra crucem pugnaverunt, nullus suscipiat. Et postea sic eos allocutus est sanctissimus archiepiscopus noster: Lucernarium quoque sabbato in vesperis in ipso oratorio sanctæ Dei genitricis semper Virginis Mariæ, cum Deo faciemus. Et cum quievissent, finita fuit congregatio sancta.

Epistola episcoporum secundæ Syriæ, ad Joannem Patriarcham, & synodum.

Domino nostro per omnia sanctissimo & beatissimo patri patrum, archiepiscopo & œcumenico patriarchæ Joanni, ac sanctæ & Deovenerabili synodo in regia urbe congregatæ, minimi episcopi secundæ Syriæ.

Cum aspeximus ad [a] laturam sævorum, quæ nos circumdederunt, & animadvertimus confusionem ecclesiis Dei inopinate allatam; totum merito propriis adscribentes peccatis, Domini miramur longanimitatem. Cum vero rursus ad melius cogitamus optatam mutationem, apostolicam illam provocamur dicere vocem: *Gratia Deo pro inenarrabili ipsius dono.* Non enim despexit nos in finem, sed visitavit & fecit redemptionem populo suo. Ut igitur valde incredulis veritatis cognitio fiat, & per res appareat, quod certe voces Domini veræ sunt: & alibi alta voce clamat: *Ecce venient ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces: a fructibus eorum cognoscetis eos.* Et de cetero ut salventur, & conuniantur sacro ovili Christi Dei nostri oves ab ipsis dispersæ, dedit, & dilatavit Deus super ornatum totius orbis ecclesiarum ineffabile donum pacis. Cum enim fidelissimus regnet Imperator, qui & corde Dei providentia splendet, & sancto pontifice divinæ gratiæ sententia monstrato in regia urbe, & pro apostolicis dogmatibus pugnante: quomodo est possibile, non multum elevare cogitationem, ac lætari de optimorum a pejoribus veloci mutatione; & sponte abjicere, quam possibile est maxime, corrupti diaboli stimulos? Etenim cum scivimus,

Ex vetusta interpretatione. [a] Pro, multitudinem malorum.

2. Cor. 9.

Matth. 7.

quæ juste ac canonice sancta synodus vestræ sanctitatis fecit, quod taliter sustulit injustam & iniquam Severi proterviam: (quænam enim virtus orationis, etiam ad modicum, attingere poterit illius mala? & in quibus Deum blasphemavit, omni tempore sanctam magnam, & œcumenicam synodum Chalcedonensem anathematizans, & epistolam sancti Leonis antiquæ Romæ archiepiscopi; cooperatorem & proximum in omnibus habens Petrum impium, qui Apamiarum episcopatum contra omnem ecclesiasticam sanctionem subripuit:) merito lætati sumus. Quomodo enim non debuimus regratiativos etiam hymnos Domino Deo nostro emittere; cum quibus & nunc medelam opportunam, & difficultatum solutionem nobis omnibus B largitus est? Jam itaque statim in proœmio illorum delicta cognoscimus, & non ferentes malorum corruptam expositionem considerare, prævenientes, liberavimus animas nostras & fideles nobis ecclesias a Severi & Petri malitia; quos & abdicavimus, tamquam hæresiarchas, & anathematibus subjecimus, separantes nos ab illorum communione. Verum quia non solum nos, qui minimi sumus, justum contra illos protulimus interdictum: sed etiam & vos, beatissimi, quos & nos sequi duximus: & ferre non valentes tantarum absurditatum magnitudinem, gementesque & lacrymantes super impiis non condolentibus, volentesque in prioribus manere, nullatenus permittimur. Qualia enim sunt in libellis nobis oblatis a religioso C clero Apamiarum, & ab ordine venerabilium monachorum, peræque percurri: homicidia, ebrietates, actus præsumptuosos, obsidiones monasteriorum venerabilium, impudicarum mulierum introductiones in sacris & intemeratis templis: perjuria, blasphemias, ordinationes datione pecuniarum, & his horridiora & majora, quam secundum naturam humanam dici possent: quæ curiosum quidem esset prolixius enarrare: sed possunt, qui fuerunt, per scripturam rescriptorum libellorum scire occasionem, & justa semina contra illos justæ rursus condemnationis invenientes nos & nunc: a quibus illi maxime propria animadversione percussi, omnia præter canones facientes, illecebrarunt quosdam ad clericos nostros proficiscentes: quos D propter coërctionem ecclesiasticam ad modicum percussos ad seipsos traxerunt, & adduxerunt: & ecclesiis ab ipsis devastatis, illicite professi sunt, undique divinos canones impugnantes. Hujus rei gratia nos vestrarum doctrinarum sancto decreto instructi anathematizamus & in præsenti Severum & Petrum hæreticos, & judicio magni & tremendi tribunalis tradimus illorum noxias animas: privantes similiter ipsos, quemadmodum & vos, beatissimi, omni re, honore, dignitate, operatione sacerdotali, & communione mundissima: & nudantes non solum sacerdotio, quod habere imaginabantur vanum, sed etiam omni participatione, ad discretionem eorum qui recta sapiebant. Timor enim est, ne sinceriores per amplius imitatores ad pro- E prias blasphemias trahant: omnia enim audent, ut consequantur. Rogamus sanctitatem vestram per hanc nostram epistolam modestam, cui etiam inseruntur oblata documenta, ut cum acceperitis veram cognitionem delictorum Severi & Petri, confirmetis & actum nunc a nobis expositum, & divinis canonibus cognitum: licet ipsos nihil sacerdotii licite habere cognoverimus aliquando: & etiam adducatis ad piissimum & orthodoxum Imperatorem nostrum, ut & ipse cognoscat, quæ in libellis continentur, & quæ a nobis judicata fuere: & justam scientiam habeat eorum quæ a nobis bene & sancte sententiata sunt: statuatque nostris supplicationibus persuaderi: & demum liberet sanctas Dei ecclesias ab illorum læsione, quæ animas corrumpit. Sic enim purum frumentum in ipsius pio

A ὧν ἐνθέσμως καὶ κανονικῶς ἔπραξεν ἡ ἁγία σύνοδος τῶν ὁσιωτάτων ὑμῶν, μηδὲ ὅλως ὑπομείνασα τὴν ἄθεον καὶ παράνομον Σευήρου προπέτειαν· (ποία γὰρ δύναμις λόγου, κἂν πρὸς ὀλίγον ἐφικέσθαι δυνήσεται τῶν ἐκείνου κακῶν; καὶ ὧν τὸ θεῖον ἐβλασφήμησε, τὸν πάντα χρόνον ἀναθεματίζων τὴν ἁγίαν μεγάλην καὶ οἰκουμενικὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ τὴν ἐπιστολὴν τοῦ ἐν ἁγίοις Λέοντος, γενομένου τῆς πρεσβυτέρας Ῥώμης ἀρχιεπισκόπου, συνεργὸν καὶ παραπλήσιον ἐν ἅπασιν ἔχων Πέτρον τὸν ἀσεβῆ, τὸν τῆς Ἀπαμέων τὴν προεδρίαν παρὰ πάντας θεσμοὺς ἐκκλησιαστικοὺς ὑφαρπάσαντα·) ηὐφράνθημεν εἰκότως. πῶς γὰρ οὐκ ἐμέλλομεν, εὐχαριστήριόν τι ἀναπέμψαι ὕμνον, Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἐφ' οἷς καὶ νῦν θεραπείαν εὔκαιρον, καὶ λύσιν τῶν δυσχε- B ρῶν ἐδωρήσατο πᾶσιν ἡμῖν. ἤδη μὲν οὖν εὐθὺς ἐν προοιμίοις ἐν γνώσει τῶν ἐκείνοις ἐπλημμελημένων γενόμενοι, καὶ μὴ φέροντες τὴν ὀλεθρίαν εἰσήγησιν τῶν πονηροτάτων κατανοεῖν, φθάσαντες ἠλευθερώσαμεν τὰς ἑαυτῶν ψυχάς, καὶ τὰς πιστευθείσας ἡμῖν ἐκκλησίας τῆς Σευήρου καὶ Πέτρου κακίας· καὶ ἀπεκηρύξαμεν ὡς αἱρεσιάρχας, καὶ ἀναθέμασιν ὑπεβάλομεν, χωρίσαντες ἑαυτοὺς τῆς πρὸς ἐκείνους κοινωνίας. ἀλλ' ἐπειδήπερ οὐ μόνον ἡ τῶν ἐλαχίστων ἡμῶν γέγονε δικαία κατ' ἐκείνων ἀπαγόρευσις, ἀλλ' ἤδη καὶ τῶν μακαριωτάτων ὑμῶν, οἷς καὶ ἡμεῖς ἀκολουθεῖν ἐπειγόμενοι, καὶ φέρειν οὐ δυνάμενοι τῶν πλημμελημάτων τὸ μέγεθος, στένοντες δὲ καὶ δακρύοντες ἐπὶ τῇ τῶν ἀσεβῶν ἀναλγησίᾳ, καὶ βουλόμενοι μένειν ἐπὶ τοῖς προτέροις, συγχωρηθῆναι οὐδαμῶς, οἷα λιβέλλων ἡμῖν ἐπιδοθέντων ὑπὲρ τοῦ θεοφιλοῦς τῆς C Ἀπαμέων κλήρου, καὶ τοῦ τάγματος τῶν εὐλαβῶν μοναχῶν, δι' ὧν διεξῆλθον φόνους, παροινίας, πράξεις τολμηράς, πολιορκίας μοναστηρίων εὐαγῶν, γυναικῶν ἀσέμνων ἐπισυναγωγὰς ἐν τοῖς ἱεροῖς καὶ ἀσύλοις ναοῖς, ἐπιορκίας, βλασφημίας, διὰ χρημάτων χειροτονίας· τὰ γὰρ τούτων φρικωδέστερα, καὶ μείζονα ἢ κατὰ φύσιν ἀνθρωπίνην, ὡς εἰπεῖν, περίεργον ἂν εἴη διαχωνίζειν· συγχωρεῖν δὲ διὰ τῆς τῶν ἐγκεχαραγμένων λιβέλλων καταγραφῆς, γνῶσιν παραλαμβάνειν τοὺς ἐντυγχάνοντας, ἀφορμήν, καὶ δίκαια αἰτήματα τῆς κατ' ἐκείνων ἐνθέσμου πάλιν καταδικάσεως εὑρόντες καὶ νῦν· ἀφ' ὧν ἐκεῖνοι μάλιστα καὶ πληττόμενοι τῷ οἰκείῳ συνειδότι, καὶ πάντα παρὰ κανόνας πράττοντες, δελεάσαντες ἐνίους τῶν πλουσίων εἰς τοὺς ἡμετέρους κλήρους, καὶ διὰ σωφρονισμὸν ἐκκλησιαστικὸν πρὸς ὀλίγον ἐκβληθέν- D τας, εἰς ἑαυτοὺς εἵλκυσαν καὶ ἀπεδέξαντο· καὶ τὰς ὑπ' αὐτῶν πορθουμένας ἐκκλησίας ἀθέσμως ἀπεγράψαντο, πανταχοῦ τοῖς θείοις κανόσι μαχόμενοι. τούτου χάριν ἡμεῖς παιδαγωγούμενοι τῇ ὁσίᾳ τῶν ἡμετέρων διδαγμάτων ἀκριβείᾳ, ἀναθεματίζομεν καὶ ἐπὶ τοῦ παρόντος Σευῆρον καὶ Πέτρον, τοὺς φρενοβλαβεῖς, καὶ τῇ κρίσει τοῦ μεγάλου βήματος καὶ φοβεροῦ παραδίδομεν τὰς ἐκείνων ἀνοσίας ψυχάς, ἀπαλλοτριοῦντες αὐτοὺς παραπλησίως καθάπερ ὑμεῖς, μακαριώτατοι, παντὸς ἀξιώματος, τιμῆς, ἀξίας, ἐνεργείας ἱερατικῆς, τῆς ἀχράντου κοινωνίας· καὶ γυμνοῦντες οὐ μόνον ἱερωσύνης, ἧς ἔχειν ἐφαντάζοντο μάτην, ἀλλὰ καὶ πάσης μετουσίας πρὸς τὴν τῶν ὀρθὰ φρονεῖν ἐγνωκότων διάκρισιν. δέος γὰρ μὴ τοὺς ἀκεραιοτέρους ἐπὶ πλεῖον μιμητὰς τῶν οἰκείων βλασφημιῶν καθελκύσωσι. πάντα γὰρ τολμῶσιν, ὡς ἔτυχε, καὶ E δεόμεθα τῶν ἁγιωτάτων ὑμῶν διὰ ταύτης ἡμῶν τῆς μετρίας ἐπιστολῆς, ᾗ καὶ ἐντέτακται τὰ ἐπιδοθέντα διδασκαλικά, γνῶσιν ἀληθῆ παρειληφότας τῶν Σευήρου καὶ Πέτρου πλημμελημάτων, ἐπικυρῶσαι καὶ τὴν παρ' ἡμῶν νῦν ἠγνοημένην διάγνωσιν, τοῖς θείοις ἐγνωσμένην κανόσιν· εἰ καὶ μηδὲν αὐτοὺς ἔνθεσμον ἱερωσύνης ἐγνώκαμεν πώποτε· ἀναγαγεῖν δὲ καὶ ἐπὶ τὸν εὐσεβέστατον καὶ ὀρθόδοξον ἡμῶν βασιλέα, ἐφ' ᾧ τι μανθάνοντα τὰ ἐγκείμενα τοῖς λιβέλλοις, καὶ τὰ παρ' ἡμῶν κριθέντα, καὶ δικαίαν εἴδησιν ἔχοντα τῶν παρ' ὑμῶν ἤδη καλῶς καὶ ὁσίως ἐψηφισμένων, θελῆσαι ταῖς ἡμῶν ἱκεσίαις πεισθῆναι. τέλεον, ἐλευθερῶσαι τῆς ἐκείνων ψυχοφθόρου βλάβης τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. οὕτω γὰρ ἂν ὁ καθαρὸς σῖτος ἐπὶ τῆς εὐσεβείας αὐτοῦ

ANNO CHRISTI 536.

βασιλείας ἀδιάφθορος μόνοις τῶν ζιζανίων χωρισθέντων, ὡς ἤδη πάλαι καὶ πρόπαλαι. πρὸς γὰρ ὑπόμνησιν τῶν μακαριωτάτων ὑμῶν, καὶ τὰ ἴσα τῶν παρὰ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος γνωρισθέντων τοῖς ἐνδοξοτάτοις ἄρχουσιν, ὑπετάξαμεν τῇδε τῇ συνοδικῇ τῶν ἐλαχίστων ἡμῶν ἐπιστολῇ.

ΥΠΟΓΡΑΦΑΙ.

Κῦρος ἐλέῳ Θεοῦ ἐπίσκοπος Μαριάμμης, ἐῤῥῶσθαί με ἐν κυρίῳ, καὶ αὐτῷ δουλεύειν ἀδιαλείπτως, ὑπερεύχεσθε, κύριοι τὰ πάντα ἁγιώτατοι, καὶ μακαριώτατοι πατέρες.

Ζώϊλος ἐλέῳ Θεοῦ ἐπίσκοπος Ραφανέ, ἐῤῥῶσθαί με.

Σευηριανὸς ἐλέῳ Θεοῦ ἐπίσκοπος Ἀρεθούσης, ἐῤῥῶσθαί με.

Κοσμᾶς ἐλέῳ Θεοῦ ἐπίσκοπος Ἐπιφανείας τῆς φιλοχρίστου, ἐῤῥῶσθαί με.

Εὐσέβιος ἐλέῳ Θεοῦ ἐπίσκοπος Λαρίσσης, ἐῤῥῶσθαί με. καὶ οἱ λοιποί.

Ἴσον πράξεως συστάσης κατὰ Πέτρου τοῦ Ἀπαμείας, ἐπὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος.

Στέφανος, Πέτρος καὶ Ἰουλιανὸς, εἶπον·

Ἐπειδήπερ κατὰ τὸ διελθὸν ἅγιον πάσχα τῇ νέᾳ κυριακῇ, ἀνελθόντος τοῦ κλήρου παντὸς, ὡς ἔθος ἐστὶν, εἰς προσηγορίαν τοῦ εἰρημένου ἡμῶν ἐπισκόπου Πέτρου, ἠκηκόαμεν παρ' αὐτοῦ ἀγανακτήσαντος κατὰ τῶν ἀναγνωστῶν, τότε γὰρ ἀναγνῶσται ἐτυγχάνομεν· καὶ λέγοντος ἡμῖν, ὅτι διὰ τί κοινοποιεῖτε κατ' ἐμοῦ, ὅτι ἐποίησα Κωνσταντῖνον ἀπὸ λαϊκῶν διάκονον, καὶ ὑμᾶς παρεῖδον; μὰ τὸν Ἰησοῦν, ὅτι ἐδοκίμασα τὴν νύκτα ταύτην ποιῆσαι ὑμᾶς ἀπὸ ἀναγνωστῶν ὑποδιακόνους, ἵνα αὐτὸς ὁ σταυρωθεὶς κατελθὼν, μὴ ἐλυτρώσατο ὑμᾶς ἐκ τῶν χειρῶν μου. ταῦτα δὲ καὶ ἐπὶ παντὸς τοῦ κλήρου εἶπε. κἀγὼ δὲ Στέφανος οἶδα καὶ τὸ τῆς στολῆς εἰρημένον * ἐν τῷ μαρτυρίῳ Ζαβδάλας. ἐπειδὴ δὲ διδασκαλικὸν συνέταξαν οἱ παρόντες θεοφιλέστατοι κληρικοὶ, ὅπερ καὶ ἐπέτρεψαν ἡμῖν ἐπιδοῦναι, παρακαλοῦμεν τοῦτο ἀναγνωσθῆναι, καὶ ἕκαστον διασαφηνισθῆναι, καὶ ἅπερ οἶδε κεφάλαια τοῦ προκειμένου διδασκαλικοῦ.

* al. εἰς τὸ Μαρβζαβδάλας.

Φλάβιος Ἰωάννης Παλλάδιος Εὐτυχιανὸς, ὁ λαμπρότατος κόμης καὶ ἔπαρχος, εἶπεν.

Τὸ ἐπιδεδομένον διδασκαλικὸν ἀναγινωσκέσθω κατὰ τὴν αἴτησιν τῶν ἐπιδεδωκότων· οὕτω τε παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι, διάκονοι, ὑποδιάκονοι, ἀναγνῶσται, καὶ λοιποὶ εὐλαβεῖς κληρικοὶ, βουλόμενοι, σαφῆ ποιείτωσαν τὴν οἰκείαν γνώμην, ἐφ' οἷς καὶ ἐπίστανται, τὸν Θεὸν κατὰ νοῦν λαμβάνοντες, καὶ τὸ οἰκεῖον πρόσχημα· ὡς οὐδὲν πρὸς ἀπέχθειαν, ἢ χάριν ποιήσονται, ἀλλὰ πάντα σὺν ἀληθείᾳ ἐκδιδάξουσι.

Τοῖς πανοσιωτάτοις καὶ ἁγιωτάτοις πατράσι καὶ ἐπισκόποις τῆς δευτέρας Σύρων ἐπαρχίας, παρὰ τοῦ κοινοῦ τῶν κληρικῶν τῆς ἐν Ἀπαμείᾳ τῇ μητροπόλει ἁγίας τοῦ Θεοῦ ἐκκλησίας.

Ἴδιον ἱερωσύνης, καὶ τοῦ σεμνοῦ τῶν Χριστιανῶν ἐπαγγέλματος σωφροσύνη καὶ ἐπιείκεια, καὶ πρό γε πάντων ὁ τῶν ὁσίων δογμάτων θεσμὸς, καὶ ἡ θεοσέβεια τῆς πίστεως παραφυλακή, ἐφ' ᾗ καὶ ὁ τῶν μακαρίων πατέρων ἀοίδιμός τε καὶ σεβάσμιος χορὸς ἄνωθεν ἔκ τινος ἀκαταλήπτου διαδοχῆς ἀκηράτοις λογισμοῖς ῥυθμὸν ἐναρμόνιον εἰσηγήσατο ταῖς ἀγαθαῖς τῶν ἀνθρώπων ψυχαῖς πρὸς ἁγιασμὸν τῆς θείας μυσταγωγίας. μεμαθήκαμεν γὰρ καὶ ὑπὸ τῶν θείων λογίων βοᾶν· μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. ἀλλὰ ταῦτα μὲν οἱ σεβάσμιοι πατέρες, καὶ τῶν θεσπεσίων ἀποστόλων διά-

A imperio incorruptum manebit segregatis zizaniis, sicut olim & præolim. Ad bonam etiam instructionem beatitudinum vestrarum, copias notificatorum a magnificentissimo principe provinciæ gloriosissimis principibus, synodali epistolæ nostrum minimorum inseruimus.

SUBSCRIPTIONES.

Cyrus Dei miseratione episcopus Mariamnius, valere me in Domino, & ei inseparabiliter servire, orate, domini, & per omnia sanctissimi ac beatissimi patres.

Zoïlus Dei miseratione episcopus Raphancensis, valere me, & reliqua.

B Severianus Dei miseratione episcopus Arethusius, valere me, & reliqua.

Cosmas Dei miseratione episcopus Epiphaniæ Christoamantissimæ civitatis, valere me, & reliqua.

Eusebius Dei miseratione episcopus Larissenus, valere me. Et item reliqui.

Exemplar actionis formatæ contra Petrum Apamiarum, tempore magnificentissimi provinciæ principis.

Stephanus, Petrus, & Julianus, diaconi, dixerunt:

Quoniam præterito Pascha sancto, sequenti nova Dominica, ascendente clero toto, ut moris est, ad salutationem Petri episcopi nostri, audivimus ab ipso, C cum esset indignatus contra lectorarios, (nam eramus tunc lectorarii;) & diceret nobis: Quare communicatis, id est; convenitis contra me, quia feci Constantinum de laïcis diaconum, & vos despexi? Ita per Jesum, quia probavi hac nocte facere vos de lectorariis subdiaconos; [a] nisi ipse qui crucifixus, descendens redemisset vos de manibus meis. Hæc autem & coram omni clero dixit. Et ego Stephanus scio, [b] quid negotii de stola tandem evenerit in Marato Zabdalæ. Quoniam vero præsentes Deodilectissimi clerici composuerunt documentum, quod & promiserunt nobis porrigere; rogamus ipsum legi: & singula capitula, quæ in documento continentur, declarari.

[a] Pr. ita ut nec ipse.

[b] Vet. obscure: quod factum est in Marato stola Zabdalæ.

D Flavius Joannes Palladius Eutychianus vir clarissimus Comes & Præses, dixit:

Oblatum instrumentum legatur juxta petitionem eorum, qui porrexerunt: sicque præsentes presbyteri, diaconi, subdiaconi, lectorarii, & reliqui venerabiles clerici, ut volunt, claram faciant opinionem suam, in quibus sciunt: & Deum ad mentem habeant, & proprium specimen, id est, habitum: ut nihil ad offensionem vel gratiam faciant, sed omnia cum veritate edocebunt. Et cum obtulissent, ex officio recitata est:

E Sanctissimis patribus & episcopis provinciæ secundæ Syriæ, a communi clero sanctæ Dei ecclesiæ Apamiarum metropolitanæ.

Proprium sacerdotii & honestæ pollicitationis Christianorum, prudentia & mansuetudo, & ultra omnia sanctorum dogmatum sanctio, ac fidei divinæ observantia; in qua & beatorum patrum memorabilis & venerabilis chorus desuper ex quodam incomprehensibili successu immortalibus rationibus modulum consonum devotis animabus hominum introduxit, ad sanctificationem divini ritus. Didicimus enim a divinis eloquiis clamare: *Noli transgredi terminos sempiternos, quos posuerunt patres tui.* Sed hæc quidem venerabiles patres, & divinorum apostolo-

Ex vetusta interpretatione.

Proverb. 22.

ANNO CHRISTI 536.

rum successores tenentes, purum lumen ecclesiis donaverunt: unde manserunt incorrupta templa ecclesiarum, & ministri ipsorum serviunt indesinenter Christo Deo nostro; & mercedem divinæ scripturæ juxta dignitatem portant: & inquerulas primitias suscipiunt ab antiqua Roma, & tollunt divinæ gratiæ fructus divino zelo & igne spiritali; usquequo ante certum quoddam tempus magis nova innovatio contra ecclesias introducta fuit. Sed si usque ad prædicta stetissent mala, licet difficile, tamen tolerabiliter sustinuissemus, cum passio faciliter potuisset medelam suscipere. Verum quando respublica Antiochena suscepit Severum, qui numquam communicavit ecclesiæ orthodoxorum, necdum a pejoribus ad meliora transmutatum; & jam velociora sunt, quæ contingunt, difficultatibus, quæ inductæ fuerunt, & (ut ita dicamus) insanabilia vulnera: fabula facta est fidelis civitas Apamiarum, postquam suscepit [a] objectum Severi hæretici. Et beati magis patres prædormientes, & qui non viderunt Petrum vocatum præsidem nostræ civitatis. Quoties enim memoria revolvimus, quæ ab illo facta sunt, implemur justa ira: [b] operimur autem, & cogitatione retrahimur dicere quæ commissa sunt. Verumtamen necessitas cogit, & omni tempore tacere non sinit: ne necessitate quadam confuscata malorum magnitudo capiat & eos qui bene habent, (ut verisimile est ac apparens) & longam catenam trahat degeneris & illiciti sensus. Multa igitur secundum hoc tempus collecta sunt & præsumpta contra sanctissimam ecclesiam nostram, quæ suadent nobis dicere. Admonet autem opportune & pia cogitatio pœnitentiæ Deo dilectæ, nos ad ipsam ordinatam & utilem sententiam capere. Clarus est enim sic: utinam numquam prædictus Petrus ex [c] hypogeo nuper adscendisset ad tribunal ecclesiæ Apamiatum. Anathematizat quidem sanctos patres nostros, & delet de sacris diptychis ipsorum vocabula: virorum, qui honeste ac sancte vixerunt, & qui venerabilia ac reverenda templa omnia collocaverunt, & donaverunt sacra vasa divinis Missis; & [d] illuminaverunt beatissimos patres nostros, & nos ipsos, & manus justas imposuerunt in omni provincia, & sine scandalis dispensaverunt justitias ecclesiarum. Quod autem pejus est omnibus, cum hujusmodi impietatis scelera parva valde putaverit, non solum prædictas salutationes delevit, verumetiam supra commutationem bonarum animarum illorum, in pariete depinxit ac scripsit [e] intus sanctum Joannem, Dioscorum & Timotheum condemnatos, & his similes: quorum memoria quam difficilis est, licet grave sit aliquid dicere contra mortuos. Hæc itaque sunt, quæ contra catholicam ecclesiam ab ipso commissa sunt, quæ etiam [f] propria, cum attenderet ad sedem Apamiarum propter peccata nostra, Petrus commisit; justum putavimus per breves (ut possibile est) litteras capitulatim enarrare. Nam cum venerabiles lectores starent cum decenti cogitatione, & appeterent majorem gradum juxta consequentiam consequi: (quod maxime naturæ infixum est, meliora amare:) surrexit cum magna audacia, & sine ulla ratione, & hanc vocem emisit: Quod nisi tacebitis, inquit; in subdiaconos vos ordinabo: & ipse qui crucifixus est, descendens non liberabit vos a manibus meis. Postea evenit Julianum, qui receptor fuerat ecclesiasticarum pecuniarum, mori, & illius bona Rufinum administrasse, qui per multos & infinitos annos dispensaverat res sanctissimæ ecclesiæ nostræ. Et post hujus obitum directi sunt illi, qui erant in possessione pecuniarum, ad pensionem verborum, rationum, & pecuniarum, & conferre partes, cum multa essent [g] mota, & ad persolutionem afferre: & rationem (si rationem illius vocare oportet) addere, inquit, quod anathema sit omnis homo, etiam

[a] *Prototelam.*
[b] *Procumbescimus.*
[c] *Id est, loco humili.*
[d] *Id est, baptizaverunt.*
[e] *Hoc est, in templo sancti Joannis.*
[f] *Hoc est, privatum.*
[g] *Hoc est, aversa, dissipata. Locus obscurus etiam in Græco: sed confer cum pag. 1375.*

ἀρχὴν κρατοῦντες, καὶ φῶς καθαρὸν ταῖς ἐκκλησίαις προξενήσαντες, ὅθεν ἔμεινεν ἀδιάφθορα τὰ τίμια τῶν ἐκκλησιῶν, καὶ οἱ τούτων ὑπηρέται δουλεύοντες ἀπαύστως Χριστῷ τῷ Θεῷ ἡμῶν· καὶ τὸν τῆς θείας γραφῆς κατ' ἀξίαν μισθὸν κομιζόμενοι. καὶ δεχόμενοι μὲν τὰς ἀμέμπτους ἀπαρχάς, καὶ ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης· ἀρνύμενοι δὲ τοὺς τῆς θείας χάριτος καρποὺς ζήλῳ θείῳ, καὶ πυρὶ πνευματικῷ, ἕως ὅτι πρὸ φανεροῦ τινος χρόνου νεώτερος κατὰ τῶν ἐκκλησιῶν νεωτερισμὸς εἰσηνέχθη. ἀλλ' εἰ μὲν ἔστη μέχρι τῶν εἰρημένων τὰ κακά, εἰ καὶ δυσχερῶς, ὅμως φορητῶς ἂν ὑπείκαμεν τοῦ παθήματος δυναμένου ῥᾳδίως ἴασιν ὑποδέξασθαι. ἀλλ' ὅτι καὶ Σευῆρον ὁ τῆς Ἀντιοχέων ἐπεδέξατο δῆμος, μηδέ ποτε τῇ καθολικῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ κοινωνήσαντα· ἐν ὅτι τῶν χειρόνων ἐπὶ τὸ βέλτιον μεταπεσόντα, ἀλλ' ἤδη τῶν ἠγνοημένων χαλεπώτερα τραχύτερα τὰ συμβαίνοντα, καὶ ὡς εἰπεῖν ἀνίατα τραύματα, καὶ δρᾶμα γέγονεν ἡ πιστὴ πόλις Ἀπάμεια, τὴν Σευήρου τοῦ κακόφρονος προβολὴν δεξαμένη· καὶ μακάριοι μᾶλλον οἱ προκοιμηθέντες καὶ μὴ θεασάμενοι Πέτρον τὸν κληθέντα τῆς ἡμετέρας πόλεως πρόεδρον. ὁσάκις γὰρ ἀνακυκλούμεθα τῇ μνήμῃ τὰ παρ' ἐκείνου πραχθέντα, ἀναπιμπλάμεθα μὲν δικαίας ὀργῆς, ἐγκαλυπτόμεθα δέ, καὶ τοῦ λέγειν τὰ πλημμεληθέντα τὸν λογισμὸν ἀνθελκόμεθα. πλὴν ἡ ἀνάγκη βιάζεται, καὶ σιγᾷν τὸν ἅπαντα χρόνον οὐκ ἐᾷ, ἵνα μὴ ἀνάγκῃ τινὶ συσκιαζόμενα τὰ μεγέθη τῶν κακῶν, χωρήσῃ καὶ ἐπὶ τοὺς εὖ ἔχοντας, ὡς εἰκός, καὶ σειρὰν ἑλκύσῃ [a] ἀγενοῦς, καὶ φρονήματος ἀθέσμου. πολλὰ οὖν κατ' αὐτὴν συναχθέντα λέγειν ἡμῖν ἐπιτρέπει τὰ κατὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας τολμηθέντα· παραινεῖ δὲ προσφόρως καὶ ὁ τῆς φίλης Θεῷ μετανοίας εὐσεβὴς λογισμὸς ἐπὶ ταύτην ἡμᾶς τὴν τεταγμένην καὶ λυσιτελῆ γνώμην χωρεῖν. φανεὶς γάρ, ὡς εἴθε μήποτε, τῇ Ἀπαμέων ὁ εἰρημένος Πέτρος ἐξ ὑπογείου κατὰ τὸ βῆμα τῆς ἐκκλησίας ἀναβεβηκώς, ἀναθεματίζει μὲν τοὺς ὁσίους ἡμῶν πατέρας, ἐξαλείφει δὲ καὶ τῶν διπτύχων τὰς αὐτῶν προσηγορίας, ἀνδρῶν σεμνῶς βεβιωκότων, καὶ ὁσίως, καὶ ἱδρυσάντων σεβάσμια καὶ προσκυνητὰ τεμένη πάμπολλα, καὶ φιλοτιμησαμένων ἱερὰ σκεύη ταῖς θείαις λειτουργίαις, καὶ φωτισάντων τοὺς μακαριωτάτους ἡμῶν πατέρας, καὶ ἡμᾶς αὐτούς, καὶ χεῖρας ἐνθέσμους ἐπιτεθεικότων κατὰ πᾶσαν τὴν ἐπαρχίαν, καὶ δίχα σκανδάλων οἰκονομησάντων τὰ δίκαια τῶν ἐκκλησιῶν. τὸ δὲ πάντων χαλεπώτερον, ὅτι δὴ καὶ τὰ τοιαῦτα τῆς ἀσεβείας ἀδικήματα μικρὰ πάνυ νενομικώς, οὐ μόνον ἐξήλειψε τὰς εἰρημένας προσηγορίας, ἀλλὰ καὶ ἀντάλλαγμα τῶν ἀγαθῶν ἐκείνων ψυχῶν ἀνατέθεικε τοιχικῇ γραφῇ [b] ἔσω τοῦ ἁγίου Ἰωάννου, Διόσκορον καὶ Τιμόθεον τοὺς κατακρίτους, καὶ τοὺς τούτοις παραπλησίους, ὧν ἡ μνήμη παγχάλεπος, εἰ καὶ λέγειν τι κατὰ τεθνεώτων βαρύ. ταῦτα μὲν οὖν, ὅσα πρὸς τὴν καθολικὴν ἐκκλησίαν πεπλημμέληται παρ' αὐτοῦ, ἃ δὲ καὶ ἰδίᾳ προσμένων τῷ θρόνῳ τῆς Ἀπαμέων, διὰ τὰς ἡμῶν ἁμαρτίας διήμαρτε Πέτρος, εὔλογον ἡγησάμεθα διὰ βραχέων, ὡς ἔνεστι, κεφαλαιωδέστερον ἀφηγήσασθαι. τῶν γὰρ εὐλαβεστάτων ἀναγνωστῶν ἑστώτων μετὰ πρεπούσης λογισμοῦ, καὶ αἰτούντων βαθμοῦ μείζονος κατὰ ἀκολουθίαν τυχεῖν, ὃ μάλιστα τῇ φύσει προσπέπηγε τῶν βελτιόνων ἐρᾷν, ἐξανέστη μετὰ πολλῆς τῆς θρασύτητος ἀπὸ μηδενὸς λόγου, τὴν ἀθέμιτον ταύτην ἀφῆκε φωνήν· ὡς εἰ μὴ σιωπήσετε, φησίν, ὑποδιακόνων χειροτονίαν ὑμῖν ἐπιθήσω, ἵνα αὐτὸς ὁ σταυρωθεὶς κατελθὼν μὴ λυτρώσηται ὑμᾶς ἐκ τῶν χειρῶν μου. εἶτα συμβέβηκεν Ἰουλιανόν, ὃς ἀποδέκτης γέγονε τῶν ἐκκλησιαστικῶν χρημάτων, τελευτῆσαι, καὶ τὰ ἐκείνου διοικῆσαι δίκαια Ῥουφῖνον, ἐπὶ πολλοὺς καὶ ἀπείρους χρόνους οἰκονομήσαντα τὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας πράγματα· ὥστε μετὰ τὴν τούτου τελευτὴν πρὸς ἔκπραξιν λόγων καὶ χρημάτων ἰθύνεσθαι τοὺς ἐν κατοχῇ τῶν ἐκείνου γενομένους χρημάτων· καὶ πολλῶν κινηθέντων συμβιβασθῆναι τὰ μέρη, καὶ πρὸς διάλυσιν ἐπείγεσθαι, καὶ λόγον, εἰ τὸν ἐκείνου λόγον ἀποκαλεῖν χρή, προστεθῆναι, φησίν, ὡς ἀνάθεμα πᾶς ἄνθρωπος ἔστω, κἂν

[a] *Legit interpres,* ἀγενοῖς.
[b] *al.* ἐν τῷ

ANNO CHRISTI 536.

Παῦλος ὁ ἀπόστολος ἐκαθέζετο τῷ θρόνῳ τούτῳ, πρὸς ἀνατροπὴν ἢ μέμψιν ὁρῶν τῶν ἠγνοημένων παραλύσεων. καὶ ὁ ταῦτα διαῤῥήδην εἰπὼν φαίνεται τὴν οὕτω φρικτὴν ἀπόφασιν παριδὼν, καὶ εἰσπράξας φανερὰν χρυσίου ποσότητα. πάλιν ἐροῦμεν καὶ ἕτερόν τι τῶν πᾶσιν ἐγνωσμένων. εἰπὼν γὰρ πρὸς τὸν θεοφιλέστατον οἰκονόμον Εὐστάθιον ὠνήσασθαί τινα σκαμνάλια εἰς λόγον τοῦ σηκρήτου τοῦ ἐπισκοπείου, καὶ μικρᾶς ὑπερθέσεως γενομένης ὡσαύτως δυσφημῶν κατὰ τοῦ θείου, μεγάλῃ κέκραγε φωνῇ· πάσας τὰς ἐκκλησίας καὶ τὰ θυσιαστήρια κατακαύσει ὁ Θεὸς, καὶ ποιήσει βωμὸν ἕνα, ἵνα τοῖς ἐκείνου χρησώμεθα ῥήμασι. τὸ δὲ καὶ γύναιον ἄσημον μὴ ἀξιωθὲν τοῦ θείου φωτίσματος παρεισαγαγεῖν, καὶ στῆσαι παρὰ τὴν σεπτὴν κολυμβήθραν τῶν θείων κατὰ τὸν εὐκτήριον οἶκον τῆς θεοτόκου ἐπιτελουμένων μυστηρίων, ποῖος ἀνέξεται λόγος; ἢ ποία Χριστιανῶν ἀκοὴ τοσαύτην ὑπομείνῃ λεγομένην, B μόνον γε δὴ καὶ πραττομένην ἀσέβειαν; μηδεὶς ἀπιστείτω καὶ πρὸς τὴν ἑξῆς τῶν λεγομένων ἀλήθειαν. ὑπαγαγὼν γὰρ Στεφάνην τὴν ἀπὸ σκηνῆς, τὴν ἐπίκλην Πτεροβόλον, καὶ μοναστηρίῳ, φησὶ, παραδεδωκὼς, ἰδίᾳ τε καὶ οὐδενὸς ἑτέρου παρόντος, τὸ πολὺ μέρος ἑκάστης ἡμέρας περὶ τὴν ἐκείνης ἄτοπον κολακείαν ἀνήλισκε. καί ποτε καὶ Σευήρου ὑποπτήσσοντος ταύτην, κατὰ τὴν Ἀντιόχου ταῖς διατριβαῖς παιδεῦσαι παρεσκεύασε. καὶ ἔδοξε μὲν ἐπὶ τούτοις ὁ Πέτρος οὐκ ἀχθεσθῆναι. ἐλαχίστων δὲ διαδραμουσῶν ἡμερῶν ἡ τῆς ὑπομονῆς δοκοῦσα καρτερία τοῦ σώματος βέλεσιν ἐγυμνοῦτο πρὸς ἔλεγχον. ὅθεν μὴ φέρων αὐτῆς τὴν ἀπόλειψιν, γίνεται καὶ προφάσεως χωρὶς, κατὰ τὴν Ἀντιοχέων τὴν ἐκείνης ταχεῖαν ἐπάνοδον, πάντων ἔμπροσθεν ἀσχημονέστατα ποιούμενος. καὶ δεινὸν μὲν ὡς ἀληθῶς καὶ ἐλεεινὸν ἀφηγεῖσθαι τοσαῦτα δράματα συμφορῶν. C πέπρακται γὰρ καὶ ἕτερόν τι τῆς αὐτοῦ προπετείας, ὡς ἔοικε, συγγενές. ἐνδυσάμενος γὰρ τὴν οὐδαμόθεν αὐτῷ κατὰ προσήκουσαν τῆς ἱερωσύνης στολὴν ἄσπρην, ὡς ἐν τάξει τῶν θεοφόρων ἀποστόλων ὁ πάσης ἁμαρτίας ὑποβρύχιος ἐν τῷ Μαράτῳ Ζαβδάλης, καὶ τοῖς Νωγίου χωρίοις, καταθέσεως ἁγίων μαρτύρων παρ' αὐτοῦ γενομένης, κατατεμὼν εἰς ἄπειρα μέρη τὴν στολὴν, διεδίδου τοῖς εὐχερῶς ἀπατωμένοις ὁ ἀσεβής· οὐκ ἀγνοῶν ὡς ἤλικον ἐστὶ καὶ τοὺς μετὰ τῆς ἀληθείας πορευομένους τοιούτοις τισὶν ἐγχειρεῖν, καὶ παρεκβαίνειν τὰ μέτρα τῆς ἀνθρωπίνης καταστάσεως, καὶ τὰ διατάγματα τοῦ δεσπότου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. τοσοῦτο γὰρ ἀπετυφλώθη τὸ τῆς ψυχῆς ὄμμα, ὡς ἱστάμενος ἐπὶ θυσίᾳ ἀναιμάκτῳ, ἣ τοῖς ἀξίοις ὠφέλειαν D ἐπέχει, οὐκ ἐκείνῳ, καὶ τὴν πᾶσαν διάνοιαν ἀποῤῥίπτων εἰς τὴν περὶ τῶν γυναικῶν ἀτενισμὸν, πτύσμασι κατέχρανε τοῦ σεπτοῦ θυσιαστηρίου τὴν ἁλουργίδα· οὐκ εἰδὼς ὡς καὶ ἀπὸ μόνου βλέμματος ἡ ἁμαρτία συνίσταται κατὰ τὴν θείαν γραφήν· ἀλλ' οὗτος ἡμῖν ὁ χρηστὸς οὐ μόνον ἑώρα, οὐκ ἐψηλάφα πικρῶς, ἀλλὰ καὶ τῶν χειρόνων καθήπτετο. περαιτέρω γὰρ τούτων λέγειν τὰ ἀσχημονέστερα λίαν εἰκότως αἰδούμεθα. τοσαύτη δέ τις ἦν ἡ ἄλογος θρασύτης τῆς ἐκείνου νεότητος, ὡς οὐκ ἐπαύετο τοὺς παραγινομένους παροινεῖν ἐν ἁγίῳ καὶ φρικωδεστάτῳ καιρῷ τοῦ φωτίσματος. οὐχ ἡγούμεθά τινα διαλανθάνειν τῶν ἀξιωθέντων τῆς θείας μυσταγωγίας, ὅσος ἀγὼν ἐπικρατεῖ τοὺς φοβουμένους τὸν κύριον, καθ' ὃν μέλλουσι προσιέναι καιρὸν τῷ θείῳ βαπτίσματι, οἱ προκατασχεθέντες τῇ πλάνῃ. καὶ ἐπειδὴ σὺν ἀληθείᾳ φῶς ἐλεύθερον ἐπιλάμπει ταῖς τοιαύταις ψυχαῖς, καὶ δουλείας ἐλευθεροῦνται E παγχαλέπου, ἵστανται τὸ σχῆμα τοῦ ἀγῶνος ἀποπληροῦντες, κάτω νεύοντες, καὶ τὰς χεῖρας συμπλέκοντες, καὶ τρέμοντες τῷ τρόμῳ, καὶ ἀντικαθιστάμενοι τῇ φθοροποιῷ τοῦ διαβόλου πανουργίᾳ, ἅπαξ λύτρωσιν ἀληθῶς τοῦ σωτηρίου φωτίσματος ἀπεκδεχόμενοι. καὶ ὅμως τούτων κρατούντων οὕτως, οὐκ ὤκνησεν ἀπώσασθαι μὲν τοὺς μελλοφωτίστους· τῷ δὲ μεγέθει τοῦ τοιούτου θείου καὶ ἀγαθοῦ χρηματισμοῦ ἀντιποιοῦσι τὴν ἐπιθυμίαν τοῦ σουσαίτης ὑπ' αὐτοῦ τῶν ἀσκητριῶν φησιν ἐργαστηρίου δεινοῦ. ὡς Στέφανος ὁ θεῖος καὶ ἱερώτατος διάκονος ἐπιμαρτυρεῖ, ὁ καὶ τὰς προσηγορίας τῶν εἰς τὸ θεῖον βάπτισμα προσιόντων ἐγγράφειν τεταγμένος. εἰκότως κατὰ τὴν οἰκείαν δόξαν πρὸς τὸ κακὸν ἔῤῥεπε,

A si Paulus apostolus sederet in sede ista, ad eversionem aut querelam videns inductarum transgressionum. Et hæc aperte dicens, videtur ita horridam sententiam neglexisse, & quod ad certam quantitatem auri fecerit. Rursus & aliud quid dicemus, quod omnibus notum est. Dicens enim ad venerabilem Eustathium œconomum, emere quædam scamnalia ad rationem secreti episcopalis; & parva mora facta est; similiter impie loquens contra Dominum, voce magna clamavit: Omnes ecclesias & altaria comburet Deus, & faciet collem unum, ut illius verbis utamur. Impudicitiam vero muliebrem non dignam divini baptismatis introduxit, & stare fecit juxta sacrum fontem. Et cum divina mysteria in oratorio domus Dei genitricis finiuntur, B qualem sermonem indigne faciat, quæ auris Christianorum tantam impietatem dictam, & factam sustinuerit? Nemo non credat, & ad veritatem eorum quæ deinceps dicentur. Subducit enim Stephanam nuncupatam Pterovolam, [a] de tugurio: & monasterio, inquit, tradidit, private & nullo alio præsente, per magnam partem cujuslibet diei circa illius indecentem delectationem consumpsit: (cumque Severus illi subblanditus esset, effecit ut Antiochiæ moraretur:) & visus est quidem in his Petrus non ferre moleste. Paucissimis vero percursis diebus, tolerante patientia quæ videtur, corporis jaculis denudata est ad reprehensionem. Unde non ferens ipsius carentiam, sine occasione venit Antiochiam, & illius velocem reditum in conspectu omnium & inhonestissime facit. Grave quidem profecto C & miserandum tanta calamitatum gesta enarrare: fecit enim & aliud quid protervitas ipsius tamquam simile cognatum. Induit enim stolam albam, quæ nullatenus conveniebat ipsi secundum rationem sacerdotii, tamquam in ordine divinorum apostolorum. Qui impius submersus in omni peccato, in Marato Zabdalæ, & campis Nogei, facta ab ipso depositione sanctorum martyrum, scidit in infinitas partes stolam, & divisit faciliter deceptis: non ignorans, quantum est eos, qui cum veritate ambulant, quædam talia conari, & excedere mensuram humanæ staturæ, & mandata Domini & Salvatoris Jesu Christi Dei nostri. Tantum excæcatus fuit oculis animæ, cum staret in sacrificio D sine sanguine, quod dignis utile fuit, non illi, qui omnem intellectum projicit in intuitum mulierum: sputis decoloravit venerabilis altaris pannum rubeum: nesciens quod ex solo aspectu peccatum contrahitur juxta divinam scripturam: sed iste nobis optimus non solum impudice videbat, nec non palpabat amare, sed & pejora tangebat. Ultra hæc enim dicere inhonestiora valde dolemus merito. Tanta vero fuit quædam irrationabilis audacia juventutis illius, quod non cessavit inebriare eos, qui veniunt in sancto & honorandissimo tempore baptismatis. Non putamus latere aliquem qui dignus sit divini ritus, quantum certamen detinet eos qui timent Dominum, tempore quo debent venire ad divinum baptisma, qui errore ante capti sunt. E Et quoniam liberum lumen cum veritate super hujusmodi animabus splendet, & a difficili valde servitute liberantur, stant figuram certaminis explicantes, deorsum innuentes, & manus complicantes, & in tempore trementes, diabolique corruptivæ astutiæ resistentes, semel redemptionem veri salutaris baptismatis exspectantes. Et tamen cum hi taliter se tenerent, non negligebat repellere baptizandos, & magnitudini hujus divini & peculiaris boni assimilate desiderium atrocis officinæ devotarum mulierum, ut dicebat, ab ipso constitutæ; sicut Stephanus divinus & sacratissimus diaconus testatur, qui salutationes eorum, qui ad divinum baptisma veniunt ordinavit in scriptis: & merito secundum propriam opinionem ad malum repebat,

[a] Græc. scenica muliere.

Inclusa parenthesi non sunt in vetusta interpretatione.

Matth. 5.

& superatus est corporali voluptate desideriorum; & hoc enim proprium fuit Manichææ enormitatis, putare subsistens malum, & propter hoc esse multos servientes principatui illorum pessimorum. Quid autem debet quis amplius de prædictis miseris mulieribus enarrare? Cum enim vidissent justam ejectionem provenientem contra Petrum, nec adhuc postea constiterunt; sed sustinebant in domo lacrymis & fletibus immensuratis, flentes carentiam & divortium Petri. Post hoc autem, & libidinem viri, & inexplebilem artem condiendi fercula, & tamquam super sponso mortuo flentes & plorantes illius vitam peramplius deterioraverunt, ostendentes impudicam perditionem hominis [a] sculpiti, non pastoris sacri ovilis. Et nisi ultra propositum nostrum esset, quædam alia percurreremus, & prædicaremus de bonis faciebus mulierum, [b] figuratis ad vindictam: ut nihil asperius dicamus, totum attribuimus malæ conscientiæ illorum, qui percelluntur nostris contrariis vocibus. Et licet cum modestia tamen dicta sint quædam de Stephana, quæ dicitur Pterovola: cum qua inconsulte (ut ita dicamus) omnem diem exigebat, & quam dicebat illius translationem ad melius, subripiens desideria corporis delinquentis; testes sunt recepti, qui fuerunt ministri venerabilis diaconiæ. Qui autem de Veneticis partibus oriundi erant, invitabant venire ad obsidionem venerabilis monasterii sancti Dorothei: quando ipse accipiens multitudinem inordinatorum, irruit contra colentes in prædicto venerabili monasterio, meretrices & saltatrices introducendo, & multitudinem amantium, nullam speciem omittendo ad depositionem & extinctionem ibidem colentium. Quod autem & uxorem cujusdam militaris, cognominatam Psepha, lubricam naturam mulieris introducendo, sicut in infinitis aliis, illius libertatem obsederit; sciunt fere omnes; & secundum illud quod scriptum est, *Etsi nos etiam tacebimus, lapides clamabunt.* Quæ cum non potuerit indecentem voluptatem viri sustinere, ad fugam divertit, lamentantando de propria & opprobriosa calamitate, quam ille fecit. Bonum esset, neque causam doloris contra venerabilem Julianum celeriter transcurrere. Cum enim quidam dogmatici sermones moti essent in secreto sancti Stephani, & prædictus venerabilis vir respondisset, bene ac sancte credere piissimum Imperatorem nostrum: quamquam anxiatus & compunctus anima in hac justa voce, sub ratione hac: & condemnationem, inquit, fecit Petrus: qui veritatis inimicus est, & qui nullatenus justum sermonem habet, sed solum in omnibus protervus adversarius, & hinc repugnans devotæ ac orthodoxæ rationi domini totius orbis post Deum. Sufficere quidem putamus unam causam prædictorum [c] decertare inhonestam vitam Petri. Ordinando autem cum pecuniis, quod maxime in Antiocho [d] unguentario videtur fecisse; & ordini divinorum decretorum, & simili judicio hujusmodi argumentorum videtur repugnasse; & sic undique damnosam ruinam sustinere sacerdotii, quod frustra habere fantasticatur. Rememorari autem receptaculi totius impietatis, non consistit extra rationem. Dictum enim monasterium sancti Romani, pro orationibus & conversatione mansueta, quam decet eos, qui separati sunt, amplecti, psalmos anathematum contra sanctos patres, pecuniarii, immo non monachi facere edocti sunt. Nam habent Petrum ducem malorum, & hanc mercantiam facientem contra ecclesias Dei. Presbyteros ex ipsis quasi ordinant, paramonarios, & hospitalarios statuentes, & ubique necessaria alimenta pauperum compilantes. Et licet veritatem ita habere negari umquam non possit, nos obsecramus cum pœnitentia Deo dilecta hos vivere, & solutionem exoptatam & Christianis decentem accipere prædictarum difficultatum: cum in his omnibus ma-

[a] Id est, ignominia notati.

[b] al. quæ fingebant se in lucem vera vindicari.

Luc. 19.

[c] Pro debellare.

[d] al. myrepso.

A καὶ ἡττᾶτο τῇ σωματικῇ τῶν ἐπιτηδευμάτων ἐπιθυμίᾳ. καὶ τοῦτο γὰρ ἴδιον πέφυκε Μανιχαϊκῆς ἀταξίας, ἡγεῖσθαι καὶ τὸ κακὸν ἐνυπόστατον, καὶ εἶναι διὰ τοῦτο πολλοὺς τοὺς δουλεύοντας καὶ τῇ κατ᾽ ἐκείνους τῶν πονηροτάτων ἀρχῇ. τί δ᾽ ἄν τις καὶ ἐπιπλέον διέλθοι περὶ τῶν εἰρημένων ἀθλίων γυναικῶν; ὡς γὰρ ἐθεάσαντο τὴν δικαίαν ἐκβολὴν προελθοῦσαν κατὰ Πέτρου, οὐκ ἔτι λοιπὸν συνέστησαν, ἀλλ᾽ ὑπεχώρουν οἴκαδε, δάκρυσι καὶ ὀδυρμοῖς ἀμέτροις θρηνοῦσαι τὴν ἀπόλειψιν καὶ τὸν χωρισμὸν τοῦ προειρημένου Πέτρου. πρὸς δὲ τούτῳ λοιπὸν καὶ τὴν ἡδυπάθειαν τοῦ ἀνδρὸς, καὶ τὴν ἄπληστον ὀψοποιΐαν, καὶ ὡς ἐπὶ νυμφίῳ τεθνεῶτι κλαίουσαι καὶ κοπτόμεναι, τὸν ἐκείνου βίον ἐπιπλέον κατῄσχυναν, δεικνῦσαι τὴν ἄσεμνον τοῦ πολιτευσάντος οὐ ποιμένος ἱερατικῆς ποίμνης ἀπώλειαν. εἰ μὴ περαιτέρω τοῦ ἡμετέρου προσχήματος B ἦν, καὶ ἕτερά τινα διεξήειμεν, περὶ γυναικῶν εὐπροσώπων, καὶ χρηματιζομένων πρὸς ἐλευθερίαν ἀνακηρύττεσθαι, ἵνα μηδὲν τραχύτερον εἴπωμεν, τὸ ὅλον παρέχοντες τῷ κακῷ συνειδότι τῶν καὶ πληττομένων ταῖς ἡμετέραις ἐναντίαις φωναῖς. εἰ καὶ μέτρια εἴρηταί τινα περὶ Στεφάνης τῆς λεγομένης Πτεροβόλου· πρὸς ἣν ἀδιακρίτως, ὡς εἰπεῖν, διημερεύετο· καὶ ἣν ἔλεγεν ἐκείνης ἐπὶ τὸ βέλτιον μεταβολὴν ὑποσυλῶν ἐπιθυμίᾳ σώματος ἐπταισμένου· μάρτυρες τυγχάνουσιν ὑπειλημμένοι τῆς σεμνῆς διακονίας ὑπηρέται γεγονότες, οἱ πεφύκασιν εἰς τὸ Βένετον μέρος, προτρέποντες παρελθεῖν ἐπὶ τὴν πολιορκίαν τοῦ εὐαγοῦς μοναστηρίου τῶν Δωροθέου, ὅτε πλῆθος ἀτάκτων αὐτὸς παραλαβὼν ὥρμησε κατὰ τῶν ἀσκούντων ἐν τῷ εἰρημένῳ εὐαγεῖ μοναστηρίῳ, ἑταίρας καὶ ὀρχηστρίδας παρεισαγαγὼν, καὶ πλῆθος ἐρωτιζομένων, C μηδὲν εἶδος παραλελοιπὼς πρὸς καθαίρεσιν καὶ ἀναίρεσιν τῶν ἀσκούντων αὐτόθι. ὅτι δὲ καὶ τὴν γαμετὴν στρατιώτου τινὸς τὸ ἐπίκλην Ψηφᾶ, ὥσπερ καὶ ἐπὶ μυρίαις ἄλλαις ὑπαγαγὼν τὴν ὀλισθηρὰν φύσιν τῆς γυναικὸς, τὴν ἐκείνης ἐλευθερίαν ἐπολιόρκησεν, ἴσασι σχεδὸν ἅπαντες· καὶ κατὰ τὸ γραφικὸν, κἂν ἡμεῖς σιωπήσωμεν, οἱ λίθοι κεκράξονται. ἡ μὴ δυνηθεῖσα τὴν ἄτοπον ἐπιθυμίαν ὑπομεῖναι τοῦ ἀνδρὸς, εἰς φυγὴν ἀπεχώρησε, τραγῳδοῦσα τάς τε οἰκείας, καὶ τὰς τοῦ δεδρακότος ἐπονειδίστους συμφοράς· καλὸν ἂν ἦν μηδὲ τὴν αἰτίαν τῆς κατὰ Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου λύπης, παραδραμεῖν. ἐπειδὴ γάρ τινες ἐκινήθησαν λόγοι ἐν τῷ σεκρέτῳ τοῦ ἁγίου Στεφάνου δογματικοὶ, καὶ ἀπεκρίνατο ὁ εἰρημένος εὐλαβὴς ἀνὴρ, καλῶς καὶ ὁσίως πιστεύειν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ἀχθεσθεὶς, ὥσπερ καὶ κεντηθεὶς τὴν ψυχὴν ἐπὶ τῇ δικαίᾳ ταύτῃ φωνῇ, ὑπὸ λόγον καὶ κατάκριμα, D φησὶ, τοῦτο πεποίηκε Πέτρος, ὁ τῆς ἀληθείας ἐχθρὸς, ὁ μηδαμόθεν ἔχων εὔλογον λόγον, ἀλλὰ μόνον κατὰ πάντα προπετὴς ἄντικρυς, κἀντεῦθεν μαχόμενος τῷ φιλοχρίστῳ καὶ ὀρθοδόξῳ λογισμῷ, τοῦ τῆς ὅλης μετὰ Θεὸν οἰκουμένης δεσπότου. καὶ ἀρκεῖν μὲν ἡγούμεθα καὶ μίαν τῶν εἰρημένων αἰτίαν, καταγωνίσασθαι τὴν ἄσεμνον Πέτρου πολιτείαν. τὸ δὲ καὶ χρήμασι χειροτονεῖν, ὃ δὴ μάλιστα φαίνεται πεποιηκὼς ἐπὶ Ἀντιόχῳ τῷ μυρεψῷ, τῇ τε ἀκολουθίᾳ τῶν θείων διατυπώσεων, καὶ τῇ ὁμοίᾳ τῶν τοιούτων ὑποθέσεων κρίσει, φαίνεται μαχεσάμενος· ὥστε πανταχόθεν ἔκπτωσιν ὑπομένειν, ἧς ἔχειν ἐφαντάζετο μάτην ἱερωσύνης· ἐπιμνησθῆναι καὶ τοῦ δοχείου τῆς ὅλης ἀσεβείας, οὐκ ἔξω λόγου καθέστηκε. τὸ γὰρ λεγόμενον μοναστήριον τοῦ Ῥωμανοῦ ἀντὶ E προσευχῶν καὶ πολιτείας ἡμέρου, καὶ ἧς προσήκει τοὺς ἀναχωρημένους ἀσπάζεσθαι, ψαλμοὺς ἀναθεμάτων κατὰ τῶν ὁσίων πατέρων οἱ χρηματισταὶ καὶ οὐ μοναχοὶ μᾶλλον ποιεῖν ἐδιδάχθησαν. ἔχοντες γὰρ Πέτρον τὸν ἡγεμόνα τῶν κακῶν ταύτην ἐμπορείαν ποιοῦντα κατὰ τῆς ἐκκλησίας τοῦ Θεοῦ· πρεσβυτέρους δῆθεν χειροτονοῦντες ἐξ αὐτῶν, καὶ πανταχόθεν παραμοναρίους, καὶ ξενοδόχους ἱστῶντες, καὶ ὑποσυλῶντες τῶν πτωχῶν τὴν ἀναγκαίαν τροφήν. ἀλλ᾽ εἰ καὶ τὸ ἀληθὲς οὕτως ἔχειν οὐκ ἂν ἀρνηθείη τις, ἡμεῖς προσευχόμεθα πρὸς τὴν φίλην Θεῷ μετάνοιαν τούτους ἰδεῖν, καὶ λύσιν εὐπρόσδεκτον, καὶ Χριστιανοῖς πρέπουσαν λαβεῖν, τῶν προειρημένων δυσκολιῶν, ἐπὶ τούτοις ἅπασι τοῦ κα-

κοῦ τιμηθέντος, καὶ τοῦ Θεοῦ τὴν ἐκείνων ἀποστραφέντος ζωήν. νῦν ὅτι τὴν χρηστὴν παῤῥησίαν δεδεξάμεθα δωρηθεῖσαν ἡμῖν ὑπό τε τῆς αὐτοῦ φιλανθρωπίας, καὶ τοῦ εὐσεβεστάτου καὶ ὀρθοδόξου ἡμῶν βασιλέως, καὶ τῶν μεγάλων ἐξουσιῶν, καθὰ καὶ μεγίστη προέτεινε πρόσταξις, καὶ γέγονεν ἐμφανὴς κατὰ τὸ λαμπρὸν ἡγεμονικὸν δικαστήριον, πιστεύοντες, καὶ κατακολουθοῦντες τῷ εὐσεβεῖ σκοπῷ τοῦ γαληνοτάτου ἡμῶν βασιλέως, καὶ τῶν ἁγιωτάτων ἐνθέσμων πατριαρχῶν· συνείδαμεν τὸ καθέκαστον τούτων διασαφηνίσαι, διὰ τοῦδε τοῦ λιβέλλου, καὶ ἀναγαγεῖν ἐπὶ τὴν ὑμετέραν πατρότητα, πρὸς εὐμάθειαν ἀκριβῆ καὶ γνῶσιν τῶν παρηκολουθηκότων· εὖ εἰδότες, ὡς εἰ καί τις κατὰ συγχώρησιν δοίη χειροτονίαν ἔνθεσμον περιελθεῖν ἐπὶ Πέτρῳ, τοσούτων ἡγησαμένων πλημμελημάτων ἀλλότριος ἂν ἀπεφάνθη τῆς τῶν Χριστιανῶν ἱερωσύνης. ἐφ' ᾧτε τὸ καθ' ἕκαστον τούτων ἐπισταμένους τοὺς ὁσιωτάτους ὑμᾶς, κρῖναι τὰ τοῖς θείοις κανόσι δοκοῦντα, καὶ πρὸς λυσιτέλειαν ὁρῶντα τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας. σύμπαντα ταῦτα γνώριμα καθιστῶντες, εἰ συναρέσῃ, καὶ τοῖς ἁγιωτάτοις ἐνθέσμοις πατριάρχαις, καὶ τῷ κρατίστῳ ἡμῶν βασιλεῖ, πρὸς τὸ παρεστάμενον καὶ ἀρέσκον τῇ τε αὐτοῦ γαληνότητι, καὶ τῇ ὁσίᾳ τῶν μακαριωτάτων ἀνδρῶν ἐπικρίσει, ἵνα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τὰ συμφέροντα βραβεύοντος, πᾶσιν ἡμῖν εἰρήνη, καὶ ἀνόθευτος ἕνωσις ὑπάρχῃ ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις, καὶ ἐνθρονισθείη τῇ Απαμέων μητροπόλει, ὅσιος, λογικός, ἥπιος ἀνὴρ ἐπ' ἀγαθῷ χορηγῶν τῇ καθ' ἡμᾶς ἐπαρχίᾳ τὰ λυσιτελοῦντα. ταύτην γὰρ ἔχοντες τὴν ἀγαθὴν ἐλπίδα, καὶ ἀφορῶντες εἰς Θεόν, καὶ τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, καὶ τοὺς ἁγιωτάτους πατριάρχας, καὶ τὰς προσηγορίας τῶν μακαρίων ἡμῶν ἐπισκόπων, ἐνεχαράξαμεν τοῖς ἱεροῖς διπτύχοις κατὰ τὴν ἀρχαίαν τάξιν τῆς ἱερατικῆς καταστάσεως· καὶ προσευχόμεθα Χριστῷ τῷ Θεῷ ἡμῶν, ἀδιαίρετα φυλάξαι τὰ ἄτρωτα σκῆπτρα τοῦ γαληνοτάτου ἡμῶν βασιλέως, τοσαύτην πρόνοιαν φιλοτιμουμένου ταῖς ἁπανταχοῦ ἐκκλησίαις, καὶ ἡμᾶς ἐλευθερώσαντος τῆς πικρᾶς καὶ μοχθηρᾶς αἱρέσεως Πέτρου, τοῦ τὰ δίκαια τῆς ἡμετέρας ἐκκλησίας λυμηναμένου, κατὰ τὴν τῶν ἀφηγηθέντων δύναμιν· ἵνα τὰ πολλὰ παρέντες τοῖς ἐν τῷ τέως ἀφηγηθεῖσιν ἀρκεσθῶμεν. ταῦτα δὲ σύμπαντα αἰτοῦμεν, καὶ ὁρκοῦμεν γνωρισθῆναι διά τε τῆς ὑμετέρας ὁσιότητος, καὶ τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος. διὸ καὶ ἐμφανὲς τοῦτο καθίσταμεν.

Natalis reverentiſſimus presbyter dixit: lum poſſederit, & Deus illorum vitam averterit. Nunc quando optimam capimus fiduciam, donatam nobis ab ipſius clementia, & piiſſimo ac orthodoxo Imperatore noſtro, & a magnis poteſtatibus, ſicut & maxima orta eſt & irrefragabilis juſſio, & fuit ſplendens ſecundum ſplendidum, & principale judicium; credentes & ſequentes pium propoſitum ſereniſſimi Imperatoris noſtri, & ſanctiſſimorum patriarcharum, conſentimus declarari quodlibet iſtorum per libellos, & adducere ad veſtram paternitatem, ad bonam & diligentem cognitionem eorum, quæ ſubſecuta ſunt: ſcientes quod & ſi quis per conceſſionem daret ordinem licitum provenienda in Petro, tantorum prædictorum delictorum ſententiatus quidem eſſet alienus a ſacerdotio Chriſtianorum: ut & vos, ſanctiſſimi, cum quodlibet horum ſciveritis, judicetis divinis canonibus approbata, & quæ ad utilitatem ſanctiſſimæ eccleſiæ noſtræ reſpiciunt; univerſa hæc nota conſtituendo, ſi conſentitis & ſanctiſſimis patriarchis, ac potentiſſimo Imperatori noſtro, ad adſiſtendum & placendum ſuæ ſerenitati, ac beatiſſimorum ſancto decreto: ut Chriſto Deo noſtro utilia concedente, pax nobis omnibus, & valida ac perfecta unio fiat ſanctis ſuis eccleſiis: & præficiatur metropoli Apamiarum ſanctus, rationabilis, & tranquillus vir, qui in bono det utilia provinciæ noſtræ. Hanc enim ſpem bonam habentes, & ad Deum reſpicientes, ac piiſſimum Imperatorem noſtrum, & ad ſanctiſſimos patriarchas, ſalutationes beatiſſimorum epiſcoporum noſtrorum ſacris diptychis inſcripſimus ſecundum antiquum ordinem ſacrati ſtatus. Et Chriſtum Deum noſtrum oramus, ut indiviſa ſervet inſuperabilia ſceptra ſereniſſimi Imperatoris noſtri: qui tantam providentiam ubique eccleſiis largitur, & nos ab ærumnoſa hæreſi Petri liberavit, qui bona eccleſiæ noſtræ devaſtabat, juxta defectum ſupra narratorum. Multis itaque prætermiſſis ſufficiant nobis, quæ interim enarrata ſunt. Hæc autem omnia petimus, & obteſtamur nota fieri per veſtram ſanctitatem, & magnificum præſulem provinciæ. Et idcirco hoc apertum conſtituimus.

Ναταλιος εὐλαβέστατος πρεσβύτερος εἶπε.

Παρήμην, ὅτε εἴρηκεν ὁ λεγόμενος ἡμῶν ἐπίσκοπος Πέτρος τὸ βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος, ἀγανακτῶν τοῖς ἀναγνώσταις. οἶδα δὲ καὶ περὶ τὸ εἰπεῖν αὐτόν, κατὰ τῶν ἐκκλησιῶν καὶ τῶν θυσιαστηρίων τὸ βλάσφημον ῥῆμα.

Νεσίνιος εὐλαβέστατος πρεσβύτερος εἶπεν.

Εκ τῶν ἀναγνωσθέντων κεφαλαίων φημὶ ἐπὶ μνήμης ἀκηκοέναι τὸ παρὰ Πέτρου λεγομένου ἐπισκόπου ῥηθὲν βλάσφημον ῥῆμα κατὰ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ ἐπὶ πάντων Θεοῦ ὑπὲρ τῆς ἡμετέρας σωτηρίας, ἡνίκα ἠγανάκτησε κατὰ τῶν ἀναγνωστῶν. εἶδα δὲ τηνικαῦτα τυγχάνων ἐν τῷ εὐκτηρίῳ τῆς ἁγίας θεοτόκου Μαρίας ἀκηκοέναι, ὡς ὁ αὐτὸς ἐπίσκοπος λαβών τινα μήπω τοῦ ἁγίου ἀξιωθεῖσαν φωτίσματος εἶχεν, ἐν τῷ βαπτιστηρίῳ πλησίον τῆς κολυμβήθρας· διὸ καὶ οἱ τότε ὄντες ἐκεῖ ἔφριξαν.

Ρωμανὸς εὐλαβέστατος πρεσβύτερος εἶπεν.

Εἰ μὲν ἐγὼ μόνος ἢ τεθέαμαι, ἢ ἀκήκοα λεγόμενόν τι ἢ ῥηθὲν παρὰ Πέτρου τοῦ λεγομένου ἡμῶν ἐπισκόπου, εἶχον ἂν παρασιωπῆσαι, μήπω ὡς κατήγορος κριθείην. ἐπειδὴ τοίνυν τὴν ἐκ θυμοῦ ῥηθεῖσαν βλάσφημον φωνὴν παρ' αὐτοῦ κατὰ τοῦ σταυρωθέντος ἐπὶ πάντων τῶν εἰς προσηγορίαν ἀνελθόντων εὐλαβεστάτων κληρικῶν εἴρηκε, τούτου χάριν κἀγὼ οἶδα ἀκηκοέναι. ὁμοίως δὲ κατὰ τὸν εὐκτήριον οἶκον τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας λεγόμενον, ἐπείπερ καὶ αὐτὰ γνώριμα τοῖς πλείοσι καθέστηκεν, φημί, ὡς τὴν Εμισηνήν, Μαρίαν φημὶ τὴν ἀπὸ σκηνῆς, κατ' ἐπιτροπὴν αὐτοῦ πολλάκις εἰσήγαγον ἐν τῷ ἁγίῳ φωτιστηρίῳ· καὶ τῶν ἁγίων μυστηρίων ἐπιτελουμένων, πρὸ τοῦ ἀξιωθῆναι

Aderam, quando Petrus epiſcopus noſter dixit blaſphemum verbum contra Crucifixum, indignatus lectorariis. Scio autem & ipſum dixiſſe blaſphemum verbum contra eccleſias & altaria.

Neſinius reverentiſſimus presbyter dixit:

Ex capitulis lectis memoria teneo audiviſſe me a Petro epiſcopo dictum blaſphemum verbum contra Chriſtum Deum coram omnibus, qui crucifixus eſt pro noſtra ſalute, quando indignatus erat contra lectorarios. Scio autem tunc in oratorio ſanctæ Dei genitricis Mariæ exſiſtentem audiviſſe, quod ipſe epiſcopus accipiens quamdam, nondum dignam factam ſancti baptiſmatis, habebat in baptiſterio prope fontes: propter quod, qui tunc ibi erant, abhorruerunt.

Romanus reverentiſſimus presbyter dixit:

Si quidem ego ſolus aut vidi, aut audivi, quod factum aut dictum eſt a Petro epiſcopo noſtro, haberem utique reticere, ne ſic accuſator judicarer. Quia vero ex iracundia vocem blaſphemam dictam ab ipſo contra Crucifixum coram omnibus venerabilibus clericis, qui ad ſalutationem adſcenderant, dixit: hac de cauſa & ego ſcio audiviſſe. Similiter autem & in oratorio domus Dei genitricis Virginis Mariæ factum eſt: & quia hæc pluribus nota fecit, dico, quod Emiſenam (Mariam, inquam de tugurio) ſecundum commiſſionem ſuam, ſæpius introduxi in ſanctum baptiſterium: & finitis ſanctis myſteriis, antequam ipſa baptiſmate

Anno Christi 536.

digna esset, loquebatur private cum ipsa. Scio autem certe, & fui minister in loco incisionis & distributionis stolæ.

Anicetus reverentissimus presbyter dixit:

Tunc diaconus exsistens, & tradens ad sanctum baptisterium oratorii domus sanctæ Mariæ, hebdomadarius; exsistens venit Romanus paramoniarius, & presbyter, dicens: Profecto tu dimitte communionem & vade, da ad subdiaconale: quoniam magnus alloqui vult hic Mariam Emisenam. Scio autem, quod hoc dixit, ad id quod cum heredibus Rufini factum est. Quoniam fecistis persolutiones heredibus Rufini, ponite ducentorum numismatum pœnam: Et si quis velit has transactiones transgredi, etiamsi Paulus apostolus resurgeret, & sederet in sede hac, anathema sit.

Megas reverentissimus presbyter dixit:

Aderam in concione facta in episcopio, quando dixit episcopus Petrus lectoribus: Quando faciebam vos subdiaconos, ipse Crucifixus si descendisset, non erueret vos de manibus meis.

Joannes reverentissimus presbyter dixit:

Quoniam Deus proponitur, & oportet veritatem dicere; intereram in secreto honorabilis episcopatus post Pascha, undecima indictione præterita, quando prædictus Petrus commotus contra lectorarios iratus fuit, & dixit hanc blasphemam vocem: Quoniam hac nocte cogitavi facere vos de lectorariis subdiaconos: & si imposuissem manum alicui ex vobis, Crucifixus descendens non eripuisset ipsum de manu mea. Similiter & ante hoc, mandavit ut emerentur linea scamnalia ad rationem secreti episcopalis: & cum indignatus fuisset contra Eustathium œconomum venerabilem, dixit: Quoniam melius est Deum comburere ecclesias, & facere [a] collem unum.

Anno 533.

[a] Forte, acervum.

Antonius reverentissimus presbyter dixit:

Mortuo Rufino beatissimo, qui fuit œconomus sanctissimæ ecclesiæ metropolitanæ, congregans Petrus episcopus noster universum venerabilem clerum, postulabat quod in teste omnium Deo denuntiarent, si quid tempore dispensationis ipsius damnificavit, aut neglexit, aut usurpaverit in ecclesiasticis. Et cum multa capitula eduxerim, quæ continentur in magna quantitate auri, post multa mota, jussit ipse heredes ipsius Rufini præstare quædam pro mulctis: & dixit fieri ipsis persolutiones, & imponere pœnam ducentorum numismatum; dicens quod si post prædictas transactiones hujusmodi aliquid ullatenus contra facerent, etiamsi Paulus apostolus resurgeret, & sederet in sede ista, anathema illis. Proxima vero Dominica præteriti Paschæ, cum universus clerus adscendisset ad reverentiam, audivi ab ipso dicente ipso ad venerabiles lectores blasphemum verbum contra illum qui pro nostra vita crucifixus est, secundum deposita a Stephano & Petro ac Juliano tunc lectorariis, nunc vero diaconis. Veniendo autem sabbato in congregatione, in oratoria domo sanctæ Virginis Dei genitricis Mariæ, cognovi ipsum intrare in baptisterium sanctæ Dei genitricis Virginis Mariæ, & alloquentem quamdam mulierem, quæ nondum particeps facta erat, non dico sanctorum mysteriorum, sed neque ipsius sanctæ signationis: & ipsum illinc sæpissime exeuntem, inveni tunc diaconus exsistens. Non est autem media domus, nisi honorabile diaconale. Et reliqui omnes eorum quæ deposita sunt fidem facimus per libellos, utpote qui ea audiverimus, & ipsi viderimus. Ea enim quæ ad Pterovolam spectant, nullus eorum qui in metropoli habitant, ignorat.

αὐτὴν τοῦ ἁγίου φωτίσματος, προσδιελέχθη αὐτῇ ἰδίᾳ. οἶδα δὲ ἀκριβῶς, καὶ ὑπουργὸς γέγονα καὶ τῆς κατὰ χώραν τομῆς, καὶ διανομῆς τῆς στολῆς.

Ἀνίκητος εὐλαβέστατος πρεσβύτερος εἶπε.

Τότε διάκονος τυγχάνων, μεταδιδοὺς εἰς τὸ ἅγιον φωτιστήριον τοῦ εὐκτηρίου οἴκου τῆς ἁγίας Μαρίας, ἑβδομαδάριος ὤν, καὶ ἦλθεν ὁ παραμονάριος καὶ ὁ πρεσβύτερος Ῥωμανός, λέγων οὕτως· σὺ ἆρον τὴν κοινωνίαν, καὶ ἄπελθε, μετάδος εἰς τὸ ὑποδιακονικόν, ἐπειδὴ ὁ μέγας διαλεχθῆναι θέλει ὧδε Μαρίᾳ τῇ Ἐμισηνῇ. οἶδα δὲ ὅτι καὶ τοῦτο εἶπεν εἰς τὸ κατὰ τοὺς κληρονόμους Ῥουφίνου· ὅτι ποιήσατε τὰς διαλύσεις τοῖς κληρονόμοις Ῥουφίνου, καὶ ἔνθετε διακοσίων νομισμάτων πρόστιμον. καὶ εἴ τις ἂν θέλῃ παραβῆναι τὰς διαλύσεις ταύτας, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστῇ, καὶ καθίσῃ εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω.

Μέγας εὐλαβέστατος πρεσβύτερος εἶπε.

Παρήμην ἐν τῇ προσομιλίᾳ τῇ γενομένῃ ἐν τῷ ἐπισκοπείῳ, ὅτε εἶπεν ὁ ἐπίσκοπος Πέτρος τοῖς ἀναγνώσταις· ὅτε ἐποίουν ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθεὶς, εἰ κατῆλθεν, οὐκ ἐρρύετο ὑμᾶς τῶν χειρῶν μου.

Ἰωάννης εὐλαβέστατος πρεσβύτερος εἶπε.

Ἐπειδὴ Θεὸς πρόκειται, καὶ δεῖ τὴν ἀλήθειαν ἐξειπεῖν, παρέτυχον ἐν τῷ σεκρέτῳ τοῦ τιμίου ἐπισκοπείου, εἰς τὸ δεύτερον πάσχα τῆς διελθούσης ἑνδεκάτης ἐπινεμήσεως, ὅτε κινηθεὶς κατὰ τῶν ἀναγνωστῶν ὁ προλεχθεὶς Πέτρος, ἐθυμώθη, καὶ εἶπε τὴν φωνὴν ταύτην· ὅτι τῇ νυκτὶ ταύτῃ διενοήθην ἀπὸ ἀναγνωστῶν ὑποδιακόνους ὑμᾶς ποιῆσαι· καὶ εἰ ἐπέθηκά τινι ἐξ ὑμῶν τὴν χεῖρα, ὁ σταυρωθεὶς κατελθὼν οὐκ ἂν αὐτὸν ἐξείλετο τῆς χειρός μου. ὡσαύτως δὲ καὶ πρὸ τούτου, ὅτι ἐπέτρεψεν ἀγορασθῆναι λινᾶ σκαμνάλια, εἰς λόγον τοῦ σεκρέτου τοῦ ἐπισκοπείου· ἀγανακτήσας κατὰ Εὐσταθίου τοῦ θεοφιλεστάτου οἰκονόμου εἶπεν· ὅτι κάλλιόν ἐστι τὸν Θεὸν κατακαῦσαι τὰς ἐκκλησίας, καὶ ποιῆσαι βουνὸν ἕνα.

Ἀντώνιος εὐλαβέστατος πρεσβύτερος εἶπε.

Τελευτήσαντος Ῥουφίνου τοῦ μακαριωτάτου οἰκονόμου γεγονότος τῆς κατὰ τήνδε τὴν μητρόπολιν ἁγιωτάτης ἐκκλησίας, συναγαγὼν ἅπαντα τὸν εὐαγῆ κλῆρον Πέτρος ὁ γενόμενος ἡμῶν ἐπίσκοπος, ᾔτησεν ὡς ἐπὶ μάρτυρι τῷ ἐπὶ πάντων Θεῷ, ἀπαγγεῖλαι, εἴ τι κατὰ τὸν καιρὸν τῆς αὐτοῦ οἰκονομίας ἔβλαψεν, ἢ παρεῖδεν, ἢ ἐσφετερίσατο ἐν τοῖς ἐκκλησιαστικοῖς. καίτοιγε πολλὰ ἐξενεγκόντος κεφάλαια εἰς πολλὴν χρυσίου ποσότητα συντείνοντα, μετὰ πολλὰ τὰ κινηθέντα, ὁρίσαντος αὐτοῦ τινα παρασχεῖν ἀντὶ προστίμων τοὺς κληρονόμους τοῦ αὐτοῦ Ῥουφίνου, ἔφη γενέσθαι αὐτοῖς διαλύσεις, καὶ ἐντεθῆναι διακοσίων νομισμάτων πρόστιμον· εἰπὼν ὡς καὶ τὰς εἰρημένας διαλύσεις κρατυνάσθαι, ἀναθέματι ὑποβαλὼν τοὺς μετὰ τὰς τοιαύτας διαλύσεις τι ὑπεναντίον διαπραττομένους, κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσῃ εἰς τὸν θρόνον τοῦτον. τῇ δὲ νέᾳ κυριακῇ τοῦ παρελθόντος ἁγίου πάσχα, εἰς προσκύνησιν ἀνελθόντος τοῦ παντὸς κλήρου, ἀκήκοα παρ᾽ αὐτοῦ εἰπόντος αὐτοῦ πρὸς τοὺς εὐλαβεστάτους ἀναγνώστας τὸν περὶ τοῦ ὑπὲρ τῆς ἡμετέρας ζωῆς σταυρωθέντος βλάσφημον λόγον κατὰ τὰ κατατεθέντα ὑπὸ Στεφάνου, καὶ Πέτρου, καὶ Ἰουλιανοῦ τῶν τηνικαῦτα εὐλαβεστάτων ἀναγνωστῶν, νῦν δὲ διακόνων. γενόμενος δὲ ἐν σαββάτῳ ἐν τῇ συνάξει ἐν τῷ εὐκτηρίῳ οἴκῳ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας, ἔγνων εἰσελθόντα αὐτὸν ἐν τῷ φωτιστηρίῳ τῆς αὐτῆς ἁγίας θεοτόκου Μαρίας, καὶ διαλεγόμενον γυναικί τινι, μήπω μετέχειν γενομένῃ οὐ λέγω τῶν ἁγίων μυστηρίων, ἀλλ᾽ οὐδὲ αὐτῆς τῆς ἁγίας σφραγῖδος· κἀκεῖθεν αὐτὸν πλειστάκις ἐδεξάμεθα ἐξιόντα, διάκονος τὸ τηνικαῦτα τυγχάνων. οὐκ ἔστι δὲ μέσος οἶκος, εἰ μὴ τὸ τίμιον διακονικόν. Καὶ οἱ λοιποὶ πάντες τοῖς κατατεθεῖσι λιβελλικῶς συμμαρτυροῦμεν, ἅτε τούτων καὶ ἀκροαταὶ καὶ αὐτόπται γενόμενοι. τὰ γὰρ περὶ τῆς Πτεροβόλου, οὐδεὶς τῶν κατὰ τὴν μητρόπολιν οἰκούντων ἀγνοεῖ.

Στέφανος καὶ ἄλλος Στέφανος πρεσβύτεροι, εἶπον.

Ἐν τῷ φωτιστηρίῳ ὄντες εἰς κατήχησιν τῶν νεοφωτίστων ἀπὸ στιχαρίων καὶ ἀνυποδέτων ὄντων, ἐξορκιζόντων αὐτοὺς τῶν διακόνων, ἐλθὼν ὁ γενόμενος ἡμῶν ἐπίσκοπος Πέτρος, ἔβαλεν ἡμᾶς ἔξω μετὰ καὶ τῶν νεοφωτίστων, καὶ εἰσήγαγε τοὺς κανονικούς, καὶ ἰδίαζεν αὐτοῖς ἐπὶ πολλὰς ὥρας. ἠκούσαμεν δὲ καὶ ἡμεῖς μετὰ τῶν ἄλλων, καὶ τὸν λόγον ὃν εἶπε πρὸς τοὺς ἀναγνώστας κατὰ τοῦ σταυρωθέντος ὑπὲρ τῆς ἡμετέρας ζωῆς.

Εὐτυχιανὸς διάκονος εἶπε·

Κατὰ τὸ ἔθος προσηγορίας γενομένης ἐν τῷ σεκρέτῳ τοῦ τιμίου ἐπισκοπείου, ἤκουσα τὸ ῥῆμα τὸ παρ' αὐτοῦ ῥηθὲν κατὰ τοῦ σταυρωθέντος.

Θωμᾶς διάκονος εἶπε·

Ὅτι εἰς προσηγορίαν ἀνήλθομεν τῇ νέᾳ κυριακῇ τοῦ ἐνιστάμενου πάσχα, τοῦ γενομένου ἡμῶν ἐπισκόπου Πέτρου, ἤκουσα τὸν βλάσφημον λόγον, ὅτι εἶπε κατὰ τοῦ σταυρωθέντος. καὶ ὅτι δὲ ἐκινεῖτο τὸ κατὰ τοὺς κληρονόμους τοῦ μακαρίου Ῥουφίνου τοῦ γενομένου οἰκονόμου, ἤκουσα τοῦ αὐτοῦ ἐπισκόπου λέγοντος, ὅτι ἀνάθεμα ἔστω γενομένων τῶν διαλύσεων, κἂν Παῦλος ἀναστὰς καθίσῃ εἰς τὸν τόπον τοῦτον, ὁ ἀναζητῶν καὶ ἐρευνῶν τοὺς λόγους τούτους, ἢ λέγων αὐτῷ τί ποτε.

Λεόντιος Ματρωνιανοῦ υἱὸς διάκονος εἶπε·

Οἶδα κἀγὼ ἀκηκοέναι παρ' αὐτοῦ, ἀγανακτήσαντος κατὰ τῶν ἀναγνωστῶν τῇ νέᾳ ἁγίᾳ κυριακῇ, ὅτι ἂν κρίνω, καὶ ποιήσω ὑμᾶς ὑποδιακόνους ἀπὸ ἀναγνωστῶν, ὁ σταυρωθεὶς δι' ἡμᾶς ἐὰν ἔλθῃ, οὐκ ἐπαίρει τοῦτο παρ' ὑμῶν· ἤκουσα δὲ τοῦτο παρ' αὐτοῦ εἰς τὸ σεκρέτον τὸ χειμερινὸν, ἀγανακτήσαντος αὐτοῦ περὶ τῶν σκαμναλίων τοῦ ἐπισκοπείου ὅτι εἶπε, καύσει ὁ Θεὸς τὰς ἐκκλησίας καὶ τὰ θυσιαστήρια, καὶ ποιήσει αὐτὰ βουνὸν ἕνα. καὶ τοῦτο δὲ οἶδα, ὅτι εἰσήρχετο πολλάκις ἐν τῷ μοναστηρίῳ πρὸς τὴν Πτεροβόλον, καὶ ἐπὶ πολλὰς ἰδίαζεν αὐτῇ ὥρας.

Ἰουλιανὸς διάκονος εἶπε·

Συνάξεως ἐπιτελουμένης τῶν φώτων εἰς τὸν ἅγιον Στέφανον, συναγαγὼν τοὺς πρεσβυτέρους καὶ διακόνους, καὶ ἕκαστον τῶν κληρικῶν τῶν εὑρεθέντων ἐκεῖσε ἐν τῷ σεκρέτῳ ἀπῄτει με· διὰ τί μὴ ἀναθεματίζεις τὴν σύνοδον τῶν χλ'; καὶ ἐμοῦ εἰπόντος αὐτῷ, ὅτι ὁ βασιλεὺς ὀρθόδοξός ἐστι· καὶ εἰς πιστεύει, αὐτῷ ἐξακολουθῶ. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τοὺς ἀναθεματίζοντας τὴν σύνοδον ἀναθεματίζω· μανεὶς ἀνέστη, καὶ ἐκώλυσέ με ἐπὶ παντὸς τοῦ κλήρου.

Μέγας πρεσβύτερος εἶπε·

Παρήμην τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος Ἰουλιανοῦ διακόνου, καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ εἰρημένα.

Ἀνσίμος πρεσβύτερος εἶπε·

Παρήμην κἀγὼ τοῖς λεχθεῖσι παρὰ τοῦ παρόντος Ἰουλιανοῦ διακόνου, καὶ ἀληθείας ἔχεται τὰ παρ' αὐτοῦ εἰρημένα.

Ἐπιφάνιος διάκονος εἶπε·

Παρήμην κἀγὼ ἐν τῇ προσηγορίᾳ τῇ γενομένῃ ἐν τῷ τιμίῳ ἐπισκοπείῳ, ὅτι εἶπε Πέτρος τοῖς ἀναγνώσταις, ὅτι εἰ ἐποίησα ὑμᾶς ὑποδιακόνους, αὐτὸς ὁ σταυρωθεὶς εἰ κατέλθῃ, οὐκ ἐρρύετο ὑμᾶς ἐκ τῶν χειρῶν μου.

Συμεὼν διάκονος εἶπε·

Κἀγὼ ἤκουσα παρὰ Πέτρου τοῦ γενομένου ἐπισκόπου, τὸ περὶ τοῦ σταυρωθέντος κεφάλαιον, καὶ περὶ τοῦ ἀναθέματος, ἔνθα εἶπεν, ὅτι κἂν Παῦλος ὁ ἀπόστολος καθίσῃ ἐν τῷ θρόνῳ τούτῳ.

Ἰωάννης διάκονος καὶ νοτάριος εἶπε·

Κἀγὼ τὴν αὐτὴν φωνὴν λέγω, ἥνπερ ἤκουσα περὶ τοῦ σταυρωθέντος, καὶ περὶ τοῦ ἀναθέματος τοῦ κατὰ τὸν ἅγιον Παῦλον.

Λεόντιος διάκονος εἶπε·

Κἀγὼ ἤκουσα τὸν περὶ τοῦ σταυρωθέντος λόγον, καὶ τὸ ἀνάθεμα τὸ κατὰ τὸν ἅγιον Παῦλον.

Θεωνᾶς διάκονος εἶπε·

Κἀγὼ ἤκουσα τὸν λόγον τὸν περὶ τοῦ σταυρωθέντος, ὅτι εἰσῆλθεν εἰς τὸ φωτιστήριον τῆς ἁγίας Μαρίας πλησίον τῆς κολυμβή-

A

Stephanus & alter Stephanus presbyteri, dixerunt:

Cum essemus in baptisterio ad instructionem nuper baptizatorum, sine tunicis & calceamentis exsistentium, diaconis ipsis exorcizantibus, venit episcopus noster Petrus, & ejecit nos foras una cum [a] neophotistis: & introduxit canonicas, & privatim cum ipsis stetit multas horas. Audivimus autem & nos cum aliis verbum, quod dixit ad lectorarios adversus eum, qui pro vita nostra crucifixus est.

[a] *Hoc est, nuper baptizatis.*

Eutychianus diaconus dixit:

Secundum morem facta salutatione in secreto honorabilis episcopatus, audivi verbum ab ipso dictum adversus Crucifixum.

B

Thomas diaconus dixit:

Quando ad salutationem adscendimus proxima Dominica post Pascha, veniente episcopo nostro Petro, audivi blasphemum verbum, quod dixit contra Crucifixum. Et quando commotus fuit propter id, [b] quod cum heredibus beatissimi Rufini œconomi; audivi ipsum episcopum dicentem, quod anathema sit, factis transactionibus, etiamsi Paulus resuscitatus sederet in sede hac, qui quæreret, & pervestigaret rationes istas, aut diceret ei quidquam.

[b] *Hoc est, quod actum est cum.*

Leontius filius Matroniani, diaconus, dixit:

Scio & ego audivisse ab ipso, cum indignatus erat, contra lectores in nova sancta Dominica: Quod si judico, & faciam vos subdiaconos de lectorariis, si veniet qui crucifixus est propter nos, non tollet hoc a vobis. Audivi autem & hoc ab ipso ad secretum hyemale, cum indignatus erat de scamnaliis episcopatus, quoniam dixit: Combutet Deus ecclesias & altaria, & faciet ipsa collem unum. Et hoc scio quoniam intrabat sæpius in monasterium ad Pterovolam, & per multas horas solus cum ipsa manebat.

C

Julianus diaconus dixit:

Cum fieret collecta luminariorum ad sanctum Stephanum, congregans presbyteros & diaconos, & quemlibet clericorum, qui ibidem in secreto inventi sunt, quæsivit a me: Quare non anathematizas synodum sexcentorum triginta sanctorum patrum? & me dicente sibi: Quia Imperator orthodoxus est, & in quibus credit, sequor ipsum: non solum autem hoc, sed & anathematizantes synodum anathematizo: furibundus surrexit, & interdixit me ab omni clero.

D

Megas presbyter dixit:

Præsens fui dictis a præsente Juliano diacono, & vera sunt, quæ ab ipso dicta sunt.

Anusius presbyter dixit:

Præsens fui & ego his quæ dicta sunt a præsente Juliano diacono, & vera sunt, quæ ab ipso dicta sunt.

Epiphanius diaconus dixit:

Præsens fui & ego in salutatione facta in honorabili episcopatu, quando Petrus dixit lectorariis: Quod si fecerim vos subdiaconos, ipse qui crucifixus est, si descendat, non eripiet vos de manibus meis.

E

Symeon diaconus dixit:

Et ego audivi a Petro episcopo capitulum de Crucifixo, & de anathemate, ubi dixit, quod si etiam Paulus apostolus sederet in throno isto.

Joannes diaconus & notarius dixit:

Et ego ipsam vocem dico, quam audivi de Crucifixo, & de anathemate contra sanctum Paulum.

Leontius diaconus dixit:

Et ego audivi verbum de Crucifixo, & de anathemate Pauli apostoli.

Theonas diaconus dixit:

Et ego audivi verbum, quod dixit de Crucifixo: & quod intravit in baptisterium sanctæ Mariæ prope fon-

tem; & quod introduxit Mariam, antequam illuminaretur, ipsa exsistente nuda, cum & nulli concesserit stare intus, divina communione finita. Ego enim archihebdomarius ipsius eram, & ex hoc scio. Hoc autem fecit semel, & bis, & tertio. Scio autem & illa de anathemate Pauli apostoli, & quod de Pterovola supradictum est.

Paulus diaconus dixit :

Et ego audivi verbum quod dixit de Crucifixo. Scio autem quoniam & persecutus est nuper baptizatos, & introduxit canonicas.

Serapius diaconus dixit :

Et ego audivi illud de Crucifixo, & illud de anathemate Pauli apostoli.

Joannes presbyter dixit :

Et ego audivi ab ipso dictam blasphemiam propter Crucifixum, & rursus quando dixit: Comburet Deus ecclesias suas igne, & faciet collem unum. Et iterum cum audiret rem illam de Rufino, posuit anathema ei qui post ipsum contrafaceret, etiamsi Paulus apostolus esset.

Surinus subdiaconus dixit :

Et ego audivi, quando dixit de illo, qui crucifixus est.

Joannes subdiaconus dixit :

Et ego audivi verbum, quod dixit de Crucifixo.

Rhianus diaconus dixit :

In Dominica die ascendens ad salutationem, tunc subdiaconus exsistens audivi & ego verbum de Crucifixo.

Antonius lector dixit :

Scio & ego, dum adessem in secreto, Petrum episcopum nostrum præsente venerabili clero, me audivisse dicentem illicitam blasphemiam adversus crucifixum Christum Deum nostrum; & verbum illud anathematis quod ipse imposuit in his, quæ de Rufino dicta sunt: dicendo, quod si etiam Paulus apostolus resuscitatus sedebit post me in sede ista, anathema sit evertens, quæ nunc visa sunt: & quod Joannes, qui hujus heres fuit, coram omnibus dixit: quod post anathema exacta est ab ipso cautio quinquaginta numismatum. Quæ enim de Pterovola dicta sunt, neque aliquis alius domesticorum intra hanc metropolim, ut puto, ignorat.

Omnes presbyteri & diaconi ac lectores dixerunt :

Cum manifestæ sint prædictæ depositiones, petimus & obtestamur vestram magnificentiam, per sanctam & consubstantialem Trinitatem, & per victoriam & incolumitatem domini nostri Flavii Justini semper Augusti, & maximarum potestatum, notificare simul sanctissimis episcopis, quemadmodum & acta fuere a tota multitudine, nec non & primæ & excelsæ potestatum, & illustrissimo Magistro sacrorum officiorum, ac strenuissimis Magistris militum sacræ præsentiæ utriusque exercitus; ut per ipsorum excellentiam ad divinas aures adducantur, quæ secuta sunt. Nam sicut scitis, magna & infinita multitudo fratrum & monachorum quæsivit & obsecravit hæc vestram potestatem significare. Quod enim fratres & monachi non deponant, hanc consuetudinem superius obtinuerunt: sed ipsorum tantum exclamationibus contenti simus.

Omnes suprascripti religiosi episcopi dixerunt :

Dignum nobis fuit orationi vacare, sanctis Dei ecclesiis nobis commissis & delegatis, & divinas adimplere missas. Quoniam vero fidei ac pietatis præponitur sermo, justum esse putavimus parere petitionibus venerabilium clericorum Apamiarum. Unde propter litteras nobis missas a venerabili clero sanctæ Dei ecclesiæ Apamiarum, nobis & per venerabiles Antoninum & Julianum portatas, venimus in ambrodicem, id est, oratorium, ubi contigit multos venerabilium

A ϑρας, γυμνῆς οὔσης, ὅτι εἰσήνεγκε Μαρίαν πρὸ τῆ φωτισθῆναι, μηδένα συγχωρήσας ἔσω εἶναι τῆς θείας κοινωνίας ἐπιτελουμένης. ἐγὼ γὰρ ἀρχιεβδομαδάριος αὐτοῦ ἤμην, καὶ ἐκ τούτου οἶδα. τοῦτο δὲ ἐποίησεν ἅπαξ καὶ δὶς καὶ τρίτον. οἶδα δὲ καὶ τὰ περὶ τῆ ἀναθέματος Παύλου τῆ ἀποστόλου, καὶ τὰ κατὰ τὴν Πτηροβόλου.

Παῦλος διάκονος εἶπε·

Κἀγὼ ἤκουσα τὸν λόγον τὸν περὶ τῆ σταυρωθέντος· οἶδα δὲ καὶ ὅτι ἐδίωξε νεοφωτίστους, καὶ εἰσήγαγε κανονικάς.

Σεραπίων διάκονος εἶπε·

Κἀγὼ ἤκουσα τὸ περὶ τῆ σταυρωθέντος, καὶ περὶ τῆ ἀναθέματος τῆ ἁγίου Παύλου τῆ ἀποστόλου.

B Ἰωάννης πρεσβύτερος εἶπε.

Κἀγὼ ἤκουσα τὴν παρ' αὐτοῦ λεχθεῖσαν βλασφημίαν ἕνεκεν τῆ σταυρωθέντος· καὶ πάλιν ὅτι εἶπε· κατακαύσει ὁ Θεὸς τὰς ἐκκλησίας αὐτοῦ πυρὶ, καὶ ποιήσει βουνὸν ἕνα· καὶ τῆ πράγματος τῆ κατὰ Ῥουφῖνον ἀκουσθέντος, ἔθηκεν ἀνάθεμα τὸ μετ' αὐτὸν ἐναντιοῦντα αὐτῷ, κἂν Παῦλος ᾖ ὁ ἀπόστολος.

Σουρῖνος ὑποδιάκονος εἶπε·

Κἀγὼ ἤκουσα, ὅτι εἶπε περὶ τῆ σταυρωθέντος.

Ἰωάννης ὑποδιάκονος εἶπε·

Κἀγὼ ἤκουσα τὸν λόγον τὸ περὶ τῆ σταυρωθέντος.

Ῥιανὸς διάκονος εἶπε·

Ἐν κυριακῇ ἀνελθὼν εἰς προσκύνησιν, τότε ὢν ὑποδιάκονος ἤκουσα κἀγὼ περὶ τῆ σταυρωθέντος λόγον.

C Ἀντωνῖνος ἀναγνώστης εἶπε·

Οἶδα κἀγὼ παρὼν ἐν τῷ σεκρέτῳ ἀκηκοέναι Πέτρου τῆ γενομένου ἡμῶν ἐπισκόπου παρόντος τῆ εὐαγοῦς κλήρου, εἰπόντος τὴν ἄθεσμον βλασφημίαν κατὰ τῆ σταυρωθέντος Χριστοῦ τῆ Θεοῦ ἡμῶν, καὶ τὸν λόγον τῆ ἀναθέματος τὸν παρ' αὐτοῦ ἐπιτεθέντα ἐν τοῖς κατὰ Ῥουφῖνον· εἰπόντος, ὅτι κἂν Παῦλος ὁ ἀπόστολος ἀναστὰς καθίσῃ μετ' ἐμὲ εἰς τὸν θρόνον τοῦτον, ἀνάθεμα ἔστω ἀνατρέπων τὰ νῦν δόξαντα· καὶ ὅτι Ἰωάννης τοῦτον κληρονομήσας ἐπὶ πάντων ἔφη, ὡς ἀνάθεμα ἀπῃτήθη παρ' αὐτοῦ χαρτίον νομισμάτων πεντήκοντα. τὰ γὰρ περὶ τῆς Πτηροβόλου, οὔτε ἄλλος τις τῶν οἰκείων ταύτην τὴν μητρόπολιν, ὡς οἶμαι, ἀγνοεῖ.

D Πάντες οἱ πρεσβύτεροι, καὶ διάκονοι, καὶ ἀναγνῶσται εἶπον·

Δήλων οὐσῶν τῶν προειρημένων καταθέσεων, αἰτούμεθα καὶ ἐνορκοῦμεν τὴν ὑμῶν μεγαλοπρέπειαν κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, καὶ νίκης, καὶ διαμονῆς τῆ δεσπότου ἡμῶν Φλαβίου Ἰουστίνου τῆ αἰωνίου Αὐγούστου, καὶ τῶν μεγίστων ἐξουσιῶν, γνωρίσαι ἅμα τῶν ὁσιωτάτων ἐπισκόπων, καθὰ καὶ ἅπαντα γεγόνασι παρὰ παντὸς τῆ πλήθους, τῇ τε πρώτῃ καὶ ὑπερεχούσῃ τῶν ἀρχῶν, καὶ τῷ πανευφήμῳ μαγίστρῳ τῶν θείων ὀφφικίων, καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς τῆ θείου πραισέντου ἑκατέρων δυνάμεων, ὥστε καὶ διὰ τῆς αὐτῶν ὑπεροχῆς, καὶ εἰς τὰς θείας ἐνεχθῆναι ἀκοὰς τὰ παρακολουθήσαντα. ὡς γὰρ ἐπίστασθε, πολὺ καὶ ἄπειρον πλῆθος, καὶ ἀδελφικὸν, καὶ μοναχικὸν ἐζήτησε, καὶ ἐνώρκωσε, ταῦτα γνωρίσαι τὴν ὑμῶν ἐξουσίαν. τὸ γὰρ μὴ καταθέσθαι τοὺς ἀδελφοὺς καὶ μοναχοὺς, τοῦτο ἔθος ἄνωθεν

E κρατοῦσιν· ἀλλ' ἀρκεῖσθαι μόνον ταῖς αὐτῶν ἐκβοήσεσιν.

Πάντες προκείμενοι εὐσεβεῖς ἐπίσκοποι εἶπον·

Εὐχῆς ἡμῖν ἄξιον ἦν ταῖς ἀποκληρωθείσαις ἡμῖν ἁγίαις τῆ Θεοῦ ἐκκλησίαις σχολάζειν, καὶ τὰς θείας πληροῦν λειτουργίας. ἐπειδὴ δὲ πίστεως καὶ εὐσεβείας προηγεῖται λόγος, εὔλογον ὥσπερ νενομίκαμεν ὑπακοῦσαι ταῖς αἰτήσεσι τῶν θεοφιλεστάτων κληρικῶν τῆς Ἀπαμέων. ὅθεν ἀπὸ γραμμάτων ἡμῖν σταλέντων ἀπὸ τῆ εὐαγοῦς κλήρου τῆς Ἀπαμέων ἁγίας τῆ Θεοῦ ἐκκλησίας, τῶν κομισθέντων ἡμῖν διὰ Ἀντωνίνου καὶ Ἰουλιανοῦ τῶν θεοσεβεστάτων, παρεγενόμεθα ἐν τῷ Ἀμβροδίκει, ἔνθα συνέβη πολλοὺς τῶν θεοσ-

ANNO CHRISTI 536.

βεστάτων κληρικῶν ἐλθεῖν πρὸς ἡμᾶς ἐν τῷ εἰρημένῳ εὐκτηρίῳ, καὶ αἰτῆσαι ἡμᾶς ἐλθεῖν εἰς τὰ εὐαγῆ μοναστήρια τοῦ μακαρίου Ἡσυχίου, καὶ τοῦ μακαρίου Δωροθέου, ἔξω τυγχάνοντα τῆς μητροπόλεως, διὰ τὸ εὐχερέστερον τοὺς εὐλαβεστάτους κληρικοὺς δυνασθῆναι ἐξιέναι πρὸς ἡμᾶς, καὶ διδάσκειν ἃ βούλονται, ὃ δὴ καὶ πεποιήκαμεν. καὶ ἐπειδὴ λιβέλλους ἐπιδεδώκασιν ἡμῖν, καὶ ἐνεφάνισαν τῇ ὑμετέρᾳ μεγαλοπρεπείᾳ, καί τινας καταθέσεις ἐποιήσαντο· ᾐτήσαμεν καὶ ἡμεῖς τὴν σὴν μεγαλοπρέπειαν, καθὰ καὶ ἐκβοήσεις γεγόνασιν, ὡς ἐπίστασθε, ὑπὸ τοῦ πλήθους τῶν εὐλαβεστάτων κληρικῶν, ἐντάξαι μὲν καὶ τὰ πεπραγμένα, καταμηνῦσαι δὲ τῷ τε πρώτῳ καὶ ἀνέχοντι θρόνῳ, καὶ τῷ πανευφήμῳ μαγίστρῳ τῶν θείων ὀφφικίων, καὶ τοῖς ἀνδρειοτάτοις στρατηλάταις τοῦ θείου πραισέντου ἑκατέρων δυνάμεων, ἐφ' ᾧτε διὰ τῆς αὐτῶν ὑπεροχῆς εἰς γνῶσιν ἐλθεῖν πάντα τὰ προελθόντα τοῦ φιλοχρίστου καὶ εὐσεβεστάτου ἡμῶν βασιλέως. καὶ γὰρ καὶ ἡμεῖς γνωρίζομεν τῷ τε ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ καὶ οἰκουμενικῷ πατριάρχῃ τῆς βασιλίδος πόλεως, τοῖς ἐνδοξοτάτοις καὶ μεγαλοπρεπεστάτοις, καὶ μεγάλοις ἄρχουσι τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως.

Φλάβιος Ἰωάννης Παλλάδιος Εὐτυχιανὸς, κόμης καὶ ὕπαρχος, εἶπεν·

Φέρει μὲν τὰ κατατεθέντα ὑπὸ τῶν θεοφιλεστάτων κληρικῶν τῆς ἐν Ἀπαμείᾳ ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τῶν ὑπομνημάτων ἡ πίστις, ἅπερ καὶ διεξῆλθον, παρουσίᾳ καὶ τοῦ δήμου * ἐκδικοῦντος τὴν Ἀπαμέων μητρόπολιν. ἐπειδὴ δὲ καὶ ἐντευκτικὰς ἐποιήσαντο διδασκαλίας οἱ πλεῖστοι εἰς τὸν εἰρημένον εὐαγῆ κλῆρον· τὸν ἴσον δὲ τρόπον καὶ οἱ ὁσιώτατοι τῆς ἐπαρχίας ἐπίσκοποι ἠτηκότες φαίνονται σύμπαντα τὰ προεληλυθότα γνώριμα καταστῆσαι τῷ τε πρώτῳ καὶ ἀνέχοντι θρόνῳ, καὶ τῷ πανευφήμῳ πατρικίῳ καὶ μαγίστρῳ τῶν θείων ὀφφικίων, καὶ τοῖς ἀνδρειοτάτοις στρατηγοῖς ἑκατέρων δυνάμεων, ἐφ' ᾧτε καὶ διὰ τῆς αὐτῶν ὑπεροχῆς, καὶ εἰς τὰς θείας ἀκοὰς ἐνεχθῆναι τὸ καθ' ἕκαστον τῶν κεκινημένων· ἥκω εἰς τὸ δικαστήριον τοῖς παρ' αὐτῶν μάλιστα, καὶ διὰ τοὺς προτεινομένους μοι σεβασμίους ὅρκους συζεῦξαι πάντα τὰ ἐπὶ τῇ ὑποθέσει πεπραγμένα, καὶ γνωρίσαι πρὸς τὸ πρεπόμενον τῇ αὐτῶν φιλανθρωπίᾳ· ἐντάξων τοῖς ἐπὶ τοῦ παρόντος πεπραγμένοις, καὶ τὰς προελθούσας ἐκβοήσεις ὑπὸ τοῦ πλήθους τοῦ εὐαγοῦς κλήρου τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας. τοῦ βασιλέως πολλὰ τὰ ἔτη. τῆς Αὐγούστης πολλὰ τὰ ἔτη. τῶν ἐπάρχων πολλὰ τὰ ἔτη. τοῦ μαγίστρου πολλὰ τὰ ἔτη. τῆς συγκλήτου πολλὰ τὰ ἔτη. πολλὰ τὰ ἔτη Πρόβου καὶ Ὑπατίου. τοὺς ἀντάρτας ἔξω βάλε· τοὺς φαγόντας τὰ ἐκκλησιαστικὰ ἔξω βάλε. ὅλα τὰ ἐκκλησιαστικὰ Σεβῆρος καὶ Πέτρος ἔφαγον· ὅλα εἰς ἔρανον ἔδωκαν. τὸν βλασφημήσαντα τὸν σταυρὸν ἔξω βάλε. ποῦ τὰ κτήματα τῆς ἐκκλησίας; ποῦ τὰ σκεύη τῆς ἐκκλησίας; ὅλα γυναῖκες ἔλαβον, ὅλα ἡ Πτηροβόλος ἔλαβε. τοὺς ἀξίους τοῦ ἀναθέματος τῷ ἀναθέματι· ἆρον βίαν τῆς ἐκκλησίας· ὅλας τὰς ἐκκλησίας ἐπραίδευσαν, εἰς ἔρανον ὅλα ἔδωκαν. πιστοῦ βασιλέως πολλὰ τὰ ἔτη. Βιταλιανοῦ στρατηλάτου πολλὰ τὰ ἔτη. μίαν ἐρώτησιν ταῖς κανονικαῖς· νικᾷ ἡ πίστις τῶν ὀρθοδόξων· ὀρθοδόξων ἐπισκόπων πολλὰ τὰ ἔτη. Εὐτυχιανοῦ τοῦ κόμητος πολλὰ τὰ ἔτη. ἀναπαυθῇ τὰ ὀστέα τοῦ πατρός σου. ὅλα τὰ ἐκκλησιαστικὰ αἱ γυναῖκες ἔλαβον. ταῦτα ἀκτὰ τῷ βασιλεῖ. τὰ ὀστέα Δόμνου ἐπώλησαν. ἀποσχίσαντας κληρικοὺς ἔξω βάλε. τὰ κτήματα Δόμνου ἐπώλησαν. οἱ φαγόντες τὰ ἐκκλησιαστικὰ ἀπέχονται. μαρτύρομαί σε, ἐγὼ αὐτοὺς καίω. ὅλα τὰ ἐκκλησιαστικὰ ἐπώλησαν. ἔλθῃ ἡ Πτηροβόλος, καὶ αὐτὴ λέγῃ. τοὺς ἀντάρτας τοῦ βασιλέως γνώρισον. μάθωμεν τὰ χαμαιτάπια τίνος εἰσί, πατίνια ἐν τῷ ἐπισκοπείῳ πῶς εὑρέθη; ἐμίανε τὰ θυσιαστήρια, ἐμίανε τὸ φωτιστήριον· μάθωμεν τὰ πατίνια ποῦ εἰσιν. ᾑμάτωσαν τὰ θυσιαστήρια. Σεβῆρον καὶ Πέτρον, τῷ πυρί. Πρόβου καὶ Ὑπατίου πολλὰ τὰ ἔτη. ἄξιος Πρόβος τοῦ βασιλέως, ἄξιος Ὑπάτιος τοῦ βασιλέως. πατρικίου τοῦ μαγίστρου πολλὰ τὰ ἔτη. τῶν ἐπάρχων πολλὰ τὰ ἔτη. πάσης τῆς συγκλήτου πολλὰ τὰ ἔτη. πολλὰ τὰ ἔτη τῆς Αὐγούστης, Εὐφημίας Αὐγούστης πολλὰ τὰ ἔτη. ἄξιος Βιταλιανὸς

* al. ἐκδικοῦντες.

A clericorum venire ad nos in prædictum oratorium, & petere nos venire ad venerabilia monasteria beati Hesychii & beati Dorothei, exsistentia extra metropolim; ut facilius possent venerabiles clerici ad nos exire, & edocere quæ vellent: quod jam fecimus. Et quoniam porrexerunt nobis quosdam libellos, & insinuarunt vestræ magnificentiæ, ac quasdam depositiones fecerunt; petimus & nos vestram magnificentiam, quemadmodum exclamationes factæ sunt, ut scitis, a multitudine venerabilium clericorum, inserere quæ facta sunt; & indicare primo & excellenti solio, & gloriosissimo Magistro divinorum officiorum, & strenuissimis Magistris militum sacræ præsentiæ utriusque exercitus; ut per ipsorum excellentiam ad notitiam veniant B omnia, quæ processerunt a piissimo Imperatore nostro. Nam & nos etiam notificamus beatissimo archiepiscopo & œcumenico patriarchæ regiæ urbis, & gloriosissimis ac magnificentissimis, & magnis principibus piissimi Imperatoris nostri.

Flavius Joannes Palladius Eutychianus, Comes & Præses, dixit:

Habet quidem fides actorum, testificata a venerabilibus clericis sanctæ Dei ecclesiæ Apamiarum, quæ percurri assistentia populi [a] defendentis Apamiarum metropolim. Quoniam vero interpellatorias doctrinas fecerunt & exhibuerunt illi, qui sunt in prædicto venerabili clero, & simili modo sanctissimi episcopi provinciæ petierunt, videntur universa quæ facta sunt, nota C fecisse primo & insigni ac excelso throno, & gloriosissimo Patricio & Magistro divinorum officiorum, ac strenuissimis militibus utrarumque potestatum: ut & per illorum excellentiam ad divinas aures afferantur singula, quæ mota sunt: venio ad examen quæ maxime ab ipsis dicta sunt: & propter allata mihi honorabilia juramenta, conjungam omnia, quæ facta sunt in una materia: & notificabo ad adsistentiam ipsorum clementiæ: inserendo his, quæ inpræsentiarum facta sunt, & præcedentes exclamationes a multitudine venerabilis cleri prædictæ sanctissimæ ecclesiæ. Imperatoris multi sint anni. Augustæ multi anni. Præfectorum multi sint anni. Magistri multi sint anni. Senatus multi sint D anni. Rebelles mitte foras. Comedentes ecclesiastica, foras ejice. Cuncta ecclesiastica Severus & Petrus comederunt, omnia in symbolam sodalium tradiderunt. Eum qui blasphemavit Crucifixum, ejice foras. Ubi sunt possessiones ecclesiæ? mulieres omnia acceperunt; cuncta Pterovola accepit. Dignos anathemate anathematiza. Tolle violentiam de ecclesia. Omnes ecclesias deprædati sunt: in stipem sodalium omnia dederunt. Fidelis Imperatoris multi sint anni. Vitaliani Magistri militum multi sint anni. Unam interrogationem canonicis mulieribus. Vincit fides orthodoxorum. Episcoporum orthodoxorum multi sint anni. Eutychiani Comitis multi sint anni. Requiescant ossa patris tui. Omnia ecclesiastica feminæ acceperunt: hæc acta Imperatori. Ossa Domni vendiderunt. Schi- E smaticos clericos foras ejice. Prædia Domni vendiderunt. Qui res ecclesiæ absumpserunt, abscissi sunt. Te obtestor, ego illos igni trado. Omnia ecclesiastica vendiderunt. Veniat Pterovola, & ipsa dicat. Rebelles Imperatoris ejice foras. Salutem Imperatoris significa. Sciamus cujus sunt χαμαιτάπια: πατίνια in episcopatu quomodo inventa sunt? Contaminavit altaria, contaminavit baptisterium: sciamus ubi sunt πατίνια. Cruentaverunt altaria. Severum & Petrum ad ignem. Probi & Hypatii multi anni. Probus dignus est Imperatore. Hypatius dignus est Imperatore. Patricii Magistri multi anni. Multi sint anni Præfectorum. Totius Senatus multi sint anni. Multi sint anni Augustæ. Euphemiæ Augustæ multi sint anni. Vitalianus dignus

[a] Pr. incolentis.

ANNO CHRISTI 536.

Imperatore. Joannis Patriarchæ multi anni. Hæc acta Deo. Omnia homicidia Faustus fecit. Infinita homicidia fecit. Necatos in sancto Antonino, Imperatori. Imperator orthodoxus est. Petrum Manichæum Imperatori. Severus & Petrus Manichæi sunt. Senatus orthodoxus est. Tolle Faustum, salva civitatem. Eutychiani Comitis multi anni. Justa est sententia Præfectorum. Supplicamus, notifica [a] salutem Imperatoris. Notifica salutem Augustæ.

[a] Forte pro, per salutem.

Copia alterius actionis formatæ tempore ejusdem provinciæ principis.

Item Romanus archidiaconus dixit:

Cum Deus dederit rebus & sanctis suis ecclesiis orthodoxum & piissimum Imperatorem, vestra magnificentia præsente, admonuerunt me sanctissimi episcopi nostræ provinciæ, antiquas ecclesiastici status servare consuetudines: & hoc etiam venerabilis clerus Apamiarum petiit. Idcirco requiro præsentes presbyteros venerabiles, diaconos, subdiaconos, & lectores, ceterosque clericos ipsius venerabilis cleri, ut quilibet ipsorum certificet propriam opinionem in actis.

Flavius Joannes Palladius Eutychianus, Comes & Præses dixit:

Præsentes venerabiles presbyteri & reliqui clerici, & qui allegationem Romani venerabilis archidiaconi audiverunt, suam certificent sententiam.

[b] *Eudochius reverentissimus presbyter dixit:*

[b] Græc. Eutychius.

Celebritas totius mundi est hæc, pia videlicet statio, quæ nunc tenetur: Quare juxta attestationes factas a venerabili archidiacono suademus omnem innovationem, quæ jam provenit ab his qui fuerunt hæretici, auferri: & imponere sancta nomina beatissimorum patrum nostrorum & episcoporum, a beatissimo Domno usque ad bonæ memoriæ Isaccium episcopum nostrum, tenereque in omnibus aliis antiquum statum sanctæ ecclesiæ.

Eustathius reverendus presbyter & œconomus dixit;

Quemadmodum allegavit præsens venerabilis archidiaconus, omnes venerabiles presbyteros, diaconos, ceterosque clericos sanctissimæ ecclesiæ nostræ petere antiquas consuetudines teneri, istud & ego teneri rogo.

Stephanus reverendus presbyter dixit:

Et ego assentior depositioni factæ a venerabili Eustathio presbytero & œconomo sanctæ Dei ecclesiæ, ac a ceteris venerabilibus clericis.

Thalelaus reverendus presbyter dixit:

Tandem aliquando post tempestatem donavit nobis Deus hunc portum, orthodoxum Imperatorem dico: ad quem post Deum confugiens, vidensque zelum conclericorum meorum, quem pro sanctis pontificibus & patribus nostris habent; rogo amoveri innovationem ab hæreticis factam in sanctissima ecclesia nostra, & servari antiquam consuetudinem ecclesiastici status: & ponere in sacris diptychis salutationes beatissimorum episcoporum, a beatissimo Domno usque ad beatissimum Isaccium episcopum nostrum.

Nesiucius reverendus presbyter dixit:

Et ego gratias agens Deo, qui pacem & unionem sanctis ecclesiis per piissimum Imperatorem nostrum dedit, consensio omnibus petitis a venerabili clero nostro, & confirmatis a sanctis episcopis provinciæ, ut & omne innovatum removeatur, quod introductum est in sanctissima ecclesia nostra: & antiquæ consuetudines renoventur ac serventur, quæ servatæ fuerunt usque ad obitum bonæ memoriæ Isacii archiepiscopi nostri, in sanctis missis, ac in omnibus aliis.

τοῦ βασιλέως. Ἰωάννου πατριάρχου πολλὰ τὰ ἔτη. Ταῦτα ἄξια τῷ Θεῷ. ὅλους τοὺς φόνους Φαῦστος ἐποίησε, μυρίους φόνους ἐποίησε. Τοὺς φονευθέντας ἐν τῷ ἁγίῳ Ἀντωνίνῳ, τῷ βασιλεῖ. ὁ βασιλεὺς, ὀρθόδοξός ἐστι. Πέτρον τὸν Μανιχαῖον, τῷ βασιλεῖ. Σευῆρος καὶ Πέτρος Μανιχαῖοι εἰσίν· ἡ σύγκλητος ὀρθόδοξος ἐστι. ἆρον Φαῦστον, σῶσον πόλιν. Εὐτυχιανοῦ τοῦ κόμητος πολλὰ τὰ ἔτη. δικαία ἡ ψῆφος τῶν ἐπάρχων. δεόμεθα γνώρισον τὴν σωτηρίαν τοῦ βασιλέως, γνώρισον τὴν σωτηρίαν τῆς Αὐγούστης.

Ἴσον ἄλλης πράξεως γενομένης ἐπὶ τοῦ αὐτοῦ μεγαλοπρεπεστάτου ἄρχοντος.

Ῥωμανὸς ἀρχιδιάκονος εἶπε·

Τοῦ Θεοῦ δεδωκότος τοῖς πράγμασι καὶ ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις ὀρθόδοξον καὶ εὐσεβέστατον βασιλέα, παρούσης τῆς ὑμετέρας μεγαλοπρεπείας, παρηγγύησαν μοι οἱ ὁσιώτατοι ἐπίσκοποι τῆς ἡμετέρας ἐπαρχίας τὰ παλαιὰ ἔθη τῆς ἐκκλησιαστικῆς καταστάσεως κρατεῖν· τοῦτο καὶ ὁ εὐαγὴς κλῆρος τῆς Ἀπαμέων αἰτήσαντος. διὸ ἐξαιτῶ τοὺς παρόντας θεοφιλεστάτους πρεσβυτέρους, διακόνους, ὑποδιακόνους, καὶ ἀναγνώστας, καὶ λοιποὺς κληρικοὺς τοῦ αὐτοῦ εὐαγοῦς κλήρου, ἕκαστον αὐτῶν φανερῶσαι ἐπὶ τῶν ὑπομνημάτων τὴν οἰκείαν γνώμην.

Φλαύιος Ἰωάννης Παλλάδιος κόμης καὶ ἔπαρχος εἶπε·

Παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ οἱ λοιποὶ κληρικοὶ, καὶ τῆς διδασκαλίας ἐπακούσαντες Ῥωμανοῦ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου, τὴν οἰκείαν φανερούτωσαν γνώμην.

Εὐτύχιος εὐλαβέστατος πρεσβύτερος εἶπεν.

Ἑορτὴ παντὸς τοῦ κόσμου ἐστὶν αὕτη, ἡ νῦν κρατοῦσα εὐσεβὴς κατάστασις. διὸ κατὰ τὰ κατατεθέντα παρὰ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου, ἐπιτρέπομεν πᾶσαν καινισμὸν ἤδη προελθόντα ὑπὸ τῶν γενομένων αἱρετικῶν ἀφαιρεθῆναι· ἐντεθῆναι δὲ τὰ ὅσια ὀνόματα τῶν μακαριωτάτων ἡμῶν πατέρων καὶ ἐπισκόπων, ἀπὸ Δόμνου τοῦ μακαριωτάτου, ἕως τοῦ τῆς θεοφιλοῦς μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου· κρατεῖν δὲ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασι τὴν ἀρχαίαν κατάστασιν τῆς ἁγίας ἐκκλησίας.

Εὐστάθιος εὐλαβὴς πρεσβύτερος καὶ οἰκονόμος εἶπε·

Καθὼς ἐδίδαξεν ὁ παρὼν θεοφιλέστατος ἀρχιδιάκονος, πάντας τοὺς θεοφιλεστάτους πρεσβυτέρους, διακόνους καὶ λοιποὺς κληρικοὺς τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας αἰτῆσαι τὰ ἀρχαῖα ἔθη κρατεῖν, τοῦτο κἀγὼ κρατηθῆναι παρακαλῶ.

Στέφανος εὐλαβὴς πρεσβύτερος εἶπε·

Κἀγὼ συναινῶ τῇ καταθέσει τῇ γενομένῃ παρὰ τοῦ θεοσεβεστάτου Εὐσταθίου πρεσβυτέρου, καὶ οἰκονόμου τῆς παρ' ἡμῖν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ τῶν λοιπῶν θεοσεβεστάτων κληρικῶν.

Θαλελαῖος εὐλαβὴς πρεσβύτερος εἶπε·

Μόλις ποτὲ ἀπὸ ζάλης ἐχαρίσατο ἡμῖν ὁ Θεὸς τὸν λιμένα τοῦτον, τὸν ὀρθόδοξον λέγω βασιλέα· εἰς ὃν μετὰ Θεὸν καταφυγὼν, θεασάμενος δὲ καὶ τῶν ἐμῶν συγκληρικῶν τὸν ζῆλον τὸν ὑπὲρ τῶν γενομένων ἡμῶν ὁσίων ἀρχιερέων καὶ πατέρων· παρακαλῶ τὴν μὲν γενομένην καινοτομίαν παρὰ τῶν αἱρετικῶν ἐν τῇ ἁγιωτάτῃ ἡμῶν ἐκκλησίᾳ ἀνατραπῆναι· κρατῆσαι δὲ τὸ παλαιὸν ἔθος τῆς ἐκκλησιαστικῆς καταστάσεως· καὶ ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν μακαριωτάτων ἡμῶν ἐπισκόπων, ἀπὸ τοῦ μακαριωτάτου Δόμνου καὶ ἕως τοῦ μακαριωτάτου Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου.

Νεσιύκιος εὐλαβὴς πρεσβύτερος εἶπε·

Κἀγὼ εὐχαριστῶ τῷ Θεῷ, τῷ εἰρήνην καὶ ἕνωσιν ταῖς ἁγίαις ἐκκλησίαις διὰ τοῦ φιλοχρίστου ἡμῶν βασιλέως δεδωκότι, συναινῶ πᾶσι τοῖς αἰτηθεῖσι παρὰ τοῦ εὐαγοῦς ἡμῶν κλήρου, καὶ βεβαιωθεῖσι παρὰ τῶν ὁσιωτάτων τῆς ἐπαρχίας ἐπισκόπων, ὥστε ἀνατραπῆναι μὲν ἅπαν καινὸν ἐπεισαχθὲν τῇ ἁγιωτάτῃ ἡμῶν ἐκκλησίᾳ· ἀνανεωθῆναι δὲ, καὶ κρατυνθῆναι τὰ παλαιὰ ἔθη τὰ κρατήσαντα ἄχρι τῆς τελευτῆς τοῦ τῆς θεοφιλοῦς μνήμης Ἰσαακίου τοῦ γενομένου ἡμῶν ἀρχιεπισκόπου ἐπὶ ταῖς θείαις λειτουργίαις, καὶ τοῖς λοιποῖς ἅπασι.

Μέγας εὐλαβὴς πρεσβύτερος εἶπε·

A Πάντα τὰ καινισθέντα ὑπὸ τῶν Ἀκεφάλων, βούλομαι παυθῆναι καὶ κρατεῖν τὴν ἀρχαίαν κατάστασιν, καὶ ἐντεθῆναι τὰ ὀνόματα τῶν ἁγίων ἡμῶν πατέρων, καὶ τῶν ὁσιωτάτων ἐπισκόπων ἡμῶν, τῶν γενομένων ἐν τῇ ἡμετέρᾳ μητροπόλει ἕως τῆς τελευτῆς τοῦ μακαρίου Ισακίου.

Σέργιος εὐλαβὴς πρεσβύτερος εἶπε·

Εὐχὴν τοιαύτην εἶχον, καὶ παρεκάλεσα τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν, ὥστε ἐπαρθῆναι τὰ ἔθη τὰ καινισθέντα παρὰ τῶν κακῶς φρονούντων * τοῦ μακαριωτάτου Ισακίου, τοῦ γενομένου ἡμῶν ἐπισκόπου, ἔκειντο· καὶ συναινῶ πᾶσι τοῖς καταπεθεῖσι παρὰ τῶν θεοφιλεστάτων πρεσβυτέρων.

* Deesse videtur, ἢ ἐντεθῆναι τὰ ὀνόματα τῶν ἁγίων ἡμῶν πατέρων, ἃ ἕως

Σαββάτιος εὐλαβὴς πρεσβύτερος εἶπε·

B Κἀγὼ συναινῶ πᾶσι τοῖς καταπεθεῖσι παρὰ τῶν θεοφιλεστάτων πρεσβυτέρων.

Ῥωμανὸς εὐλαβὴς πρεσβύτερος εἶπε·

Κἀγὼ εὐχαριστῶν τῷ δεσπότῃ Θεῷ δεδωρημένῳ κόσμῳ παντὶ, καὶ ταῖς ἁγίαις ἐκκλησίαις ὀρθόδοξον βασιλέα, συναινῶ καὶ στοιχῶ πᾶσι τοῖς τε ὑπὸ τῶν θεοσεβεστάτων μου συγκληρικῶν αἰτηθεῖσι καὶ παρὰ τῶν πρὸ ἐμοῦ θεοφιλεστάτων πρεσβυτέρων, ἐπὶ τῷ πᾶσαν καινοτομίαν γενομένην ἀνατραπῆναι, κρατυνθῆναι δὲ τὰ παλαιὰ ἔθη τῆς ἁγιωτάτης ἐκκλησίας· καὶ ἐντεθῆναι τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν γενομένων ὁσιωτάτων ἐπισκόπων, ἄχρι τοῦ μακαριωτάτου Ισακίου τοῦ γενομένου ἡμῶν ἀρχιεπισκόπου.

Ἰωάννης εὐλαβὴς πρεσβύτερος εἶπε·

C Κἀγὼ συναινῶ πᾶσι τοῖς κατατεθεῖσι.

Ἄλλος Ἰωάννης εὐλαβὴς πρεσβύτερος εἶπε·

Γέγραπται, αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος· διὸ καὶ ἀγαλλιώντες καὶ εὐφραινόμενοι ἐν αὐτῇ· μετὰ δακρύων παρακαλῶ ἐντεθῆναι τοὺς ἁγιωτάτους ἡμῶν πατέρας, ἄχρι τῆς τελευτῆς τοῦ τῆς ὁσίας μνήμης Ισακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου, καὶ κρατυνθῆναι τὸ παλαιὸν ἔθος.

Ἰωάννης καὶ Ζακχαῖος πρεσβύτεροι εἶπον·

Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς δόξασι.

Κυριακὸς εὐλαβὴς πρεσβύτερος καὶ λογοθέτης εἶπε·

Κἀγὼ παρακαλῶ τὴν ὑμετέραν ἐξουσίαν, ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τοὺς ὁσίους ἡμῶν καὶ μακαρίους γενομένους ἐπισκόπους τοὺς ἄχρι τοῦ μακαριωτάτου Ισακίου, καὶ τοὺς ἐν τοῖς

D θρόνοις αὐτῶν ἀποθανόντας· κρατυνθῆναι δὲ καὶ τὰ παλαιὰ ἔθη τὰ ἐκκλησιαστικά. ὑπερεύχομαι δὲ καὶ ὑπὲρ τῆς νίκης τοῦ δεσπότου ἡμῶν, τοῦ εὐσεβεστάτου Ἰουστίνου ὀρθοδόξου βασιλέως.

Ἀντωνῖνος εὐλαβέστατος πρεσβύτερος εἶπεν·

Εὐχὴ μὲν ἦν ἡμῖν, τὸ ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τοὺς ὁσίους καὶ μακαρίους ἡμῶν πατέρας, τοὺς γενομένους ἡμῶν ἐπισκόπους ἄχρι τοῦ τῆς μακαρίας μνήμης Ισακίου καὶ αὐτοῦ γενομένου ἡμῶν ἐπισκόπου· κρατυνθῆναι δὲ καὶ τὰ ἔθη τὰ ἐκκλησιαστικὰ, τὰ μέχρι τοῦ αὐτοῦ τῆς μακαρίας μνήμης Ισακίου.

Εὐτυχιανὸς διάκονος εἶπεν·

Εὐχαριστῶ τῷ τῶν ὅλων Θεῷ τῷ δεδωκότι ἡμῖν εὐσεβῆ καὶ

E φιλόχριστον βασιλέα Ἰουστῖνον, ἐπὶ εἰρήνῃ τῶν ἁγιωτάτων αὐτοῦ ἐκκλησιῶν· κἀγὼ αἰτῶ ἐντεθῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τὰς προσηγορίας τῶν γενομένων ἡμῶν ὁσίων ἐπισκόπων τῶν ἄχρι τοῦ τῆς μακαρίας μνήμης Ισακίου τοῦ γενομένου ἡμῶν ἐπισκόπου· κρατεῖν δὲ καὶ τὰ παλαιὰ ἔθη, τὰ ἐκκλησιαστικά.

Σέργιος καὶ Εὐσέβιος καὶ Ἰωάννης πρεσβύτεροι εἶπον·

Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς πρὸ ἡμῶν καταπεθεῖσιν.

Καλλιόπιος ὁ Μάρκωνος, Λεόντιος ὁ Μάτρωνος, Ἀναστάσιος ὁ Ἀφθονίου, Στέφανος καὶ Θεοδόσιος, διάκονοι εἶπον·

Συναινοῦμεν καὶ ἡμεῖς τοῖς καταπεθεῖσι παρὰ τῶν εὐλαβεστάτων ἀνδρῶν.

Megas reverendus presbyter dixit :

A Omnia innovata ab [a] hæreticis volo cessare, & teneri antiquum statum, & imponere nomina sanctorum patrum, & sanctissimorum archiepiscoporum nostrorum, qui fuerunt in nostra metropoli usque ad obitum beati Isaccii.

[a] In Græco, ab Acephalis.

Sergius reverendus presbyter dixit :

Talem orationem habui, & rogavi Dominum nostrum Jesum Christum, ut tollerentur consuetudines innovatæ ab his, qui male sentiunt: & ponerentur nomina sanctorum patrum, sicut & usque ad beatissimum Isaccium episcopum nostrum jacuerunt. Et consentio omnibus his, quæ deposita sunt, a venerabilibus presbyteris.

Sabbatius reverendus presbyter dixit :

B Et ego consentio omnibus, quæ attestata sunt a venerabilibus presbyteris.

Romanus reverendus presbyter dixit :

Et ego regratians Domino Deo, qui donavit toti mundo & sanctis ecclesiis orthodoxum Imperatorem, consentio & consono omnibus petitis a venerabilibus conclericis meis, & ante me a venerabilibus presbyteris, in removendo omnem innovationem factam: & servare antiquas consuetudines ecclesiæ, & ponere in sacris diptychis appellationes sanctissimorum episcoporum nostrorum, usque ad beatissimum Isaccium archiepiscopum nostrum.

Joannes reverendus presbyter dixit :

C Et ego consentio omnibus testificatis.

[b] *Asterius Joannes reverendus presbyter dixit :*

Scriptum est: *Hac est dies quam fecit Dominus: quare exsultemus & lætemur in ea.* Cum lacrymis rogo imponere sanctos patres nostros usque ad obitum sanctæ memoriæ Isaccii episcopi nostri, & teneri antiquam consuetudinem.

[b] In Græco, Alius Joannes. Psal. 117.

Joannes & Zacchæus presbyteri dixerunt :

Et nos consentimus omnibus opinionibus.

Cyriacus reverendus presbyter & Logotheta dixit :

Et ego rogo vestram potestatem, ponere in sacris diptychis sanctos & beatos nostros episcopos usque ad

D beatissimum Isaccium, & eos qui in sede ipsorum mortui sunt, & teneri antiquas ecclesiæ consuetudines. Oro autem pro victoria domini nostri piissimi Justini orthodoxi Imperatoris.

[c] *Antonius presbyter dixit :*

Oratio quidem nobis fuit, ut ponerentur in sacris diptychis sancti ac beati patres nostri, qui fuerunt episcopi nostri usque ad beatæ memoriæ Isaccium, qui & ipse episcopus noster fuit; & servarentur antiquæ consuetudines ecclesiæ, quæ fuerunt usque ad tempus ipsius beatissimi Isaccii.

[c] In Græco, Antoninus.

Eutychianus diaconus dixit :

Gratias ago omnium Deo, qui dedit nobis pium &

E Christi amantissimum Imperatorem Justinum pro pace sanctissimarum ecclesiarum suarum: & peto inserere sacris diptychis nomina sanctorum episcoporum nostrorum, qui fuerunt usque ad beatæ memoriæ Isaccium, qui fuit episcopus noster: utque serventur antiquæ consuetudines ecclesiæ.

Sergius & Eusebius ac Joannes presbyteri dixerunt :

Et nos consentimus omnibus attestatis ante nos.

Calliopius filius Marconis, Leontius filius Matronis, Anastasius Aphthonii, Stephanus, & Theodosius, diaconi, dixerunt :

Consentimus & nos his, quæ testata sunt a venerabilibus viris.

Dyas filius Uranii, Anastasius filius Theodosii, Macedonius, Joannes filius Rufini, & Leontius filius Anatolii, Epionus filius Eortasii, diaconi, dixerunt:

Et nos ejusdem opinionis sumus.

Stephanus, Anthemius, Eulogius, Antoninus, Leontius, Elias, Epiphanius, Symeon, Aëtius, Photinus, Julianus, Leontius, Joannes, Epilampius, Stephanus, reverendi diaconi, dixerunt:

Et nos sequimur ea, quæ simul visa sunt venerabili clero.

Paulus, Diogenes, Thomas, Stephanus, Asterius, Joannes, & Stephanus, diaconi, dixerunt:

Et nos sequimur omnes istos.

Theodosius, Joannes, Symeon, Marcellus, Romanus, Julianus, Leontius, Asterius, Julianus, Joannes, Symeones, Muras, Theodotus, Thomas, Epiphanius, Joannes, Leontius, & Sophronius, diaconi, dixerunt:

Et omnes nos consentimus omnibus dictis a venerabili clero.

Epiphanius, Gnidius, Romanus, Aphthonius, Diodorus, Joannes, Antoninus, Evagrius, Thomas, Barcius, Stephanus, Anastasius, Strategius, Epiphanius, & Theoctistus, reverendi lectores, dixerunt:

Et nos sequimur hos omnes.

Flavianus Joannes Palladius Eutychianus Comes & Præses, dixit:

Manifesta sunt ea quæ facta fuere: Edantur:

Libellus monachorum Apameæ ad proprios episcopos, de sceleribus Petri.

Copia libellorum porrectorum a collegio monachorum Apameæ. Sanctissimis dominis nostris episcopis, sanctissimis patribus episcopis secundæ Syriæ, ab Alexandro, Joanne, Symeone, Palladio, Procopio, Eugenio, Stephano, & reliquis archimandritis & monachis territorii Apamiarum.

Vide Baronium anno 517. numero 48. Virus lectio hic obscura & prava: ideoque a nobis neglecta est.

D Ocuerunt nos divinæ scripturæ, quomodo & rerum necessitas didicit servire tempori. Siluimus igitur superioribus annis, vim nobis afferente potentia tunc imperantium, ac furore hæreticorum. Verum cum nunc Deus justam fiduciam donaverit, rebusque optatam spem largitus sit, & ecclesiis suis & toti orbi orthodoxum Imperatorem excitarit: necesse est, ut qui silentio gravati obmutuerant, clament. Scitis enim quod inevitabilium rerum vis res etiam impossibiles ferme solet aggredi. Cum itaque Deus clementiam donaverit, & tranquillitatem terris reddiderit, (qui pro sua singulari bonitate, suos cultores ac in se confidentes consilio desertos numquam relinquit, sed consolatur;) bono Imperatore rerum potiente; & secedentibus his, qui rectam viam orthodoxæ fidei spoliare conabantur: relinquitur, ut nos dicamus, licet videantur mediocria: vitam amarissimam Severi hæretici, deinde turpem ac omni abominatione plenam Petri vitam. Quando enim ivimus ad pagum figulorum, qui non longe est a venerabili templo beati Symeonis confessoris, ad pacem & unionem caritatis, & justam orationem respicientes, solumque habitum & animam monachos decentem circumferentes: nescimus, quomodo impium Severum hostem habuimus: quem nescivit, nec umquam suscepit Christianorum status, neque vera communione ullo modo aut tempore participare voluit: & si spectetur sententia inimici veritatis, prorsus omnes periimus; cum Judæi, aut alias sæculares, atque adeo monachi, nos invaderent ex locis

A Δύας ὁ Οὐρανίου, Αναστάσιος ὁ Θεοδοσίου, Μακεδόνιος, Ιωάννης ὁ Ρουφίνου, καὶ Λεόντιος ὁ Ανατολίου, Επίονος ὁ Εορτασίου, διάκονοι, εἶπον·

Καὶ ἡμεῖς τοῖς συνδόξασι στοιχοῦμεν.

Στέφανος, Ανθέμιος, Εὐλόγιος, Αντωνῖνος, Λεόντιος, Ηλίας, Επιφάνιος, Συμεὼν, Αέτιος, Φωτεινὸς, Ιουλιανὸς, Λεόντιος, Ιωάννης, Επιλάμπιος, Στέφανος, εὐλαβεῖς διάκονοι, εἶπον·

Καὶ ἡμεῖς ἀκολουθοῦμεν τοῖς συνδόξασι παρὰ τοῦ εὐαγοῦς κλήρου.

Παῦλος, Διογένης, Θωμᾶς, Στέφανος, καὶ Αστέριος, Ιωάννης καὶ Στέφανος, διάκονοι, εἶπον·

Καὶ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις.

B Θεοδόσιος, Ιωάννης, Συμεὼν, Μάρκελλος, Ρωμανὸς, Ιουλιανὸς, Λεόντιος, Αστέριος, Ιουλιανὸς, Ιωάννης, Συμεώνης, Μάρας, Θεόδοτος, Θωμᾶς, Επιφάνιος, Ιωάννης, Λεόντιος καὶ Σωφρόνιος, διάκονοι, εἶπον·

Καὶ ἡμεῖς συναινοῦμεν πᾶσι τοῖς συνδόξασι παρὰ τοῦ εὐαγοῦς κλήρου.

Επιφάνιος, Γνίδιος, Ρωμανὸς, Αφθόνιος, Διόδωρος, Ιωάννης, Αντωνῖνος, Εὐάγριος, Θωμᾶς, Βάρκιος, Στέφανος, Αναστάσιος, Στρατήγιος, Επιφάνιος καὶ Θεόκτιστος, εὐλαβεῖς ἀναγνῶσται, εἶπον·

Καὶ ἡμεῖς ἀκολουθοῦμεν πᾶσι τούτοις.

Φλάβιος Ιωάννης Παλλάδιος Εὐτυχιανὸς κόμης καὶ ἔπαρχος εἶπε·

C Δῆλα τὰ πεπραγμένα. ἐκδοθήτω.

Λίβελλος τῶν μοναχῶν Απαμείας πρὸς τοὺς ἰδίους ἐπισκόπους.

Ισον λιβέλλων ἐπιδοθέντων παρὰ τοῦ κοινοῦ τῶν μοναχῶν τῆς Απαμέων. Τοῖς ὁσιωτάτοις ἐπισκόποις δεσπόταις ἡμῶν, τοῖς τὰ πάντα ὁσιωτάτοις πατράσιν ἐπισκόποις Συρίας δευτέρας, παρὰ Αλεξάνδρου, Ιωάννου, Συμεώνου, Παλλαδίου, Προκοπίου, Εὐγενίου, Στεφάνου, καὶ λοιπῶν ἀρχιμανδριτῶν καὶ μοναχῶν τῆς Απαμέων ἐνορίας.

D Διδάσκουσιν ἡμᾶς αἱ θεῖαι γραφαὶ, ὡς μεμάθηκε καιροῦ δουλεύειν καὶ ἡ τῶν πραγμάτων ἀνάγκη. ἐσιγήσαμεν οὖν τοὺς φθάσαντας κύκλους δυναστείᾳ τῶν τότε κρατούντων, καὶ τῇ μανίᾳ τῶν αἱρετικῶν βιαζόμενοι. ἀλλὰ νῦν Θεοῦ βραβεύσαντος δικαίαν παῤῥησίαν, καὶ φιλοτιμησαμένου τοῖς πράγμασιν εὐκταίαν ἐλπίδα, καὶ ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, καὶ ἐπαναστήσαντος πάσῃ τῇ γῇ φιλόχριστον καὶ ὀρθόδοξον βασιλέα, ἀνάγκη πᾶσα καὶ τοὺς ἐν ἀφωνίᾳ πιεζομένους βοᾶν. ἴστε γὰρ, ὡς καὶ τῶν ἀδυνάτων ῥᾷον ἡ τῶν ἀπαραιτήτων πραγμάτων ἐφάπτεται βία. Θεοῦ τοίνυν φιλανθρωπίαν πρυτανεύσαντος, ἀγαθοῦ βασιλέως χρηματίζοντος, ἀποχωρησάντων τῶν συλᾷν ἐπιχειρούντων τὴν εὐθεῖαν τῆς πίστεως ὁδόν· λείπεται λέγειν ἡ-

E μᾶς, εἰ καὶ μέτρια φανῇ, τὸν Σευήρου τοῦ κακοδόξου πικρότατον βίον, εἶτα καὶ Πέτρου τὸ αἰσχρὸν καὶ πάσης βδελυρίας γέμον πολίτευμα. ὅτε γὰρ ἐπορευόμεθα κατὰ τὸ κεραμέων χωρίον, οὐ πόῤῥω τοῦ σεβασμίου τεμένους τυγχάνον τοῦ μακαρίου καὶ ὁμολογητοῦ Συμεώνου, πρὸς εἰρήνην καὶ ἕνωσιν ἀγάπης καὶ δικαίαν εὐχὴν ἀποβλέποντες, μόνον σχῆμα καὶ ψυχὴν περιφέροντες πρέπουσαν μοναχοῖς· οὐκ ἴσμεν ὅπως, τὸν ἀσεβῆ Σευῆρον πολέμιον ἐσχηκότες, ὃν οὐκ οἶδεν, οὐκ ἐδέξατο πώποτε τῶν Χριστιανῶν ἡ κατάστασις, οὐδὲ κοινωνίας ἀληθοῦς κατά τινα τρόπον ἢ χρόνον μετέσχεν, ὅσον ἀπὸ γνώμης τοῦ ἐχθροῦ τῆς ἀληθείας, ἄρδην ἅπαντες ἀπολώλαμεν, Ιουδαίων, ἢ καὶ ἄλλως κοσμικῶν τε καὶ ἤδη μοναχῶν ἐπιχεόντων ἡμῖν ἐκ τῶν

ANNO CHRISTI 536.

ὑψηλῶν καὶ ἀποκρήμνων χωρίων. τί δὲ καὶ ποιεῖν ἔδει, ἢ πῶς ἀντιπαλαίσασθαι μανίᾳ τῶν ἐπιπεμφθέντων, καὶ τοῦ δεινοῦ τῆς ἀσεβείας στρατηγοῦ; τοὺς μὲν οὖν καὶ διέφθειραν, ἑτέρους αἰχμαλώτους ἀφείλκυσαν, οἵους γυμνοὺς τῆς ἐσθῆτος κατέστησαν, ἄλλους κατερρωγυίας τῆς ἐσθῆτος ὡς ἐν ἀσχήμονι βίῳ κατὰ τὴν ἐκείνων δόξαν ἐπόμπευσαν. ἡμεῖς μὲν οὖν ἐπὶ τοῖς γεγενημένοις εἰκότως ἐσεμνυνόμεθα, πάθη καὶ ὁσίας πληγὰς ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, μετὰ πάσης ἀγαθῆς ἐλπίδος προφέροντες. ἀλλὰ καὶ τὰ οὕτως μεγάλα τῶν ἀδικημάτων μικρὰ νενομικότες, ἐπιπέμπουσι καὶ κατὰ * τὸν ἱκερτὸν, στρατιὰν ἀγροίκων μείζονα ταύτης, δεύτερον ἔφοδον κατὰ τοῦ εἰρημένου μοναστηρίου ποιούμενοι· οἳ διορύττουσι μέρος τοῦ τειχίου, καὶ ὑπεισέρχονται νύκτωρ, καὶ τινὰς μὲν κατασφάττουσι, τοὺς δὲ πολλοὺς καταπλήττουσιν, ὑφαρπάσαντες καὶ τὴν μετρίαν τοῦ μοναστηρίου περιουσίαν, ὥστε ἀντὶ μεγάλων ὀδυρμῶν τρόπαια, φησὶ, κατὰ τῆς εὐσεβείας ἱστᾷν. καὶ οὗτοι μὲν οὖν πολλὰ δεινὰ δεδρακότες, εἰ καὶ μόλις ἀπεδιώχθησαν· καιρὸς δὲ οὐδεὶς ἦν μιαιφονίας Σευήρῳ τῷ μόνῳ τῆς πάσης οἰκουμένης ἐχθρῷ, ἢ τάχα ἀληθέστερον καὶ τῆς τῶν οὐρανίων θεωρίας. ἀλλ᾽ ὡς μὴ ἀρκοῦντος, ὡς ἔοικε, μόνου Σευήρου καταστολίσαι τῆς ὅλης οἰκουμένης τὰ κόσμια, πάλιν καὶ Πέτρος κατὰ τῆς Απαμέων ἐξανίσταται, καὶ προβάλλεταί, φησι, πρόεδρος· ὃν ἔδει μᾶλλον καὶ γράμμασιν, ἐν συλλαβαῖς παραδίδοσθαι, καὶ μὴ ὀνειροπολεῖν ἱερατικῆς μυσταγωγίας θεσπίσματα. ὅθεν τὸ ἄλογον τῆς νεότητος θράσος ἐπιπέμπει πολλάκις τῷ σεβασμίῳ μοναστηρίῳ τοῦ Δωροθέου, περισύρων πλῆθος, δημόσια γύναια τούτῳ προσαρμόζοντα, ὅσῳ τὸ τῆς ἀκοσμίας ἐκώμαζεν ἐν αὐταῖς. ἑταῖραι γὰρ ἦσαν καὶ οὐδαμόθεν εὐγενεῖς. καὶ καταπλήττων τοὺς αὐτόθι θεοφιλεῖς μοναχοὺς, ἕλκει κατὰ τὴν πόλιν, καὶ δεσμωτηρίῳ καθεῖργει· καὶ τοῦτο πολλάκις ποιῶν, οὐκ ἐπαύσατο. τίς ἂν ἐκλαλῆσαι δυνήσεται τῶν ἡγησαμένων ἐν τῷ μοναστηρίῳ τῆς Ματρώνης κακῶν; ἔτι γὰρ καὶ νῦν ἐμπέπηγασι βέλη τῶν ἑπομένων καὶ προσκαρτερούντων αὐτῷ Ἰσαύρων, βοῶντα τοῦ συμβεβηκότος δράματος τὴν ὑπερβολήν. οὔπω ὁ τῶν θυρῶν ἐκείνου τοῦ μοναστηρίου ἀφανισμὸς ἀδακρυτὶ συγχωρεῖ παρελθεῖν τοὺς ὁρῶντας. εἰ δὲ καὶ τὴν μιαιφονίαν ἐξειπεῖν τολμήσομεν, εἰς ἣν καταχρώσας πολλάκις τὰς χεῖρας, καὶ ὁρῶν τὰ αἵματα τοῖς θυσιαστηρίοις ἀναπιμπλάμενα προσφέρειν ἐθάῤῥει· τίς τῶν ὀρθοδόξων Χριστιανῶν οὐκ ἀποκνήσει λέγειν, καὶ σιγῇ μᾶλλον ἀγαπήσει τὰ τοιαῦτα τῶν πραγμάτων ἐπικαλύπτειν; ἀλλ᾽ εἰ καὶ πάλιν ἐπιμνησθῶμεν τῶν προεληλυθότων κατὰ τὸ Ορεγῶν μοναστήριον, ποῖος ἀρκέσει χάρτης πρὸς ἀφήγησιν τῶν τοσούτων πλημμελημάτων; οὐ γὰρ ὤκνησαν ὡς ἐν πολιορκίᾳ καθελεῖν τὸ μοναστήριον, καὶ δίκην αἰχμαλώτων λαβεῖν τοὺς αὐτόθι ψάλλοντας μοναχούς· ἐπειδὴ πρὸς μικρὸν ὀλισθήσαντες ὕστερον τὸν λόγον τῆς ἀληθείας ἠγάπησαν, καὶ τὴν ἐπίγνωσιν τῆς ἡμῶν κοινωνίας ἠσπάσαντο. τὴν ἐν Λαρίσσῃ συστᾶσαν μάχην, καὶ τὴν ἄφατον Φαύστου μανίαν, καὶ ὅσους κατέλαβε βέλεσιν ἀθέσμως, φέρει καί τινων πεπραγμένων ἡ πίστις· ὥσπερ οὖν καὶ ἐπὶ τῇ τῶν Νικερτῶν ἐφόδῳ γεγένηται, πρᾶξις, καὶ οὐδένα τῶν οἰκούντων τὴν ἐπαρχίαν διαλέληθεν. ὅσα δὲ καὶ οἷα διαφόρως κατὰ τὸν σεβάσμιον οἶκον τοῦ καλλινίκου μάρτυρος Αντωνίνου τετόλμηται, ποία φύσις ἔχουσα λόγον ἀδακρυτὶ διηγήσεται; ὥσπερ γὰρ ἐν ἔθει γενόμενος τῆς τῶν μοναχῶν μιαιφονίας, καὶ μέγα κέρδος, τὸ πᾶσι τοῖς ἀνθρώποις ἀπευκτὸν λογιζόμενος, κατέσφαξε διὰ τῶν ἑπομένων αὐτῷ, ὧν οὐχ ὁσίως ἐστρατήγει, τοὺς ἐπὶ τιμῇ τῆς ἐκεῖσε ἐπιτελουμένης ἑορτῆς ἀθροιζομένους εὐλαβεῖς καὶ ὀρθοδόξους μοναχοὺς, οὕτω τε χερσὶν ᾑμαγμέναις, τῷ θυσιαστηρίῳ παριστάμενος. ἠκούσατε παρόντος τοῦ τε μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος, καὶ Αμελίου τοῦ ἐνδοξοτάτου, καὶ Ναρσοῦ τοῦ μεγαλοπρεπεστάτου, καὶ ἑτέρων ἐν τέλει τινῶν, ὅσας ἀφῆκαν φωνὰς παρόντες οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ διάκονοι, καὶ ὑποδιάκονοι, καὶ τὸ λοιπὸν πλήρωμα τῆς ἐν Απαμείᾳ καθο-

* Lege, τὸν Νικερτῶν

A quibusdam sublimibus ac præruptis. Quid autem possemus facere, aut quomodo possemus resistere furori eorum qui in nos immittebantur, & acerrimi ducis impietatis? Nam alios quidem necarunt, alios vero in captivitatem traxerunt, nonnullos vestibus nudarunt, & alios detritis corruptisque vestibus tamquam in ignominiosa vita, secundum illorum opinionem publice traduxerunt. Nos quidem ob ea, quæ facta erant, merito gloriabamur, passiones & sanctas plagas pro Christo Deo nostro cum omni bona spe sustinentes. Verum cum tam magnas offensiones, parvas putarent, immittunt ad Nicertum exercitum rusticorum majorem isto: & secundum impetum faciendo contra prædictum monasterium, partem muri diruunt, & noctis B tempore subintrant, & quosdam interficiunt, plurimos vero verberant, & mediocrem substantiam monasterii subripuerunt, & pro magnis lamentationibus trophæa iniqua contra pietatem erigebant. Et sic quidem multa acerrima commiserunt, licet tamdem expulsi sint. Tempus autem nullum satis homicidii soli Severo totius orbis inimico, immo verius cælestium contemplationum: sed non sufficiente solo Severo (ut videbatur) maculare ornamenta totius orbis, iterum & Petrus contra civitatem Apameensium excitatur: & promovetur, inquit, præsul: quem oportebat magis & litteris in syllabis tradi, & non somniare oracula sacri ritus. Unde temerariam audaciam juventutis immittit C sæpius in venerabile monasterium sancti Dorothei, protrahens multitudinem publicarum feminarum huic accomodatam, in quo illud dedecoris commisit in eis. Nam meretrices erant, & nullatenus nobiles. Et percutiens ibidem venerabiles monachos, trahit ad civitatem, & in carcerem detrudit, & hoc sæpius facere non cessavit. Quisnam poterit, quæ præcesserunt mala, & damna monasterio Matronæ illata numerare? Insuper enim & nunc infixa sunt jacula & tela Isaurorum, qui sectabantur eum, illique adhærebant: quæ testantur illius fabulæ, quæ tum contigit, indignitatem. Neque vero sine lacrymis permittit illa cernere eos qui transeunt, portarum illius monasterii destructio. Quod si & homicidia dicere audebimus, in quibus sæ- D pius manus tinxit, & videns sanguinem altaribus respersum offerre ausus est: quis Christianorum non refugiet dicere, immo silentio non potius contentus erit talia occultare? Sed & si rursus commemoramus præcedentia facta, & perpetrata in Oragorum monasterio; quæ charta sufficeret ad enumerationem tantorum delictorum? Non enim eos piguit, sicut in obsidione destruere monasterium, & tamquam bello captos monachos ibidem psallentes abripere: qui quanquam ad modicum tempus lapsi sint, demum tamen veritatis verbum dilexerunt: & conjunctionem communionis nostræ amplexati sunt. Pugnam Larissæ factam, & nefandum furorem Fausti, & quos inhumaniter sagittis confixit, habet & quorumdam gestorum fides: quem- E admodum & quæ acta sunt in invasione Nicertorum, neminem eorum, qui provinciam incolunt, latent. Quanta vero & qualia differenter in venerabili domo victoris martyris Antonini perpetrata sint, quæ natura ratione prædita sine lacrymis enarrabit? Ita enim in consuetudinem venerat interficiendi monachos, magnum lucrum putans, quod cunctis hominibus abominandum est, ut per sequaces suos, quos inique conducebat, interfecerit venerabiles orthodoxos monachos, qui ibidem in honorem peragendæ celebritatis congregabantur: sicque cruentis manibus adstabat altari. Audivistis, præsente magnificentissimo provinciæ præside, & Amelio gloriosissimo, ac Narsete magnificentissimo, & insuper quibusdam aliis, quas voces emiserunt præsentes venerabiles presbyteri, diaconi, & subdiaconi, ceteraque multitudo catholicæ ec-

ANNO CHRISTI 536.

clesiæ Apameensium: quomodo cum meretricibus & inhonestis mulieribus vitam duxit: & contumeliosas voces contra Deum emisit, Christum crucifixum blasphemando: trahens etiam mulieres in sanctos Christianorum fontes; quæ nondum dignæ habitæ fuerant baptismate sacro. Ceterum si voluerimus universa percurrere, alio potius, & non solum præsente, indigebimus tempore. Quare multa Petri & Severi delicta prætereuntes carptim balbutiendo percurrimus veras contra illos accusationes. At bonum quidem esset, non prætermittere causam afflictionis venerabilis Joannis. Nam cum quidam moti essent sermones in secreto sancti Stephani, dum celebraretur festivitas, & respondisset dictus venerabilis vir, bene & sancte credere piissimum Imperatorem: qui contristatus, ac veluti anima compunctus in hac justa voce, sub verbo & condemnatione, inquit, hoc fecit Petrus qui veritatis inimicus est, & nullibi justum habet sermonem, sed in omnibus protervus hostis est, oppugnatis bonis orthodoxis cogitationibus ejus, qui est post Deum universi orbis dominus. Hæc enim sic attestata, præsente magnifico præside provinciæ, & quibusdam clarissimis electis de metropoli, multi ex venerabili clero Apameensium edocuerunt addentes: & quantam servavit voluptuosam affectionem circa Stephanam de scena, quam adducendo persuasione & blanditiis, monasterio, inquit, immittit, & omni tempore privatim & continue ipsi adhærens. Et hoc diverticulum indecens rursus sibi fabricavit, & occasionem inhonestam, quam ipse vocavit doctrinam & admonitionem; putans omnes præscientes se fallere, & veritatem pervertere eorum, ex quibus constabat eum sceleris patrandi causa illius congressum amplexum esse, ut sobrium valde sermonem de hoc usurpemus. Quare supplicamus ac rogamus vestram beatitudinem, ut respicientes ad verum verbum, cui servitis, & ad memoriale & orthodoxum propositum piissimi Imperatoris nostri, ac summorum Magistratuum, sequamini sancta gesta beatissimi patriarchæ, & sanctæ synodi cum ipso congregatæ: & consentiatis justæ expulsioni factæ contra Severum hæresiarcham: & deponere velitis Petrum, quem nominando erubescimus: sed necessitati obsequentes, dicimus, & supplicamus, ut deponatis ipsum, & extra sacrum chorum statuatis, ac extra sacerdotium, a quo ipse omnino alienus fuit jam nunc; & sibiipsi solum illicite vindicavit sacerdotii speciem. Istis enim sic præcedentibus, Deus admittet vestram puram, & ipsi dilectam voluntatem, & Rex magnus laudabit rectum animum vestræ justitiæ, & passiones concitatas membris ecclesiasticis excidetis. Atque utinam sicut olim & prioribus sæculis, remedium & curam apostolicam ecclesiis impertientes, ad sanctum & convenientem ordinem immaculatam Christianorum fidem deducatis: ut gloria & indefessi hymni continuis vocibus & canticis Deo universorum domino offerantur, tam a cælestibus potestatibus, quam ab omni humana natura, justis ecclesiæ catholicæ in bonam unionem convenientibus: ut juxta divinam vocem *fiat unum ovile, & unus pastor* Christus Deus noster.

Ita vetus cod. græc.

λικῆς ἐκκλησίας, ὡς μετὰ πορνῶν καὶ χαμαιτυπῶν ἀθέσμων τὸν βίον, ἐποιήσατο, καὶ δυσφήμους ἀφῆκε κατὰ τοῦ Θεοῦ φωνάς, παροινῶν τὸν σταυρωθέντα Χριστόν, γυναῖκα παρεισάγων ἐν τῇ θείᾳ τῶν Χριστιανῶν κολυμβήθρᾳ, μηδὲ τοῦ θείου βαπτίσματος ἀξιωθείσας· καὶ εἰ θελήσομεν ἅπαντα διεξελθεῖν, ἑτέρου μᾶλλον, καὶ οὐ μόνον τοῦ παρόντος δεηθησόμεθα καιροῦ. διὸ παρέντες τὰ πολλὰ τῶν πλημμεληθέντων Σευήρῳ καὶ Πέτρῳ, ἀκροθιγῶς, ὡς εἶπέν τις, ὑποψελλίσαντες διεξήλθομεν τὰς κατ' ἐκείνων ἀληθεῖς κατηγορίας. καλὸν ἂν εἴη, μηδὲ τὴν αἰτίαν τῆς κατὰ Ἰωάννου τοῦ εὐλαβεστάτου λύπης, παραδραμεῖν. ἐπειδὴ γάρ τινες ἐκινήθησαν λόγοι ἐν τῷ σηκρέτῳ τοῦ ἁγίου Στεφάνου, ἑορτῆς ἐπιτελουμένης, καὶ ἀπεκρίνατο ὁ εἰρημένος εὐλαβέστατος ἀνὴρ καλῶς καὶ ὁσίως πιστεύειν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα, ἀχθεσθεὶς ὥσπερ καὶ κατανυγεὶς τὴν ψυχὴν ἐπὶ τῇ δικαίᾳ ταύτῃ φωνῇ, ὑπὸ λόγον καὶ κατάκριμα, φησί, τοῦτο πεποίηκε Πέτρος, ὁ τῆς ἀληθείας ἐχθρός, ὁ μηδαμοῦ ἔχων εὔλογον λόγον· ἀλλὰ μόνον κατὰ πάντα προπετὴς ἄντικρυς, κἀνταῦθα μαχόμενος τῷ φιλοχρίστῳ καὶ ὀρθοδόξῳ λογισμῷ τοῦ τῆς ὅλης μετὰ Θεὸν οἰκουμένης δεσπότου. ταῦτα γάρ, ὡς ἐπιμαρτυρεῖται, παρόντος τοῦ μεγαλοπρεπεστάτου τῆς ἐπαρχίας ἄρχοντος, καί τινων λαμπροτάτων λογάδων τῆς μητροπόλεως, πολλοὶ τῶν κληρικῶν εἰς τὸν εὐαγῆ κλῆρον τῆς Απαμέων ἐξεδίδασκον, προστιθέντες καὶ ὅσην ἐσώζεν ἡδυτάτην στοργὴν περὶ Στεφανίαν τὴν ἀπὸ σκηνῆς, ἣν ἀναγαγὼν πειθοῖ καὶ κολακείᾳ πολλῇ, μοναστηρίῳ, φησίν, ἐμβάλλει, κατὰ πάντα καιρὸν ἰδίᾳ καὶ κατὰ μόνας προσεδρεύων αὐτῇ· καὶ τοῦτο καταγώγιον ἀπρεπὲς πάλιν ἑαυτῷ τεχνασάμενος, καὶ πρόφασιν ἄσεμνον, ἣν αὐτὸς ἐκάλει διδασκαλίαν εἶναι καὶ παραίνεσιν, ἅπαντας προεπισταμένους φενακίζειν οἰόμενος, καὶ τὴν ἀλήθειαν παραχαράττειν, ὧν ἐπὶ κακῷ τὴν πρὸς ἐκείνην ἠσπάζετο συνουσίαν, ἵνα πάνυ σωφρονέστερον τὸν περὶ τούτου διεξέλθωμεν λόγον. διὸ ἱκετεύομεν, καὶ δεόμεθα τῆς ὑμετέρας μακαριότητος, ἀφορῶντας εἴς τε τὸν ἀληθῆ λόγον, ᾧ λατρεύετε, καὶ εἰς τὸν αἴσιμον καὶ ὀρθόδοξον σκοπὸν τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, καὶ τῶν μεγίστων ἐξουσιῶν, εἶξαι, καὶ κατακολουθῆσαι ταῖς καθαραῖς ταῖς πράξεσι τοῦ μακαριωτάτου πατριάρχου, καὶ τῆς συνελθούσης αὐτῷ ἁγίας συνόδου, καὶ συναινέσαι μὲν τῇ κατὰ Σευήρου τοῦ αἱρεσιάρχου δικαίᾳ ἐκβολῇ· καθελεῖν δὲ καὶ Πέτρον, ὃν ἐξονομάζοντες εἰκότως ἐδυσχεράναμεν· πειθόμενοι δὲ τῇ ἀνάγκῃ λέγομεν καὶ δεόμεθα καθελεῖν τοῦτον, καὶ ἔξω καταστῆσαι θείου χοροῦ, καὶ ἱερωσύνης, ἧς αὐτὸς παντελῶς ἀλλότριος γέγονεν ἤδη καὶ νῦν, ἑαυτῷ δὲ μόνον ἀθέσμως περιέθηκε τὸ τῆς ἱερωσύνης σχῆμα. τούτων γὰρ οὕτως γενομένων, καὶ Θεὸς εἰσδέξεται τὴν ὑμετέραν καθαρὰν καὶ αὐτῷ φίλην προαίρεσιν· καὶ βασιλεὺς ὁ μέγας ἐπαινέσει τὸν ὀρθὸν τῆς ὑμῶν δικαιοσύνης λογισμόν· καὶ τὰ παρενοχλήσαντα πάθη τοῖς μέλεσι τῆς ἐκκλησίας ἐκκόψαι. ὡς εἴθε πάλαι καὶ πρότερον ἴασιν καὶ θεραπείαν ἀποστολικὴν ταῖς ἐκκλησίαις χαριζόμενοι, πρὸς ὁσίαν καὶ ἐναρμόνιον τάξιν συνάγοντες τὴν ἀμώμητον τῶν Χριστιανῶν πίστιν· ἐφ' ᾧ τε δόξαν καὶ ἀδιαλείπτους ὕμνους ἀσιγήτοις φωναῖς ἀνακηρύττεσθαι τῷ δεσπότῃ τῶν ὅλων Θεῷ, ὑπό τε τῶν οὐρανίων δυνάμεων καὶ πάσης ἀνθρωπίνης φύσεως, εἰς ἕνωσιν ἀγαθὴν συνιόντων τῶν δικαίων τῆς καθολικῆς ἐκκλησίας, κατὰ τὴν θείαν φωνήν, ἵνα γένηται μία ποίμνη, καὶ εἷς ποιμὴν Χριστὸς ὁ Θεὸς ἡμῶν.

SUBSCRIPTIONES.

Alexander presbyter & archimandrita monasterii beati Maronis, porrexi prædictos libellos, & subscripsi manu mea.

Symeon Dei miseratione presbyter & archimandrita monasterii beati Agapeti.

Procopius presbyter & archimandrita monasterii beati Theodosii.

ΥΠΟΓΡΑΦΑΙ.

Ἀλέξανδρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Μάρωνος ἐπέδωκα τοὺς προκειμένους λιβέλλους, ὑπογράψας χειρὶ ἐμῇ.

Συμεὼν ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἀγαπητοῦ ἐπέδωκα.

Προκόπιος πρεσβύτερος, καὶ ἀρχιμανδρίτης τοῦ μακαρίου Θεοδοσίου.

ANNO CHRISTI 536.

Εὐγένιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἡσυχίου.

Παλλάδιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Οὐαλεντίνου τοῦ ἐν τῷ Καπριόλῳ.

Στέφανος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ὁσίου Θεοδώρου ἐν τῷ Βασαλᾷ.

Ἰωάννης πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βηλίου, ἐπέδωκα.

Μάρας πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βασιλείου.

Μουσήλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Βαρασωβᾶ.

Σέργιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θαλασσίου.

Τιμόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Γαϊανοῦ.

Συμεώνης διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Εὐγράφου.

Ἰουλιανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τῆς Παπύλης.

Δωρόθεος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς μονῆς τοῦ μακαρίου Κυρίλλου.

Ῥωμύλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰακώβ.

Θωμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰωάννου.

Καϊουμᾶς διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Παύλου.

Σαμουήλιος διάκονος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Ἰσαακίου.

Εἰσὶ δὲ καὶ τῇ τῶν Σύρων γλώττῃ πολλαὶ καὶ ἄπειροι μοναχῶν ὑπογραφαί.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἡ συμπαροῦσα ἡμῖν ἁγία σύνοδος, ἣν ἐπὶ τοῖς πεπραγμένοις τε καὶ ἀνεγνωσμένοις ἔχει γνώμην, εἰπάτω.

Καὶ ἀνέγνω Χριστόδωρος ὁ θεοφιλέστατος νοτάριος καὶ διάκονος καὶ σηκρετάριος, τὴν τῆς ἀναγνωσθείσης διὰ Ῥωμαϊκῶν λέξεων φωνῆς ἑρμηνείαν, ἔχουσαν οὕτως.

In editione priore Regia sic: Καὶ ἀνέγνω Φωτεινὸς ὁ θεοφιλέστατος ἀναγνώστης, καὶ [illegible] τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, ἔχουσαν οὕτως· τὴν ἑρμηνείαν ἀνέγνω Χριστόδωρος νοτάριος καὶ διάκονος σηκρετάριος.

Οἱ ἁγιώτατοι ἐπίσκοποι τῶν μερῶν τῆς Ἰταλίας, καὶ οἱ σεβασμιώτατοι διάκονοι τῆς ἀποστολικῆς καθέδρας, εἶπον· πάλαι ἔγνωσται τοῖς ὅροις τοῦ ἀποστολικοῦ ἡγεμόνος Ὁρμίσδου, Σευῆρον καὶ Πέτρον, ἤτοι τοὺς τούτοις συμπλεκομένους, καὶ ἀκολουθοῦντας αὐτοῖς, ὑπὲρ τῆς σαφοῦς ἑαυτῶν πλάνης κατακεκρίσθαι· οὓς πάντας καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς τῆς ἀποστολικῆς καθέδρας διὰ πάντων διατάγμασιν, ἐν τῷ τόπῳ ἤτοι τῷ ἀριθμῷ τῶν κατακρίτων ἔχεσθαι αὐτοὺς ὁμολογοῦμεν. ἀλλὰ καὶ τοῦ προλεχθέντος Σευήρου τὰ ἀσεβῆ συγγράμματα, ἐν οἷς τῆς ἁγίας τῆς ἐν Χαλκηδόνι συνόδου τοὺς ὅρους, καὶ τοῦ τῆς μακαρίας μνήμης πάπα Λέοντος τὰς ἐπιστολὰς, βλασφήμῳ στόματι ἀναθεματίσαι ἐτόλμησεν, οὐ μὴν ἀλλὰ καὶ Ζωορᾶν, καὶ πάντας τοὺς τῇ αὐτῶν κοινωνίᾳ, ἤτοι πλάνῃ ἐμμένοντας, τῆς αὐτῆς ἀποφάσεως ἡ αὐστηρία, ἤτοι τοῦ αὐτοῦ ἀναθέματος οἱ δεσμοὶ καθέξουσι.

Ψῆφος Ἐπιφανίου πατριάρχου, * καὶ τῆς ἐνδημούσης συνόδου κατὰ Σευήρου καὶ Πέτρου.

** al. Κωνσταντινουπόλεως*

Ἡ ἐνδημοῦσα ἁγία σύνοδος εἶπεν· εἰ καί τι νεώτερον ἦν τὸ παρὰ τῶν εὐλαβεστάτων ἡγουμένων τῶν θείων μοναστηρίων αἰτηθὲν, ὡς ὑπὲρ τῶν ἁγιωτάτων ἐκκλησιῶν προτεινόμενον· προσδέξασθαι ἡμᾶς πάντως ἔδει, καὶ τῷ θεοφιλεῖ αὐτῶν κοινωνῆσαί τε καὶ ἐπαγωνίσασθαι ζήλῳ· νῦν δὲ, καὶ προεξειργασμένον τοῦτο κατὰ λόγον ὀρθὸν ὁρῶμεν ἤδη ὑπὸ τῶν μακαριωτάτων ἡμῶν πατέρων τε καὶ ἀδελφῶν, ὥστε καὶ ἐγκλήματος εἶναι μεγίστου τὸ μὴ τούτοις ἐξακολουθεῖν τοῖς οὐ μικροὺς ἱδρῶτας ἐσχηκόσιν ὑπὲρ τῆς κοινῆς τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνης, καὶ ἐν τοῖς μεγάλοις καὶ πατριαρχικοῖς διαλάμψασι θρόνοις. ἐκ πάντων

A Eugenius presbyter & archimandrita monasterii beati Hesychii.

Palladius presbyter & archimandrita monasterii beati Valentini in Capriolo.

Stephanus presbyter & archimandrita monasterii sancti Theodori in Vasala.

Joannes presbyter & archimandrita monasterii sancti Belii, porrexi.

Maras presbyter & archimandrita monasterii beati Basilii.

Muselius presbyter & archimandrita monasterii beati Barasobæ.

Sergius presbyter & archimandrita monasterii beati Thalassii.

B Timotheus presbyter & archimandrita monasterii beati Gaiani.

Symeon diaconus & archimandrita monasterii beati Eugraphi.

Julianus presbyter & archimandrita monasterii Papulæ.

Dorotheus presbyter & archimandrita monasterii beati Cyrilli.

Romulus presbyter & archimandrita monasterii beati Joannis & Jacobi.

Thomas presbyter & archimandrita monasterii beati Joannis.

Caïumas diaconus & archimandrita monasterii beati Pauli.

C Samuelius diaconus & archimandrita monasterii beati Isaacii.

Sunt autem & in lingua Syrorum multæ & infinitæ monachorum subscriptiones.

Sanctissimus archiepiscopus dixit: Sancta synodus nobiscum præsens, sententiam, quam habet in his, quæ facta sunt & lecta, dicat.

Et venerabilis Christodorus notarius & diaconus ac secretarius, legit interpretationem vocis lectæ per litteras Latinas, quæ sic habet:

Sanctissimi episcopi partium Italiæ, & honorandissimi diaconi sedis Apostolicæ, dixerunt: Dudum cognitum est diffinitionibus Apostolici præsulis Hormisdæ, Severum, & Petrum, sive complices suos, & qui ipsos sequuntur, pro manifesto eorum errore condemnatos esse: quod & nos sequaces per omnia Apostolicæ sedis sancimus, in loco videlicet & numero condemnatorum ipsos esse confitemur. Verum non modo prædicti Severi impia scripta, in quibus diffinitiones sanctæ Chalcedonensis synodi, & epistolas beatæ memoriæ Leonis Papæ blasphemo ore anathematizare præsumpsit; sed etiam Zoaram, & omnes in ipsorum communione seu errore permanentes, ejusdem sententiæ severitas, sive ejusdem anathematis vincula comprehendent.

E *Sententia Epiphanii patriarchæ* a *& synodi congregatæ contra Severum & Petrum.*

a al. Constantinopolitani.

Ex veteri interpretatione.

Sancta synodus dixit: Licet quid novius fuerit, quod a venerabilibus prioribus venerabilium monasteriorum petitum est, tanquam pro sanctissimis ecclesiis porrectum; admittere omnino nos oportet, & ipsorum pio zelo communicare, atque convenire. Nunc autem & hoc esse factum cum ratione a beatissimis patribus & fratribus nostris jam conspicimus: sicque maximæ culpæ esset, non sequi illos, qui non parvos sudores habuerunt pro communi pace sanctissimarum ecclesiarum, & qui in magnis ac patriarchalibus resplenduerunt sedibus. Ex omnibus

itaque lectis invenimus Severum & Petrum totius ecclesiæ catholicæ, imo & ipsius orthodoxæ fidei apostatas & abscissos, ac simpliciorum animarum insidiatores, nec non impiorum hæreticorum fautores, ut pote ipsorum frequentibus erroribus implicatos. Verum & sacras sanctiones sanctorum patrum nostrorum pro nihilo putaverunt, & his interdicta periculose facere præsumpserunt. Et propter hæc in sacras sententias lectas inciderunt. Idcirco & nos ipsas sequentes, prædictos Severum & Petrum, qui nec retrahuntur perpetuis condemnationibus & anathematizationibus, a tantis sanctis patribus contra ipsos factis, nec modestiores videlicet secundum quid facti sunt: e contrario vero temeritatem suam auxerunt contra omnes sanctas ecclesias; & ipsas tumultibus, quantum in ipsis fuit, impleverunt; & propriorum laborum fructus carpserunt, ut dicit divina scriptura: habemus factos in ordine hæreticorum quos dilexerunt; & anathemata, quæ studuerunt invenire in contumeliam patrum nostrorum, & eversionem fidelium, ipsi habent ea contra caput suum: *ambulantes* (sicut dicit propheta) *in lumine ignis sui, & in flamma, quam exarserunt.* Et in hoc etiam sequendo nos memoratos sanctos patres, per mediocrem contra ipsos sententiam nostram, anathematizamus ipsos Severum & Petrum: quorum alter quidem Theopolitanorum, alter vero Apamiarum ecclesiarum sedem illicite subripuerunt: ut qui in Christum speraverunt, & catholicæ ecclesiæ exsistunt, hoc scientes, non incidant in ipsos, ignorantia eorum quæ canonice contra ipsos definita sunt: sed sciant secundum evangelicam, & apostolicam doctrinam, quoniam hæreticum virum post primam & secundam monitionem devitare oportet, & quod non oporteat dicere tali, *Salve: Nam qui dicit ei Salve, communicat operibus suis* [a] *malis.* Manifestum autem est quod ejusdem condemnationis sunt Zoaras impiissimus, & omnes, qui venerabilibus altaribus & baptisteriis sua hæretica conventicula opposuerunt. Et simili modo anathematizamus parabaptismata, & impia scripta prædicti Severi. Æqualiter enim (sicut dicit divina scriptura) *odibilia sunt Deo impius, & impietas ipsius.*

Isa. 50. — Tim. 3. — 2. Joan. — [a] al. malignis. — Sap. 14.

Sententia Menæ patriarchæ contra Severum, Petrum & Zoaram.

Ex veteri interpretatione.

SAnctissimus ac beatissimus œcumenicus archiepiscopus & patriarcha Menas dixit: Cum Joannes divinus apostolus & discipulus magni Dei & Salvatoris nostri Jesu Christi dicat, quædam peccata esse non ad mortem, quædam vero & ad mortem: doceatque nos per hanc sententiam, fugere blasphemias in Deum per opiniones hæreticorum, veluti ad mortem ducentes: videntur Severus & Petrus sponte præeligere peccata ad mortem. Oportebat enim eos, qui a principio erraverunt, & opinionibus hæreticis seducti sunt, & propter hoc a sancta catholica ecclesia & apostolica, & ab omnibus, qui in ipsa partem sacerdotii sortiti sunt, condemnationem sibiipsis superinduxerunt, sobrie pœnam portare; & ipsam existimare occasionem pœnitentiæ, atque recognitionis. At cum hi nihil tale videantur fecisse, neque toto tempore aliquam demonstrationem recognitionis fecerint: sed tamquam adversus ipsum Deum superbientes manserunt in propriis impietatibus, & parvum putaverunt stare usque ad perditionem suam, nisi omnes alios, quoscumque possent, secum perderent: & opus affectaverunt dignum solo autore & inventore iniquitatis, qui propriam ruinam, communem omnium hominum perditionem constituere voluit, & usque nunc vult. Non ergo cessaverunt uti

1. Joan. 5.

A τὔτων τῶν ἀνεγνωσμένων εὕρομεν Σευῆρον καὶ Πέτρον πάσης ἐκκλησίας καθολικῆς, ἀλλὰ καὶ αὐτῆς τῆς ὀρθοδόξου πίστεως ἀποστάτας, καὶ ἀποτετμημένους, καὶ τῶν μὲν ἁπλουστέρων ψυχῶν ἐπιβούλους, τῶν δὲ ἀσεβῶν αἱρετικῶν συνεργούς, οἷα ταῖς αὐτῶν ποικίλαις ὑπαγομένους πλάναις. ἀλλὰ καὶ τοὺς ἱεροὺς τῶν ἁγίων ἡμῶν πατέρων θεσμοὺς παρ' οὐδὲν ἡγήσαντο, τὰ πάντως ἀπηγορευμένα ῥιψοκινδύνως ποιεῖν τολμήσαντες, καὶ διὰ ταῦτα ταῖς ἀνεγνωσμέναις ὑποπεσόντες ἱερατικαῖς ψήφοις. διὸ καὶ ἡμεῖς ἀκολουθοῦντες αὐταῖς, τοὺς εἰρημένους, Σευῆρον καὶ Πέτρον, μηδὲ ταῖς ὑπὸ τοσούτων ἁγίων πατέρων γενομένοις κατ' αὐτῶν αἰωνίοις κατακρίμασί τε καὶ ἀναθέμασιν, ὑποστελέντας, ἢ μετριωτέρους γοῦν κατά τι γενομένους, τοὐναντίον δὲ καὶ ἐπαυξήσαντας τὴν ἑαυτῶν θρασύτητα κατὰ πασῶν τῶν ἁγιωτάτων ἐκκλησιῶν, καὶ θορύβων τὸ ἐπ' αὐτοῖς πληρώσαντας B αὐτὰς, καὶ τῶν ἰδίων πόνων τοὺς καρποὺς, ὥς φησιν ἡ θεία γραφὴ, δρεψαμένους· ἐν τῇ τάξει γενομένους ἔχομεν, ὧν ἠγάπησαν αἱρετικῶν· καὶ ἅπερ ἐσπούδασαν ἐφ' ὕβρει μὲν τῶν ἁγίων ἡμῶν πατέρων, ἀνατροπῇ δὲ τῶν πιστῶν ἐφευρεῖν ἀναθέματα ταῦτα ἔχοντας αὐτοὺς κατὰ τῆς ἑαυτῶν κεφαλῆς, πορευομένους, ὡς ὁ προφήτης φησὶ, τῷ φωτὶ τοῦ πυρὸς ἑαυτῶν, καὶ τῇ φλογὶ ᾗ ἐξέκαυσαν. κἀν τούτῳ ἐξακολουθοῦντων ἡμῶν τοῖς μνημονευθεῖσιν ἁγίοις πατράσι, καὶ διὰ τῆσδε ἡμῶν τῆς μετρίας κατ' αὐτῶν ἀποφάσεως ἀναθεματιζόντων τοὺς αὐτοὺς Σευῆρον καὶ Πέτρον· ὧν ὁ μὲν, τὸν τῆς Θεουπολιτῶν, ὁ δὲ, τὸν Απαμέων ἀθέσμως ὑφήρπασαν θρόνον· ὥστε τοὺς εἰς Χριστὸν ἠλπικότας, καὶ τῆς καθολικῆς ἐκκλησίας τυγχάνοντας, τοῦ- C το εἰδότας, μὴ περιπίπτειν αὐτοῖς ἀγνοίᾳ τῶν κατ' αὐτῶν κανονικῶς ὁρισθέντων· ἀλλ' εἰδέναι κατὰ τὴν εὐαγγελικήν τε καὶ ἀποστολικὴν ὑφήγησιν, ὅτι αἱρετικὸν ἄνδρα μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτεῖσθαι χρὴ, καὶ ὅτι χαίρειν οὐ δεῖ τῷ τοιούτῳ λέγειν. ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς. δῆλον δὲ, ὅτι τῆς αὐτῆς εἰσι κατακρίσεως Ζωορᾶς τε ὁ δυσσεβέστατος, καὶ πάντες οἱ τῆς εὐσεβοῦς θυσιαστηρίοις τε καὶ βαπτιστηρίοις ἀνθιστῶντες τὰς αἱρετικὰς ἑαυτῶν παρασυναγωγὰς. καὶ τὰ παραβαπτίσματα, καὶ τὰ ἀσεβῆ συγγράμματα τοῦ εἰρημένου Σευήρου, τὸν ἴσον ἀναθεματίζομεν τρόπον. ἐν ἴσῳ γὰρ, ὥς φησιν ἡ θεία γραφὴ, μισητὰ τῷ Θεῷ καὶ ὁ ἀσεβῶν, καὶ ἡ ἀσέβεια αὐτοῦ.

D ### Ψῆφος Μηνᾶ πατριάρχου, κατὰ Σευήρου, Πέτρου, καὶ Ζωορᾶ.

ΟἉγιώτατος καὶ μακαριώτατος οἰκουμενικὸς ἀρχιεπίσκοπος, καὶ πατριάρχης Μηνᾶς εἶπεν· Ἰωάννου τοῦ θεσπεσίου ἀποστόλου, καὶ μαθητοῦ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγοντος τινὰς ἁμαρτίας εἶναι μὴ πρὸς θάνατον, τινὰς δὲ καὶ πρὸς θάνατον· καὶ διδάσκοντος ἡμᾶς διὰ ταύτης τῆς ἀποφάσεως τὰς εἰς Θεὸν διὰ τῶν αἱρετικῶν δοξῶν ἀποφεύγειν βλασφημίας, ὡς δὴ πρὸς θάνατον ἀγούσας, φαίνονται Σευῆρος καὶ Πέτρος αὐθαιρέτως ἑλόμενοι τὰς πρὸς θάνατον ἁμαρτίας. δέον γὰρ τὴν ἀρχὴν πλανηθέντας, καὶ δόξαις αἱρετικαῖς ὑπαχθέντας, καὶ διὰ τοῦτο παρὰ τῆς καθολικῆς καὶ E ἀποστολικῆς ἁγίας ἐκκλησίας, καὶ πάντων τῶν ἐν αὐτῇ ἀρχιερατεύειν λαχόντων τὸ κατάκριμα ἑαυτοῖς ἐπαγαγόντας, σωφρόνως ἐνεγκεῖν τὴν τιμωρίαν, καὶ πρόφασιν μετανοίας, ἀλλὰ μὴ ἀπογνώσεως, ταύτην ὑπολαβεῖν· οἱ δὲ τοιοῦτοι μὲν οὐδὲν φαίνονται διαπεπραγμένοι, οὐδὲ τινα παρ' ὅλον τὸν χρόνον μεταγνώσεως ἔνδειξιν ποιησάμενοι· ἀλλ' ὡς πρὸς αὐτὸν Θεὸν ἀναιδῶς διαγωνιζόμενοι, ἐνέμειναν ταῖς οἰκείαις ἀσεβείαις, μικρὸν ἡγησάμενοι τὸ μέχρις αὐτῶν εἶναι τὴν ἀπώλειαν, εἰ καὶ μὴ τοὺς ἄλλους, ἅπαντας ὅσους ἂν γένοιτο δυνατὸν, προσαπολέσωσιν· ἔργον ἐπιτηδεύσαντες μόνου τοῦ ἀρχηγοῦ, καὶ εὑρετοῦ τῆς κακίας ἄξιον, ὃς τὴν οἰκείαν ἀπώλειαν κοινὴν ἁπάντων ἀνθρώπων ἀπώλειαν ἠβουλήθη τε καὶ μέχρι νῦν βούλεται καταστῆσαι. οὐκ οὖν ἐπαύσαντο δι-

διδασκαλίαις ἐγγράφοις τε καὶ ἀγράφοις χρώμενοι, οὐ μόνον ἐν αἷς ἐτύγχανον διατρίβοντες πόλεσιν, ἀλλὰ καὶ κατὰ τὰς πόῤῥω διοικήσεις, καὶ τὰς τῶν ἁπλουστέρων ψυχὰς δελεάζοντες, καὶ κοινωνοὺς ποιούμενοι τῆς ἰδίας ἀπωλείας· μηδὲ τὸ κρίμα τοῦ Θεοῦ κατὰ νοῦν λαβόντες, μηδὲ τὴν κυριακὴν ἀπόφασιν διαῤῥήδην βοῶσαν· ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν ἐλαχίστων, ἔνοχος ἔσται τῇ γεέννῃ τοῦ πυρός. καταπατήσαντες δὲ πρὸς τούτοις καὶ τοὺς θείους κανόνας, οἳ σοφῶς διαγορεύουσι τὸν ἔν τινι συνόδῳ κατακεκριμένον, μηδὲ τινι τρόπῳ δύνασθαι λειτουργίας ἱερατικῆς ἐπιλαβέσθαι, μέχρις ἂν ἐξετάσεως ἐπ' αὐτῷ γενομένης ὑφ' ἑτέρας συνόδου, ἀθῷον αὐτὸν ἀποδείξῃ. εἰ δέ τις τολμήσει ἱερατικόν τι πρᾶξαι κατὰ τὸν ἐν μέσῳ χρόνον πρὸ τῆς ἐν ἑτέρᾳ συνόδῳ ἀποκαταστάσεως, τοῦτον μηδὲ ὕστερον ἐν ἄλλῃ συνόδῳ ἐλπίδα τινὰ ἔχειν ἀποκαταστάσεως. ἀλλὰ καὶ τούτων πάντων ὑπεριδόντες οἱ προειρημένοι Σευῆρός τε καὶ Πέτρος, καὶ οἱ τούτων συγκοινωνοὶ καὶ μέτοχοι· ὧν ἐστι Ζωορᾶς τις μοναχὸς ἐκ τῆς Σύρων ὁρμώμενος, ἄνθρωπος οὐδὲν νοῆσαί ποτε τῶν ἱερῶν, οὐδὲ μὴν πρᾶξαι κατὰ λόγον δυνάμενος, οὐχ ὅτι γε καὶ ἄλλοις ἀγαθοῦ τινος μεταδοῦναι, ἀλλ' ἁπλῶς οὕτω τὴν ὑπόκρισιν ὥσπερ τι δέλεαρ ταῖς τῶν ἐντυγχανόντων ψυχαῖς προτεινόμενος, μᾶλλον δὲ, ἀληθέστερον εἰπεῖν, ὑπόθεσιν πλεονεξίας ποιούμενος. καταφρονήσαντες μὲν τῆς ἐν τῇ Ῥωμαίων ἁγιωτάτῃ ἐκκλησίᾳ τῶν ἀποστόλων διαδοχῆς, τὴν κατ' αὐτῶν ἀπόφασιν ποιησαμένης, παρ' οὐδὲν δὲ λογισάμενοι καὶ τὸν τῆσδε τῆς βασιλευούσης πατριαρχικὸν θρόνον, καὶ πᾶσαν τὴν ὑπ' αὐτὸν ἁγίαν σύνοδον, τήν τε αὐτοῦ τοῦ δεσπότου καὶ σωτῆρος τῶν ὅλων ἐν τοῖς ἁγίοις τόποις ἀποστολικὴν διαδοχὴν, καὶ πρὸς πᾶσι τούτοις, τὴν πάσης ἀνατολικῆς διοικήσεως κατ' αὐτῶν ψῆφον γεγενημένην, τὸ δὴ λεγόμενον, ἀνίπτοις χερσὶ τὰ ἅγια μεταχειρισάμενοι, καὶ καθάπερ δή τινες χοῖροι τοὺς μαργαρίτας πατήσαντες, λέγω δὴ τὰς εὐαγγελικάς τε καὶ πατρικὰς ἀποφάσεις· οὐκ ἐπαύσαντο μέχρι καὶ τήμερον παντοίως λυμαινόμενοι τῇ καταστάσει, καὶ εἰρήνῃ τῶν ἁγιωτάτων ἐκκλησιῶν. αὐτοὶ μὲν λαθραίως τὰ τοῖς κανόσιν ἀπηγορευμένα διαπραττόμενοι, ἄλλους δὲ πολλοὺς τῶν πειθομένων τῇ ἀθέσμῳ αὐτῶν διδασκαλίᾳ παρασκευάζοντες, συνάξεις τε καὶ βαπτίσματα κατ' οἴκους, καὶ μοναστήρια, ποιοῦντες ἀκανονίστως, καὶ τῆς μυσαρᾶς αὐτῶν πολλοῖς τῶν ὑπ' αὐτῶν διεστραμμένων μεταδιδόναι κοινωνίας· ἀνθρώπους, μηδὲ τῷ σχήματι, οὐδὲ γὰρ πράγματι φαιδρῷ, παρ' αὐτῶν δεδομένην τοῖς ὁμοίως αὐτοῖς διεστραμμένοις, χειροτονίαν ἔχοντας. ὥστε διὰ ταῦτα μὴ μόνον τὸ ἀρχῆθεν παρὰ τῶν πατέρων ἡμῶν ἐπιτεθὲν, οἷον ῥιζωθῆναι ἀνάθεμα· ἀλλὰ καὶ ἐξ ἡμετέρας ἀποφάσεως, μᾶλλον δὲ τῆς τῶν κανόνων αὐθεντίας τὴν ἐλπίδα τῆς ἀποκαταστάσεως αὐτῶν ἀναιρεθῆναι· καὶ τοῦτο μανθάνοντας τῆς καθολικῆς καὶ ἁγίας ἐκκλησίας προσήκει ἀποφεύγειν τὴν ἐκείνων πλάνην τε καὶ κακοδοξίαν. διὰ ταῦτα τοιγαροῦν ταῖς τε τῶν ἁγίων ἡμῶν πατέρων ἑπόμενοι ψήφοις, καὶ τοῖς εὐαγγελικοῖς τε καὶ πατρικοῖς ἀκολουθοῦντες θεσμοῖς· ἀποδεχόμενοι δὲ καὶ τοὺς ὁσιωτάτους ἀδελφοὺς καὶ συλλειτουργοὺς τῆς παρ' αὐτῶν ἐξενεχθείσης ἀποφάσεως κατὰ τῶν εἰρημένων Σευήρου, καὶ Πέτρου, καὶ Ζωορᾶ, καὶ τῶν ἄλλων, ὅσοι κοινωνοῦσιν αὐτοῖς τῆς ἀσεβείας, καὶ τῶν συμπλεκομένων ταῖς ἐκείνων ἀνοσιουργίαις. καὶ ἡμεῖς διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ὥσπερ τινὰς λύκους βαρεῖς ἐπεισερχομένους τῷ ποιμνίῳ τοῦ Χριστοῦ ἀπελαύνοντες, σύμψηφοι γινόμεθα τοῖς ὁσιωτάτοις ἡμῶν ἀδελφοῖς καὶ συλλειτουργοῖς· καὶ τοὺς πολλάκις προονομασθέντας, Σευῆρον καὶ Πέτρον τῷ ὁμοίῳ περιέχομεν ἀναθέματι· οὐκ αὐτοὺς δὲ μόνον, ἀλλὰ καὶ Ζωορᾶν, καὶ τοὺς ἄλλους τοὺς παρασυνάξεις καὶ παραβαπτίσματα ποιοῦντας· καὶ πάντα τὰ ὑπ' αὐτῶν συγγεγραμμένα, οἷα τὸν τοῦ ἀρχεκάκου δράκοντος ἰὸν ἐν ἑαυτοῖς διασώζοντα, καὶ τοῦτον ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ἐνιέντα.

A doctrinis scriptis & non scriptis, & non solum in civitatibus, in quibus fuerunt commorantes; sed etiam in longe remotis, simpliciorum animas alliciendo, & participes propriæ perditionis faciendo: non mente versantes judicium Dei, neque dominicam sententiam manifestissime clamantem: *Si quis scandalizaverit unum de pusillis istis, obnoxius erit gehennæ ignis.* (Math. 5.) Insuper autem conculcaverunt venerabiles canones, qui prudenter sanxerunt condemnatum in aliqua synodo, nullo modo posse sacerdotale ministerium reassumere, donec de eo discussio ab alia synodo facta, ipsum innocentem probabit. Et si quis audebit sacrum quid medio tempore facere ante restitutionem B in alia synodo, hunc nec postea in alia synodo spem aliquam restitutionis habere. Sed hæc omnia despicientes prædicti Severus & Petrus, ejusque communicatores & participes: de quorum numero est Zoara quidam monachus de Syria ortus, homo qui neque intelligere aliquid sacri potest, neque secundum rationem facere: non quod aliis quidquam boni impertiri possit; sed simpliciter sic hypocrisim, veluti escam quamdam animabus [a] exsistentium porrigit, immo (quod verius est dicere) materiam avaritiæ facit. Contempserunt quidem in ecclesia Romana, successionem apostolorum, quæ sententiam contra ipsos protulit: & ad nihilum reputaverunt hujus regiæ urbis sedem patriarchalem, & omnem synodum in ea C congregatam, & ejusdem Domini & Salvatoris omnium in sanctis locis apostolicam successionem: & ultra hæc omnia etiam omnem sententiam Orientalis diœcesis contra ipsos latam. Dicendum etiam est, quod illotis manibus sancta contrectarunt, & tamquam porci quidam margaritas conculcaverunt: (dico autem evangelicas & paternas sententias:) nec cessaverunt usque in hodiernum diem graviter lædere statum & pacem sanctissimarum ecclesiarum. Ipsi enim clam & occulte faciunt ea, quæ canonibus interdicta sunt: alios quidem multos iniquæ doctrinæ ipsorum obsequentes pervertendo, conventiculaque & parabaptismata per domos & monasteria faciendo contra D canones, & ipsorum sceleratam communionem multis, qui ab ipsis perversi fuerant, tradendo: homines inquam, qui neque figura, neque re habebant ordinationem ab ipsis datam similiter ipsis perversis. Porro per hanc non solum stabilitur anathema primo impositum a patribus nostris: sed & ex nostra sententia, immo vero canonum auctoritate, spes restitutionis ipsis aufertur: & ut catholicæ ac sanctæ ecclesiæ filii, cum hoc intelligunt, fugiant illorum errorem & hæresim. Propterea igitur sequentes sanctorum patrum nostrorum sententias, & evangelicis ac paternis inhærendo sanctionibus, suscipimus & sanctissimos fratres & comministros, cum ab ipsis lata fuerit sententia contra prædictos, Severum, Petrum, & Zoaram, E & alios quicumque communicant ipsis in impietate, ac contra complices ipsorum. Et nos illos per Dominum nostrum Jesum Christum verum Deum nostrum, tanquam lupos quosdam graviter irruentes in ovile Christi, abjicimus: & in sententiam discedimus sanctissimorum fratrum & comministrorum nostrorum, & sæpius prius nominatos Severum & Petrum simili anathemate ferimus: non autem ipsos solum, sed & Zoaram, & alios qui conventicula & parabaptismata faciunt: necnon & omnia ab ipsis conscripta, ut pote quæ venenum draconis auctoris mali, in ipsis nutriunt, & ipsum in simpliciorum animabus immittunt.

[a] al. esurientium.

Anno Christi 536.

A

SUBSCRIPTIONES.

Menas Dei miseratione episcopus Constantinopolitanus, diffinivi & subsignavi propria manu.

Ego Sabinus episcopus sanctæ ecclesiæ Canusinæ, in synodo sequens diffinitionem sanctæ recordationis Papæ Hormisdæ, anathematizans atque condemnans Severum & ejus impia scripta, & Petrum quondam Apamiarum episcopum, & complices eorum atque sequaces, nec non & Zoaram, vel communicatores eorum, & in eodem errore permanentes, subscripsi.

Ego Epiphanius episcopus sanctæ ecclesiæ Asculanæ, & cetera similiter per litteras Latinas.

Ego Asterius episcopus sanctæ ecclesiæ Salernitanæ, & reliqua similiter per litteras Latinas.

In nomine Domini Jesu Christi Leo episcopus ecclesiæ Nolanæ, & reliqua subscriptionis similiter sub scriptura Latinarum litterarum.

Ego Rusticus episcopus sanctæ ecclesiæ Fesulanæ, & reliqua similiter per litteras ejusdem generis.

Theophanes diaconus sanctæ ecclesiæ Romanæ, & reliqua similiter per litteras Latinas.

Pelagius diaconus sanctæ ecclesiæ Romanæ, & cetera similiter.

Hypatius episcopus Ephesinus, diffinivi, & subscripsi.

B

Constantinus episcopus Heracliensis in Europa, subscripsi.

Eusebius episcopus Cyzicenus, diffinivi & subscripsi.

Thalassius episcopus Nicomediæ, diffinivi, & subscripsi.

Anastasius episcopus Nicænus metropolita, cum per lectionem sciverim, quæ facta sunt, anathematizans Severum & ejus impia scripta, ac Petrum quondam Apameæ, nec non & Zoaram, & ipsorum communicatores, & qui in ipsorum errore permanent, diffinivi, & subscripsi.

Photinus episcopus Chalcedonis, diffinivi, & subscripsi.

C

Auxentius episcopus Sebastiensis, consententiativus cum essem, diffiniens subscripsi.

Theodulus episcopus Iconii, suffragator cum essem & ipse, subscripsi.

Theagenes episcopus Synnadorum, diffinivi & subscripsi.

Bacchus episcopus Antiochiæ in Pisidia, diffinivi & subscripsi.

Mamas episcopus Melitenensis, suffragator cum essem in omnibus, subscripsi.

Hilarianus episcopus Pergæ, diffinivi, & subscripsi.

D

Bosporius episcopus Neocæsareæ, diffinivi, & subscripsi.

Paulus episcopus Tyanorum, diffinivi, & subscripsi.

Acacius episcopus Pessinuntinus, diffinivi, & subscripsi.

Conon episcopus Sidensis, adstipulator cum essem & ipse, subscripsi.

Epictetus episcopus Claudiopolitanus Honoriadis, diffinivi & subscripsi.

Procopius episcopus Gangrensis, suffragator cum essem & ipse, subscripsi.

Petrus episcopus Justinianopolitanus secundæ provinciæ Cappadociæ, subscripsi.

E

Marcus episcopus Apameæ, diffinivi & subscripsi.

Hedistus episcopus Cianus, diffinivi & subscripsi.

Joannes episcopus Bosphori, diffinivi & subscripsi.

Theodorus episcopus Gortynæ, quæ metropolis est provinciæ Cretensis, cum per lectionem sciverim, quæ facta sunt, anathematizans Severum & ejus impia scripta, Petrum quondam Apameæ, & Zoaram, & communicatores ipsorum, & qui in eorum permanent erroribus, diffinivi, & subscripsi.

ΥΠΟΓΡΑΦΑΙ.

Μηνᾶς ἐλέῳ Θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης, ὁρίσας ὑπεσημηνάμην.

καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαίων γραμμάτων.

καὶ τὰ λοιπὰ ὁμοίως διὰ Ῥωμαίων γραμμάτων.

καὶ τὰ ἑξῆς τῆς ὑπογραφῆς ὁμοίως διὰ Ῥωμαϊκῶν γραμμάτων.

καὶ τὰ λοιπὰ ὁμοίως δι' ἴσων γραμμάτων.

καὶ τὰ λοιπὰ ὡσαύτως διὰ τῶν αὐτῶν γραμμάτων.

καὶ τὰ λοιπὰ ὁμοίως.

Ὑπάτιος ἐπίσκοπος Ἐφέσου, ὁρίσας ὑπεσημηνάμην.

Κωνσταντῖνος ἐπίσκοπος τῆς κατ' Εὐρώπην Ἡρακλείας, ὑπεσημηνάμην.

Εὐσέβιος ἐπίσκοπος Κυζίκου, ὁρίσας ὑπεσημηνάμην.

Θαλάσσιος ἐπίσκοπος Νικομηδείας, ὁρίσας ὑπεσημηνάμην.

Ἀναστάσιος ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς, καὶ ἀναθεματίζων Σεβῆρον, καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας, καὶ Ζωόραν, καὶ τοὺς κοινωνικοὺς αὐτῶν, καὶ τοὺς ἐν τῇ αὐτῶν πλάνῃ ἐπιμένοντας, ὁρίσας ὑπεσημηνάμην.

Φώτιος ἐπίσκοπος Χαλκηδόνος, ὁρίσας ὑπεσημηνάμην.

Αὐξέντιος ἐπίσκοπος Σεβαστείας, σύμψηφος ὢν τοῖς ὁρισθεῖσιν, ὑπέγραψα.

Θεόδουλος ἐπίσκοπος Ἰκονίου, σύμψηφος ὢν καὶ αὐτὸς, ὑπεσημηνάμην.

Θεαγένης ἐπίσκοπος Συνάδων, ὁρίσας ὑπεσημηνάμην.

Βάκχος ἐπίσκοπος τῆς ἐν Πισιδίᾳ Ἀντιοχείας, ὁρίσας ὑπεσημηνάμην.

Μάμας ἐπίσκοπος Μελιτινῆς, σύμψηφος ὢν ἐπὶ πᾶσιν, ὑπέγραψα.

Ἱλαριανὸς ἐπίσκοπος Πέργης, ὁρίσας ὑπεσημηνάμην.

Βοσπόριος ἐπίσκοπος Νεοκαισαρείας, ὑπεσημηνάμην.

Παῦλος ἐπίσκοπος Τυάνων, ὁρίσας ὑπεσημηνάμην.

Ἀκάκιος ἐπίσκοπος Πισινοῦντος, ὁρίσας ὑπεσημηνάμην.

Κόνων ἐπίσκοπος Σίδης, σύμψηφος ὢν καὶ αὐτὸς ὑπέγραψα.

Ἐπίκτητος ἐπίσκοπος Κλαυδιουπόλεως, ὁρίσας ὑπέγραψα.

Προκόπιος ἐπίσκοπος Γάγγρας, σύμψηφος ὢν, ὑπέγραψα.

Πέτρος ἐπίσκοπος Ἰουστινιανουπόλεως τῆς δευτέρας Καππαδόκων ἐπαρχίας, ὁρίσας ὑπεσημηνάμην.

Μάρκος ἐπίσκοπος Ἀπαμείας, ὁρίσας ὑπεσημηνάμην.

Ἡλίας ἐπίσκοπος Κίου, ὁρίσας ὑπεσημηνάμην.

Ἰωάννης ἐπίσκοπος Βοσπόρου, ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐπίσκοπος Γορτύνης, ἡ μητρόπολίς ἐστι τῆς Κρητῶν ἐπαρχίας, διὰ τῆς ἀναγνώσεως τοῖς πεπραγμένοις ἐπιστὰς, καὶ ἀναθεματίζων Σεβῆρον, καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, καὶ Πέτρον τὸν ποτὲ Ἀπαμείας, καὶ Ζωόραν, καὶ τοὺς κοινωνικοὺς αὐτῶν, καὶ τοὺς ἐν τῇ πλάνῃ αὐτῶν ἐπιμένοντας, ὁρίσας ὑπέγραψα.

Ex editione priore Regia: Κωνσταντῖνος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς κατὰ Ἡράκλειαν φιλοχρίστου μητρόπολιν τῆς Εὐρωπαίων ἐπαρχίας, ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὁρίσας, ὑπεσημηνάμην. Ὑπάτιος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας, ὁρίσας ὑπεσημηνάμην.

ANNO CHRISTI 536.

Ὑάκινθος ἐπίσκοπος τῆς Μιλησίων πόλεως, ὁρίσας ὑπέγραψα.

Θαλάσσιος ἐπίσκοπος Βηρυτοῦ, σύμψηφος ὢν κἀγὼ ἐν πᾶσι τοῖς ἐνταῦθα ὁρισθεῖσι, καὶ τοὺς αὐτοὺς ἀναθεματίζων αἱρετικούς, ἤγουν Σευῆρον, καὶ τὰ αὐτοῦ ἀσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας, καὶ Ζωορᾶν, τούς τε κοινωνικοὺς αὐτῶν, καὶ τοὺς ἐν τῇ πλάνῃ αὐτῶν ἐπιμένοντας, ὑπέγραψα.

Μάγνος ἐπίσκοπος Βεῤῥοίας τῆς πρώτης Σύρων ἐπαρχίας, ὑπέγραψα.

Αἰθέριος ἐπίσκοπος Μαριάμμης τῆς δευτέρας Σύρων ἐπαρχίας, ὑπέγραψα.

Δομετιανὸς ἐπίσκοπος Ζηκχίας, ὁρίσας ὑπέγραψα.

Καλλόας ἐπίσκοπος Σμύρνης, ὁρίσας ὑποσημειωσάμην.

Ἀρχέλαος ἐπίσκοπος τῆς Κωρυκιωτῶν πόλεως, ὁρίσας ὑπέγραψα.

Χριστοφόρος ἐπίσκοπος Πορφυρεῶνος ἐπαρχίας Φοινίκης παραλίου, ἀναθεματίζων Σευῆρον, καὶ Πέτρον, καὶ Ζωορᾶν, καὶ τοὺς κοινωνικοὺς αὐτῶν, καὶ τοὺς τῇ πλάνῃ αὐτῶν ἐπιμένοντας, ὁρίσας ὑποσημειωσάμην.

Ἔχει καὶ δύο Σύρων ὑπογραφάς.

Ἀλέξανδρος ἐπίσκοπος Βαρκαίων, ἤτοι Ἰουστινιανουπόλεως, ἀναθεματίζων Σευῆρον καὶ τὰ αὐτοῦ δυσσεβῆ συγγράμματα, Πέτρον τὸν ποτὲ Ἀπαμείας, καὶ Ζωορᾶν, καὶ τοὺς κοινωνικοὺς αὐτῶν, καὶ τοὺς τῇ πλάνῃ αὐτῶν ἐπιμένοντας, ὁρίσας ὑπέγραψα.

Εὐστάθιος ἐπίσκοπος Τιβεριουπόλεως, ὁρίσας ὑπέγραψα.

Ἀναστάσιος ἐπίσκοπος νήσου Ἰωτάβης, ὁρίσας ὑπέγραψα.

Δόμνος ἐπίσκοπος Μαξιμιανουπόλεως, ὁρίσας ὑπέγραψα.

Πελάγιος ἐπίσκοπος Παρνασσοῦ, ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἐπίσκοπος Ζωαρηνῶν τῆς τρίτης Παλαιστίνης ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Ἐπιφάνιος ἐπίσκοπος Ἡρακλείας, ὁρίσας ὑπέγραψα.

Ἀβραάμιος ἐπίσκοπος Κρατίας, ὁρίσας ὑπέγραψα.

Ἀλέξανδρος ἐπίσκοπος Κολωνείας, ὁρίσας ὑπέγραψα.

Εὐγένιος ἐπίσκοπος Τίου, ὁρίσας ὑπέγραψα.

Ἐπιτύγχανος ἐπίσκοπος Γέρμης, ὁρίσας ὑπέγραψα.

Ἀνδρέας ἐπίσκοπος Θεοδοσιουπόλεως, ὁρίσας ὑπέγραψα.

Εὐσέβιος ἐπίσκοπος Παλαιᾶς πόλεως, ὁρίσας ὑπέγραψα.

Ἀστέριος ἐπίσκοπος Ἀμάστριδος, ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐπίσκοπος τῆς Γορδηνῶν πόλεως, ὁρίσας ὑπέγραψα.

Ματθίας ἐπίσκοπος Κύμης, ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἐπίσκοπος Ποδαλείας, ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἐπίσκοπος Μηδαείου, ὁρίσας ὑπέγραψα.

Παῦλος ἐπίσκοπος πόλεως Στεκτορίου, ὁρίσας ὑπέγραψα.

Ἀνδρέας ἐπίσκοπος Πέλτης, ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐπίσκοπος τῆς Μυρινῶν, ὁρίσας ὑπέγραψα.

Ἔχει καὶ ἄλλην ὑπογραφὴν μίαν Σύρου.

Λεόντιος ἐπίσκοπος Ἑλενουπόλεως, ὁρίσας ὑπέγραψα.

Μηνᾶς ἐπίσκοπος Εὐδοξιάδος, ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἐπίσκοπος Καισαρείας, ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἐπίσκοπος Τραϊανουπόλεως Φρυγίας Πακατιανῆς, ὁρίσας ὑπέγραψα.

Στρατόνικος ἐπίσκοπος τῆς Συέδρων πόλεως, ὁρίσας ὑπέγραψα.

Κυριακὸς ἐπίσκοπος Θεοδοσιουπόλεως, ὁρίσας ὑπέγραψα.

A Hyacinthus episcopus [a] Milesensis civitatis, diffinivi & subscripsi.

Thalassius episcopus Beryti, consententiativus exsistens & ego omnibus hic diffinitis, ipsos hæreticos anathematizans, videlicet Severum & ejus impia conscripta, Petrum quondam Apameæ, & Zoaram; communicatoresque ipsorum, ac in ipsorum errore permanentes, subscripsi.

Magnus episcopus Berrhœæ primæ provinciæ Syrorum, diffiniens subscripsi.

Ætherius episcopus Mariamniæ secundæ provinciæ Syrorum, subscripsi.

Domitianus episcopus Zecchiæ, diffiniens subscripsi.

Calloas episcopus Smyrnæ, diffinivi & subscripsi.

B Archelaus episcopus civitatis Corycorum, diffiniens subscripsi.

Christophorus episcopus Porphyreonis provinciæ Phœniciæ maritimæ, anathematizans Severum, & Petrum, & Zoaram, ac communicatores eorum, & in ipsorum errore permanentes, diffiniens subscripsi.

Habet & duas subscriptiones Syrorum.

Alexander episcopus [b] Barcusorum, videlicet Justinianopolitanæ civitatis, anathematizans Severum & ejus impia scripta, Petrum quondam Apamecensem, & Zooram, ac communicatores ipsorum & in ipsorum errore permanentes, diffiniens subscripsi.

C Eustathius episcopus civitatis Tiberiopolis, diffiniens subscripsi.

Anastasius episcopus insulæ Jotapæ, diffiniens subscripsi.

Domnus episcopus civitatis Maximianopolis, diffiniens subscripsi.

Pelagius episcopus Parnassi, diffiniens subscripsi.

Joannes episcopus Zoarenus tertiæ Palæstinæ provinciæ, diffiniens subscripsi.

Epiphanius episcopus Heracleanus, diffiniens subscripsi.

Abraamius episcopus Cratianus, diffiniens subscripsi.

Alexander episcopus Coloniensis, diffiniens subscripsi.

Eugenius episcopus Tii, diffiniens subscripsi.

D Epitynchanus episcopus Germæ, diffiniens subscripsi.

Andreas episcopus Theodosiopolitanus, diffiniens subscripsi.

Eusebius episcopus [c] Antiquæ civitatis diffiniens subscripsi.

Asterius episcopus Amastridis, diffiniens subscripsi.

Theodorus episcopus civitatis Gordenorum, diffiniens subscripsi.

Matthias episcopus Cymæ, diffiniens subscripsi.

Joannes episcopus Podaliæ, diffiniens subscripsi.

Joannes episcopus Medaii, diffiniens subscripsi.

Paulus episcopus civitatis Stectorii, diffiniens subscripsi.

Andreas episcopus Peltenus, diffiniens subscripsi.

E Theodorus episcopus civitatis [d] Myrorum, diffiniens subscripsi.

Habet & aliam subscriptionem unam Syriacam, id est, Syriæ litteris scriptam.

Leontius episcopus civitatis Helenopolis, diffiniens subscripsi.

Menas episcopus Eudoxiadis, diffiniens subscripsi.

Joannes episcopus Cæsareæ, diffiniens subscripsi.

Joannes episcopus Trajanopolis civitatis Phrygiæ Pacatianæ, diffiniens subscripsi.

Stratonicus episcopus Syedrorum civitatis, diffiniens subscripsi.

Dominicus episcopus Theodosiopolitanus, diffiniens subscripsi.

ANNO CHRISTI 536.

[a] al. Meclicensis.

[b] Vetus editio, Tarculorum.

[c] al. Palæpolitanus.

[d] Forte, Myrinei, in provincia Asia.

Flavianus episcopus Cotenorum, diffiniens subscripsi.

Petrus episcopus Ambladensium civitatis, diffiniens subscripsi.

Eustathius episcopus civitatis Tloënsium, diffiniens subscripsi.

Theodorus episcopus [a] Carissorum civitatis, diffiniens subscripsi.

Helladius episcopus Panemotichianus, diffiniens subscripsi,

Theodotus episcopus Euroeæ, provinciæ veteris Epiri, diffiniens subscripsi.

Macedonius episcopus Brusenorum, diffiniens subscripsi.

Zosimus episcopus Antandri Asianorum provinciæ, diffiniens subscripsi.

Theodoritus episcopus Alindenus, diffiniens subscripsi.

Licinius episcopus sanctæ ecclesiæ in Patara, diffiniens subscripsi.

Paulus episcopus civitatis Oenoandensis, diffiniens subscripsi.

Pantaleon episcopus [b] Luliopolitanus Galatiæ provinciæ, diffiniens subscripsi.

Dominicus episcopus Sophenæ Armeniæ primæ provinciæ, diffiniens subscripsi.

Martyrius episcopus Baratthæus Lycaoniæ provinciæ, diffiniens subscripsi.

Dionysius episcopus Eucarpensis, diffiniens subscripsi.

Epiphanius episcopus sanctæ ecclesiæ in Pitana, diffiniens subscripsi.

Marcellus episcopus, Anæorum suffragator cum essem, diffinivi & subscripsi.

Tryphon episcopus Colbasensium provinciæ Pamphyliæ, diffiniens subscripsi.

Magnus presbyter & legatus apostolicæ sedis Theopolitanæ, & sanctissimi patriarchæ Ephræmii, sequens olim & nunc iis quæ [c] decreta sunt a sanctissimis patribus & pontificibus nostris, anathematizo Severum, & hæretica ejus scripta, & Petrum vindicatum, insuper & Zoaram horum impietatis sequacem; nec non in errore istorum persistentes, & subscripsi.

Heraclius diaconus & legatus apostolicæ sedis Theopolitanæ, ac sanctissimi patriarchæ Ephræmii, secutus collegam meum Magnum, subscripsi.

Sabinus diaconus sanctæ resurrectionis Christi Dei nostri, legatus Petri sanctissimi patriarchæ Hierosolymitani, sequendo Magnum & Heraclium, subscripsi.

Paulus episcopus Naxianus, assentiens & ipse omnibus diffinitis, subscripsi.

Menas episcopus Carpathi insulæ, in eamdem sententiam & ipse discedens in omnibus, diffiniens subscripsi.

Theodorus episcopus Pari insulæ, Siphniorum, & [d] Amulgiorum civitatis, assentiens & ipse in omnibus, diffiniens subscripsi.

[a] al. Cassiotorum.

[b] al. Juliopolitanus.

[c] al. confirmata.

[d] al. Amorgiorum.

Φλαβιανὸς ἐπίσκοπος Κοτέων, ὁρίσας ὑπέγραψα.

Πέτρος ἐπίσκοπος τῆς Αμβλαδέων πόλεως, ὁρίσας ὑπέγραψα.

Εὐστάθιος ἐπίσκοπος τῆς Τλωέων πόλεως, ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐπίσκοπος τῆς Κασσωτῶν πόλεως, ὁρίσας ὑπέγραψα.

Ελλάδιος ἐπίσκοπος τῆς κατὰ Πανήμου τεῖχος ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Θεόδοτος ἐπίσκοπος Εὐροιέων πόλεως τῆς παλαιᾶς τῶν Ηπείρων ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Μακεδόνιος ἐπίσκοπος τῆς Βρουσηνῶν πόλεως, ὁρίσας ὑπέγραψα.

Ζώσιμος ἐπίσκοπος Αντάνδρου τῆς Ασιανῶν ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Θεοδώρητος ἐπίσκοπος τῆς Αλινδέων πόλεως, ὁρίσας ὑπέγραψα.

Λικίνιος ἐπίσκοπος τῆς κατὰ Πάταρα ἁγίας ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Παῦλος ἐπίσκοπος τῆς Οἰνοανδέων πόλεως, ὁρίσας ὑπέγραψα.

Παντολέων ἐπίσκοπος τῆς Λουλιουπολιτῶν τῆς Γαλατῶν ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Κυριακὸς ἐπίσκοπος τῆς Σοφήνης ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Μαρτύριος ἐπίσκοπος τῆς Βαραθέων πόλεως τῆς Λυκαόνων ἐπαρχίας, ὁρίσας ὑπέγραψα.

Διονύσιος ἐπίσκοπος τῆς Εὐκαρπέων πόλεως, ὁρίσας ὑπέγραψα.

Επιφάνιος ἐπίσκοπος τῆς ἐν Πιτάνῃ ἁγίας ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Μάρκελλος ἐπίσκοπος Ανέων, σύμψηφος ὢν καὶ αὐτὸς ὑποσημηνάμην.

Τρύφων ἐπίσκοπος τῆς Κολβασέων πόλεως, τῆς Παμφυλίων ἐπαρχίας, ὑπέγραψα.

Μάγνος πρεσβύτερος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου, καὶ ἁγιωτάτου πατριάρχου Εφραιμίου, ἀκολουθῶν τοῖς πάλαι καὶ νῦν ἐψηφισμένοις παρὰ τῶν ἁγίων ἡμῶν πατέρων καὶ ἀρχιερέων, ἀναθεματίζω Σεβῆρον, καὶ τὰ αἱρετικὰ αὐτοῦ συγγράμματα, καὶ Πέτρον τὸν καὶ ἔκδικον, καὶ πρός γε Ζωορᾶν τὸν τῆς τούτων ἀσεβείας ἀκόλουθον, καὶ τοὺς τῇ πλάνῃ τούτων ἐπιμένοντας, καὶ ὑπέγραψα.

Ηράκλειος διάκονος καὶ ἀποκρισιάριος τοῦ ἀποστολικοῦ τῆς Θεουπολιτῶν θρόνου, καὶ τοῦ ἁγιωτάτου πατριάρχου Εφραιμίου ἀκολούθως τῷ συναποκρισιαρίῳ μου Μάγνῳ, ὑπέγραψα.

Σαβῖνος διάκονος τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως, πληρῶν τὰς ἀποκρίσεις Πέτρου τοῦ ἁγιωτάτου πατριάρχου Ιεροσολύμων ἀκολούθως Μάγνῳ καὶ Ηρακλείῳ, ὑπέγραψα.

Παῦλος ἐπίσκοπος τῆς Ναξίων πόλεως, σύμψηφος γενόμενος καὶ αὐτὸς ἐν πᾶσι τοῖς ὁρισθεῖσι, ὑπέγραψα.

Μηνᾶς ἐπίσκοπος τῆς Καρπαθίων νήσου, σύμψηφος ὢν καὶ αὐτὸς ἐν πᾶσι τοῖς ὁρισθεῖσιν, ὑπέγραψα.

Θεόδωρος ἐπίσκοπος Παρίων, Σιφνίων, καὶ Αμοργίων τῶν πόλεων, σύμψηφος ὢν καὶ αὐτὸς ἐν πᾶσι τοῖς ὁρισθεῖσι, ὑπέγραψα.

A

Ἡ διάταξις Ἰουστινιανοῦ βασιλέως, κατὰ Ἀνθίμου, Σευήρου, Πέτρου καὶ Ζωορᾶ.

Ἐν ὀνόματι τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, αὐτοκράτωρ Καῖσαρ Φλάβιος Ἰουστινιανὸς, Ἀλαμανικὸς, Γοτθικὸς, Φραγγικὸς, Γερμανικὸς, Ἀντικὸς, Ἀλανικὸς, Οὐανδαλικὸς, Ἀφρικὸς, εὐσεβὴς, εὐτυχὴς, ἔνδοξος, νικητὴς, τροπαιοῦχος, ἀεισέβαστος Αὔγουστος, Μηνᾷ πατριάρχῃ.

ΠΡᾶγμα οὐκ ἄηθες βασιλείᾳ καὶ ἡμεῖς πράξαντες, ἐπὶ τὸν παρόντα ἐληλύθαμεν νόμον. ὁσάκις γὰρ ἡ τῶν ἱερέων ψῆφός τινας τῶν οὐκ ἀξίων τῆς ἱερωσύνης τῶν ἱερατικῶν καθεῖλεν θρόνων, ὁποῖοι δὴ Νεστόριόν τε καὶ Εὐτυχῆ, Ἄρειόν τε καὶ B Μακεδόνιον, καὶ Εὐνόμιον, καὶ ἄλλους δή τινας εἰς κακίαν οὐκ ἐλάττους ἐκείνων· τοσαυτάκις ἡ βασιλεία σύμψηφος γέγονε τῇ τῶν ἱερέων αὐθεντίᾳ, ὥστε τὰ θεῖά τε καὶ ἀνθρώπινα συνδραμόντα μίαν συμφωνίαν ταῖς ὀρθαῖς πεποιῆσθαι ψήφοις· ὅπερ δὴ τι καὶ ἔναγχος γενόμενον περὶ Ἄνθιμον ἴσμεν, ἀπελαθέντα μὲν τοῦ τῆς βασιλίδος ταύτης πόλεως θρόνου παρὰ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης προέδρου γεγονότος τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ἁγιωτάτης ἐκκλησίας, εἶτα τὸν κατὰ μηδένα τρόπον αὐτῷ προσήκοντα παρὰ πάντας τοὺς θείους κανόνας ἐπιπηδήσαντα θρόνον· κοινῇ δὲ ψήφῳ τοῦ τε αὐτοῦ τῆς ἁγίας μνήμης ἀνδρὸς πρότερον, καὶ μὴν καὶ τῆς ἐνταῦθα γενομένης ἱερᾶς C συνόδου καταδεδικασμένον τε καὶ καθῃρημένον, διότι τῶν ὀρθῶν ἀπεφοίτα δογμάτων, καὶ εἰς πρότερον πολλάκις ἐπαίνεσαι δόξας, ταῦτα ὕστερον διαφόροις ἀπήλλαξε προφάσεσι· προσποιούμενος μὲν ταῖς τέσσαρσιν ἁγίαις συνόδοις ἀκολουθεῖν, τῇ τε τῶν τιη'. πατέρων τῶν ἐν Νικαίᾳ, τῇ τε τῶν ρ'. καὶ ν'. τῶν ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει, τῇ τε τῶν ἐν Ἐφέσῳ τὸ πρῶτον συναχθέντων σ'. τῇ τε τῶν θεοφιλῶν πατέρων τῶν ἐν Χαλκηδόνι χλ'. οὐ μὴν τοῖς τούτων δόγμασι κατακολουθῶν, οὔτε τὴν ἡμετέραν φιλανθρωπίαν, καὶ τὴν συγκατάβασιν, ἣν διὰ τὴν αὐτοῦ σωτηρίαν εἴχομεν, προσδέξασθαι βουληθεὶς, οὐδὲ ἀποκηρύξαι καὶ αὐτὸς τοὺς τῶν ἀσεβῶν δογμάτων ἀρχηγοὺς τοὺς ὑπὸ τῶν προτέρων ἁγίων ἐκβεβλημένους συνόδων· ἀλλ' οἰόμενος χρῆναι καὶ κατὰ ταὐτὸν καὶ ἐν ἴσῳ τοὺς καταδεδικασμένους, τούς τε καταδικάσαντας ἄγειν. D ἅπαξ γὰρ ταῖς ἀλλοτρίαις τῆς ἁγιωτάτης ἐκκλησίας ἐννοίαις καταπεδραποδισμένος, καὶ τῶν ὀρθῶν ἠλλοτριωμένος δογμάτων, εἰκότως εἰς τὴν αὐτῶν οὐκ ἴσχυσεν ἐπανελθεῖν ὀρθότητα. καὶ ταῦτα παρ' ἡμῶν καὶ προτραπεὶς καὶ ὁδηγηθεὶς πάσῃ χρησαμένων σπουδῇ, πρὸς τὴν σωτηρίαν τὴν αὐτοῦ.

Διὰ ταῦτα τοίνυν ἅπαντα, τὴν γενομένην ἐπ' αὐτῷ τῆς καθαιρέσεως ψῆφον παρὰ τῆς ἁγίας συνόδου, προφάσει τῆς τε οὐ θεμιτῆς, οὐδὲ ὑπὸ τῶν ἁγίων κανόνων μαρτυρουμένης τῶν τῆς βασιλίδος ταύτης ἱερατικῶν θρόνων ἁρπαγῆς, καὶ τῆς ἀπὸ τῶν ὀρθῶν τε καὶ ἀληθῶν δογμάτων ἐκτροπῆς, κυρίαν ἡ ἡμετέρα ποιεῖται βασιλεία, καὶ ἐπὶ τούτοις τὸν παρόντα γράφει νόμον. ἀπαγορεύομεν δὲ αὐτῷ καὶ τῆς κατὰ τὴν εὐδαίμονα ταύτην πόλιν, καὶ τῆς περιοικίδος αὐτῆς διατριβῆς, καὶ πάσης ἑτέρας τῶν E ἐπισήμων πόλεων· θεσπίζοντες ἐφ' ἡσυχίας εἶναι, καὶ τούτοις στέργειν, οἷς ἑαυτὸν ἀξίως ὑπέθηκε· καὶ μήτε τισὶν ἐπικοινωνεῖν, μήτε ἐκδιδάσκειν αὐτοὺς τὴν τῶν ἀπηγορευμένων δογμάτων ἀπώλειαν. οὐ μὴν οὐδὲ τὴν δικαίως ἐξενεχθεῖσαν κατὰ Σευήρου ψῆφον, τὴν ἐκ πάντων ὡς εἰπεῖν τῶν ἀρχιερατικῶν τε καὶ πατριαρχικῶν, μετὰ τῆς μοναχικῆς συναινέσεως προελθοῦσαν θρόνων, τὸν τὸν ἀναθηματισμὸν ἐπάγουσαν αὐτῷ βασιλικῆς ἔξω καταλιμπάνομεν ἐπικυρώσεως· ὃς πρότερον παρὰ τοὺς ἱεροὺς θεσμοὺς καταλαβὼν τὸν θρόνον τῆς Θεουπολιτῶν ἁγιωτάτης ἐκκλησίας, οὕτω συνετάραξεν ἅπαντα, οὕτω μετὰ τοσαύτης ταραχῆς, ὡς κοινόν τινα καὶ ἀκήρυκτον ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐμβαλεῖν πρὸς ἀλλήλας πόλεμον· καὶ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν σκήπτροις

Constitutio sacra Justiniani Imperatoris, contra Anthimum, Severum, Petrum, & Zoaram.

In nomine Domini Jesu Christi Dei nostri, Imperator Cæsar Flavius Justinianus, Alemanicus, Gothicus, Francicus, Germanicus, Anticus, Alanicus, Wandalicus, Africus, pius, felix, gloriosus, victor, triumphator, semper Augustus, Menæ Patriarchæ.

REm non insolitam imperio & nos facientes, ad præsentem venimus legem. Quoties enim sacerdotum sententia quosdam indignos sacerdotio de sacris sedibus deposuit (quemadmodum Nestorium, Eutychem, Arrium, Macedonium, & Eunomium, ac quosdam alios ad iniquitatem non minores illis;) toties imperium ejusdem sententiæ & ordinationis cum sacerdotum auctoritate fuit. Sicque divina & humana pariter concurrentia unam consonantiam rectis sententiis fecere; quemadmodum & nuper factum esse circa Anthimum scimus: qui quidem dejectus est de sede hujus regiæ urbis a sanctæ & gloriosæ memoriæ Agapito sanctissimæ ecclesiæ antiquæ Romæ pontifice: eo quod nullo modo sibi ipsi convenienti, contra omnes sacros canones, se intruserat sedi: sed & communi sententia ipsius sanctæ memoriæ viri primum, C atque etiam sacræ synodi hic celebratæ condemnatus & depositus fuit, eo quod a rectis dogmatibus recessit: & quæ prius multoties diligere videbatur, hæc demum diversis lustrationibus fugit: simulans sequi sanctas quatuor synodos (trecentorum videlicet decem & octo patrum in Nicæa: & centum quinquaginta in hac felici civitate: & in Epheso primo congregatorum ducentorum: & sexcentorum triginta venerabilium patrum in Chalcedone.) At quidem nec istorum dogmata sequi, nec nostram clementiam & condescensum, quem propter ipsius salutem habebamus, suscipere voluit: neque ipse abdicare auctores impiorum dogmatum, qui prius a sanctis synodis expulsi fuerant: sed putavit oportere secundum ipsum & in æquali ducere & condemnatos, & condemnatores. Nam D semel alienis a sanctissima ecclesia intellectibus mancipatus, & a rectis dogmatibus alienatus, merito ad ipsorum rectitudinem reverti non valuit, etiam ad hæc invitatus a nobis & directus, qui omni studio usi sumus ad ipsius salutem.

Ex vetere interpretatione. Est etiam et alia latinitate in Novella 42.

CAP. I.

Propter hæc igitur omnia, sententiam depositionis in ipsum a sancta synodo factam occasione non liciti, neque a sanctis canonibus approbati raptus sacratum sedium hujus regiæ urbis, & aversionis a rectis & veris dogmatibus, firmum nostrum reddit imperium, & contra istum præsentem scribit legem. Interdicimus autem & ei commorari in hac felici civitate & ejus districtu, ac in quacumque alia insigni civitate: sancientes in quiete esse, & iis contentum esse, quibus E seipsum merito obnoxium reddidit: & non aliquibus communicare, neque eos imbuere in perditionem interdictorum dogmatum. Nec utique extra imperialem confirmationem relinquimus sententiam juste contra Severum latam, ac ex omnibus (ut ita dicamus) pontificalibus & patriarchalibus (una cum monachicis consensibus) provenientem sedibus, & anathematismum ipsi inferentem: qui prius contra sacras sanctiones accipiendo sedem sanctissimæ ecclesiæ Theopolitanorum, sic universa conturbavit, sicque accumulatas turbationes fecit, ut commune quondam ac abominabile bellum sanctissimis ecclesiis adinvicem immitteret. Et hoc etiam a sceptris, quæ ante nos fue-

Anno Christi 536.

runt, contra ipsum scriptum erat, variis dogmatum & a rectitudine alienatis fraudibus & commentis ac blasphemiis usum fuisse, ac universa conturbasse; & illum quemcumque errorem abominabilium hæresiarcharum & iniquorum dogmatum recipere, Nestorii dicimus, & Eutychis: & cum uterque horum præceptorum contrarii quodammodo invicem esse videantur, ad unum vero impietatis finem tendant, etiam illorum divulgatos sermones, eum in unum formavisse. Duobus enim exsistentibus dogmatibus adinvicem repugnantibus, quorum utrumque similiter ad animæ perditionem adducit, Nestorii videlicet & Eutychis, (quemadmodum dicendo narravimus) qui ex Arrianorum & Apollinarii contagione consistunt: ipse paradoxum quid perpessus in utrumque similiter incidit: & ibi quidem illud mittendo, seipsum & sermones suos visus est constituisse commune receptaculum tantorum delictorum. Sic itaque & ipse sub prædicto anathematismo, quem universus patriarchalis, pontificalis, ac monachicus, nostræ, ut ita dicamus, reipublicæ cœtus juste in ipsum induxit: de Theopolitana quidem ecclesia ejectus; idcirco quod thronus illius ipsum removit, eo quod ipsius principatum recte non acceperat, sed adhuc vivente eo, & in sanctissimis ecclesiis commemorato, qui ante ipsum sacerdotium habebat, & propter eum qui post ipsum fuit, de sacerdotio exciderat. Nec vero progressus huc usque substitit: sed & sub communi orthodoxæ ac catholicæ ecclesiæ anathematismo positus, multis libris, blasphemiisque & abominationibus nobis rempublicam implevit. Quare universis interdicimus aliquid de libris ipsius possidere. Et sicut non licet Nestorii libros scribere vel possidere, (quia prædecessoribus nostris Imperatoribus in suis constitutionibus visum est statuere similia his quæ dicta & scripta sunt a Porphyrio in Christianos;) sic nec dicta & scripta Severi maneant penes aliquem Christianum; sed sint profana & aliena ab ecclesia catholica: igneque comburantur a possidentibus, nisi qui ipsa habent, velint periculum pati. A nemine ergo scribantur, neque ad pulcritudinem, neque ad velocitatem scribentium: sciendo quia amputatio manus his, qui scripta ejus scripserint, pœna erit. Neque enim volumus in futuro tempore ex illis blasphemiam protrahi. Similiter autem & huic interdicimus omnino regiam civitatem ingredi, aut districtum ejus, nec aliquam aliam de insignibus: sed in aliqua solitudine & in silentio sedere, & non corrumpere ceteros, neque in blasphemiam ipsos adducere; & non semper aliquid novi invenire contra vera dogmata, per quod rursus nobis conturbare sanctissimas ecclesias festinet.

CAP. II. Sed nec Petrum episcopum Apamiæ, & simul ab ipsis, a quibus Severus, sub prædicto anathemate positum, imperium admittit: sed sint valida, quæ contra ipsum fuere statuta. Et qui sub communi anathematismo positus est, sub ipso esto: & sententia sanctissimorum pontificum, quæ ipsum prævenit, firma permaneto. Neque vero permittimus illi hanc regiam urbem habitare, aut ipsius districtum, vel aliquam de insignibus: sed quorum secutus est errorem, horum imitetur victus rationem, quam longissime abscedens & occultans seipsum. Nam talibus occultari, quam videri utilius est. Ignoti etenim exsistentes, seipsos lædunt solos: publicantes vero sua dogmata, multis ex simplicioribus occasionem perditionis præbent: quod nullo modo fieri in Christiano ovili Dei & orthodoxo populo æquum est, neque ab imperio permissum est.

CAP. III. Quoniam vero & Zoaram dignum penitus judicarunt sub anathematismo esse reverentissimi, & qui

περὶ αὐτὸν γεγράφθαι, ποικίλαις μὲν δογμάτων καὶ ἀπηλλοτριωμέναις τῆς ὀρθότητος περινοίαις τε καὶ βλασφημίαις χρησάμενον, ἅπαντα δὲ συνταράξαντα, καὶ μέντοι τὴν τῆς ἑκατέρου τῶν αἱρεσιαρχῶν πλάνης βδελυρῶν τε, καὶ ἀνοσίων δογμάτων ἀντεχόμενον, Νεστορίου τε καὶ Εὐτυχοῦς. καὶ τοὺς ἑκατέρου τούτων καθηγεμόνας ἐξ ἐναντίας μὲν πως εἶναι δοκούντων ἀλλήλοις, πρὸς ἓν δὲ τέλος τῆς ἀσεβείας ἐπειγομένων, ἐς ἓν συνάψαντα τοὺς ἐκείνων χαρακτηριστικοὺς ἀποπτωσάμενον λόγους. δυοῖν γὰρ ὄντων ἐναντίων ἀλλήλοις δογμάτων, ὧν ἑκάτερον ὁμοίως εἰς ψυχικὴν ἀπώλειαν ἄγει, τοῦ Νεστορίου, τοῦ τε Εὐτυχοῦς, καθάπερ εἰπόντες ἔφθημεν, ἅπερ ἐκ τῶν Ἀρειανῶν, καὶ τῶν Ἀπολιναρίου συνέστη μιασμάτων, αὐτὸς τι παράδοξον παθὼν, ὁμοίως εἰς ἑκάτερον ἐμπέπτωκε· καὶ τῇ μὲν τοῦτο, τῇ δὲ ἐκεῖνο περιθέμενος, κοινὸν ἔδοξε δοχεῖον ἑαυτόν τε καὶ τοὺς αὐτοῦ λόγους τῶν τηλικούτων πλημμελημάτων κατασκευάσαι. ἔστω τοίνυν καὶ αὐτὸς ὑπὸ τὸν εἰρημένον ἀναθεματισμὸν, ὃν ἅπαν τὸ πατριαρχικόν τε, καὶ ἱερατικὸν, καὶ μοναχικὸν τῆς ἡμετέρας, ὡς εἰπεῖν, πολιτείας χρῆμα δικαίως ἐπήγαγεν αὐτῷ· τῆς μὲν Θεουπολιτῶν ἐκβεβλημένος, διότι περ αὐτὸν ὁ κατ' ἐκείνην ἀπεσείσατο θρόνος, εἶτα μηδὲ τὴν ἀρχὴν ὀρθῶς αὐτῆς ἐπειλημμένον, ἀλλ' ἔτι ζῶντός τε καὶ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἀνακηρυττομένου, τοῦ πρὸ αὐτοῦ τὴν ἱερωσύνην ἐσχηκότος· παρὰ δὲ τοῦ μετ' αὐτὸν τῆς ἱερωσύνης ἐκπεπτωκότος. οὐ στάντα δὲ μέχρι τούτου μόνον, ἀλλ' ἤδη καὶ ὑπὸ κοινὸν ἀναθεματισμὸν τῆς ὀρθοδόξου καὶ καθολικῆς ἐκκλησίας γενόμενον, καὶ πολλῶν ἡμῖν βιβλίων, βλασφήμων τε καὶ ἀπηγορευμένων ἐμπλήσαντα τὸ πολίτευμα. ὅθεν καὶ ἀπαγορεύομεν τὸν αὐτοῦ τι κεκτῆσθαι βιβλίων. καὶ ὥσπερ οὐκ ἔξεστι τὰ Νεστορίου γράφειν ἢ κεκτῆσθαι βιβλία, διότι τοῖς πρὸ ἡμῶν αὐτοκράτορσιν ἐν ταῖς ἑαυτῶν διατάξεσιν ἔδοξε τοῖς παρὰ Πορφυρίου κατὰ Χριστιανῶν εἰρημένοις ὅμοια καθεστάναι. οὕτω μήτε τὰ Σευήρου ῥηθέντα τε καὶ γραφέντα μενέτω παρά τινι Χριστιανῷ· ἀλλ' ἔστω βέβηλα, καὶ ἀλλότρια τῆς καθολικῆς ἐκκλησίας· πυρί τε φλεγέσθω παρὰ κεκτημένων, εἰ μὴ βούλοιντο κινδυνεύειν οἱ ταῦτα ἔχοντες. γραφέσθω τε παρὰ μηδενὸς τὸ λοιπὸν, μηδὲ τῶν εἰς κάλλος, μηδὲ τῶν εἰς τάχος γραφόντων, μηδὲ ἄλλου τινὸς τῶν πάντων, εἰδότας ὡς ἀποκοπὴ χειρὸς ἔσται τοῖς τὰ ἐκείνου γράψουσιν ἡ ποινή. οὐδὲ γὰρ βουλόμεθα καὶ τῷ λειπομένῳ χρόνῳ τὴν ἐξ ἐκείνων ἐπισύρεσθαι βλασφημίαν. ὁμοίως δὲ δὴ καὶ τούτῳ παντελῶς ἀπαγορεύομεν τῆς βασιλίδος ἐπιβαίνειν πόλεως ἢ περιοικίδος αὐτῆς, ἄλλης τε τῶν ἐπισημοτέρων τινός· ἀλλ' ἐν ἐρημίᾳ ποι καὶ ἡσυχίᾳ καθῆσθαι, καὶ μὴ διαφθείρειν ἑτέρους, μηδὲ εἰς βλασφημίαν αὐτοὺς περιάγειν, μηδὲ ἀεί τι καινὸν ἐξευρίσκειν κατὰ τῶν ἀληθῶν δογμάτων, δι' οὗ πάλιν ἡμῖν συνταράξαι τὰς ἁγιωτάτας ἐκκλησίας σπεύσειεν.

Οὐ μὴν οὐδὲ Πέτρον τὸν Ἀπαμείας γενόμενον ἐπίσκοπον, καὶ ἅμα μὲν καθῃρημένον, ἅμα δὲ ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷς Σευῆρος ὑπὸ τὸ εἰρημένον ἀνάθεμα γενόμενον, ἡ βασιλεία προσίεται· ἀλλ' ἔστω κύρια καὶ τὰ κατ' αὐτοῦ ψηφισθέντα, καὶ ὑπὸ τὸν κοινὸν τεθεὶς ἀναθεματισμὸν, ὑπ' αὐτὸν ἔστω, τῆς τῶν ἁγιωτάτων ἀρχιερέων προελθούσης ἐπ' αὐτοῖς ψήφου κυρίας διαμενούσης. ἐν ἐρήμῳ δὲ οὐδὲ ἐκείνῳ ταύτην οἰκεῖν τὴν βασιλίδα πόλιν, ἢ τὴν αὐτῆς περιοικίδα, ἢ τινα τῶν σημειοτέρων· ἀλλ' ὧν ἠκολούθησε τῇ πλάνῃ, τούτων μιμείσθω καὶ τὴν δίαιταν, ἀπῳκισμένος ὅτι πορρωτάτω, καὶ κρύπτων ἑαυτὸν, ὡς τοῖς γε τοιούτοις τὸ κρύπτεσθαι μᾶλλον τοῦ φαίνεσθαι λυσιτελέστερον. ἀφανεῖς μὲν γὰρ ὄντες ἑαυτοὺς καταβλάψουσι μόνους· δημοσιεύοντες δὲ τὰ ἑαυτῶν δόγματα πολλοῖς τῶν ἀφελεστέρων ἀφορμὴν ἀπωλείας παρέχουσιν· ὅπερ κατ' οὐδένα γίνεσθαι τρόπον, ἐν τῇ Χριστιανικῇ τοῦ Θεοῦ ποίμνῃ, καὶ τῷ ὀρθοδόξῳ λαῷ δίκαιόν ἐστιν, οὐδὲ παρὰ τῆς βασιλείας συγχωρούμενον.

Ἐπεὶ δὲ καὶ Ζωορᾶν ἠξίωσαν ὅλως ὑπὸ ἀναθεματισμὸν οἱ σεβασμιώτατοι, καὶ τὰ δίκαια κρίναντες ἐπίσκοποι πεποι-

σασθαι,

ANNO CHRISTI 536.

σταθῇ, μικράν τινα παρενθήκην τῶν τοιούτων ὄντα κακῶν, ἐν οἷς εἰρήκασι, τὸ γοῦν ὅλως τυχεῖν τινος ἐπισημειώσεως μνήμης· ἔστω καὶ Ζωορᾶς τῆς πονηρᾶς ταύτης μερίδος, Ἀνθίμου τε, καὶ Σευήρου, καὶ Πέτρου φαμὲν παρενθήκη τις ἐπιπλεὴς, καὶ ἐν τοῖς ἀναθεματισμένοις καὶ αὐτὸς τετάχθω, τῆς ἱερατικῆς αὐτὸν καταβαλούσης ψήφου, ἣν κυρίαν καὶ αὐτὴν ἐφ᾽ ἑαυτῆς οὖσαν, κυριωτέραν ἔτι μᾶλλον ἡ βασιλεία ποιεῖ· καὶ τοῦτον ἐξελαύνουσα τῆς βασιλίδος ταύτης πόλεως, καὶ τῆς αὐτῆς περιοικίδος, καὶ τὴν ἐπὶ τῶν πόλεων οἴκησιν αὐτῷ παντελῶς ἀπαγορεύουσα· ὥστε μετ᾽ ἐκείνων μόνων οἰκεῖν τε καὶ βουλεύεσθαι τῶν ἔμπροσθεν ἡμῖν εἰρημένων, ὅμοια μὲν βλασφημούντων, ὅμοια δὲ καὶ παθόντων, ὁμοίως δὲ καὶ περιωρισμένων. εἰ δέ τι καὶ ἕτερον τῇ τῶν ἁγιωτάτων ἐπισκόπων περιέχεται ψήφῳ τῇ διὰ προειρημένους καθαιρούσῃ τε καὶ ἀναθεματιζούσῃ, κύριον δὲ καὶ τοῦτο ποιήμεθα, καὶ τοῖς θείοις καὶ βασιλικοῖς ἡμῶν αὐτὸ νόμοις ἐπικυροῦμεν, ὡς ἂν εἰ παρὰ τῆς βασιλείας αὐτῆς προελθὸν ἐτύγχανεν. εἰ δὲ καί τις αὐτῶν ἁλοίη τὸ λοιπὸν πράττων τι παρὰ τὰ διατετυπωμένα, ἴστω καὶ τοῖς βασιλικοῖς ὑποπεσούμενος νόμοις, οἳ τὰς ἐλάττους τῶν ποινῶν ἐκκλίνοντες, εἰς μείζους ἐμβάλλουσι τὰς ἀγανακτήσεις. ἀπαγορεύομεν δὲ καὶ πᾶσι τοῖς τὴν καθολικὴν ἐκκλησίαν τοῦ Θεοῦ διασπᾶν ἐπιχειροῦσι, εἴτε κατὰ τὴν Νεστορίου τοῦ φρενοβλαβοῦς ὑφήγησιν, εἴτε κατὰ τὴν ἀνοήτου Εὐτυχοῦς παράδοσιν, εἴτε κατὰ τὴν Σευήρου βλασφημίαν ταὐτὰ ἐκείνοις νοήσαντος, εἴτε τῶν ἐκείνοις ἀκολουθούντων ταῖς ἁγιωτάταις ἐκκλησίαις ταραχὰς ἐμβάλλειν, καὶ φθέγγεσθαί τι περὶ πίστεως· ἀλλὰ θεσπίζομεν ἕκαστον τῶν τοιούτων τὴν ἡσυχίαν ἄγειν, καὶ μηδὲ συγκαλεῖν εἰς ἑαυτόν τινας, μήτε προσιόντας δέχεσθαι, ἢ παραβαπτίζειν θαρρεῖν, ἢ τὴν ἱερὰν κοινωνίαν ῥυπαίνειν, καὶ ταύτης μεταδιδόναι τισὶν, ἢ τὰς ἀπηγορευμένας διδασκαλίας ὑφηγεῖσθαι, ἢ ἐπὶ ταύτης τῆς βασιλίδος ἡμῶν πόλεως, ἢ ἐφ᾽ ἑτέρας, ἀλλ᾽ ὑφορᾶσθαι πάντα κίνδυνον, εἴ τι τοιοῦτον πράξαιεν. ἀπαγορεύομεν δὲ καὶ πᾶσι τούτους ὑποδέχεσθαι. ἀπελαύνεσθαι μὲν οὖν θεσπίζομεν αὐτοὺς τῶν ὑπ᾽ αὐτῶν ταραχθεισῶν πόλεων, εἰδότας τὰς ποινὰς, τὰς ταῖς θείαις ἡμῶν ἤδη περιεχομένας διατάξεσιν, αἵπερ καὶ τὰς οἰκίας αὐτὰς, ἐν αἷς τοιοῦτόν τι πράττεται, καὶ τὰ χωρία ἐξ ὧν τὰς ἀποτροφὰς χορηγοῦνται, ταῖς ἁγιωτάταις ἐκκλησίαις προσκυροῦσι, τῶν μὲν κεκτημένων ἀφαιρούμεναι, διό τι βλάβης αἴτια τοῖς ἁπλουστέροις γίνεται, ὑπὸ δὲ ταῖς ἁγιωτάταις καὶ ὀρθοδόξοις ἐκκλησίαις ταῦτα δικαίως ἄγουσαι· ταῦτα ὑπὲρ τῆς κοινῆς εἰρήνης τῶν ἁγιωτάτων ἐκκλησιῶν νομοθετοῦμεν· ταῦτα ψηφιζόμεθα τοῖς τῶν ἁγίων πατέρων κατακολουθοῦντες δόγμασιν, ὅπως ἂν τὸ ἱερατικὸν ἅπαν ἀτάραχον ἡμῖν τοῦ λοιποῦ διαμένοι. οὕτω γὰρ ἐν εἰρήνῃ φυλαττομένου καὶ τὸ λοιπὸν ἡμῖν βεβαιωθῇ πολίτευμα τὴν ἄνωθεν ἔχον εἰρήνην, ἣν πᾶσιν ὁ μέγας Θεὸς καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ τῆς τριάδος εἷς, ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, χαρίζεταί τε καὶ χορηγεῖ τοῖς γνησίως αὐτὸν καὶ ἀληθῶς δοξάζειν τε καὶ προσκυνεῖν ἠξιωμένοις.

Ἡ τοίνυν σὴ μακαριότης τὰ ὀρθῶς παρασταθέντα φυλαττέτω καταπέμπουσα ταῦτα διὰ θεοφιλῶν αὐτῆς γραμμάτων πᾶσι τοῖς ὑπ᾽ αὐτὴν τεταγμένοις ὁσιωτάτοις μητροπολίταις· ὧν ἑκάστῳ γενήσεται φροντὶς ταῖς ὑπ᾽ αὐτοὺς τεταγμέναις ἁγιωτάταις ἐκκλησίαις ταῦτα ποιῆσαι φανερὰ, ὥστε μηδένα τῶν πάντων διαλαθεῖν τά τε τῇ ἀρχιερωσύνῃ δόξαντα, τά τε ὑπὸ τῆς βασιλείας κυρούμενα.

Ἡ θεία ὑπογραφή·

A justa judicant episcopi, (cum parva quædam talium malorum interpositio sit) & in quibus dehonestatus est: omnia videlicet comprehendendo ex memoria quadam abundanti; sit & Zoaras interpositio quædam parva hujus malæ partis, (Anthimi dicimus & Severi ac Petri:) & numeretur ipse quoque inter anathematizatos, sacra sententia ipsum dejiciente: quam firmam & ipsam ex seipsa exsistentem, adhuc firmiorem imperium reddit: & hunc de hac regia urbe & ejus districtu abjicit, & habitationem in aliis civitatibus ipsi omnino interdicit. Itaque cum illis solis habitet & consultet, qui a nobis ante memorati sunt: qui similia quidem blasphemant, similia vero patiuntur, & similiter in exsilium mittuntur. Si quid vero aliud in B sententia sanctissimorum episcoporum continetur, quæ prædictos deponit & anathematizat; hoc firmius reddimus & diutius; ac imperialibus nostris legibus ipsum corroboramus, ac si ab imperio isto provenisset. Si vero aliquis ipsorum deprehendatur de cetero facere aliquid præter constituta; sciat se incidisse in leges imperiales, quæ minores pœnas declinantes, ad majores immittunt indignationes. Interdicimus autem & omnibus conantibus catholicam Dei ecclesiam divellere; (sive secundum Nestorii hæretici doctrinam, sive secundum insensati Eutychis traditionem, sive secun- C dum blasphemiam Severi, qui & similia illis intellexit, aut eorum qui illos sequuntur) seditionem immittere sanctissimis ecclesiis, & loqui aliquid de fide: sed sancimus quemlibet talium quietum esse, & non convocare aliquos ad se, neque accedentes recipere, aut perperam baptizare audere, aut sacram communionem sordidare, & ipsam aliquibus tradere, aut interdictas doctrinas exponere sive in hac nostra regia, sive in alia civitate: sed omne periculum reformidare, si quid tale faciat. Interdicimus etiam omnibus, ne istos suscipiant. Abjici ergo ipsos sancimus de civitatibus ab ipsis concitatis, scientes pœnas jam contentas in nostris divinis constitutionibus, quæ & domos ip- D sas, in quibus tale aliquid fit, & campos ex quibus nutrimenta præbentur, sanctissimis ecclesiis assignant, & a possidentibus auferunt, quia detrimenti causa fit simplicioribus: sanctissimis vero & orthodoxis ecclesiis hæc juste subjiciunt. Hæc pro communi pace sanctissimarum ecclesiarum statuimus, hæc decernimus, sequentes sanctorum patrum dogmata: ut omne sacerdotium imperturbatum de cetero nobis permaneat. Quo in pace servato, reliqua nobis exuberabit respublica desuper pacem habens: quam omnibus magnus Deus & Salvator noster Jesus Christus, Trinitatis unus, unigenitus Dei Filius [a] prædicat, ac donat his E qui sincere ipsum & vere glorificare ac adorare digni habiti sunt.

[a] al. præbeat ac donet.

Custodiat itaque beatitudo tua, quæ recte adnotata sunt: & mittat ipsa per suas Deo dilectas litteras omnibus sanctissimis metropolitis sub ipsa exsistentibus: quorum cuilibet cura erit ipsa manifesta facere sanctissimis ecclesiis sibi subjectis: ut neminem ex omnibus lateant, quæ sacerdotio visa sunt, & ab imperio confirmata.

Divina subscriptio:

Divinitas te servet per multos annos, sancte & religiose pater.
Data octavo Idus Augustas, Constantinopoli, post Consulatum Belisarii viri clarissimi.

CONCILIUM HIEROSOLYMITANUM,

contra Severum, Petrum, & Zoaram, hæreticos, celebratum.

Græce: ἡ ἐν Ἱεροσολύμοις ἁγία σύνοδος, κατὰ Σευήρου, Πέτρου, καὶ Ζωορᾶ.

ANNO CHRISTI 536.

Ex vetusta interpretatione, levissime immutata, ubi erat prava et intricata.

Μετὰ τὴν ὑπατείαν Φλαυΐου Βελισαρίου τοῦ ἐνδοξοτάτου, πρὸ δεκατριῶν Καλανδῶν Ὀκτωβρίων χρόνων, πεν-

Post Consulatum Flavii Belisarii gloriosissimi, decimotertio Kalendas Octobris, indictione quin-

ANNO CHRISTI 536.

tadecima, in colonia Ælia metropoli & Hierosolymis, præsidente sanctissimo ac beatissimo patriarcha Petro, in secreto venerabilis episcopatus suæ beatitudinis: & assistentibus sacerdotio suo sanctissimis episcopis trium Palæstinarum, sub sanctis locis venerabilissimæ synodi exsistentibus: Elissæus diaconus & notarius ipsius sanctissimi patriarchæ ad medium veniens, dixit: Cum pia missa esset lex vestræ beatitudini, quæ, cum Deo dicendo, ad cautionem sanctissimarum ecclesiarum, & honesti cum Deo status valeret: redditaque esset vobis sanctissimis sancta epistola sanctissimi Menæ patriarchæ regiæ civitatis, quæ eamdem habet materiam: quarum utramque portarunt venerabilissimi monachi vestræ venerabilissimæ eremi, qui in imperialem civitatem venerunt ecclesiastici status gratia; jussit vestra beatitudo me in unum hanc venerabilem advocare synodum, ut manifesta fiant eorum sanctitati, quæ pie sunt sancita a potentissimo & Deo custodito Imperatore nostro, ac scripta a memorato sanctissimo patriarcha urbis regiæ. Quia igitur venerabilis synodus vestræ beatitudini adsistit, & præstolantur in venerabili episcopatu vestro Dei amantissimi archimandritæ, & sanctissimi monachi, qui adesse expetunt prædictorum intimationi, quid vestræ beatitudini & venerabili synodo videtur?

πεντεκαιδεκάτης ἰνδικτιῶνος, ἐν κολωνίᾳ Αἰλίᾳ μητροπόλει τῇ καὶ Ἱεροσολύμοις· προκαθημένου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ πατριάρχου Πέτρου ἐν τῷ σεκρέτῳ τοῦ εὐαγοῦς ἐπισκοπείου τῆς αὐτοῦ μακαριότητος· συνεδρευόντων δὲ τῇ αὐτοῦ ἀρχιερωσύνῃ καὶ τῶν ὁσιωτάτων ἐπισκόπων τῆς κατὰ Παλαιστίνας τρεῖς ὑπὸ τοῖς ἁγίοις τόποις εὐαγεστάτης συνόδου· Ἐλισσαῖος διάκονος καὶ νοτάριος τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου, εἰς μέσον παρελθὼν, εἶπεν· εὐσεβοῦς καταπεμφθέντος νόμου τῇ ὑμετέρᾳ μακαριότητι, πρὸς ἀσφάλειαν, σὺν Θεῷ λέγειν, τυγχάνοντος τῶν ἁγιωτάτων ἐκκλησιῶν, καὶ τῆς εὐπρεπείας σὺν Θεῷ καταστάσεως, ἀποδοθείσης δὲ τοῖς ἁγιωτάτοις ὑμῖν θείας καὶ ὁσίας ἐπιστολῆς τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ, τὴν αὐτὴν φερούσης ὑπόθεσιν. ὧν ἑκάτερον διεκόμισαν οἱ θεοσεβέστατοι μοναχοὶ τῆς καθ' ἡμᾶς εὐαγεστάτης ἐρήμου, οἳ πρὸ ἐπὶ τῆς βασιλίδος γεγόνασι πόλεως τῆς ἐκκλησιαστικῆς καταστάσεως χάριν, ἐπέτρεψεν ἡ ὑμετέρα μακαριότης, εἰς ταυτὸ με τὴν εὐαγῆ προσκαλέσασθαι σύνοδον, ὡς ἂν καταφανῆ καὶ τῇ αὐτῆς γένηται ὁσιότητι τὰ εὐσεβῶς νομοθετηθέντα τῷ κρατίστῳ καὶ θεοφυλάκτῳ ἡμῶν βασιλεῖ, ἐπεσταλμένα δὲ καὶ παρὰ τοῦ μνημονευθέντος ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως. ἐπεὶ οὖν πάρεστι τῇ ὑμετέρᾳ μακαριότητι ἡ εὐαγὴς σύνοδος, προσεδρεύουσι δὲ τῷ εὐαγεῖ ἐπισκοπείῳ τῆς ὑμετέρας ἀρχιερωσύνης, καὶ οἱ θεοφιλέστατοι ἀρχιμανδρῖται, καὶ ὁσιώτατοι μοναχοὶ παρεῖναι ἐξαιτοῦντες τῇ τῶν εἰρημένων ἐμφανείᾳ· τί ὑμετέρᾳ μακαριότητι καὶ εὐαγεῖ συνόδῳ δοκεῖ;

Sanctissimus ac beatissimus patriarcha, & venerabilis synodus, dixit: Secundum jussum vestræ beatitudinis advocentur Deoamantissimi archimandritæ & monachi. Elissæus diaconus & notarius in medio stans, dixit: Juxta jussum vestræ beatitudinis adsunt Deoamantissimi archimandritæ & monachi.

Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης, καὶ ἡ εὐαγὴς σύνοδος, εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας μακαριότητος, προσκαλείσθωσαν οἱ θεοσεβέστατοι ἀρχιμανδρῖται καὶ μοναχοί. Ἐλισσαῖος διάκονος καὶ νοτάριος ἐν μέσῳ καταστὰς, εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας μακαριότητος, πάρεισιν οἱ θεοσεβέστατοι ἀρχιμανδρῖται καὶ μοναχοί.

Sanctissimus ac beatissimus patriarcha, & venerabilis synodus, dixit: Secundum primum ordinem piissima lex potentissimi ac Deo custoditi Imperatoris nostri, convenienter legatur, & præcedat quæ gerenda sunt. Et lecta est ipsa divina lex per venerabilem Elissæum diaconum & notarium. Et præfulget inter gesta, de verbo ad verbum sic habens, ut supra scriptum est.

Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης, καὶ ἡ εὐαγὴς σύνοδος, εἶπε· κατὰ τὴν πρώτην τάξιν ὁ πανευσεβὴς νόμος τοῦ κρατίστου καὶ θεοφυλάκτου ἡμῶν βασιλέως προσφόρως ἀναγινωσκέσθω, καὶ ἡγείσθω τῶν πραττομένων· καὶ ἀνεγνώσθη ὁ αὐτὸς θεῖος νόμος διὰ Ἐλισσαίου τοῦ θεοσεβεστάτου διακόνου καὶ νοταρίου· καὶ προλάμπει τῶν πραττομένων, ἐπὶ λέξεως οὕτως ἔχων, ὡς προγέγραπται.

Sanctissimus ac beatissimus patriarcha & venerabilis synodus, dixit: Legantur & sanctæ litteræ sanctissimi patriarchæ Menæ. Et accipiens illas memoratus venerabilis Elissæus diaconus & notarius, legit. Et inscriptæ sunt gestis de verbo ad verbum sic habentes:

Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης, καὶ ἡ εὐαγὴς σύνοδος, εἶπεν· ἀναγινωσκέσθω καὶ τὰ ὅσια γράμματα τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ. καὶ μεταχειρισάμενος ταῦτα ὁ μνημονευθεὶς θεοσεβέστατος διάκονος καὶ νοτάριος Ἐλισσαῖος ἀνέγνω. καὶ ἐγγέγραπται τοῖς πεπραγμένοις ἐπὶ λέξεως οὕτως ἔχοντα·

Per omnia Deoamantissimo ac sanctissimo fratri & comministro Petro, Menas in Domino salutem.

RECordantes solum venerabilium virorum, qui apud vos sunt, lætamur. Nam solet, cum sine vultus interpellatione fit allocutio per epistolas, animum delectare. Propter hoc ergo solum & nunc me motum esse ad scribendum, & ex ipso momento alloquendi vos, delectatus sum sicut in omnibus divitiis. Nam unguentum evacuatum nominis tui sic odorem, nedum non præsentis, sed longe exsistentis, sentimus in eminentia morum vestrorum: ad ipsum medium cordis posita lætitia implemur, audientes virtutum vestrarum fertilissimam ubertatem. Nam sermo de vestra caritate quotidie versatur inter nos, cum multi quidem, quæ a vobis reformata sunt, narrent: maxime vero communis frater, immo communis benefactor Deoamantissimus presbyter Eusebius. Veritatem dico, & non mentior. Magnus generaliter & continuus de vobis sermo est, maxime ab ipsius sanctitate,

De hoc Eusebio vide Novellam 40. Justiniani.

Τῷ πάντα θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Πέτρῳ, Μηνᾶς ἐν κυρίῳ χαίρειν.

ΤΩν καθ' ἡμᾶς θεοφιλῶν ἀνδρῶν καὶ μόνης μνημονεύοντες εὐφραινόμεθα. οἶδε καὶ χωρὶς τῆς κατὰ πρόσωπον ἐντεύξεως ψυχὴν ἐπιτέρπειν ἡ πρὸς αὐτοὺς δι' ἐπιστολῶν ὁμιλία. κατ' αὐτὸν οὖν καὶ μόνον κινηθεῖσά με νῦν πρὸς τὸ γράφειν, ἐξ αὐτῆς τῆς ἐπὶ τὸ προσειπεῖν ὑμᾶς ῥοπῆς, ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ. μύρον γὰρ ἐκκενωθὲν ὄνομά σοι· οὕτω καὶ μὴ παρόντος, ἀλλὰ καὶ μακρόθεν ὄντος, συναισθανόμεθα τῆς εὐωδίας τὴν ὑπερβολὴν τῶν ὑμετέρων τρόπων, κατ' αὐτὸ τῆς καρδίας μου μέσον ἱδρυμένην. εὐφροσύνης πληρούμεθα, τῶν ὑμετέρων πλεονεκτημάτων ἀκούοντες τὰς ἀρετάς. λόγος τῆς σῆς θεοφιλίας πολὺς καθ' ἡμέραν. τὰ ἐν ὑμῖν κατορθώματα πολλοὶ μὲν διηγοῦνται, ἐξαιρέτως δὲ ὁ κοινὸς ἀδελφὸς, μᾶλλον δὲ εἰπεῖν, ὁ κοινὸς εὐεργέτης ὁ θεοφιλέστατος πρεσβύτερος Εὐσέβιος· ἀλήθειαν ἐρῶ, καὶ οὐ ψεύδομαι. πολὺς πανταχοῦ καὶ συνεχὴς ὁ περὶ ὑμῶν λόγος, μάλιστα παρὰ τῆς αὐτοῦ ὁσιότητος,

ὃς ἡδέως διηγεῖται τὰ καθ' ὑμᾶς· ὡς πίστις ὀρθὴ, ἄμεμπτος βίος, πρᾳότης πολλή· καὶ ἁπλῶς εἰπεῖν, πᾶς ὁ χορὸς τῶν ἀρετῶν ἐν ὑμῖν ἐδόθη παρὰ Θεοῦ, ὥστε καὶ τὸν διὰ Ἰακώβου δέξασθαι θρόνον, καὶ φύλακα γενέσθαι τῆς ὀρθοδόξου πίστεως. παραιτοῦν καὶ Σεβῆρον ὡς βλάσφημον ὁ ὑμέτερος θρόνος κατηργήσατο. τῶν μετὰ ταῦτα καρπῶν ἡ σὴ παρέσχεν ἡμῖν ὁσιότης τὰ σπέρματα, γεγόναμεν ὑμῖν ἐπὶ Σεβήρῳ σύμψηφοι. πέφηνε τούτῳ καὶ Πέτρος παρόμοιος· ὃς εἰ καὶ παρ' ἑτέρων ἤδη καθῄρητο, τῆς αὐτῆς ὁμοίως καὶ παρ' ἡμῶν τέτυχε κατακρίσεως. εἰς τὴν ὁμοίαν ἑάλωσαν, Ἄνθιμός τε καὶ Ζωορᾶς ἐμπεπτωκότες πλάνην. ἴσως καὶ τούτων ἑκάτερος ἠξίωται τῆς ποινῆς. κεκοινωνήκασιν ἡμῖν ἐφ' ἅπασι τούτοις, οἵ τε ἐκ τῆς πρεσβυτέρας παραγενόμενοι Ῥώμης, καὶ ὅσοι τῆς θείας ἡμῶν ἐπιδημοῦσι συνόδου· σπουδὴν ἄγρυπνον, καὶ θεοφιλῆ πρόνοιαν, τούτοις ἅπασι συνεισήνεγκαν καὶ οἱ εὐλαβέστατοι μοναχοὶ, οἱ ἐκ τῆς ὑμετέρας φιλοχρίστου χώρας τῇ βασιλίδι ἐνδημοῦντες πόλει. αὐτὰς τοίνυν ὑμῖν τὰς ἐφ' ἅπασι τούτοις συστάσας τῶν ὑπομνημάτων ἀπεστάλκαμεν πράξεις. γένεσθε τοιγαροῦν ἐπὶ μὲν Σεβήρῳ τοῖς τε παρ' ἡμῶν αὐτῶν, τοῖς τε ὑφ' ὑμῶν κεκριμένοις σύμψηφοι. ἐπὶ δὲ Πέτρῳ καὶ Ζωορᾷ καὶ Ἀνθίμῳ, τοῖς ὑφ' ἡμῶν τε αὖθις, καὶ τῶν ἄλλων, ὡς εἰπεῖν, ἁπάντων ἀποδεδοκιμασμένοις, ἀκολουθῆσαι μὴ κατοκνήσητε. καὶ γὰρ ἂν εἴη διαφερόντως ὑμέτερον τοῖς μὲν ἀρχὴν αὐτόθεν παρασχέσθαι τῆς ἀπαλλαγῆς τῶν φαύλων, τοῖς δὲ κἂν εἴη δεδομένα παρ' ἑτέρων, ἀκολουθεῖν. καὶ δείξει μὲν ὑμῖν τὸ κατὰ μέρος ἡ τῶν πεπραγμένων τάξις τε καὶ κατάστασις. πλὴν ἀλλ' ἐμφανῆ τε γενέσθαι παρ' ὑμῶν αὐτοῖς ταῦτα βουλόμεθα. καὶ τὴν μὲν τούτων ἐμφάνειαν ἐφ' ἡμᾶς ἀποστείλατε, τὴν ὑμετέραν τε, καὶ ὑφ' ὑμᾶς θεοφιλῶν ἐπισκόπων ἐπὶ τοῖς πραχθεῖσι σύνεσιν, διὰ τῶν ὑποτιθεμένων αὐτοῖς δηλοῦντες γραμμάτων. αὐτὰ δὲ τὰ παρ' ἡμῶν ἀπεσταλμένα μένειν ἐάσατε παρ' ὑμῖν τῆς τε ὑμῶν αὐτῶν ὁμολογίας ὀρθῆς, τῆς τε τῶν πεπονθότων κακοδοξίας, εἰς αἰῶνας ἐσόμενα σύμβολον. παρακαλῶ δὲ, τὸ τάλαντον, ὅπερ ἐπιστεύθητε, μὴ κατορύξητε, ἀλλὰ τῇ μεταδόσει πολυπλασιάσατε. διαλέχθητε, μεταδότε τῶν ὑμετέρων ἀληθῶν, μή ποτε ἄρα φανείητε ἀποδεσμεύοντες αὐτό· ἰδιοποιούμενοι τὰ κατ' ἐμὲ, ὑπὲρ ἀδελφοῦ προσεύξασθε δίκην καταπυκνοῦντες, καὶ λέγοντες· κύριε εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. πᾶσαν τὴν σὺν τῇ ὑμετέρᾳ ὁσιότητι ἐν Χριστῷ ἀδελφότητα πλεῖστα προσαγορεύομεν. ἐῤῥωμένος ἐν κυρίῳ ὑπερεύχου ἡμῶν, θεοφιλέστατε ἀδελφέ.

Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης, καὶ ἡ θεία σύνοδος εἶπεν· εἰ τὰ κατὰ τὴν βασιλίδα πεπραγμένα πόλιν, καὶ συνοδικῶς ἐψηφισμένα, ὧν μνήμην ποιεῖται ὁ θεῖος καὶ εὐσεβὴς νόμος, καὶ ἡ τοῦ μνημονευθέντος ἁγιωτάτου πατριάρχου ἐπιστολὴ, Ἐλισσαῖος μεταχειρίζεται, ὁ θεοσεβὴς νοτάριος διδασκέτω.

Ἐλισσαῖος νοτάριος εἶπε. διδάσκω τὴν ὑμετέραν μακαριότητα, καὶ τὴν παροῦσαν θείαν σύνοδον, ὡς σὺν τῇ ἀναγνωσθείσῃ τιμίᾳ ἐπιστολῇ τοῦ ἁγιωτάτου πατριάρχου τῆς βασιλευούσης πόλεως Μηνᾶ, καὶ τὰ ὑπομνήματα, ἃ ἀπεστάλη παρὰ τῆς αὐτοῦ μακαριότητος, τά τε ἐπὶ τῇ καθαιρέσει πραχθέντα Ἀνθίμου, ὃς πρώην γέγονε τῆς Τραπεζουντίων ἐπίσκοπος· καὶ τὰ ἐπὶ τῷ ἀναθεματισμῷ Σεβήρου καὶ Πέτρου καὶ Ζωορᾶ, μετὰ χεῖράς ἐστί μοι. κατὰ τοίνυν τὸ παριστάμενον τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, καὶ τῇ ἁγίᾳ συνόδῳ, τὴν τούτων ποιοῦμαι ἐμφάνειαν.

Ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης, καὶ ἡ θεία σύνοδος εἶπε· τέως τὰ ἐπὶ Ἀνθίμῳ πεπραγμένα, δῆλα γινέσθω διὰ τῆς ἀναγνώσεως, ἐγγεγραμμένα τοῖς ὑφ' ἡμῶν πεπραγμένοις. οὕτω γὰρ καθ' ἑτέραν εἰσόμεθα καὶ τὰ ἐπὶ τῷ ἀναθεματισμῷ παρακολουθήσαντα Σεβήρου καὶ Πέτρου καὶ Ζωο-

qui libenter narrat, quæ apud vos sunt: sicut fides recta, vita irreprehensibilis, mansuetudo magna, & simpliciter dicendo, omnis virtutum chorus vobis a Deo datus est; ut & Jacobi sedem accipere, & custos orthodoxæ fidei esse merearis. Igitur & Severum tamquam blasphemum vestra sedes dejecit. Post hæc quia tua sanctitas præbuit nobis semina fructuum, fuimus vobis consententiativi contra Severum. Assimilis huic & Petrus apparuit, qui cum a ceteris jam depositus fuerit, eadem condemnatione & a nobis ille reprehensus est. Anthimus quoque ac Zoaras in similem errorem incidisse deprehensi sunt: & uterque istorum æquali pœna judicatus est. Communicaverunt nobis in his omnibus, hi qui de antiqua Roma venerunt, & quicumque congregati sunt in nostra venerabili synodo: studiumque vigilans ac providentiam Deo amabilem his omnibus contulerunt venerabiles monachi, qui ex vestra a Christo amata regione in regia urbe convenerunt. Ipsas itaque actiones actorum, in his omnibus formatas, vobis mittimus. Sitis igitur ejusdem sententiæ in judicatis a nobis, & a vobis contra Severum: rursusque approbata a nobis & ab aliis omnibus, ut ita dicatur, contra Petrum & Zoaram atque Anthimum, sequi tardare nolite. Nam vestrum utique fuit, indissimulanter & indifferenter aliis quidem principium liberationis hominum pravorum ibidem accommodare: in aliis vero (si fuerit datum ab aliis) sequi. Et ostendetur quidem vobis per partem rerum gestarum ordo, atque status. Verumtamen volumus hæc a vobis fieri ipsis manifesta: & horum intimationem ad nos mittite: vestram & venerabilium episcoporum, qui subditi vobis sunt, intelligentiam circa gesta, per litteras, ipsis subjiciendas, significantes. Quæ autem a nobis missa sunt, manere apud vos finite. Quæ vestræ rectæ confessionis, & eorum qui malam opinionem sustinuerunt & passi sunt, in perpetuum erunt symbolicum instrumentum. Rogo autem, talentum, quod vobis creditum est, nolite abscondere, sed participatione multiplicate: exserite, & tradite veritates vestras, ne quandoque videamini ipsum obligavisse. Secundum me ergo proprie facientes, orate pro fratre, supplicationes frequentantes, & dicentes: Da pacem Domine nobis. Omnia enim reddidisti nobis. Omnem in Christo fraternitatem, quæ cum sanctitate vestra est, plurimum salutamus. Et in Domino valens ora pro nobis, frater Deoamantissime.

Matth. 25.

Sanctissimus & beatissimus patriarcha, & venerabilis synodus, dixerunt: Si quæ in regia urbe facta, & synodaliter sententiata sunt, quorum memoriam facit divina ac piissima lex, & epistola memorati sanctissimi patriarchæ, & Elissæus venerabilis notarius habet præ manibus, edoceat.

Elissæus notarius dixit: Certifico vestram beatitudinem, & præsentem venerabilem synodum, quod cum honorabili epistola lecta sanctissimi patriarchæ regiæ civitatis Menæ, sunt & acta, quæ missa sunt a sua beatitudine; & quæ facta sunt in depositione Anthimi, qui pridem fuit episcopus Trapezuntius; & in anathematismo Severi, Petri, & Zoaræ, mihi ad manus sunt. Secundum ergo quod visum est vestræ beatitudini, & sanctæ synodo, horum intimationem facio.

Sanctissimus & beatissimus patriarcha, & venerabilis synodus, dixerunt: Interim fiant manifesta per lectionem, quæ supra Anthimum facta sunt, & nostris gestis inscripta: sicque per aliam viam noscemus quæ secuta sunt anathematismum Severi, Petri, &

ANNO CHRISTI 536.

Zoaræ, hæreticorum, tametsi ipsa maxime nota sint A nobis reddita. Et accipiens Elissæus notarius & diaconus ea, quæ contra Anthimum facta sunt, percurrit. Et inscripta sunt nunc gestis, quæ de verbo ad verbum sic habent: Post Consulatum Flavii Belisarii clarissimi, sexto Nonas Maias, &c. *ut supra in concilio Constantinopolitano sub Mena actionibus* I. II. III. IV. *& V. qua in hac synodo ab allegato principio actionis prima, usque ad finem actionis quinta hic recitata fuere.*

Sententia Petri Hierosolymorum episcopi, contra Anthimum.

SAnctissimus ac beatissimus patriarcha, & venerabilis synodus, dixit: Demonstratus est & nunc B in rebus verus propheticus sermo: *Quoniam non habitabit juxta Deum malignus, neque permanebunt iniqui ante oculos ejus.* Tale quiddam factum fuisse in Anthimum pontificalia & imperialia decreta, quæ modo lecta sunt, demonstrarunt. Iste enim nuper cum esset episcopus Trapezuntius, & a sanis dogmatibus deflectens, veste ovina circumamictus, lupus vero rapax exsistens, (evangelice dicendo,) in pontificalem sedem regiæ urbis se intrusit: simulans quidem colere veram & immaculatam fidem, & voluntarie admittere sanctas quatuor synodos œcumenicas: Nicænam trecentorum octodecim, Constantinopolitanam centum quinquaginta, Ephesinam ducentorum, & Chalcedonensem sexcentorum triginta; cum sancta epistola C Leonis beati Papæ antiquæ Romæ, scripta ad Flavianum regiæ urbis præsulem; & affinia his quæ facta sunt a venerabili Chalcedonensi synodo: in profundo autem intellectus suam abscondens perfidiam memoratus Anthimus, pejorem ad nos inducere festinavit æstum, & ubique sanctas ac catholicas ecclesias conturbavit. Nam cum arbitraretur se dolosum & iniquum studium satis compescuisse, repente se transmutando ipsum hypocrisis habitum rejecit: atque vale dicens his, quæ ab ipso in scriptis composita erant, a rectis dogmatibus defluxit: nullo modo patiens confiteri unum ipsum Dominum Deum nostrum Salvatorem Jesum Christum cognosci in duabus naturis, inconfusibiliter, immutabiliter, indivisibiliter, & in- D separabiliter: nec intellexit stolidus virtutem tam piorum verborum. Perspicuum enim est, quod inconfusibile, indivisibile, immutabile, & inseparabile, summam substantiarum unionem significat, & ipsarum differentiam servat in una persona & una hypostasi. Præterea non elegit abdicare condemnatos a sancta Chalcedonensi synodo, & ostendens ei se similia sapere errori Eutychis insanientis & Dioscori. Et, quod difficilius est, non sustinuit medelam a doctrina, atque ab imperiali clementia sibi provenientem, data etiam dilatione decenti pontificem, ad pœnitentiam sufficienti, & ad confessionem veræ fidei adducenti. Itaque cum latens permanserit, & diuturna effugatione evidenter præmonstraverit se privatum omni defensione, & insanabiliter habere ad propriam perfidiam; depositionis sententia in ipsum venit: principiata quidem a sanctæ ac beatæ memoriæ Agapito, antiquæ Romæ summo pontifice, terminata vero a Mena sanctissimo patriarcha regiæ urbis, & a venerabilissima synodo quæ apud ipsum congregata erat. Hinc est quod non solum ab episcopatu Trapezuntio cecidit memoratus Anthimus: sed & ab omni pontificali dignitate & efficacia: cum separatus sit ab omni corpore sanctissimæ ecclesiæ. Cumque catholica appellatione privatus sit, ad illius incorrigibilem errorem adaptare possumus prophetiam Oseæ: *Quoniam tu repulisti scientiam, & ego te repellam, ne fungaris mihi sacer-*

Psal. 5.

Matth. 7.

Osee 4.

A ἐκ τῶν διωκτῶν, κἂν τὰ μάλιστα ἐν ἀγνοίᾳ ὑμῖν ταῦτα καθέστηκε. καὶ παραλαβὼν τὰ ἐπὶ Ἀνθίμῳ πεπραγμένα, Ἐλισσαῖος ὁ θεοφιλέστατος νοτάριος καὶ διάκονος, διῆλθε. καὶ ἐγκέχαρται τοῖς νῦν πραττομένοις, ἐπὶ λέξεως ἔχοντα οὕτως. Μετὰ τὴν ὑπατείαν Φλαυΐου Βελισαρίου, καὶ λοιπά.

Vide supra a pagina 1187. C. ad paginam 1410. hujusce secundi Tomi amplissima collectionis Conciliorum omnium.

Ψῆφος Πέτρου τοῦ Ἱεροσολύμων, κατὰ Ἀνθίμου.

Ὁ Ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης, καὶ ἡ θεία σύνοδος, εἶπε· δέδεικται καὶ νῦν ἐπὶ τῶν πραγμάτων B ἀληθὴς ὁ προφητικὸς λόγος. ὅτι οὐ παροικήσει πονηρὸς τῷ Θεῷ, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. ὁποῖόν τι γεγένηται καὶ ἐπὶ Ἀνθίμου παρέστησε τὰ ἀρτίως ἀνεγνωσμένα, ἱερατικά τε καὶ βασιλικὰ δόγματα. οὗτος γὰρ πρῴην τὴν Τραπεζουντίων ἐπισκοπήσας πόλιν, καὶ τῶν ὑγιῶν ἑαυτὸν ἐκδιαστήσας δογμάτων, ἔνδυμα περιβαλλόμενος προβάτου, λύκος δὲ ὢν ἅρπαξ, εὐαγγελικῶς εἰπεῖν, τῷ ἀρχιερατικῷ τῆς βασιλίδος εἰσπηδήσας θρόνῳ· ὑποκρινάμενος τὴν ἀληθινὴν καὶ ἀμώμητον ἡμῶν πρεσβεύειν πίστιν· καὶ τὰς ἁγίας τέσσαρας καὶ οἰκουμενικὰς ἀσμένως προσίεσθαι συνόδους· τήν τε ἐν Νικαίᾳ, τῶν τριακοσίων δέκα καὶ ὀκτώ· καὶ τὴν ἐν Κωνσταντινουπόλει, ἑκατὸν καὶ πεντήκοντα· καὶ τὴν ἐν Ἐφέσῳ διακοσίων· καὶ τὴν ἐν Χαλ- C κηδόνι ἑξακοσίων τριάκοντα· σὺν τῇ ὁσίᾳ ἐπιστολῇ Λέοντος τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης, συγγραφείσῃ μὲν πρὸς Φλαβιανὸν, τὸν τῆς βασιλίδος πόλεως πρόεδρον, ἐμπεδωθείσῃ δὲ τοῖς πεπραγμένοις ὑπὸ τῆς ἐν Χαλκηδόνι θεαγεστάτης συνόδου· ἐν δὲ τῷ τῆς διανοίας βάθει, τὴν ἑαυτοῦ κατακρύπτων κακοπιστίαν Ἄνθιμος ὁ μνημονευθεὶς, πρὸς τὸ χεῖρον ἡμᾶς ἐπεισαγαγεῖν ἔσπευσε ζάλην, καὶ τὰς ἁπανταχοῦ ἁγίας καὶ καθολικὰς συνταράξαι ἐκκλησίας. ὡς γὰρ ἐγκρατὴς ᾤετο τῆς δολερᾶς καὶ ἀθεμίτου αὐτοῦ γεγενῆσθαι σπουδῆς, ἀθρόον μεταβαλὼν καὶ αὐτὸ δὴ τὸ τῆς ὑποκρίσεως ἀπεδύσατο σχῆμα. καὶ ἐρρῶσθαι τοῖς ἐγγράφως παρ' αὐτοῦ συντεθειμένοις ὀρθοῖς ἀπειπὼν δόγμασι· οὐδαμῶς ὁμολογεῖν ἀνεχόμενος ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, καὶ ἀχωρίστως, γνωρίζεσθαι τὸν ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν καὶ Θεὸν καὶ σωτῆρα D Ἰησοῦν Χριστόν· μὴ συνεγνωκὼς ὁ ἠλίθιος, τῶν οὕτως εὐσεβῶν ῥημάτων τὴν δύναμιν. πρόδηλον γὰρ, ὡς τὸ ἀσύγχυτον, καὶ ἀδιαίρετον, ἄτρεπτόν τε, καὶ ἀχώριστον, καὶ τὴν ἄκραν δηλοῖ τῶν οὐσιῶν ἕνωσιν, καὶ τὴν τούτων φυλάττει διαφορὰν, ἐφ' ἑνὶ προσώπῳ καὶ ὑποστάσει μιᾷ. ἀλλ' οὐδὲ τοὺς ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι κατακριθέντας συνόδου, ἀποκηρύξαι εἵλετο· καὶ ταύτῃ ὁμόφρονα δεικνὺς ἑαυτὸν τῆς Εὐτυχοῦς τοῦ παράφρονος καὶ Διοσκόρου πλάνης. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι μηδὲ τὴν ἀπὸ τῆς διδασκαλίας ὑπέμεινεν ἰατρείαν, καίτοι φιλανθρωπίας αὐτῷ βασιλικῆς ὑπηργμένης, καὶ ἀνακωχῆς ἱεροπρεποῦς διδομένης, πρός τε μεταμέλειαν ἀρκούσης, καὶ πρὸς τὴν τῆς ἀληθοῦς πίστεως προαγούσης ὁμολογίαν. ὡς οὖν λανθάνων ἐπέμεινε, καὶ τῇ χρονίᾳ ἀποδρασει ἐναργῶς προεμήνυσε, πάσης τε E αὐτὸν ἐστερῆσθαι ἀπολογίας, καὶ ἀνιάτως πρὸς τὴν οἰκείαν ἔχειν δυσσέβειαν, καθαιρέσεως αὐτῷ προῆλθε ψῆφος· ἀρχθεῖσα μὲν ἀπὸ Ἀγαπητοῦ τοῦ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης, προέδρου τῆς πρεσβυτέρας Ῥώμης· συμπερανθεῖσα δὲ παρὰ Μηνᾶ τοῦ ἁγιωτάτου τῆς βασιλίδος πατριάρχου, καὶ τῆς παρ' αὐτῷ συγκροτηθείσης θεαγεστάτης συνόδου. κἀντεῦθεν οὐ τῆς Τραπεζουντίων μόνον ἐπισκοπῆς διαπέπτωκεν Ἄνθιμος ὁ μνημονευθεὶς, ἀλλὰ καὶ τῆς ἱερατικῆς ἀξίας τε καὶ ἐνεργείας τοῦ παντὸς χωρισθεὶς τῆς ἁγιωτάτης ἐκκλησίας σώματος, ἐπεὶ καὶ τῆς τοῦ καθολικοῦ ἐστέρηται προσηγορίας· ὥστε πρὸς τὴν ἀδιόρθωτον ἐκείνου πλάνην, τὴν θείαν ἐφαρμόζεσθαι προφητείαν· ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ ἱερατεύειν

ANNO CHRISTI 536.

